CATENÆ

GRÆCORUM PATRUM

IN

NOVUM TESTAMENTUM.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.

TOMUS VII.

IN EPISTOLAS S. PAULI AD TIMOTHEUM, TITUM, PHILEMONA, ET AD HEBRÆOS.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLIV.

CATENÆ

IN

SANCTI PAULI

EPISTOLAS AD TIMOTHEUM, TITUM,

PHILEMONA ET AD HEBRÆOS.

AD FIDEM CODD. MSS.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLIII.

MONITUM LECTORI.

QUOD edendum superfuit e Cod. Coisliniano CCIV. hoc Volumine absolvi. Insunt nempe Commentarii diversorum Gr. Patrum in S. Pauli Epistolas ad Timotheum, ad Titum et Philemona et ad Hebræos. His porro adjunxi Supplementi gratia aliam Catenam in Ep. ad Hebræos e Cod. Paris. 238. depromptam; cujus hæc est in Catalogo Bibl. Reg. notitia.

"Cod. CCXXXVIII. Codex membranaceus, quo continetur Catena in Epistolam ad Hebræos. Ibi sæpenumero laudantur Athanasius, Basilius, Chrysostomus, Clemens, Cyrillus, Dionysius Areopagita, Epiphanius, Eusebius, Gregorius Nyssenus, Gregorius Nazianzenus, Isidorus, Maximus, Nilus, Œcumenius, Origenes, Philo, Photius, Severus et Theodoretus. Hæc autem Catena non ultra caput octavum progreditur. Is Codex sæculo decimo tertio exaratus videtur."

Hac Catena plurima et satis longa insunt excerpta ex Athanasio, quorum forsan quædam inedita sunt; sed etiam edita non sine usu sunt ad augendam varietatem lectionis, præstantioris inter Patres Auctoris, et cujus Codices pauci supersunt.

Adjungere potuissem et alium ineditum commentarium in eandem S. Pauli Epistolam e Cod. Paris.

224 A. Chart. Sæc. XIV. Sed cum nulli in eo opere nominati essent Patres, nec magni esse momenti videretur, per se satis amplum volumen nimium augere supersedi. Speciminis tantum gratia incerti Auctoris procemium hoc loco inseram.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐθνῶν μὲν Ἀπόστολος ἦν ὁ μακάριος Παῦλος, καθὰ δὴ καὶ αὐτὸς ἐν τῇ πρὸς Ῥωμαίους φησίν· οὐ γὰρ ἠνέσχοντο ἂν αὐτοῦ Ἑβραῖοι, κηρύσσοντος αὐτοῖς, ἅτε δὴ ἀπεχθανόμενοι αὐτῷ πλέον ἢ τοῖς ἄλλοις· διὰ τῆς ἀθρόας αὐτοῦ μεταβολῆς ἄμαχον δεικνῦντι τὴν τοῦ Χριστοῦ δύναμιν, τὸν οὕτω σφοδρὸν διώκτην ἑλκύσαντος. σημεῖον γὰρ μέγα τῆς ἀληθείας τοῦ κηρύγματος, τὸ Παῦλον τὸν θερμότατον ζηλωτὴν τοῦ νόμου, ἐξαίφνης Χριστῷ προσελθεῖν. διὰ τοῦτο ἐκθύμως ἐπολέμουν αὐτῷ, καὶ οὐδὲ φωνῆς ἂν ἠνέσχοντο· ἀλλὰ καὶ οἱ ἐξ Ἑβραίων πιστεύσαντες, οὐδὲ οὗτοι πάνυ τοι προσεῖχον αὐτῷ, ἅτε τοῦ νόμου ἀπάγοντι παντελῶς, καὶ τὴν περιτομὴν λύοντι· πλὴν εἰ καὶ τοῖς ἔθνεσιν ἀπεστάλη κῆρυξ, ὅμως καὶ πρὸς Ἑβραίους γράφει. ὥσπερ γὰρ οὐκ ἐπετράπη μὲν βαπτίζειν, ἐβάπτιζε δὲ ὅμως, οὐδὲ γὰρ οὐδὲ ἐκωλύθη, οὕτω καὶ Ἑβραίοις ἐκ περιουσίας ἐπιστέλλει· καὶ γὰρ σφόδρα αὐτῶν ἐκήδετο, ὑπὲρ ὧν καὶ ἀνάθεμα γενέσθαι ηὔχετο. τοῖς ἐν Παλαιστίνῃ δὲ καὶ ἐν Ἱεροσολύμοις ἐπιστέλλει· οὗτοι γὰρ ὑπὸ τῶν ἀπίστων Ἑβραίων καὶ τὰ ὑπάρχοντα διηρπάγησαν, καὶ μυρίαις κακώσεσιν ὑπεβάλλοντο. ὅθεν καὶ τῆς πρὸς τούτους ἐλεημοσύνης σφόδρα φροντίζει· καὶ Κορινθίους καὶ Μακεδόνας εἰς τοῦτο διεγείρων, καὶ πρὸς τὸν Πέτρον τὸ κήρυγμα διελόμενος, τοὺς ἐν Ἱερουσαλὴμ πιστοὺς Ἑβραίους πένητας, κοινωνοὺς ποιεῖται. ἀναγκαίως οὖν τούτοις γράφει παραμυθούμενος αὐτοὺς καταπίπτοντας. σφόδρα γὰρ ἦσαν τεταριχευμένοι ταῖς παρὰ τῶν ἰδίων συμφυλετῶν κακώσεσιν, ἅτε

καὶ αὐτονομουμένων ἐν Ἱεροσολύμοις, καὶ ἐξουσίαν ἐχόντων καὶ κρίνειν καὶ φυλακίζειν οὓς ἂν ἐθέλοιεν. καὶ τοῦτο καὶ αὐτὸς ἐμφαίνει λέγων· "τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα "γόνατα ἀνωρθώσατο." ἅτε γὰρ Ἰουδαῖοι ὄντες, καὶ μαθόντες ὅτι οἱ πατέρες αὐτῶν παρὰ πόδας ἀπελάμβανον τὰ ἀγαθὰ, σφόδρα κατέπιπτον, ὡς μήπω τυχόντες ἀνέσεως. διὸ καὶ πολλὰ περὶ πίστεως διαλέγεται ἐν ταύτῃ τῇ Ἐπιστολῇ, καὶ τῶν ἐξ αἰῶνος ἁγίων ὡς μήπω ἀπολαβόντων τὰ ἀγαθὰ, δύο κατασκευάζων, ἓν μὲν, τὸ δεῖν φέρειν πάντα γενναίως τὰ συμπίπτοντα· ἕτερον δὲ, τὸ πάντως προσδοκᾶν τὴν ἀμοιβήν· οὐ γὰρ περιόψεται Κύριος τοὺς ἀπ' αἰῶνος ἁγίους, ὥστε τότε καὶ ὑμεῖς ἀπολήψεσθε. ποιεῖται δὲ πολὺν λόγον καὶ περὶ τῆς παλαιᾶς, καὶ περὶ τῆς καινῆς, καὶ δείκνυσι τὸν νόμον οὐκέτι σεμνόν. εἰ γὰρ καὶ ὁ ναὸς τότε συνειστήκει, ἀλλ' οὖν αἰνίττεται ὅτι ἄχρι καιροῦ ἔσται τινὸς, καὶ ὅτι τὰ ἡμέτερα, ἀλήθεια. πρεσβυτέρα δὲ αὕτη τῆς πρὸς Τιμόθεον Ἐπιστολῆς. ἐν ἐκείνῃ μὲν γὰρ ἐνδείκνυται ὅτι τέλος ἔχει αὐτῷ ἡ ζωή· "ἐγὼ γὰρ ἤδη," φησὶ, "σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς "ἀναλύσεως ἐφέστηκεν." ἐν ταύτῃ δὲ ἐπαγγέλλεται τοῖς Ἑβραίοις, ὅτι ὄψεται αὐτούς· "γινώσκετε," γάρ φησι, "τὸν ἀδελφὸν "Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ ἐὰν τάχιον ἔρχηται, ὄψομαι "ὑμᾶς." εἰκὸς δὲ τοῦτο ἐκβῆναι. καὶ γὰρ δύο μὲν ἔτη ἐποίησεν ἐν Ῥώμῃ δεδεμένος, εἶτα ἀφείθη, ὥσπερ οὖν καὶ αὐτὸς δηλοῖ λέγων, "ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, οὐδείς μοι συμπαρεγένετο. "καὶ ἐρρύσθην ἐκ στόματος λέοντος," τοῦ Νέρωνος δηλαδή. εἶτα εἰς τὰς Ἰσπανίας ἐλθὼν, ἐκεῖθεν ἴσως εἶδε καὶ τοὺς Ἑβραίους· εἶτα εἰς Ῥώμην ἦλθεν αὖθις, ὅτε καὶ ὑπὸ Νέρωνος ἀνῃρέθη.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α. ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

ΤΩΝ τοῦ Ἀποστόλου μαθητῶν ὁ Τιμόθεος ἦν· καὶ μαρτυρεῖ μὲν ὁ Λουκᾶς, ὅτι θαυμαστός τις νέος ἦν, μαρτυρούμενος ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν, ὃς ἅμα τε μαθητὴς ἐγένετο καὶ διδάσκαλος· καὶ οὕτω σφόδρα συνετὸς ἦν, ὡς ἀκούων Παύλου χωρὶς περιτομῆς κηρύσσοντος, καὶ μαθὼν ὅτι καὶ Πέτρῳ ἀντέστη τούτου ἕνεκεν, ἑλέσθαι μὴ μονον τὸ ἐναντίον κηρύξαι, ἀλλὰ καὶ τὸ παθεῖν· περιέτεμε γὰρ αὐτὸν, φησὶν, ἐν ἡλικίᾳ τοιαύτῃ, καὶ οὕτως αὐτῷ πᾶσαν εὐθέως τὴν οἰκονομίαν ἐνεπίστευσεν.

Ἤρκει μὲν οὖν ὁ τοῦ Παύλου πόθος δεῖξαι τὸν ἄνδρα ὅστις ἐστίν· ἐν πολλοῖς γὰρ αὐτῷ ἐμαρτύρησε· καὶ τὰ νῦν λεγόμενα θαυμαστὰ δείκνυσιν αὐτοῦ τὴν παρρησίαν· εἰ δέ τις ἐξετάζει, τί δήποτε Τίτῳ καὶ Τιμοθέῳ γράφει μόνοις; καίτοι γε καὶ Σίλας τῶν εὐδοκίμων ἦν; καὶ Λουκᾶς καὶ Κλήμης, ὅτι τούτοις ἤδη ἐκκλησίας ἦν ἐγκεχειρηκώς· τοσαύτη γὰρ αὐτῶν ἦν ἡ ὑπερβολὴ τῆς ἀρετῆς, ὡς μηδὲ τὴν νεότητα ἐμποδίσαι.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΤΙΜΟΘΕΟΝ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Περὶ τῆς εἰς ἀγάπην Θεοῦ ὁδηγίας, τὴν ἀπροσδεῆ νομικῆς ἀνάγκης.

β΄. Περὶ τῆς ἑαυτοῦ ἐκλογῆς εἰς εὐαγγελιστὴν ἐκ διώκτου, κατὰ χάριν Θεοῦ.

γ΄. Παραγγελία περὶ πιστῆς καὶ εὐσυνειδήτου διακονίας, ἧς ἄνευ κίνδυνος.

δ΄. Περὶ εὐχῆς, ὅτι ὑπὲρ πάντων, ὅτι πανταχοῦ ἀκάκως, ἀταράχως, σεμνῶς.

ε΄. Περὶ διδασκάλων, ὅτι ἄνδρας χρὴ, καὶ οὐ γυναῖκας εἶναι, διὰ τὴν φύσιν καὶ τὸ πάθος τὸ ἐξ ἀγάπης.

ϛ΄. Περὶ ἀρετῆς ἐπισκόπων.

ζ΄. Περὶ θείας σαρκώσεως.

η΄. Περὶ ἀγῶνος εὐσεβείας ἐπ᾽ ἐλπίδι.

θ΄. Περὶ ἐπιμελείας αὐτοῦ, καὶ τῆς ἐκκλησίας.

ι΄. Περὶ τοῦ ἁρμοζόντως ἑκάστῳ προσφέρεσθαι.

ια΄. Περὶ χηρῶν ἡλικίας, καὶ τρόπου, καὶ διοικήσεως.

ιβ΄. Περὶ πρεσβυτέρων τιμῆς.

ιγ΄. Περὶ χειροτονίας ἀσφαλοῦς.

ιδ΄. Ὅτι οὐδὲν ἔργον λανθάνει.

ιε΄. Περὶ δούλων ὑπακοῆς.

ιϛ΄. Κατὰ φιλοκερδῶν, καὶ ψευδοδιδασκάλων.

ιζ΄. Παραγγελία φοβερὰ περὶ καθαρᾶς ὑπακοῆς ἄχρι τέλους.

ιη΄. Πλουσίων ὁδηγία ἐπὶ τὴν ὄντως ζωήν.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ.

ΚΕΦ. Α.

Περὶ τῆς εἰς ἀγάπην Θεοῦ ὁδηγίας, τὴν ἀπροσδεῆ νομικῆς ἀνάγκης.

1 ΠΑΥΛΟΣ Ἀπόστολος Ἰησοῦ Χριστοῦ, κατ' ἐπι-
ταγὴν Θεοῦ Σωτῆρος ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ
2 τῆς ἐλπίδος ἡμῶν, Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει.

Μέγα τὸ τοῦ Ἀποστόλου ἀξίωμα ἦν, καὶ πανταχοῦ ὁρῶμεν τὸν Παῦλον προτιθέντα τὰς αἰτίας τοῦ ἀξιώματος· οὐχ ὡς ἁρπάζοντα τὴν τιμὴν, ἀλλ' ὡς ἐγχειρισθέντα καὶ ἀνάγκην ἔχοντα. ὥσπερ γὰρ ὁ ἐπιπηδῶν τῇ μὴ διδομένῃ παρὰ τοῦ Θεοῦ τιμῇ μέμψεως ἄξιος, οὕτως ὁ διακρουόμενος καὶ ἀποπηδῶν ἑτέρων ἐστὶν ἐγκλημάτων ὑπεύθυνος, παρακοῆς καὶ ἀπειθείας· τοῦτο γοῦν καὶ νῦν ἐν ἀρχῇ τῆς πρὸς Τιμόθεον ἐπιστολῆς, ὁ Παῦλός φησι, "Παῦλος "Ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν Θεοῦ." οὐκ εἶπεν ἐνταῦθα, Παῦλος κλητὸς, ἀλλὰ "κατ' ἐπιταγὴν Θεοῦ." ἵνα γὰρ μή τι ἀνθρώπινον πάθῃ ὁ Τιμόθεος, νομίζων ἐξίσης αὐτῷ διαλέγεσθαι καὶ τοῖς μαθηταῖς, διὰ τοῦτο οὕτως ἤρξατο. καὶ ποῦ ἐπέταξεν αὐτῷ ὁ Θεός; εὑρίσκεται τὸ Πνεῦμα λέγον ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων· "ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν." πανταχοῦ τοίνυν γράφων προτίθησι τὸ ὄνομα τοῦ Ἀποστόλου, παιδεύων τὸν ἀκούοντα, μὴ νομίζειν ἀνθρώπινα εἶναι τὰ λεγόμενα. "κατ' ἐπιταγὴν Θεοῦ Σωτῆρος ἡμῶν." καὶ μὴν οὐδαμοῦ φαίνεται ὁ Πατὴρ ἐπιτάξας, ἀλλὰ πανταχοῦ ὁ Χριστὸς αὐτῷ ἰδίᾳ λέγεται,

ἀλλ' ἅπερ ἂν ὁ Υἱὸς ἐπιτάξῃ, ταῦτα τοῦ Πατρὸς ἐπίταγμα λέγει εἶναι, ὥσπερ καὶ τὰ τοῦ Πνεύματος τοῦ Υἱοῦ. ὅρα δὲ καὶ πῶς κοινὴν αὐτὴν ἐποίησεν· ἐπήγαγε γὰρ, "καὶ Χριστοῦ Ἰησοῦ "τῆς ἐλπίδος ἡμῶν·" ὅρα πῶς κυρίως τὰ ἐπώνυμα τέθεικε· καὶ μὴν ὁ ψαλμῳδὸς περὶ τοῦ Πατρὸς τοῦτό φησι λέγων, "ἡ ἐλπὶς "πάντων τῶν περάτων τῆς γῆς·" καὶ πάλιν ὁ μακάριος Παῦλος γράφων ἑτέρωθί φησιν, "εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, "ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι καὶ ἀληθινῷ."

Τὸν διδάσκαλον ἀναγκαῖον κινδύνους ὑπομένειν, καὶ πολλῷ τῶν μαθητῶν πλείονας· διὰ τοῦτο εὐθέως ἐκ προοιμίων αὐτοῦ τὴν ψυχὴν ἀνιστὰς, σωτῆρα ἔχομεν, φησὶ, τὸν Θεὸν, καὶ ἐλπίδα τὸν Χριστόν· πολλὰ πάσχομεν, ἀλλ' ἔχομεν ἐλπίδας μεγάλας, ἔχομεν τὸν σώζοντα, οὐκ ἄνθρωπον, ἀλλὰ Θεόν. ἄλλοθι φησὶν, οὐ τέθεικεν ἐν ταῖς ἄλλαις Ἐπιστολαῖς τὸ "κατ' ἐπιταγήν·" διὰ τί νῦν τέθεικεν; ἐπειδὴ ἔμελλε νομοθετεῖν τινα καὶ ἐκκλησιαστικοὺς κανόνας ἐκτίθεσθαι, προλαβὼν πείθει, ὅτι κατ' ἐπιταγὴν Θεοῦ μέλλει λέγειν. "Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει." ὅρα τὸ ἐγκώμιον ὅσον, εἴγε οὐ μόνον υἱὸν αὐτοῦ φησιν αὐτὸν, ἀλλὰ καὶ γνήσιον τέκνον· τὴν ἀκριβῆ ὑπὲρ τοὺς ἄλλους πρὸς αὐτὸν ὁμοιότητα δεῖξαι βουλόμενος, καὶ ὅτι οὐδὲν ἐνήλλακτο κατὰ τὴν πίστιν, τὸ ἐμφερὲς ἔχων· εἰ δὲ τοσαύτην ἐπεδείξατο πίστιν, ὡς Παύλου γενέσθαι τέκνον, καὶ οὐχ ἁπλῶς τέκνον, ἀλλὰ καὶ γνήσιον, θαρρήσει περὶ τῶν μελλόντων· πίστις γὰρ τοῦτό ἐστι, τὸ κἂν ἐναντία ταῖς ἐπαγγελίαις ᾖ τὰ γινόμενα, μὴ καταπίπτειν μηδὲ θορυβεῖσθαι.

Χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Καὶ τοῦτο ἀπὸ πολλῆς φιλοστοργίας· πλείονα γὰρ ἐπεύχεται τῷ παιδὶ, δεδοικὼς ὑπὲρ αὐτοῦ καὶ τρέμων· πλείονος γὰρ μάλιστα οἱ διδάσκαλοι δέονται τοῦ ἐλέου, "ἀπὸ Θεοῦ πατρὸς ἡμῶν·" πάλιν ἐνταῦθα παραμυθία· εἰ γὰρ πατὴρ ὁ Θεὸς, ὡς τέκνων φείδεται.

3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν.

Ἄκουε τὸ προσηνές· πῶς οὐ διδασκάλου φωνῇ χρῆται, ἀλλ' ἱκέτου σχεδόν. οὐ γὰρ εἶπεν ἐπέταξα, οὐδὲ ἐκέλευσα, οὐ μὴν πρὸς πάντας τοὺς μαθητὰς οὕτω διακεῖσθαι χρὴ, ἀλλὰ πρὸς τοὺς ἡμέρους καὶ εὐαρέστους· πρὸς δὲ τοὺς μὴ γνησίους, ἑτέρως, καθὼς καὶ αὐτός φησιν, "ἔλεγχε αὐτοὺς μετὰ πάσης ἐπιταγῆς," ὃ καὶ ἐνταῦθα, "ἵνα παραγγείλῃς," οὐχ ἵνα παρακαλέσῃς.

Ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν.

Οὐ τίθησι δὲ αὐτοὺς ὀνομαστὶ, ἵνα μὴ ἀναισχυντοτέρους ἐργάσηται τῇ τοῦ ἐλέγχου περιφανείᾳ. "ἵνα παραγγείλῃς τισὶ, μὴ "ἑτεροδιδασκαλεῖν·" τινὲς ἦσαν ἐς Ἰουδαίων ψευδαπόστολοι, βουλόμενοι πάλιν ἐπὶ τὸν νόμον ἕλκειν τοὺς πιστοὺς, ὃ πανταχοῦ τῶν ἐπιστολῶν αἰτιᾶται· ἐποίουν δὲ τοῦτο, οὐχ οὕτως ὑπὸ συνειδότος ἑλκόμενοι, ὡς ὑπὸ κενοδοξίας καὶ τοῦ θέλειν ἔχειν μαθητάς· καὶ τῷ μακαρίῳ Παύλῳ φιλονεικοῦντες, τουτέστιν ἡ ἑτεροδιδασκαλία.

4 Μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις.

Μύθους—οὐ τὸν νόμον φησὶν, ἄπαγε, ἀλλὰ τὰς παραποιήσεις καὶ τὰ παραχαράγματα καὶ τὰ παράσημα δόγματα· εἰκὸς γὰρ τοὺς ἐξ Ἰουδαίων ἐν τοῖς ἀνονήτοις τὸν πάντα χρόνον ἀναλίσκειν, πάππους καὶ ἐπιπάππους ἀριθμοῦντας, ἵνα δῆθεν ἐμπειρίας πολλῆς καὶ ἱστορίας πεῖραν ἔχωσι. τί δέ ἐστι "ἀπεράντοις;" ἤτοι πέρας οὐδὲν ἔχουσι χρήσιμον ἢ δυσκατάληπτον ὑμῖν. οἶμαι δὲ καὶ Ἕλληνας αἰνίττεσθαι αὐτὸν εἰπόντα "μύθοις καὶ γενεαλογίαις," ὡς τοὺς Θεοὺς αὐτῶν καταλεγόντων.

(Θεόδωρος.) Ἄλλος δέ φησιν· οὐ διὰ τὸ παραγγέλλειν μόνον τισὶ μὴ ἑτεροδιδασκαλεῖν κατέλιπεν αὐτὸν ἐν Ἐφέσῳ, ἀλλὰ καὶ πάσης ἐπιμελεῖσθαι τῆς ἐκκλησιαστικῆς καταστάσεως, περὶ ἧς αὐτῷ καὶ γεγράφηκε. δῆλον δὲ ὅτι τὸ "ἵνα παραγγείλῃς τισὶ" περὶ τῶν οἰκείων λέγει· οὐ γὰρ δὴ τοῖς ἀλλοτρίοις παραγγέλλειν ἠδύνατο· τοὐναντίον γὰρ καὶ πολλὰ κακὰ ὑπέμενον παρ' ἐκείνων· λέγει δὲ περὶ τῶν ἐκ περιτομῆς, οἳ πολὺν ὑπὲρ τοῦ νόμου δῆθεν ποιούμενοι λόγον, τοὺς ἀπὸ ἐθνῶν ἐπεχείρουν διδάσκειν ἐναντία τοῦ Χριστιανικοῦ δόγματος. λέγει τοίνυν, πᾶσι μὲν παράγγελε, προηγουμένως δὲ τοῖς ἀπὸ ἐθνῶν μὴ προσέχειν τοῖς μύθοις τοῖς ὑπ'

ἐκείνων λεγομένοις καὶ ταῖς γενεαλογίαις· πολλὴν γὰρ ἐποιοῦντο τὴν σπουδὴν τοῦ δεικνύναι τὸν Χριστὸν οὐκ ἀκολούθως ταῖς ἐπαγγελίαις ἐξ Ἀβραὰμ καὶ Δαυὶδ γεγονότα· καὶ διὰ τοῦτο ἐπεχείρουν καὶ τὰ γένη τὰ παλαιὰ διηγεῖσθαι δῆθεν, ἀφ' ὧν δὴ πολλοὺς τῶν ἀπὸ ἐθνῶν πεπιστευκότων παρετάραττον, οὐδὲν τῶν παλαιῶν ἀκριβῶς ἐπισταμένων. καλῶς δὲ αὐτὰς καὶ ἀπεράντους ἐκάλεσεν, ὡς τῶν ἐπὶ τὰ τοιαῦτα ἐκφερομένων, δυναμένων τῇδε κἀκεῖσε περιάγεσθαι τῷ λόγῳ, ὅπερ ἐν ταῖς γενεαλογίαις γίνεσθαι ἀνάγκη· νῦν μὲν τούτου λεγόντων τὸ γένος, αὖθις δὲ τὸ ἑτέρου, καὶ πάλιν ἀπὸ τούτου μεθισταμένων εἰς ἕτερον. μύθους δὲ αὐτοὺς ὠνόμασεν ὡς μὴ ἔχοντας ἀναγκαίαν διήγησιν.

Αἵτινες ζητήσεις παρέχουσι μᾶλλον ἢ οἰκονομίαν τοῦ Θεοῦ τὴν ἐν πίστει.

Καλῶς εἶπεν "οἰκονομίαν Θεοῦ," μεγάλα γὰρ ἠθέλησεν ἡμῖν δοῦναι ὁ Θεὸς, ἀλλ' οὐ δέχεται ὁ λογισμὸς τὸ μέγεθος αὐτοῦ τῶν οἰκονομιῶν· διὰ πίστεως οὖν τοῦτο γενέσθαι δεῖ· ἡ γὰρ περὶ ταῦτα σχολὴ καὶ ζήτησις οὐκ ἐᾷ γνῶναι τοῦ Θεοῦ τὴν οἰκονομίαν, καθ' ἣν τὴν ἡμετέραν διὰ Χριστοῦ εἰργάσατο σωτηρίαν, ᾗ μᾶλλον προσέχειν ἔδει μετὰ πίστεως, ἀπὸ τῶν πραγμάτων ἔχοντας τῆς ἀληθείας τὴν ἀπόδειξιν.

5 Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας.

Ἰωάννου. *Εἰπὼν "ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν," καὶ τὸν τρόπον ὑφηγεῖται, καθ' ὃν τοῦτο γενέσθαι δυνατόν· τίς δὴ οὖν οὗτός ἐστιν; ἡ ἀγάπη. ὥσπερ οὖν ὅταν λέγῃ τέλος νόμου Χριστὸς, τὸ συμπλήρωμά φησι, καὶ τοῦτο ἐκείνῳ ἐνέχεται· οὕτω ἡ παραγγελία αὕτη ἐνέχεται τῇ ἀγάπῃ. τέλος ἰατρείας ὑγίεια, ὥστε ὑγιείας οὔσης, οὐ πολλῆς δεῖ κατασκευῆς· καὶ ἀγαπῆς οὔσης, οὐ πολλῆς δεῖ παραγγελίας· τὸ δὲ "ἐκ καθαρᾶς καρδίας" ἤτοι περὶ πολιτείας ὀρθῆς φησιν, ἢ περὶ γνησίας ἀγάπης.*

6 Ὧν τινες ἀστοχήσαντες ἐξετράπησαν εἰς ματαιολογίαν.

Καλῶς εἶπεν "ἀστοχήσαντες," τέχνης γὰρ δεῖ ὥστε εὐθείᾳ βάλλειν καὶ μὴ ἔξω τοῦ σκοποῦ, ὥστε ὑπὸ τοῦ Πνεύματος εὐθύ-

νεσθαι· πολλὰ γὰρ τὰ τῆς εὐθείας παρεκτρέποντα, καὶ δεῖ πρὸς ἓν ὁρᾷν.

7 **Θέλοντες εἶναι νομοδιδάσκαλοι.**

"Ὁρᾷς καὶ ἄλλην αἰτίαν τῆς φιλαρχίας; διὰ τοῦτο καὶ ὁ "Χριστὸς ἔλεγεν," ὑμεῖς δὲ μηδένα καλέσητε ῥαββί."

Μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περί τινων διαβεβαιοῦνται.

Ἐνταῦθα διαβάλλει αὐτοὺς ὡς οὐκ εἰδότας τὸν τοῦ νόμου σκοπὸν, οὐδὲ τὸν καιρὸν μέχρι τίνος κύριον εἶναι δεῖ· πῶς οὖν εἰ ἐξ ἀνοίας τὸ ἁμάρτημα, λέγεις, ὅτι διὰ τὸ θέλειν εἶναι νομοδιδασκάλους, ἀλλὰ καὶ τὸ μὴ διακατέχειν τὴν ἀγάπην, ὅτι καὶ ἡ ἄγνοια ἐκ τούτων ἐτέχθη· ὅταν γὰρ ψυχὴ πράγμασιν ἑαυτὴν δῷ σαρκικοῖς, πηροῦται αὐτῆς τὸ διορατικόν; οὐκ ἴσασι, φησὶ, "περὶ τίνων "διαβεβαιοῦνται·" εἰκὸς γὰρ ἦν αὐτοὺς πολλὰ περὶ καθαρσίων καὶ τῶν ἄλλων σωματικῶν λέγειν· εἶτα ἀφεὶς διελέγξαι ἐκεῖνα ὡς οὐδὲν ὄντα ἢ σκιὰς τῶν πνευματικῶν καὶ ὑπογραμμοὺς, ὃ μᾶλλον προσηνέστερον ἦν, τοῦτο ἐργάζεται· ποῖον δὴ τοῦτο; ἐπαινεῖ τὸν νόμον, νόμον ἐνταῦθα τὴν δεκάλογον καλῶν, ἀπὸ γὰρ τούτου κἀκεῖνα ἐξέβαλλεν· εἰ γὰρ ταῦτα αὐτὰ κολάζει τοὺς παραβαίνοντας καὶ ἄχρηστα ἡμῖν γίνεται, πολλῷ μᾶλλον ἐκεῖνα.

8 **Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως**
9 **χρῆται, εἰδὼς τοῦτο ὅτι δικαίῳ νόμος οὐ κεῖται.**

Τί οὖν ἐὰν μὴ νομίμως χρῆται, οὐ καλός; ναὶ, φησὶ, καὶ οὕτω καλός· ἀλλ' ὃ λέγει, τοῦτό ἐστιν· ἐπαινεῖ αὐτὸν δι' ἔργων· εἰσὶ γὰρ οἱ μὴ χρώμενοι, ἀλλὰ μόνον τῇ διὰ ῥημάτων διδασκαλίᾳ, τοῦτό ἐστιν ἀνόμως χρῆσθαι. χρῆται μὲν γὰρ, ἀλλ' οὐκ εἰς οἰκείαν ὠφέλειαν. ἔστι δὲ καὶ ἄλλο, ἐὰν νομίμως χρήσῃ, παραπέμπει σε πρὸς τὸν Χριστόν· ὅταν γὰρ αὐτοῦ σκοπὸς ᾖ δικαιῶσαι τὸν ἄνθρωπον, μὴ δύνηται δὲ, παραπέμπει πρὸς τὸν δυνάμενον. καὶ νόμῳ δὲ χρῆται πάλιν νομίμως, ὁ μὴ διὰ τὴν ἐκ τῶν γραμμάτων ἀνάγκην σωφρονῶν, ὥστε μὴ διὰ τὸν ἐκείνου φόβον αὐτὸν κατορθοῦν, ἀλλὰ διὰ τὴν ἀρετήν. ὁ γὰρ μὴ ἀπὸ τοῦ φόβου αὐτὸν πληρῶν, ἀλλ' ἀπὸ τῆς κατὰ τὴν ἀρετὴν πλείονος ἐπιθυμίας, οὗτος μᾶλλον αὐτὸν κατορθοῖ· οὐ γὰρ ὁμοίως ὁ κόλασιν δεδοικὼς καὶ ὁ

τιμῆς ἐφιέμενος τὸν νόμον πληροῖ, οὐχ ὁμοίως ὁ ὑπὸ τὸν νόμον ὢν καὶ ὑπὲρ τὸν νόμον· τὸ γὰρ ὑπὲρ νόμον ζῆσαι τοῦτό ἐστι, τὸ νομίμως χρήσασθαι· νόμῳ γὰρ ἐκεῖνος χρῆται καλῶς καὶ φυλάττει, ὁ μείζονα τοῦ νόμου κατορθῶν· ὁ γὰρ νόμος ὡς τὰ πολλὰ κακῶν ἀπαγόρευσίς ἐστι, δίκαιον δὲ οὐ ποιεῖ τοῦτο, ἀλλ' καὶ ἀγαθῶν ἐργασία.

Εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται.

Ὅτι κολάσεώς ἐστιν ἐκτὸς, καὶ ὅτι οὐ περιμένει τὰ πρακτέα παρ' ἐκείνου μαθεῖν, ἔνδοθεν ἔχων τὴν τοῦ Πνεύματος ὑπαγορεύουσαν χάριν· νόμος γὰρ ἐδόθη, ἵνα τῷ νόμῳ κολάζωνται καὶ τῇ ἀπειλῇ· οὐ δεῖ τοίνυν χαλινοῦ τῷ εὐηνίῳ ἵππῳ, οὐδὲ παιδαγωγίας ἐπὶ τὸν οὐ δεόμενον παιδαγωγοῦ.

(Σετηριανός.) Ἄλλος φησὶ, καὶ μὴν ἔχει ὁ νόμος τὰ πρακτέα, καὶ ἡ χάρις τὰ ἀπαγορευτέα, ἀλλ' ἀπὸ τοῦ πλεονάζοντος ὠνόμασεν ἕκαστον, καὶ μάλιστα ὅτι ἐν τῇ χάριτι εἰσὶ τοῦ Σωτῆρος αἱ ἐντολαὶ, οὐ νόμοι, ἀλλὰ τῇ προαιρέσει καταλιμπάνουσαι, ἅπερ ἐὰν μὴ γένηται, οὐ πάντως κατακέκριται ὁ μὴ πεποιηκὼς, ὡσανεὶ τὸ τῆς παρθενίας κτῆμα, καὶ ἔτι [a] τοιοῦτο ἕτερον.

Ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, καὶ ἀσεβέσι καὶ ἁμαρτωλοῖς.

Καὶ οὐ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ κατ' εἶδος διεξῆλθε τὰ ἁμαρτήματα, ὥστε πεῖσαι ἐπαισχυνθῆναι τὴν τοῦ νόμου ἐπιστασίαν. τί οὖν; Ἰουδαῖοί εἰσιν οἱ ἀνδραποδισταὶ καὶ οἱ πατρολῷαι καὶ οἱ μητρολῷαι; τοῦτο αἰνίττεται· εἰπὲ γάρ μοι, οὐχὶ συνεχῶς εἰδώλοις προσεκύνουν; οὐ τὸν Μωσέα ἐλίθαζον; οὐ φόνων αἱ χεῖρες αὐτῶν ἔγεμον συγγενικῶν;

10 Καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται.

Καλῶς εἶπεν, ἐκεῖνα πάντα πάθη ψυχῆς ἦν διεφθαρμένης.

11 Κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

Ὥστε καὶ νῦν ἐπὶ βεβαιώσει τοῦ εὐαγγελίου δεῖ νόμου, τοῖς μέντοι πειθομένοις οὐ δεῖ· εὐαγγέλιον δὲ δόξης αὐτὸ καλεῖ δι' οὐδὲν ἕτερον ἀλλ' ἢ πρὸς τοὺς αἰσχυνομένους ἐπὶ τοῖς διωγμοῖς,

[a] Leg. vid. εἴτι.

καὶ ἐπὶ τῷ πάθει τοῦ Χριστοῦ· εἰ γὰρ καὶ τὰ παρόντα αἰσχύνης γέμει καὶ ὀνείδων, ἀλλὰ τὰ μέλλοντα οὐ τοιαῦτα· τὸ δὲ εὐαγγέλιον μελλόντων ἐστὶν, οὐ παρόντων, ἤτοι τῆς δόξης τὴν λατρείαν, φησὶ, τοῦ Θεοῦ, καὶ ὅτι εἰ τὰ παρόντα πάντα ἐμπέπλησται τῆς δόξης αὐτοῦ, πολλῷ μᾶλλον τὰ μέλλοντα· ὅταν τεθῶσι, φησὶν, ὑπὸ τοὺς πόδασαὐ τοῦ πάντες οἱ ἐχθροὶ αὐτοῦ, ὅταν ἀντικείμενον ᾖ μηδέν.

ΘΕΌΔΩΡΟΣ. *Εἰκότως δὲ μακάριον αὐτὸν ἐνταῦθα καλεῖ, ὡς ἂν αὐτοῦ μὲν τὸ μακάριον ἔχοντος ἐν τῇ φύσει διὰ τῆς ἀτρεπτότητος, ἡμῖν δὲ χάριτι τοῦτο περιποιοῦντος.*

ΚΕΦ. Β.

Περὶ τῆς ἑαυτοῦ ἐκλογῆς εἰς εὐαγγελιστὴν, ἐκ διώκτου κατὰ χάριν Θεοῦ.

12 *Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ.*

ἸΩΆΝΝΟΥ. *Τὴν ταπεινοφροσύνην πολὺ μὲν ἔχουσαν κέρδος ὁρῶμεν, οὐδαμοῦ δὲ ταχέως εὑρισκομένην. ὁ δὲ μακάριος Παῦλος οὕτως αὐτὴν μετεδίωκεν, ὡς καὶ ἐπινοεῖν πολλὰς πολλαχοῦ προφάσεις, πρὸς τὸ ταπεινοῦν αὐτοῦ τὴν διάνοιαν. ἐπειδὴ γὰρ μάλιστα ἐκείνους εἰκὸς ἦν κάμνειν βουλομένους ταπεινοφρονεῖν τοὺς μεγάλα συνειδότας ἑαυτοῖς κατορθώματα, πολλὴν εἰκὸς αὐτὸν βίαν πάσχειν ὑπὸ τοῦ συνειδότος τοῦ ἀγαθοῦ, καθάπερ ὑπό τινος ῥεύματος ὀγκούμενον. ὅρα τοίνυν καὶ ἐνταῦθα τί ποιεῖ· εἶπεν, ὅτι ἐπιστεύθην ἐγὼ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ Θεοῦ. ἐπεὶ οὖν ἐπήρθη καὶ μέγα ἐφθέγξατο, ἅμα καὶ ἑαυτὸν καταστέλλει, καὶ τοὺς ἄλλους πείθει τὸ αὐτὸ δὴ τοῦτο ποιεῖν. ὅρα τοίνυν ποίᾳ κέχρηται ἐπιδιορθώσει ἐπάγων,*

Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν.

Ὁρᾷς πῶς πανταχοῦ τὸ ἑαυτοῦ κατόρθωμα κρύπτει καὶ τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ ἐπὶ τοσοῦτον ἐφ' ὅσον τὸ αὐτεξούσιον μὴ λυμήνασθαι; εἶπε γὰρ ἂν ἴσως ὁ ἄπιστος, εἰ τὸ πᾶν τοῦ Θεοῦ ἐστι, καὶ οὐδὲν παρ' ἡμῶν εἰσφέρεται, ἀλλ' ὡς ξύλα καὶ λίθους

μετακινεῖ πρὸς ἀρετὴν ἀπὸ κακίας, τί δήποτε Παῦλον μὲν τοιοῦτον εἰργάσατο, τὸν δὲ Ἰούδαν οὐκέτι; ταύτην οὖν ἀναιρῶν τὴν ἀντίθεσιν, μετὰ συνέσεως τῷ λόγῳ κέχρηται, "ἐπιστεύθην," εἰπών, "ἐγώ·" καὶ πάλιν, "ὅτι πιστόν με ἡγήσατο·" πάντως γὰρ ἐπιστεύθη, ἐπειδὴ ἤμελλεν ἀφ' ἑαυτοῦ χρησιμεύειν. τί δέ ἐστι "πιστόν με ἡγήσατο;" ὅτι οὐδὲν τῶν δεσποτικῶν προεδίδου, πάντα δὲ αὐτοῦ ἔλεγεν εἶναι καὶ τὰ ἴδια· οὐ γὰρ ἐσφετερίζετο τὴν τοῦ Θεοῦ δόξαν.

13 Θέμενος εἰς διακονίαν τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ.

Ὅρα πῶς καὶ τὸ αὐτοῦ τίθησι καὶ τὸ τοῦ Θεοῦ· τὸ πλέον νέμων τῇ παρὰ τοῦ Θεοῦ προνοίᾳ, τὸ δὲ αὐτοῦ συστέλλων, πλὴν ὅσον μὴ λυμήνασθαι, ὡς ἔφθην εἰπών, τὸ αὐτεξούσιον· "χάριν "ἔχω τῷ ἐνδυναμώσαντί με." τί ἐστι "τῷ ἐνδυναμώσαντί με;" φορτίον ὑπῆλθε μέγα, καὶ πολλῆς ἐδεῖτο τῆς ἄνωθεν ῥοπῆς. οὐ γὰρ ἦν ἀνθρωπίνης ἰσχύος, τοσούτοις κινδύνοις ἐπιπηδᾷν, ἀλλ' οὐδὲ τῆς τοῦ Θεοῦ ῥοπῆς μόνον, ἀλλὰ καὶ τῆς αὐτοῦ προαιρέσεως· χάριν οὖν ἔχω, φησίν, ὅτι κατηξίωσέ με τῆς διακονίας ταύτης· τοῦτο γὰρ τοῦ πιστόν με νομίσαι σημεῖον· εἶτα σκόπει πῶς ἐπαίρει τὸν ἔλεον τοῦ Θεοῦ, τὸν πρότερον αὐτοῦ βίον ἐξηγούμενος. ὁρᾷς πῶς οὐκέτι φίλαυτος; πῶς συνεσταλμένην ἔχει τὴν διάνοιαν;" "ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ·" πῶς οὖν ἀκριβὴς ὢν περὶ τὸν νόμον οὐδὲν ἔγνω, ἀλλ' οἱ μὲν ἐν λίμναις καὶ ποταμοῖς διατρίβοντες καὶ τελωνίῳ, καὶ προσέδραμον καὶ ἐδέξαντο, σὺ δὲ διώκεις ὁ νομομαθής; διὰ τοῦτο κατεγίγνωσκεν ἑαυτοῦ λέγων, "οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος·" διὰ τοῦτο τὴν ἄγνοιαν ὁμολογεῖ· δείκνυσι δὲ ἑαυτὸν καὶ τιμωρίας ἄξιον· ὁ γὰρ ἔλεος ἐπὶ τούτοις γίνεται.

14 Ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ὑπερεπλεόνασε μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.

Τί ἐστι τοῦτο; ἵνα μὴ ἀκούσας "ἠλεήθην" τοσοῦτον μόνον νομίσῃς, "βλάσφημος," φησίν, "ἤμην, καὶ ὑβριστὴς καὶ διώ-"κτης·" οὐκοῦν καὶ κολάσεως ἄξιος· ἀλλ' οὐκ ἐτιμωρήθην· ἠλεή-

θην γάρ· οὐ μόνον γὰρ τιμωρίας ἡμᾶς ἀπήλλαξεν ὁ Θεὸς, ἀλλὰ καὶ δικαίους ἐποίησε καὶ υἱοὺς, καὶ ἀδελφοὺς, καὶ φίλους, καὶ κληρονόμους καὶ συγκληρονόμους. διὰ τοῦτο, φησὶ, ὑπερεπλεόνασεν ἡ χάρις, ὑπερέβη καὶ τὸν ἔλεον τὰ μέτρα· ταῦτα γὰρ οὐκ ἐλεοῦντός ἐστιν, ἀλλὰ φιλοῦντος καὶ ποθοῦντος. εἰπὼν τοίνυν πολλὰ καὶ μεγάλα περὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ, πάλιν ἐκεῖνο ἀσφαλίζεται τὸ τῶν ἀπίστων, τὸ μὴ λέγειν ὅτι ἡ προαίρεσις ἀνῄρηται, ἐπήγαγε γοῦν, "μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ "Ἰησοῦ." τοσοῦτον μόνον φησὶν, ἡμεῖς εἰσηνέγκαμεν, ἐπιστεύσαμεν ὅτι δύναται ἡμᾶς σῶσαι· ἀγαπήσωμεν τοίνυν αὐτὸν διὰ τοῦ Χριστοῦ· τί ἐστὶ "διὰ τοῦ Χριστοῦ;" ὅτι αὐτὸς ἡμῖν πρόξενος τούτου γέγονεν, οὐχ ὁ νόμος. ἰδοὺ πάλιν τὸ "ἐν" διά ἐστίν· οὐ γὰρ πίστεως δεῖ μόνης, ἀλλὰ καὶ ἀγάπης· ἐπεὶ πολλοὶ καὶ νῦν εἰσὶν, ὅτι μέν ἐστιν ὁ Χριστὸς Θεὸς, πιστεύοντες, οὐκ ἀγαπῶντες δὲ αὐτὸν, οὐδὲ τῶν ἀγαπώντων πράσσοντες.

15 Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ.

Οὐκ αἰσχύνεται καλῶν ἑαυτὸν ἁμαρτωλὸν, ἀλλὰ καὶ μᾶλλον ἐναβρύνεται, ὅτι τοσαύτης ἠξιώθη φιλανθρωπίας, ὅτι οὕτω μάλιστα δύναται δεῖξαι τὸ μέγα τῆς κηδεμονίας τοῦ Θεοῦ. καὶ πῶς ἀλλαχοῦ λέγων περὶ ἑαυτοῦ "κατὰ δικαιοσύνην," φησὶ, "τὴν ἐν "νόμῳ γενόμενος ἄμεμπτος," ἐνταῦθα δὲ ἁμαρτωλὸν, καὶ πρῶτον τῶν ἁμαρτωλῶν; ὅτι πρὸς τὴν δικαιοσύνην, ἣν ὁ Θεὸς εἰργάσατο, καὶ τὴν ὄντως ζητουμένην, ἁμαρτωλοὶ καὶ οἱ ἐν τῷ νόμῳ· "πάντες "γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ." οὐ γὰρ ἁπλῶς εἶπε δικαιοσύνην, ἀλλὰ τὴν ἐν νόμῳ. ὥσπερ γὰρ ὁ ἀργύριον πολὺ κεκτημένος, καθ' ἑαυτὸν μὲν πλούσιος φαίνεται, κατὰ δὲ τὴν σύγκρισιν τῶν βασιλικῶν θησαυρῶν σφόδρα πένης, καὶ πρῶτος πένης, οὕτω δὴ καὶ ἐνταῦθα πρὸς τοὺς ἀγγέλους κρινόμενοι ἁμαρτωλοὶ φαίνονται καὶ οἱ δίκαιοι· πιστὸς οὖν ὁ λόγος· ἄπιστον γὰρ εἶναι ἐδόκει, εἰ δὴ ἄνθρωπος, ἅπαντα τὸν ἔμπροσθεν βίον καταδαπανηθεὶς καὶ ἀναλώσας εἰκῆ καὶ μάτην ἐν πονηραῖς πράξεσιν,

ἔμελλε σώζεσθαι ὕστερον ἀπὸ πίστεως μόνης· τοσοῦτον οὖν, φησὶν, οὐ χρὴ ἀπιστεῖν ὅτι ἠλέησεν.

16 Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Χριστὸς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾿ αὐτῷ εἰς ζωὴν αἰώνιον.

Ὅρα πῶς πάλιν ταπεινοῖ καὶ καταγγέλλει ἑαυτὸν, ἑτέραν εὐτελεστέραν λέγων αἰτίαν· μέγα μὲν γὰρ καὶ μεθ᾿ ὑπερβολῆς, ὥστε εἰπεῖν πρῶτός εἰμι ἐγὼ τῶν ἁμαρτωλῶν, καὶ βλάσφημος καὶ διώκτης, καὶ ὅσα εἴρηκεν, οὐδὲν δὲ ὡς τοῦτο ταπεινὸν ἐσφετερίζετο, καὶ δῆλον ἐπὶ ὑποδείγματος ἔσται. ἔστω γὰρ πόλις πολυάνθρωπος πάντας τοὺς πολίτας ἔχουσα κακοὺς, τοὺς μὲν πλέον, τοὺς δὲ ἔλαττον· εἷς δέ τις ἐν τοῖς πολλοῖς ἐκείνοις πάντων μᾶλλον ἔστω κολάσεως ἄξιος καὶ τιμωρίας, καὶ πᾶν ἐπελθὼν εἶδος κακίας· κἂν τοίνυν λέγῃ τις, ὅτι πᾶσιν ἀφεῖναι βούλεται ὁ βασιλεὺς, οὐχ οὕτω τῷ λόγῳ πιστεύουσιν, ὡς ἐὰν ἴδωσι τὸν πάντων ἁμαρτωλότερον αὐτῶν τούτου τυχόντα, οὐκ ἔστι γὰρ λοιπὸν ἀμφισβήτησις. τοῦτο καὶ ὁ Παῦλος φησὶν, ὅτι βουλόμενος ὁ Θεὸς πληροφορῆσαι τοὺς ἀνθρώπους, ὅτι πάντα αὐτοῖς ἀφίησι, τὸν πάντων ἁμαρτωλότερον εἵλετο· μηδεὶς τοίνυν ἀμφιβαλέτω, φησὶν, ὁπότε ἐγὼ ἐσώθην· καὶ ὅρα τὴν ταπεινοφροσύνην τοῦ μακαρίου· οὐκ εἶπεν ἵνα ἐνδείξηται ἐν ἐμοὶ τὴν μακροθυμίαν, ἀλλὰ "τὴν πᾶσαν μακροθυμίαν," ὡς ἂν εἰ ἔλεγε, μᾶλλον ἐμοῦ ἐπ᾿ ἄλλῳ οὐκ εἶχεν μακροθυμῆσαι, οὐδὲ εὑρεῖν οὕτως ἁμαρτωλὸν, παντὸς δεόμενον αὐτοῦ τοῦ ἐλέους, πάσης τῆς μακροθυμίας, οὐ μέρους. "πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾿ αὐτῷ εἰς ζωὴν αἰώνιον," τουτέστι, πρὸς παράκλησιν, πρὸς προτροπὴν, ἐπειδὴ μέγα τι περὶ τοῦ Υἱοῦ ἐφθέγξατο, ἵνα μή τις νομίσῃ ἀπεστερῆσθαι τὸν Πατέρα, ἀναφέρει καὶ αὐτῷ δόξαν, ἐπάγων,

17 Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ὑπὲρ δὴ τούτων φησὶν, οὐ τὸν Υἱὸν μόνον, ἀλλὰ καὶ τὸν

Πατέρα δοξάζομεν· ἐρώμεθα οὖν τοὺς αἱρετικούς· ἰδοὺ, μόνῳ Θεῷ εἴρηκεν· ἆρ' οὖν οὐ Θεὸς ὁ Υἱός; καὶ μόνῳ ἀφθάρτῳ," ἆρ' οὖν οὐκ ἄφθαρτος ὁ Υἱὸς; καὶ οὗ δίδωσιν ἡμῖν μετὰ ταῦτα, αὐτὸς οὐκ ἔχει; ναὶ, φησὶ, καὶ Θεὸς καὶ ἄφθαρτος, ἀλλ' οὐ τοιοῦτος οἷος ὁ Πατήρ. οὐκοῦν καὶ ἀφθαρσίας ἐλάττονος; τί δαί ἐστιν ἐλάττων καὶ ἥττων ἀφθαρσία; ἡ γὰρ ἀφθαρσία οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ μὴ διαφθείρεσθαι· δόξα μὲν γὰρ μείζων καὶ ἥττων ἐστίν· ἀφθαρσία δὲ μείζων καὶ ἐλάττων οὐκέτι· ἢ γὰρ φθείρεσθαί τι δεῖ ἢ οὐδόλως. τί οὖν, φησὶν, ἡμεῖς καὶ ὁ Θεὸς ὡσαύτως; οὐδαμῶς· μὴ γένοιτο· διὰ τί; ὅτι αὐτὸς μὲν φύσει τοῦτο ἔχει, ἡμεῖς δὲ ἐπεισάκτως. ἆρ' οὖν καὶ ἐπὶ τοῦ Υἱοῦ ὄντως; οὐδαμῶς, ἀλλὰ καὶ αὐτὸς φύσει· τίνος οὖν ἕνεκεν ἡ διαφορά; ὅτι αὐτὸς μὲν, φησὶ, παρ' οὐδενὸς ἐγένετο τοιοῦτος, ὁ δὲ Υἱὸς παρὰ τοῦ Πατρός· καὶ ἡμεῖς τοῦτο ὁμολογοῦμεν· οὐδὲ γὰρ ἡμεῖς ἀρνούμεθα ὅτι ἐκ Πατρὸς ὁ Υἱὸς ἄφθαρτός ἐστιν.

Ἄλλος δέ φησιν· ὑπὲρ ἁπάντων ἐκεῖνον ὑμνεῖσθαι δίκαιον παρ' ἡμῶν, τὸν τοσούτων ἡμῖν αἴτιον γεγονότα ἀγαθῶν· καὶ βασιλέα μὲν τῶν αἰώνων ἐκάλεσε τὸν Θεὸν, διὰ τὸ τῶν μελλόντων ἀτελεύτητον· ἄφθαρτον δὲ διὰ τὴν προσδοκωμένην περιέσεσθαι ἡμῖν ἀφθαρσίαν· ἀόρατον δὲ διὰ τὸ μὴ φαίνεσθαι τὰ προσδοκώμενα, ὥστε ἀπὸ τῶν τῷ Θεῷ προσόντων τὰ ἡμῖν περιεσόμενα παρ' αὐτοῦ πιστευθῆναι.

ΚΕΦ. Γ.

Παραγγελία περὶ πιστῆς καὶ εὐσυνειδήτου διακονίας, ἧς ἄνευ κίνδυνος.

18 *Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον*
Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα
19 *στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, ἔχων πίστιν*
καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι, περὶ τὴν
πίστιν ἐναυάγησαν.

Τὸ τῆς διδασκαλίας καὶ τῆς ἱερωσύνης ἀξίωμα, μέγα τέ ἐστι καὶ θαυμαστὸν, καὶ ὄντως τῆς τοῦ Θεοῦ δεόμενον ψήφου, ὥστε

τὸν ἄξιον εἰς μέσον παραγαγεῖν· οὕτω τὸ παλαιὸν ἐγίνετο· οὕτω καὶ νῦν γίνεται, ὅταν χωρὶς πάθους ἀνθρωπίνου τὰς αἱρέσεις ποιώμεθα, ὅταν πρὸς μηδὲν ὁρῶντες βιωτικόν· εἰ γὰρ καὶ μὴ τοσούτου Πνεύματος μετέχομεν, ἀρκεῖ προαίρεσις ἀγαθὴ τοῦ Θεοῦ τὴν χειροτονίαν ἐπισπάσασθαι· "προφητείας" δὲ πολλὰς, φησὶν, ἐκείνην τε ἴσως, μεθ' ἧς αὐτὸν ἔλαβεν, ὅτε περιέτεμε, καὶ ὅτε ἐχειροτόνει, καθὼς καὶ αὐτός φησι, "μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος." διανιστὰς τοίνυν αὐτὸν καὶ νήφειν παρασκευάζων, ἀναμιμνήσκει τοῦ ἑλομένου καὶ χειροτονήσαντος, ὡς ἂν εἰ ἔλεγεν, ὁ Θεός σε ἐξελέξατο, αὐτός σοι ἐνεπίστευσεν, οὐκ ἀνθρωπίνῃ γέγονας κρίσει, μὴ ὑβρίσῃς, μηδὲ καταισχύνῃς τοῦ Θεοῦ τὴν ψῆφον· εἶτα, ἐπειδὴ παραγγελίαν ἔφησε, καὶ φορτικώτερον ἦν, τί φησι; "ταύτην "τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε," ὡς τέκνῳ καὶ γνησίῳ παραγγέλλει, οὐ μετὰ ἐξουσίας· τὸ δὲ παραθέσθαι τῆς φυλακῆς τὸ ἀκριβὲς δηλοῖ καὶ τὸ οὐχ ἡμέτερον· οὐ γὰρ ἡμεῖς αὐτὸ ἐκτησάμεθα, ἀλλὰ Θεὸς ἡμῖν ἐχαρίσατο· "πίστιν," φησὶ, "καὶ ἀγαθὴν συνείδησιν·" εἰ μὴ αὐτὸς ἦλθεν, οὔτε ἡ πίστις αὕτη ηὑρίσκετο, οὔτε ὁ βίος ὁ καθαρός· ὡσανεὶ ἔλεγεν, οὐχὶ ἐγώ εἰμι ὁ παραγγέλλων, ἀλλ' ὁ ἑλόμενος· τί δὴ παραγγέλλει; ἵνα στρατεύῃ, φησὶν, αὐτὴν τὴν καλὴν στρατείαν· ἔστι γὰρ κακὴ στρατεία, περὶ ἧς φησιν "ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν ὅπλα τῇ ἁμαρτίᾳ καὶ τῇ ἀκαθαρσίᾳ" ἐκεῖνοι ὑπὸ τυράννῳ στρατεύονται, σὺ ὑπὸ βασιλεῖ· στρατείαν δὲ τὸ πρᾶγμα καλεῖ, δηλῶν ὅτι πόλεμος ἐγήγερται σφοδρὸς, πᾶσι μὲν, μάλιστα δὲ τῷ διδασκάλῳ. "ἔχων, φησὶ, πίστιν καὶ ἀγαθὴν συνείδησιν" τὸν γὰρ διδάσκαλον ἑαυτοῦ χρὴ εἶναι διδάσκαλον, ἵνα οὕτω τῶν ἄλλων προεστήκῃ· "ἥν τινὲς," φησὶν, "ἀπωσάμενοι, περὶ τὴν πίστιν "ἐναυάγησαν·" εἰκότως· ὅταν γὰρ ᾖ βίος ἀπεγνωσμένος, καὶ δόγμα τίκτεται τοιοῦτο, καὶ δείκνυσι τοῦτο ἀπὸ τοῦ ὑποδείγματος.

20 Ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος.

Καὶ ἀπὸ τούτων ἡμᾶς σωφρονίζει, ἀλλ' οὐδὲ βίον ἂν ἔχῃ τις τῶν ἐκπεσόντων ἀπὸ τῆς πίστεως, κερδαίνει τι ἐκεῖθεν· τῆς γὰρ κεφαλῆς διεφθαρμένης, τί τοῦ λοιποῦ σώματος ὄφελος;

Οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.

Πῶς ὁ Σατανᾶς αὐτοὺς παιδεύει μὴ βλασφημεῖν; καὶ εἰ τοὺς ἄλλους παιδεύει μὴ βλασφημεῖν, πολλῷ μᾶλλον ἐχρῆν ἑαυτόν· εἰ δὲ ἑαυτὸν μέχρι τοῦ νῦν οὐ δύναται παιδεῦσαι, οὐδὲ τοὺς ἄλλους. οὐκ εἶπεν, ἵνα παιδεύσῃ αὐτοὺς μὴ βλασφημεῖν, ἀλλ' "ἵνα παιδευθῶσιν·" οὐκ ἐκεῖνος τοῦτο ἐργάζεται, ἀλλὰ τοῦτο ἐκβαίνει, ὥσπερ ἀλλαχοῦ ἐπὶ τοῦ πεπορνευκότος φησὶ, "παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ," οὐχ ἵνα σώσῃ τὸ πνεῦμα· τοῦτο δὲ ἀπρόσωπόν ἐστι· πῶς οὖν τοῦτο γίνεται; ὥσπερ οἱ δήμιοι μυρίων γέμοντες κακῶν τοὺς ἄλλους σωφρονίζουσιν, οὕτω καὶ ἐνταῦθα ἐπὶ τοῦ πονηροῦ δαίμονος· καὶ διὰ τί μὴ οὗτος αὐτοὺς ἐκόλασεν ὥσπερ ἐκεῖνον τὸν Βαριησοῦν, ὥσπερ Κηφᾶς Ἀνανίαν, ἀλλὰ τῷ Σατανᾷ παρέδωκε; καίτοι αὐτὸς ἔχων ἰσχὺν, ὡς ὅταν λέγῃ, "ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς;" καὶ πάλιν, φησὶν, "οὐκ εἰς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν." τί οὖν τὸν Σατανᾶν καλεῖ πρὸς τὴν τιμωρίαν; ἵνα μετὰ τῆς σφοδρότητος καὶ τῆς κολάσεως καὶ ἡ ὕβρις ᾖ μείζων· μᾶλλον δὲ τοὺς μὲν ἀπίστους αὐτοὶ ἐπαίδευον, τοὺς δὲ ἐκτραπέντας τῷ Σατανᾷ παρεδίδουν· καὶ γὰρ καὶ ὁ Ἀνανίας ἔτι ἄπιστος ἦν πειράζων· ἵνα μάθωσι τοίνυν οἱ ἄπιστοι ὅτι οὐ δύνανται λαθεῖν, διὰ τοῦτο δι' ἑαυτῶν αὐτοὺς ἐτιμωροῦντο. ἄλλως τε, οὐδὲ μικρὸν ἦν τὸ δύνασθαι ἐπιτάττειν τῷ διαβόλῳ· τοῦτο γὰρ δεικνύντος ἦν ὅτι δουλεύει καὶ εἴκει καὶ ἄκων τοῖς Ἀποστόλοις ὁ διάβολος. πῶς δὲ παρεδίδοτο τῷ Σατανᾷ; ἐξεβάλλετο τοῦ κοινοῦ συνεδρίου, καὶ ἀπεσχίζετο τῆς ἀγέλης, ἐγίνετο ἔρημος, προεδίδοτο τῷ λύκῳ, ὥσπερ ἡ νεφέλη τὸ στρατόπεδον τῶν Ἰουδαίων, οὕτω τὴν ἐκκλησίαν τὸ Πνεῦμα ἐγνώριζεν· εἴ τις τοίνυν ἐκτὸς ἐγίνετο, κατεκαίετο, οὕτως καὶ ὁ Κύριος παρέδωκε τὸν Ἰούδαν τῷ Σατανᾷ· εὐθέως γὰρ μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς. ἔστι δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι οὓς μὲν διορθώσασθαι ἐβούλοντο, οὐκ ἐκόλαζον αὐτοὶ, τοὺς δὲ ἀδιορθώτους αὐτοὶ ἐτιμωροῦντο· ἢ εἰ μὴ τοῦτο, ὅτι φοβερώτεροι μᾶλλον ἦσαν ἑτέροις ἐκδιδόντες αὐτούς· οὕτως καὶ ὁ Ἰὼβ παρεδόθη τῷ Σατανᾷ, οὐχ ὑπὲρ ἁμαρτημάτων,

ἀλλ' ὑπὲρ πλείονος εὐδοκιμήσεως. πολλὰ τοιαῦτα γίνεται καὶ νῦν. ἐπειδὴ γὰρ οἱ ἱερεῖς οὐκ ἴσασι τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίως τῶν μυστηρίων μετέχοντας, ὁ Θεὸς πολλάκις τοῦτο ποιεῖ καὶ παραδίδωσιν αὐτοὺς τῷ Σατανᾷ. ὅταν γὰρ νόσοι, ὅταν ἐπιβουλαὶ, ὅταν πένθη καὶ συμφοραὶ συμβαίνωσι, διὰ τοῦτο γίνεται· καὶ τοῦτο ὁ Παῦλός φησιν, οὕτω λέγων, "διὰ τοῦτο ἐν ὑμῖν ἀσθενεῖς καὶ "ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί."

ΚΕΦ. Δ.

Περὶ εὐχῆς, ὅτι ὑπὲρ πάντων, ὅτι πανταχοῦ ἀκάκως, ἀταράχως, σεμνῶς.

1 Παρακαλῶ οὖν πρῶτον ἁπάντων ποιεῖσθαι δεήσεις,
2 προσευχὰς, ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ὥσπερ κοινός τίς ἐστι πατὴρ τῆς οἰκουμένης ὁ ἱερεὺς, πάντων τοίνυν ἄξιον αὐτὸν κήδεσθαι, καθάπερ καὶ ὁ Θεὸς, ᾧ ἱερᾶται. δύο γὰρ ἐντεῦθεν γίνεται τὰ ἀγαθὰ, τό τε ἔχθος ὃ πρὸς τοὺς ἔξωθεν ἔχομεν, καταλύεται· οὐδεὶς γὰρ πρὸς τοῦτον ἀπεχθῶς ἔχειν δυνήσεται, ὑπὲρ οὗ δεήσεις ποιεῖται, αὐτοί τε ἐκεῖνοι βελτίονες γίνονται, τότε εὐχὰς ὑπὲρ αὐτῶν γίνεσθαι, τῷ τε μὴ ἐκθηριοῦσθαι πρὸς ἡμᾶς. τί δέ ἐστι τὸ "πρῶτον ἁπάντων;" τουτέστιν ἐν τῇ λατρείᾳ τῇ καθημερινῇ. ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι ὑπὲρ ἁπάντων οὐ πάντων εἶπεν, ἀλλὰ τῶν πιστῶν· τί οὖν ὅταν λέγῃ ὑπὲρ βασιλέων; οὐ γὰρ δὴ τότε θεοσεβεῖς ἦσαν βασιλεῖς, ἀλλὰ μέχρι πολλοῦ διῆλθον, ἀσεβεῖς διαδεχόμενοι· εἶτα ἵνα μὴ κολακεία τὸ πρᾶγμα ᾖ, προλαβὼν εἶπεν, "ὑπὲρ πάντων," καὶ τότε "ὑπὲρ βασι-"λέων·" εἶτα ἐπειδὴ εἰκὸς ἦν τὴν τοῦ Χριστιανοῦ ψυχὴν ναρκᾷν ταῦτα ἀκούουσαν, εἴγε ὑπὲρ τοῦ Ἕλληνος ἐν τῷ τῶν μυστηρίων καιρῷ δεῖ δεήσεις προσφέρειν, τίθησι τὸ κέρδος, ἵνα κἂν οὕτω δόξῃ τὴν παραίνεσιν· "ἵνα ἤρεμον καὶ ἡσύχιον," φησὶ, "βίον "διάγωμεν," τουτέστιν ἡ ἐκείνων σωτηρία, ἡμῶν ἀμεριμνία ὑπάρχει· εἰ γὰρ μὴ ἐσώζοντο, μηδὲ εὐδοκίμουν ἐν τοῖς πολέμοις,

ἀνάγκη καὶ τὰ ἡμέτερα ἐν ταραχαῖς εἶναι καὶ θορύβοις· δεῖ δὲ, φησὶ, καὶ εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ τῶν εἰς ἄλλους γινομένων ἀγαθῶν, οἷον, "ὅτι τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, "καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους." ὁ γὰρ ἀναγκαζόμενος εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ τῶν εἰς ἄλλους γινομένων ἀγαθῶν, καὶ φιλεῖν αὐτοὺς ἀναγκάζεται· εἰ δὲ ὑπὲρ τῶν τοῦ πέλας εὐχαριστεῖν δεῖ, πολλῷ μᾶλλον ὑπὲρ τῶν εἰς ἡμᾶς, καὶ ὑπὲρ τῶν δοκούντων εἶναι λυπηρῶν. καὶ γὰρ πρὸς τὸ ἀγαθὸν ὁ Θεὸς ἡμῖν ἅπαντα οἰκονομεῖ. "ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ "καὶ σεμνότητι." ἠρεμίαν λέγει καὶ ἡσυχίαν, καὶ τὴν ἀπὸ τῶν πονηρῶν λογισμῶν· συντελεῖ δὲ πρὸς ταύτην, καὶ ἡ κοινὴ εἰρήνη. εἰ δέ τις ἡσυχίας οὔσης ταράττεται, σφόδρα ἄθλιός ἐστιν· οὗτος γὰρ ὁ πόλεμος τῶν ἄλλων ἐστὶ χαλεπώτερος· καὶ διὰ τοῦτο προσέθηκεν, "ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι." μὴ τοίνυν φοβηθῇς ὑπὲρ Ἑλλήνων εὐχόμενος· εἰ δὲ ὑπὲρ Ἑλλήνων εὔχεσθαι χρὴ καὶ ὑπὲρ αἱρετικῶν, δηλονότι ὑπὲρ πάντων ἀνθρώπων εὔχεσθαι δεῖ, οὐ διώκειν· πολλοὶ γὰρ τῶν ἀνθρώπων διὰ φιλονεικίαν τὴν πρὸς ἀνθρώπους ἀπέστησαν τοῦ Θεοῦ. εἰς ἐπίγνωσιν δὲ, φησὶν, ἀληθείας, τῆς εἰς αὐτὸν πίστεως· ἐπειδὴ προλαβὼν εἶπε, παράγγελε μὴ ἑτεροδιδασκαλεῖν, ἵνα μὴ ὡς ἐχθροῖς αὐτοῖς προσέχῃ, μηδὲ μάχας ἀπὸ τούτου πλέκῃ· τί φησι; "πάντας ἀνθρώπους θέλει "σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν." τί δὴ τοῦτο, ἐπήγαγεν, "εἷς γὰρ Θεὸς καὶ εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων." εἶπεν "εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐλθεῖν," δεικνὺς ὅτι οὐκ ἔστιν ἡ οἰκουμένη ἐν ἀληθείᾳ· καὶ πάλιν "εἷς Θεὸς," οὐ πολλοὶ, καθὼς οὗτοι νομίζουσι, δεικνὺς ὅτι θέλει σωθῆναι πάντας. εἶπεν ὅτι καὶ μεσίτην τὸν Υἱὸν ἔπεμψε· τί οὖν; ὁ Υἱὸς οὐ Θεός; καὶ σφόδρα· πῶς οὖν, φησὶν, εἷς; πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων, οὐ πρὸς τὸν Υἱόν· περὶ γὰρ ἀληθείας καὶ πλάνης ὁ λόγος ἦν αὐτῷ· ὁ δὲ μεσίτης ὀφείλει ἀμφοτέροις κοινωνεῖν ὧν ἐστι μεσίτης· εἰ τοίνυν μὴ ἔχεται τῆς τοῦ Πατρὸς φύσεως, οὐκ ἔστι μεσίτης ἀλλ' ὑπεσχοίνισται· ὥσπερ γὰρ τῆς τῶν ἀνθρώπων ἔχεται φύσεως, ἐπειδὴ πρὸς ἀνθρώπους ἤρχετο, οὕτω καὶ τῆς τοῦ Θεοῦ, ἐπειδὴ παρὰ Θεοῦ ἤρχετο· ἐπειδὴ γὰρ δύο φύσεων μέσος γέγονεν, ἐγγὺς τῶν δύο φύσεων αὐτὸν εἶναι δεῖ. ὥσπερ οὖν ἄνθρωπος γέγονεν, οὕτω καὶ

Θεὸς ἦν. ὥσπερ ἐκεῖ, φησὶν, "εἷς Θεὸς ὁ Πατὴρ, καὶ εἷς Κύριος "Ἰησοῦς Χριστὸς," οὕτω καὶ ἐνταῦθα εἷς καὶ εἷς· οὐ τίθησι γὰρ δύο, ἐπειδὴ περὶ πολυθεΐας διελέγετο.

6 Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων.

Καὶ ὁ μὲν Χριστὸς ἀπέθανε καὶ ὑπὲρ Ἑλλήνων, σὺ δὲ εὔξασθαι οὐκ ἀνέχῃ; πῶς οὖν, φησὶν, οὐκ ἐπίστευσαν; ὅτι οὐκ ἠθέλησαν· τὸ δὲ ἑαυτοῦ μέρος ἐγένετο, τὸ μαρτύριον δὲ τὸ πάθος, φησίν· ἦλθε γὰρ μαρτυρήσων τῇ ἀληθείᾳ τοῦ Πατρὸς, καὶ ἐσφάγη, ὥστε οὐχ ὁ Πατὴρ αὐτῷ μαρτυρεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς τῷ Πατρί. μέχρι θανάτου τοίνυν ἐμαρτύρησε· "καιροῖς ἰδίοις," τουτέστι τοῖς προσήκουσι.

7 Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ Ἀπόστολος· ἀλήθειαν λέγω, οὐ ψεύδομαι, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

Ἐν πίστει πάλιν, ἀλλὰ μὴ νομίσῃς ἐπειδὴ ἐν πίστει ἤκουσας, ὅτι ἀπάτη τὸ πρᾶγμά ἐστιν. ὁρᾷς τὴν χάριν ἐκτεταμένην; τοῖς γὰρ Ἰουδαίοις αἱ εὐχαὶ οὐχ ὑπὲρ τοιούτων ἐγίνοντο· "ὁ δοὺς ἑαυτὸν "ἀντίλυτρον·" πῶς οὖν παρεδόθη ὑπὸ τοῦ Πατρός; ἄρα τῆς αὐτοῦ ἀγαθότητος γέγονεν· ἀντίλυτρον τί ἐστιν; ἔμελλε τιμωρεῖσθαι αὐτοὺς, ἀπόλλυσθαι ἔμελλον, ἀλλ' ἀντ' ἐκείνων τὸν αὐτοῦ ἔδωκεν Υἱὸν ὥστε κηρύττειν τὸν σταυρόν. ἱκανὰ ταῦτα ἐπισπάσασθαι πάντας, καὶ τὴν ἀγάπην ἐνδείξασθαι τοῦ Χριστοῦ.

8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμῶν.

Καὶ πῶς ὁ Κύριός φησι "σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς "τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι·" ὁ δὲ Παῦλος, "βούλομαι προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ;" ἀλλ' οὐκ ἔστιν ἐναντίον ἐκείνοις τοῦτο, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα συνᾷδον· πῶς καὶ τίνι τρόπῳ; δεῖ δὲ πρότερον εἰπεῖν, τί ἐστιν, "εἴσελθε εἰς τὸ ταμιεῖόν σου," καὶ εἰ ἐν ἐκκλησίᾳ μὴ δεῖ εὔχεσθαι, καὶ ἐν ἄλλῳ μηδενὶ τῆς οἰκίας μέρει, ἀλλ' ἐν τῷ ταμιείῳ μόνον. τὸ κενόδοξον δεικνὺς ἐνταῦθα ὁ Χριστὸς, μὴ λάθρα, φησὶν, ἁπλῶς, ἀλλὰ κεκρυμμένως τὰς εὐχὰς ποιοῦ, ὥσπερ καὶ ἐπὶ τῆς

ἐλεημοσύνης "μὴ γνώτω ἡ ἀριστερὰ τί ποιεῖ ἡ δεξιά σου," οὐ περὶ χειρῶν διαλέγεται ἁπλῶς, ἀλλὰ τὴν ὑπερβολὴν τῆς κενοδοξίας παρέστηκε· οὕτω δὴ καὶ ἐνταῦθα τοῦτο αἰνίττεται· οὐ τοίνυν εἰς τὸν τόπον περιώρισε τὴν εὐχήν. ὁ δὲ Παῦλος *πρὸς ἀντιδιαστολὴν τῆς Ἰουδαϊκῆς εὐχῆς ταῦτά φησιν· οὐδὲ γὰρ ἐχρῆν ἀλλαχοῦ προσιέναι τῷ Θεῷ καὶ θύειν τοὺς Ἰουδαίους, ἀλλ' εἰς ἕνα τόπον. "χωρὶς ὀργῆς καὶ διαλογισμοῦ." τίς γὰρ εὐχόμενος ὀργίζεται; τουτέστι, χωρὶς μνησικακίας καθαρὰ ἔστω τοῦ εὐχομένου ἡ διάνοια, πάθους παντὸς ἀπηλλαγμένη καὶ διαλογισμοῦ· οὐ δεῖ γὰρ ὅλως ἀμφιβάλλειν, ὅτι ἀκουσθησόμεθα, καὶ τὸ "ἀφίετε δὲ, "καὶ ἀφεθήσεται ὑμῖν," τοῦτό ἐστι "χωρὶς ὀργῆς καὶ διαλο-" "γισμοῦ·" "ὁσίας χεῖρας," καθαρὰς πάσης ἁμαρτίας, ἐλεημοσύνας ἐργαζομένας· ἂν γὰρ οὕτως προσίῃς πάντως ἐπιτεύξῃ τῆς αἰτήσεως· "ὡσαύτως καὶ τὰς γυναῖκας," μὴ ταῖς ἐπιθυμίαις "ταῖς ἑαυτῶν ἐξακολουθεῖν·" ὁσίους χεῖρας καὶ τὰς γυναῖκας ἔχειν φησί.*

9 Μετὰ *αἰδοῦς καὶ σωφροσύνης, ἐν καταστολῇ κοσμίῳ*
10 *κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀληθῶν.*

Καταστολή *τίς ἐστι; τουτέστι τὴν ἀμπεχόνην πάντοθεν περιεστάλθαι καλῶς, κοσμίως, μὴ περιέργως· ἐκεῖνο γὰρ κόσμιον, τοῦτο δὲ ἄκοσμον.*

ΚΕΦ. Ε.

Περὶ διδασκάλων, ὅτι ἄνδρας χρὴ, καὶ οὐ γυναῖκας εἶναι, διὰ τὴν φύσιν καὶ τὸ πάθος τὸ ἐξ ἀγάπης.

11 Γυνὴ *ἐν ἡσυχίᾳ μανθανέτω, ἐν πάσῃ ὑποταγῇ. γυν-*
12 *αικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς,*
13 *ἀλλ' εἶναι ἐν ἡσυχίᾳ.* Ἀδὰμ *γὰρ πρῶτος ἐπλάσθη,*
14 *εἶτα* Εὔα. *καὶ* Ἀδὰμ *οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατη-*
15 *θεῖσα, ἐν παραβάσει γέγονε· σωθήσεται δὲ διὰ τῆς*

τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

Πολλὴν ἀπαιτεῖ παρὰ τῶν γυναικῶν τὴν αἰδῶ ὁ μακάριος Παῦλος, πολλὴν τὴν κοσμιότητα, οὐ μέχρι σχημάτων καὶ καταστολῆς, ἀλλὰ καὶ σιγῆς· μηδὲ φθεγγέσθω, φησὶν, ἐν ἐκκλησίᾳ γυνὴ, μὴ μόνον περὶ βιωτικῶν, ἀλλὰ μηδὲ περὶ πνευματικῶν. ἂν γὰρ οὕτως ἑαυτὴν περιστέλλῃ, δυνήσεται καὶ μετὰ πολλῆς τῆς εὐκοσμίας τὰς εὐχὰς ποιεῖσθαι· "γυναικὶ δὲ διδάσκειν οὐκ ἐπι-"τρέπω," μηδὲ διδασκέτωσαν, φησὶν, ἀλλὰ τὴν τῶν μαθητευομένων ἐχέτωσαν δόξαν· οὕτω γὰρ διὰ τῆς γῆς καὶ τὴν ὑποταγὴν δείξουσιν. "Ἀδὰμ γὰρ," φησὶ, "πρῶτος ἐπλάσθη, εἶτα Εὔα, καὶ "Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα, ἐν παραβάσει γέ-"γονε." τί οὖν ταύτας πρὸς τὰς νῦν; ναὶ, φησὶ, πρῶτον ἐχέτω ἀπὸ τῆς πλάσεως τὴν τιμὴν ὁ ἀνήρ· δεύτερον δὲ καὶ ἀπὸ τῶν ἤδη γενομένων, ἐδίδαξε γάρ ποτε ἡ γυνὴ τὸν ἄνδρα, καὶ πάντα κατέστρεψε, καὶ τῇ παρακοῇ ὑπεύθυνον κατέστησε· διὰ τοῦτο αὐτὴν ὑπέταξεν ὁ Θεὸς τότε τῷ ἀνδρὶ, ἐπειδὴ τότε τῇ ὁμοτιμίᾳ κακῶς ἐχρήσατο, εἰπὼν, "πρὸς τὸν ἄνδρά σου ἡ ἀποστροφή σου·" πρὸ δὲ τούτου οὐκ εἴρητο τοῦτο· πῶς δὲ Ἀδὰμ οὐκ ἠπατήθη; οὐκοῦν οὐ παρήκουσεν, εἴ γε μὴ ἠπατήθη, καὶ ἡ μὲν γυνὴ, φησὶν, "ὁ ὄφις ἠπάτησέ με." ὁ δὲ Ἀδὰμ, οὐ λέγει ἡ γυνὴ ἠπάτησέ με, ἀλλ' ὅτι "αὐτὴ ἔδωκέ μοι καὶ ἔφαγον;" οὐκ ἔστι δὲ ἴσον παρὰ τῆς συγγενοῦς καὶ ὁμοφύλου δέξασθαι τὴν ἀπάτην, καὶ παρὰ θηρίου τοῦ δούλου τοῦ ὑποτεταγμένου. πρὸς οὖν τὴν σύγκρισιν τῆς γυναικὸς φησὶν αὐτὸν μὴ ἠπατῆσθαι. πάλιν δὲ οὐ περὶ τοῦ Ἀδὰμ εἴρηται, ὅτι εἶδε τὸ ξύλον, ὅτι καλὸν εἰς βρῶσιν, ἀλλὰ περὶ τῆς γυναικὸς, ὅτι "ἔφαγε καὶ ἔδωκε τῷ ἀνδρὶ αὐτῆς," ὥστε οὗτος οὐκ ἐπιθυμίᾳ ἐνδοὺς παρέβη· "ἡ δὲ γυνὴ ἀπατηθεῖσα, ἐν παραβάσει γέγονεν." ἐνταῦθα λοιπὸν περὶ τῆς φύσεως διαλέγεται· οὐ γὰρ εἶπεν, ἡ δὲ Εὔα ἀπατηθεῖσα, ἀλλ' "ἡ γυνὴ," ὅπερ ἐστιν ὄνομα τοῦ κοινοῦ γένους· καὶ ὥσπερ περὶ τοῦ Ἀδὰμ, φησὶν, "ἐν ὁμοιώματι τῆς παρα-"βάσεως Ἀδὰμ," οὕτω καὶ ἐνταῦθα, τουτέστι, τὸ γυναικεῖον γένος παρέβη, οὐ τὸ ἀνθρώπινον.

(Θεόδωρος.) Ἄλλος δέ εἰς τὸ, "γυναικὶ δὲ διδάσκειν ἐν

“ἐκκλησίᾳ οὐκ ἐπιτρέπω·” φησὶ, δηλονότι περὶ τῆς ἐν κοινῷ καταστάσεως λέγει, ὡς ἂν οὐ δέον ἐν ἐκκλησίᾳ αὐτὰς διδάσκειν· περὶ γάρ τοι τῆς κατ᾽ οἶκον ἀναστροφῆς αὐτῶν ταῦτα νομοθετῆσαι οὐκ ἄν ποτε ἠνείχετο Παῦλος· οὐδ᾽ ἂν ἐκώλυσε γυναῖκας, ἢ ἀσεβοῦντας τοὺς ἄνδρας παιδεύειν τὴν εὐσέβειαν, ἢ μὴ δεόντως πολιτευομένους ἐπὶ τὰ τῆς ἀρετῆς ἔργα προάγειν· καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἐπειδὴ ἐκείνου μὲν τῆς ἀπάτης τὴν αἰτίαν εἶχεν αὕτη, αὐτὴ δὲ ἐπ᾽ ἐκεῖνον τὴν αἰτίαν στρέφειν οὐκ ἠδύνατο.

Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης.

Ἰωάννου Χρυσοστόμου. Ὡς ἂν εἰ ἔλεγε, μὴ κατηφιῆτε αἱ γυναῖκες, ὅτι τὸ γένος ὑμῶν διαβέβληται, ἔδωκεν ὑμῖν ὁ Θεὸς καὶ ἑτέραν ἀφορμὴν σωτηρίας, τὴν παιδοτροφίαν· ὥστε μὴ μόνον δι᾽ ἑαυτῶν, ἀλλὰ καὶ δι᾽ ἑτέρων σώζεσθαι. ὅρα πόσα κατὰ ταὐτὸν ζητήματα τίκτεται· “ἡ δὲ γυνὴ ἀπατηθεῖσα,” φησὶν, “ἐν παραβάσει γέγονε.” τίς; ἡ Εὔα· αὕτη οὖν σωθήσεται διὰ τῆς τεκνογονίας; οὐ τοῦτο, ἀλλ᾽ ἡ φύσις, φησὶν, ἡ γυναικεία σωθήσεται. αὕτη ἐν παραβάσει γέγονεν, ἀλλὰ παρέβη μὲν ἡ Εὔα· σωθήσεται δὲ τὸ γυναικεῖον γένος διὰ τῆς τεκνογονίας. διὰ τί γὰρ μὴ καὶ τῆς οἰκείας ἀρετῆς; μὴ γὰρ ἐκείνη ταῖς ἄλλαις ἐξέκλεισε· τί οὖν πρὸς τὰς παρθένους; τί πρὸς τὰς στείρας; τὶ πρὸς τὰς χήρας τὰς πρὶν ἢ τεκεῖν τοὺς ἄνδρας ἀποβαλούσας; τί ποτε οὖν βούλεται εἰπεῖν; ὥσπερ τὸ πᾶν γένος ὑπέταξεν ἀπὸ τῆς διαπλάσεως, διὰ τῶν εἰς τὴν πρώτην γενομένων γυναῖκα· οὕτως ἄρα ἐπειδὴ καὶ παρέβη καὶ τὸ λοιπὸν γένος ἐν παραβάσει; ἀλλ᾽ οὐκ ἔχει λόγον· ἐκεῖ μὲν οὖν τῆς τοῦ Θεοῦ δωρεᾶς γέγονε τὸ πᾶν· τοῦτο δὲ τῆς ἁμαρτίας τῆς γυναικός· καὶ μὴν διὰ τοῦτο πάντες ἀπέθανον, φησὶν, ἐπειδὴ ὁ εἷς ἥμαρτε· τουτέστι, μηδὲν ἀλγείτω ἡ γυνή· ἔδωκεν αὐτῇ ὁ Θεὸς παραμυθίαν οὐ μικρὰν τὸ τεκεῖν παῖδας, ἀλλὰ τοῦτο τῆς φύσεως, καὶ ἐκεῖνο τῆς φύσεως· οὐ γὰρ τὸ τῆς φύσεως μόνης, ἀλλὰ καὶ τὸ τῆς παιδοτροφίας κεχάρισται· ἐὰν γὰρ ἐπιμείνωσι, φησὶ, τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης, τουτέστιν, ἐὰν αὐτοὺς ἐναγάγῃ μετὰ τὸ τεκεῖν ἐν τούτοις, οὐ μικρὸν ἔχει τοῦτον μισθὸν, ὅτι ἀθλητὰς ἔθρεψε τῷ Χριστῷ.

Ἄλλος φησί· σώζεται τὸ γυναικεῖον γένος, καὶ πᾶσα δὲ ἡ τῶν ἀνθρώπων φύσις, διὰ τοῦ ἐξ αὐτῆς κατὰ σάρκα τικτομένου Χριστοῦ, "ἐὰν ἐπιμείνωσι," δηλονότι τῇ πίστει καὶ τῇ ἀγάπῃ, καὶ "τῷ ἁγιασμῷ μετὰ σωφροσύνης·" πιστεύσασαι γὰρ εἰς τὸν Χριστὸν καὶ ἔργων προνοησάμεναι ἀγαθῶν, σωθήσονται,

Πιστὸς ὁ λόγος.

Ἰωάννου Χρυσοστόμου. Πρὸς τοῦτο εἴρηται· οὐ πρὸς τὸ "εἴ τις ἐπισκοπῆς ὀρέγεται" ἐπειδὴ γὰρ τοῦτο ἀμφιβαλλόμενον ἦν, καὶ διὰ τοῦτο λέγει "πιστὸς ὁ λόγος," ὅτι δυνήσονται πατέρες ἀπολαύειν τῆς τῶν παίδων ἀρετῆς καὶ μητέρες ὅταν αὐτοὺς ἐκθρέψωσι, καλῶς.

(Σευηριανός.) Ἄλλος δέ φησιν· ἀπὸ τοῦ ὀνείδους τῆς παραβάσεως, "σωθήσεται διὰ τῆς τεκνογονίας·" τοῦτο γάρ φησιν ὁ Ἀπόστολος, οὐχ ἵνα ὀνειδίσῃ ἀλλ' ἵνα προτρέψῃ εἰς εὐσέβειαν, καὶ εἰς τὸ τὰ τέκνα ἀναστρέφειν ἐν πίστει.

ΚΕΦ. Ϛ.

Περὶ ἀρετῆς ἐπισκόπων.

1 Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ.
2 δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι.

Ὑπενέδωκε τὸ τῆς ὀρέξεως, οὐ τὸ τῆς ἐπιτηδεύσεως, ἵνα καταρτίσῃ ἑαυτόν τις εἰς ἐπιτηδειότητα ἐπισκοπῆς διὰ τῶν καλῶν ἔργων καὶ τῆς πίστεως· μᾶλλον οὖν προτροπή ἐστι καλοῦ βίου ἢ ἔνδοσις ὀρέξεως· ἡ δὲ ὄρεξις ὥσπερ εἴσοδος εἰς τὴν ἀγαθοεργίαν ἐστὶ καὶ τὸν κάλλιστον βίον. τοσαῦτα ἐξαριθμεῖται, ὅσα προσήκειν δεῖ τῷ ἐπισκόπῳ, ἃ ἀρκεῖ ἀποτρέψασθαι μᾶλλον, ὥστε δόξας συγκεχωρηκέναι τὴν ἐπιθυμίαν, δι' ὧν καταλέγει ποταπὸν δεῖ εἶναι τὸν ἐπίσκοπον, πλέον ἀποτρέπει· τὸ ἀνεπίληπτον δὲ, οὐ τῇ ἑτέρων συκοφαντίᾳ, ἀλλὰ τῷ ἐκείνου βίῳ· ἐπειδὴ μηδὲ ἄλλως ὁ Παῦλος τὰς τῶν συκοφαντούντων διαβολὰς ἐξέφυγεν.

(Ἰωάννου Χρυσοστόμου.) Ἄλλος δέ φησιν· οὐκ ἐγκαλῶ εἴ τις ταύτην ἔχοι τὴν ἐπιθυμίαν· προστασίας γὰρ ἔργον ἐστὶν, ὥστε μὴ τῆς ἀρχῆς καὶ τῆς αὐθεντείας ἐφίεσθαι μόνον, ἀλλὰ τῆς προστασίας· ἐπεὶ καὶ Μωσῆς ἐπεθύμησε τοῦ πράγματος, ἀλλ' οὐ

τῆς ἐξουσίας, καὶ οὕτως ἐπεθύμησεν ὡς ἀκοῦσαι, "τίς σε κατέ-" στησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;" ἀνεπίληπτον δὲ εἶναι δεῖ, ὥστε εἴ τις σύνοιδεν ἑαυτῷ τινα ἁμαρτήματα, οὐ καλῶς ποιεῖ πράγματος ἐπιθυμῶν, οὗ διὰ τῶν ἔργων ἑαυτὸν ἐξέβαλεν· οὐ γὰρ ἄρχειν, ἀλλὰ ἄρχεσθαι δεῖ τὸν τοιοῦτον.

Μιᾶς γυναικὸς ἄνδρα.

Οὐ νομοθετῶν τοῦτό φησιν· ὡς μὴ εἶναι ἐξὸν ἄνευ τούτου γίνεσθαι, ἀλλὰ τὴν ἀμετρίαν κωλύων, ἐπειδὴ ἐπὶ τῶν Ἰουδαίων ἐξῆν καὶ δευτέροις ὁμιλεῖν γάμοις, καὶ δύο ἔχειν κατὰ ταὐτὸν γυναῖκας. τινὲς δέ, ἵνα ἐκ μιᾶς γυναικὸς ᾖ, φασὶ τοῦτο εἰρῆσθαι. "νηφά-" λιον," τουτέστι, διορατικόν, μυρίους ἔχοντα πάντοθεν ὀφθαλμούς· πολλὰ γὰρ ἐστὶ τὰ συμπίπτοντα καὶ ἀμβλύνοντα τὸ τῆς διανοίας ὄμμα.

Σώφρονα, κόσμιον, φιλόξενον.

Ταῦτα καὶ τῶν ἀρχομένων ἔχουσιν οἱ πολλοί· ἐπειδὴ δὲ δεῖ αὐτὸν καὶ τὰ τῶν ἀρχόντων ἔχειν, διὰ τοῦτο ἐπήγαγε, "διδακτι-" κόν·" μάλιστα γὰρ πάντων τοῦτο προσεῖναι δεῖ τῷ ταύτην τὴν ἀρχὴν ἐγκεχειρισμένῳ· "μὴ πάροινον," τουτέστιν, ὑβριστήν, αὐθάδη. "μὴ πλήκτην·" αἰνίττεται τοὺς πλήττοντας ἀκαίρως τῶν ἀδελφῶν τὴν συνείδησιν. "ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ" ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ, μετὰ" πάσης σεμνότητος." εἰ τοίνυν ὁ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, τὸν δὲ ἐπίσκοπον οὐ δεῖ τὰ τοῦ κόσμου μεριμνᾶν, πῶς, φησί, "μιᾶς γυναικὸς ἄνδρα·" τινὲς μὲν οὖν φασιν, ὅτι τὸν ἀπὸ γυναικὸς ἠνίξατο· εἰ δὲ μὴ τοῦτο εἴη, ἔνεστιν ἔχειν γυναῖκα, ὡς μὴ ἔχοντα εἶναι.

ΘΕΟΔΩΡΟΣ δέ φησι, γελοιότατον παρὰ τοῖς πολλοῖς ἐστιν αὐτὸ φυλαττόμενον δῆθεν εὑρεῖν· εἰ μὲν γάρ τις εἴη σώφρων, ὡς δευτέραν ἀγόμενος γυναῖκα, τοῦτον οὐ προσίενται εἰς κλῆρον· εἰ δὲ βιώσας τις ὡς οὐ προσῆκε, μίαν ἠγάγετο κατὰ νόμον, οὗτος εἰς μέσον παράγεται· καί τοι τὸν μὲν δεύτερον γάμον τοῦ μακαρίου Παύλου σαφῶς ἐπιτρέψαντος γίνεσθαι, πάσης δὲ τῆς παρὰ τὸν νόμιμον γάμον κοίτης πορνείας οὔσης. σαφῶς καὶ παρίημι τέως ἐκεῖνο, ὅτι καὶ δύο γυναῖκας εἰληφότα σαφῶς νομίμους λέγω, βαπτίσαντες ἐπὶ τὸν κλῆρον παράγουσιν ἀδεῶς· καί τοι γε ἐπὶ

τῶν λοιπῶν αὐτὸ φυλάττεσθαι δοκοῦντες, ὡς ἂν τοῦ βαπτίσματος ποιοῦντος αὐτὸν οὐκέτι εἶναι συνῳκηκότα δυσὶ γυναιξὶ, πολλάκις δὲ τοῦτο καὶ ἐπὶ τῶν καθόλου μοχθηρῶν διαπραττόμενοι, οἴονται κάλλιστα ποιεῖν, εἰ δὴ βαπτίζοντας τὸν ὅπως ποτὲ ἐζηκότα, ἐπὶ τὴν τοῦ κλήρου λειτουργίαν παράγοιεν, μηδὲν ἀρετῆς καὶ τῆς περὶ τὴν εὐσέβειαν ἐπιμελείας γνώρισμα ἐπαγόμενον.

Ἵνα γὰρ σιωπήσω τοῦ βαπτίσματος τὴν αἰτίαν, ἐφ' ᾗ δίδοται, πρὸς ἣν οὐδὲ ἀφορᾷν ἐθέλουσιν οἱ πολλοί· ἐκεῖνο γοῦν εἰδέναι αὐτοὺς ἐχρῆν, ὅτι ὁ μακάριος Παῦλος περὶ βίου νομοθετεῖ, καθ' ὃν νομίζει δεῖν ἐζηκέναι τὸν ἐπίσκοπον, οὐ περὶ συγχωρήσεως διαλέγεται τῆς χάριτος προγινομένης τοῖς τὸ βάπτισμα εἰληφόσιν. εἰ γὰρ δὴ τοῦτο γίνεσθαι οὕτως καλὸν, περιττὴ πᾶσα ἡ νομοθεσία τοῦ Παύλου, συγχωρήσαντος καὶ τὸν ὅπως ποτὲ βιώσαντα βαπτίζοντα εὐθὺς εἰς κλῆρον ἄγειν, ὅπερ ἀπηγόρευται μὲν παρὰ τῷ Παύλῳ βουλομένῳ τὸν εἰς ἐπισκοπὴν ἀγόμενον μαρτυρίαν τινὰ τῆς ἑαυτοῦ καλοκαγαθίας ἀπὸ τοῦ παρελθόντος ἐπάγεσθαι βίου, ἤτοι πάντοτε γεγονότα τοιοῦτον, ἢ μεταμελείᾳ γοῦν δεικνύμενον, ὅτι δὴ[b] ἀπὸ τοῦ χείρονος ἐπὶ τὸν κρείττονα μετελήλυθε βίον, ὃ καὶ ἄμεινον εἰσόμεθα ἀπὸ τῶν ἑξῆς· γίνεται δὲ παρὰ πολλοῖς νυνὶ, ὥς τι καὶ μέγιστον διαπραττομένοις καλόν.

Τὸ οὖν "μιᾶς γυναικὸς ἄνδρα" τινὲς οὕτω ἐξέλαβον, ὃ καὶ ἔγωγε μᾶλλον ἀληθὲς εἶναι πείθομαι, ἐπειδὴ τότε πολλοὶ μὲν κατὰ ταὐτὸν δύο νομίμους εἶχον γυναῖκας, ὃ καὶ ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου ποιεῖν αὐτοῖς ἐπετέτραπτο· πολλοὶ δὲ νομίμην ἔχοντες μίαν, ταύτῃ μὲν οὐκ ἠρκοῦντο, ἐκέχρηντο δὲ καὶ ἑτέραις ἤτοι παιδίσκαις ἑαυτῶν, ἢ καὶ εἰς τὰς τυχούσας πολλάκις ἀδεῶς ἁμαρτάνοντες· ὃ καὶ μέχρι τῆς δεῦρο γίνεται παρὰ τῶν οὐκ ἐπιμελομένων σωφροσύνης· τοῦτο εἰρηκέναι τὸν Παῦλον ἔφησαν, ὥστε τὸν τοιοῦτον εἰς τὴν ἐπισκοπὴν παράγεσθαι, ὃς ἀγαγόμενος γυναῖκα σωφρόνως ἐβίω μετὰ ταύτης, προσέχων αὐτῇ καὶ μέχρις αὐτῆς ὁρίζων τῆς φύσεως τὴν ὄρεξιν, ὡς εἴ τις οὕτω ζήσας, ἀποβαλὼν τὴν προτέραν νομίμως ἀγάγοιτο δευτέραν, τὸν αὐτὸν δὴ τρόπον βιοὺς καὶ μετὰ ταύτης, μὴ εἴργεσθαι αὐτὸν κατὰ τὴν τοῦ Παύλου νομοθεσίαν τῆς εἰς τὴν ἐπισκοπὴν παρόδου.

[b] δεῖ Cod.

Τοῦτο εἰρῆσθαι παρὰ τοῦ μακαριωτάτου Παύλου νενοηκότας τινάς, πάνυ γε ἀποδέχομαι, μάλιστα πάντων οὐ πειθόμενος ὅτι ὁ τὸν δεύτερον γάμον ὁμοίως ἐπιτρέψας τῷ πρώτῳ, εἰ νομίμως γίγνοιτο εἰς ἐπισκοπὴν παριέναι, τὸν τοιοῦτον ἐκώλυσεν. ὁ γὰρ εἰπών, λέγω δὲ ταῖς ἀγάμοις καὶ ταῖς χήραις, καὶ ὁμοῦ συνάψας αὐτούς, καὶ ἕνα νόμον ἐξενεγκών, δῆλος ἦν ἕν τι ἀμφοτέρους ἡγούμενος· εἰκότως· τί γὰρ διαλάττει κατά γε τὴν τῆς φύσεως ὄρεξιν, ἢ καθόλου μὴ ἐσχηκέναι, ἢ ἐσχηκέναι μέν, ἀποβεβληκότα δὲ οὐκ ἔχειν; ἐπεὶ καὶ συντυχίας τὸ τοιοῦτο μᾶλλόν ἐστιν ἢ γνώμης. ὁ μὲν γὰρ ἐσχηκὼς ἐπιπολὺ τὴν ἑαυτοῦ βιώσασαν γυναῖκα, ἀπέλαυσεν αὐτῆς ἐφ᾽ ὅσον ἐβούλετο· ὁ δὲ μετὰ βραχὺ πολλάκις αὐτὴν ἀποβαλὼν ἐξ ἀνάγκης ἐπὶ τὸν τῆς δευτέρας ἔρχεται γάμον. ἔστι δὲ ταῦτα συντυχίας οὐ γνώμης κατορθώματα· ἅπερ ἐξετάζων ὁ μακάριος δι᾽ ὅλου φαίνεται Παῦλος τὸν εἰς ἐπισκοπὴν παραγόμενον, μάλιστα ἀπὸ τοιούτων γνωρίζεσθαι δεῖν ἡγούμενος. ἐπεὶ καὶ γέλοιον νομίζειν Παῦλον νόμους τιθέναι, μὴ γνώμην δοκιμάζοντα, ἀλλ᾽ ἀπὸ τῆς συντυχίας τὴν διάκρισιν ἐργαζόμενον. εἰ γάρ τις ἐκεῖνο λέγοι ὅτι μικρὰ καὶ τῆς συντυχίας φροντίσας πλείονος τῆς ἀκριβείας ἐπιμελόμενος ἐπὶ τοῦ ἐπισκόπου ἐνόμισεν αὐτὸν ὅπως ποτὲ μιᾷ δεῖν κεκοινωνηκότα γυναικί, ἀκουέτω, ὅτι κατὰ τοῦτον τὸν λόγον οὐδὲ μετὰ βάπτισματος τοιοῦτον παραγενέσθαι δίκαιον ἦν· οὐ γὰρ δὴ τὸ βαπτίσμα ἢ οὐκ εἶναι αὐτὸν δυσὶν κεκοινωνηκότα ποιεῖ γυναιξίν, ἢ παρὰ πᾶσιν ὡς μιᾷ κεκοινωνηκότα ὑπολαμβάνεσθαι, πολλῷ δὲ πλέον τὸν μιᾷ μὲν συγγεγονότα κατὰ τὴν νόμιμον συνάφειαν, πολλαῖς δὲ ἑτέραις ἀκολάστως συμπλακέντα· καὶ πρόδηλον ἐπὶ τῷ τοιούτῳ γεγονότα βίῳ εἰς τὴν ἐπισκοπὴν παράγεσθαι οὐχ ὅσιον κατά γε τὸν αὐτὸν λόγον, διὰ τὸ τοῦ βαπτίσματος τετυχηκέναι. εἰ γὰρ δὴ τὸν νομίμως δυσὶ συμπλακέντα σωφρόνως τε αὐταῖς συνεζηκότα προθέσει γνώμης, φάσκοιεν δι᾽ ἀκρίβειαν ἐπὶ τὴν ἐπισκοπὴν οὐκ εἶναι δεκτόν, πολλῷ πλέον τὸν καὶ ἀκολάστως βιώσαντα οὐ θεμιτὸν ἐπὶ τοῦτο προάγεσθαι, ἐπειδὴ τοῦ βαπτίσματος αὐτῷ τυχεῖν ἐγένετο. καὶ ταῦτα μὲν εἰρήσθω περὶ τοῦ μιᾶς γυναικὸς ἄνδρα, οὗ δὴ τὴν ἑρμηνείαν σαφέστερον εἰπεῖν ἀναγκαῖον ἡγησάμεθα μικρὰ τῆς

κρατούσης παρὰ τοῖς πολλοῖς φροντίσαντες συνηθείας. καὶ ταῦτα μὲν Θεόδωρος ἄντικρυς τοῖς ἐναργέσι μαχόμενος, τῇ τε ἐκκλησιαστικῇ παραδόσει καὶ πάσαις ταῖς συνόδοις· πρὸς ἃ δυνήσεταί τις ἀντειπεῖν, καιροῦ καλοῦντος.

(Ἰωάννου Χρυσοστόμου.) Ὁ δὲ μακάριος Ἰωάννης φησί· διὰ τί γὰρ μὴ εἶπες, δεῖ δὲ τὸν ἐπίσκοπον Ἄγγελον εἶναι, ὦ μακάριε Παῦλε, καὶ μηδενὶ ἀνθρωπίνῳ πάθει ὑποκεῖσθαι; ἐκεῖνα τὰ μεγάλα ἃ ὁ Χριστὸς εἶπεν, ἃ καὶ τοὺς ἀρχομένους ἔχειν δεῖ ἐσταυρῶσθαι καὶ ἐν ταῖς χερσὶν ἔχειν τὴν ψυχήν· ὃ καὶ ὁ Χριστὸς εἶπεν, "ὁ "ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων" ὁμοίως ὅπερ ἀλλαχοῦ τοῖς κοσμικοῖς ἐπέταξας, ταῦτα τῷ ἐπισκόπῳ οὐκ ἐπιτάττεις; τί δὲ ἐκείνοις φησί; "νεκρώσατε τὰ "μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς·" καὶ πάλιν· "οἱ δὲ τοῦ Χριστοῦ "τὴν σάρκα ἐσταύρωσαν·" τίνος οὖν ἕνεκεν ταῦτα οὐκ εἴρηκεν; ὅτι ὀλίγους ἐνῆν τοιούτους εὑρεθῆναι, ἐπισκόπων δὲ δεῖ πολλῶν, καὶ καθ' ἑκάστην πόλιν· τίς οὖν ἐνεδρεύεσθαι ἔμελλε τὰ τῶν ἐκκλησιῶν; διὰ τοῦτο συμμεμετρημένην εἶπεν ἀρετὴν, οὐκ ἐκείνην τὴν ἄνω τὴν ὑψηλήν.

4 Τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος.

Ἔδει γὰρ οἴκοθεν παρέχεσθαι τὰ παραδείγματα· τίς γὰρ πιστεύσειεν ὅτι τὸν ἀλλότριον ὑποτάξειεν, ὁ τὸν υἱὸν μὴ ὑποτάξας; τί ἰδίου οἴκου φησὶ, καλῶς προϊστάμενον, τοῦτο καὶ ἔξωθέν φασιν, ὅτι ὁ οἰκονομικὸς καὶ πολιτικὸς ἂν γένοιτο ταχέως· ὁ τοίνυν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσας, πῶς τὰ τῆς ἐκκλησίας οἰκονομῆσαι δυνήσεται; "μὴ νεόφυτον." οὐ τὸν νεώτερον ἐνταῦθα λέγει, ἀλλὰ τὸν νεοκατήχητον· εἰ γὰρ πρὶν ἢ γενέσθαι μαθητὴς, διδάσκαλος γένοιτο, ταχέως καὶ εἰς ἀπόνοιαν αἴρεται· διὰ τοῦτο ἐπήγαγεν, "ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου," τουτέστιν, εἰς τὴν καταδίκην τὴν αὐτὴν, ἣν ἐκεῖνος ἀπὸ τῆς ἀπονοίας ὑπέμεινε· δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου· μέλλει γὰρ ὀνειδίζεσθαι παρ' αὐτῶν· διὰ τοῦτο εἶπε "μιᾶς γυναι"κὸς ἄνδρα·" καίτοι ἀλλαχοῦ λέγων, "θέλω πάντας ἀνθρώπους "εἶναι ὡς καὶ ἐμαυτὸν, ἐν ἐγκρατείᾳ·" ἵνα οὖν μὴ εἰς στενὸν

περικλείσῃ τὸ πρᾶγμα, ἐὰν ἠκριβωμένην ἀρετὴν ἀπαιτήσῃ, διὰ τοῦτο συμμεμετρημένην ἐζήτησεν ἀρετήν· τί οὖν ἂν μαρτυρίαν ἔχῃ καλὴν καὶ δόξαν ἀγαθὴν, μὴ ᾖ δὲ τοιοῦτος; μάλιστα μὲν οὖν δύσκολον τοῦτο· ἀγαπητὸν γὰρ τοὺς ὀρθοὺς ὀρθὴν ἔχειν δόξαν παρὰ τοῖς ἐχθροῖς· νῦν δὲ οὐδὲ τοῦτο μόνον εἴασεν, ἀλλὰ προσέθηκε· "δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν ἔχειν καλὴν," τουτέστι, μετὰ τῶν ἄλλων καὶ ταύτην. εἰς παγίδα δὲ πῶς ἐμπίπτει; τοῖς αὐτοῖς ἁμαρτήμασι πολλάκις περιπίπτων, οἷς κἀκεῖνοι· εἰ γὰρ εἴη τοιοῦτος, ταχέως αὐτὸν ἀναιροῦσιν ἐκεῖνοι. εἰ δὲ τὴν παρ' ἐχθρῶν δεῖ μαρτυρίαν ἔχειν, πολλῷ μᾶλλον καὶ τὴν παρὰ τῶν φίλων. ὅτι γὰρ οὐκ ἔνι κακῶς ἀκοῦσαι τὸν ἀνεπιλήπτῳ βίῳ κεχρημένον, ἄκουε τοῦ Χριστοῦ λέγοντος, "λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν "ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν "πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς·" ἀλλὰ δογμάτων ἕνεκεν, πολλάκις ἂν αὐτοὺς διαβάλλουσιν Ἕλληνες, βίου δὲ ὀρθοῦ οὐκ ἂν ἐπιλάβοιντο.

8 Διακόνους ὡσαύτως σεμνούς.

Διαλεγόμενος περὶ ἐπισκόπων, καὶ χαρακτηρίσας αὐτοὺς, καὶ εἰπὼν τίνα μὲν ἔχειν, τίνων δὲ ἀπέχεσθαι χρὴ, καὶ τὸ τῶν πρεσβυτέρων τάγμα ἀφεὶς, εἰς τοὺς διακόνους μετεπήδησεν· τί δήποτε; ὅτι οὐ πολὺ τὸ μέσον· καὶ γὰρ αὐτοὶ διδασκαλίαν εἰσὶν ἀναδεδεγμένοι, καὶ προστασίαν τῆς ἐκκλησίας· καὶ ἃ περὶ ἐπισκόπων εἶπεν, ταῦτα καὶ περὶ πρεσβυτέρων ἁρμόττει· τῇ γὰρ χειροτονίᾳ μόνον αὐτῶν ἀναβεβήκασι, καὶ τούτῳ μόνῳ δοκοῦσι πλεονεκτεῖν τοὺς πρεσβυτέρους· τὸ παλαιὸν δὲ ἀμφοτέραις ταύταις ἐκαλοῦντο ταῖς προσηγορίαις οἱ πρεσβύτεροι, καὶ τοῦτο ἐπεσημηνάμεθα καὶ ἐν τῇ πρὸς Φιλιππησίους, ἔνθα γράφων φησὶ, "σὺν ἐπισκόποις καὶ διακόνοις·" δῆλον γὰρ ὡς οὐκ ἐνῆν ἐπισκόπους μιᾶς πόλεως πλείους εἶναι· ἄμεινον δὲ ἐν τοῖς πρὸς Τίτον γεγραμμένοις αὐτὸ γνοίη τις ἄν. εἰπὼν γὰρ "ἵνα καταστήσῃς "πρεσβυτέρους ὡς ἐγὼ σοὶ διεταξάμην," καὶ προστεθεικὼς οἵους, ἐπάγει· "δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκο-"νόμον," δέον εἴπερ ἄρα τὸν πρεσβύτερον εἰπεῖν, ἀλλὰ σαφῶς τὸν αὐτὸν ἐπίσκοπον καὶ πρεσβύτερον ὀνομάζων.

Τί δὴ τοῦτό ἐστιν; ἄξιον γὰρ μὴ παραλιπεῖν τὴν αἰτίαν τῆς

ἐναλλαγῆς τῶν ὀνομάτων· καὶ τίνος ἕνεκεν τὰ ὀνόματα διακέκριται νῦν· καὶ οὔτε ὁ ἐπίσκοπος λεχθείη ἂν πρεσβύτερος, οὔτε ὁ πρεσβύτερος δέξεται ἄν ποτε τὴν τοῦ ἐπισκόπου ὀνομασίαν, μέχρις ἂν πρεσβύτερος ᾖ. τὸ παλαιὸν ὀλίγων ὄντων τῶν εὐσεβῶν, πρεσβύτεροι ἁπανταχόσε καθίσταντο. τοῦτο μὲν ἀπὸ τῆς τιμῆς ὀνομαζόμενοι, ὡς καὶ παρὰ Ἰουδαίοις πρεσβύτεροι οἱ τοῦ λαοῦ προηγούμενοι ἐλέγοντο, καλούμενοι δὲ καὶ ἐπίσκοποι, ἀφ' οὗπερ μετῄεσαν καὶ ἔργου, τῷ μάλιστα πᾶσι ἐπισκοπεῖν, καὶ τὴν ἁπάντων οἰκονομίαν ἐγκεχειρίσθαι· καὶ γὰρ ὁλοτελῆ τῆς ἐκκλησιαστικῆς διοικήσεως τὴν αὐθεντείαν εἶχον τότε, καὶ πάντα ἀπήρτητο τῆς αὐτῶν γνώμης.

Τοῦτο δὲ ἔνεστι καὶ παρὰ τῷ Λουκᾷ μαθεῖν ἀκριβῶς, ὃς ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων λέγει μὲν ἀποστείλαντα τὸν Παῦλον εἰς τὴν Ἔφεσον κεκληκέναι τοὺς πρεσβυτέρους· τίθησι δὲ αὐτοῦ τὴν πρὸς τοὺς παραγεγονότας διάλεξιν, ἐν οἷς ὁ Παῦλος οὕτως φησί· "προσέχετε οὖν ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν "ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν "ἐκκλησίαν τοῦ Θεοῦ." προδήλως οὓς αὐτὸς ὠνόμασε πρεσβυτέρους, τούτους ἐπισκόπους εἰπὼν ὑπὸ τοῦ Παύλου κεκλῆσθαι. οἱ δὴ τὴν τοῦ χειροτονεῖν ἐξουσίαν ἔχοντες, οἱ νῦν ὀνομαζόμενοι ἐπίσκοποι, οὐ μιᾶς ἐκκλησίας γινόμενοι, ἀλλ' ἐπαρχίας ὅλης ἐφεστῶτες, τῷ τῶν Ἀποστόλων ἐκαθοῦντο προσηγορίᾳ, οὕτως ἁπάσῃ τῇ Ἀσίᾳ τὸν Τιμόθεον ἐπέστησεν ὁ μακάριος Παῦλος, καὶ τῇ Κρήτῃ τὸν Τίτον. δῆλον δὲ ὅτι καὶ ἑτέρους ἐπαρχίαις ἑτέραις κατὰ μέρος ἐπέστησεν, ὡς ἕκαστος ὅλης τῆς ἐπαρχίας τὴν φροντίδα ἀναδεχόμενος ἐκπεριῄει τὰς ἐκκλησίας ἁπάσας, τοὺς πρὸς τὴν ἐκκλησιαστικὴν λειτουργίαν λείποντας προχειριζόμενος, τὰ χαλεπώτερα τῶν παρ' αὐτοῖς διαλύων λόγοις διδασκαλίας, αὐτοὺς ἐπανορθῶν, τὰ βαρύτερα τῶν ἁμαρτημάτων ἐξιώμενος, καὶ ὅλως ἅπαντα ποιῶν ὅσα εἰκὸς ἦν ἄνδρα ποιεῖν ἡγούμενον, ἁπασῶν τῶν πόλεων τότε ἐχουσῶν τοὺς νῦν ὀνομαζομένους ἐπισκόπους, τότε δὲ Ἀποστόλους, ὅπερ εἰσὶ νῦν τῇ τε πόλει καὶ τῇ χώρᾳ, ἐφ' ἧπερ τὴν κατάστασιν δέχονται. καὶ τότε μὲν τοῦτον εἶχον τὸν τρόπον τὰ κατὰ τὴν ἐκκλησίαν.

Ἐπειδὴ δὲ πολλὴ μὲν ἡ τῆς εὐσεβείας ἐπίδοσις ἐγένετο, μέ-

γισται δὲ οὐ πόλεις μόνον, ἀλλὰ καὶ χῶραι τῶν πεπιστευκότων ἦσαν τῶν τε μακαρίων ἀπογενομένων Ἀποστόλων, οἱ μετὰ τοῦτο εἰς τὴν καθόλου προβαλλόμενοι ἐπιστασίαν, οὐκέτι τοῖς προτέροις ἐγίνοντο ὅμοιοι, οὐδὲ τὴν ἀπὸ τῶν θαυμάτων μαρτυρίαν ἴσην ἔχειν ἠδύναντο, τυχὸν δὲ καὶ ἐν ἑτέροις πλείστοις ἐλαττούμενοι ἐκείνων ἐφαίνοντο, βαρὺ νομίσαντες τὴν τῶν Ἀποστόλων ἔχειν προσηγορίαν, διείλοντο τὰς ὀνομασίας· καὶ τὸ μὲν τοῦ πρεσβυτέρου καταλελοίπασι τοῖς πρεσβυτέροις, τὸ δὲ τοῦ ἐπισκόπου τεθείκασιν τῷ τὴν τοῦ χειροτονεῖν ἐξουσίαν ἔχοντι, ὡς ἂν τὴν καθόλου ἐπιστασίαν ἐγκεχειρισμένου. ἐγένοντο δὲ καὶ πλείους διὰ μὲν τὴν χρείαν τὸ πρῶτον, ὕστερον δὲ καὶ ὑπὸ φιλοτιμίας τῶν ποιούντων, ἐν ἀρχῇ μὲν, δύο κατ᾽ ἐπαρχίαν γινομένων ἢ τριῶν τὸ πλεῖστον. τοῦτο δὲ ἐπὶ τῆς δύσεως οὐ πρὸ πολλοῦ μὲν ἐν πλείσταις ἦν, ἐν ἐνίαις δὲ καὶ ἄχρι τῆς δεῦρο πεφυλαγμένον εὕροι τις ἄν. τοῦ δὲ χρόνου προβαίνοντος, οὐ κατὰ πόλιν γινομένου μόνον, ἀλλὰ γὰρ καὶ κατὰ τόπον, ἐν ᾧ μηδὲ χρεία ἦν εἰς ταύτην τινὰ τὴν λειτουργίαν προβάλλεσθαι καταναγκάζουσα.

Ἰωάννου Χρυσοστόμου. Διακόνους ὡσαύτως τὰ αὐτὰ, φησὶν, ἔχοντας, οἷον, τὸ ἀνεπίληπτον, τὸ σώφρονας εἶναι, τὸ φιλοξένους, τὸ ἐπιεικεῖς, ἀμάχους, ἀφιλαργύρους, σεμνοὺς, μὴ διλόγους, τουτέστι μὴ ὑπούλους, μὴ δολεροὺς, μὴ οἴνῳ, φησὶ, πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς· "ἔχοντας τὸ μυστήριον τῆς "πίστεως, ἐν καθαρᾷ συνειδήσει." ἰδοὺ ἐσήμανε τί ἐστι ἀλήπτους εἶναι· ὅρα δὲ, πῶς τὸ μὴ νεόφυτον καὶ ἐνταῦθα τίθησι· τὸ γὰρ εἰπεῖν "καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον," ὡς καὶ περὶ τοῦ ἐπισκόπου τούτου εἰρημένου αὐτῷ, οὕτως τὸν σύνδεσμον τὸν "καὶ" ἐπήγαγεν· οὐδὲν γὰρ τὸ μέσον μεταξύ. διὰ τοῦτο εἴρηται καὶ ἐκεῖ, τὸ μὴ νεόφυτον. "γυναῖκας ὡσαύτως διακόνους," φησὶ, "σεμνὰς, μὴ διλόγους, νηφαλίας, πιστὰς ἐν πᾶσιν." τινὲς ἁπλῶς περὶ γυναικῶν εἰρῆσθαι τοῦτό φασιν· οὐκ ἔστιν δέ· τί γὰρ ἐβούλετο μεταξὺ τῶν εἰρημένων παρεμβαλεῖν τι περὶ γυναικῶν, ἀλλὰ περὶ τῶν τὸ ἀξίωμα τῆς διακονίας ἐχουσῶν, φησὶ, διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες· ταῦτα καὶ περὶ γυναικῶν διακόνων ἁρμόττει εἰρῆσθαι· σφόδρα γὰρ ἀναγκαῖον τοῦτο καὶ χρήσιμον

καὶ κόσμιον ἐν τῇ ἐκκλησίᾳ· ὅρα δὲ πῶς τὴν αὐτὴν ἀπαιτεῖ καὶ παρὰ διακόνων ἀρετήν.

12 Τέκνων καλῶς προϊστάμενοι, καὶ τῶν ἰδίων οἴκων.
13 οἱ γὰρ καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν
περιποιοῦνται, καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν
Χριστῷ Ἰησοῦ.

Πανταχοῦ τίθησι τὴν τῶν τέκνων προστασίαν, ἵνα μὴ ἀπὸ τούτου οἱ λοιποὶ σκανδαλίζωνται· "οἱ γὰρ καλῶς," φησὶ, "δια-"κονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται," τουτέστι, προκοπὴν, "καὶ παρρησίαν πολλὴν τὴν ἐν πίστει," οἱ ἐν τοῖς κάτω δείξαντες ἑαυτοὺς διεγηγερμένους, ταχέως καὶ πρὸς ἐκεῖνα ἀνελεύσονται, φησίν.

Θεοδώρου. Ἐκεῖνο δὲ προσθεῖναι ἄξιον ὅτι μὴ δεῖ θαυμάζειν, εἰ μήτε [ὑπὸ] διακόνων ἐμνήσθη, μήτε ἀναγνωστῶν· τῶν γὰρ ἐν τῇ τῆς ἐκκλησίας λειτουργίᾳ βαθμῶν ἔξωθεν μᾶλλον οὗτοί εἰσι, διὰ τὴν χρείαν ἐπινοηθέντες ὕστερον, ἣν διὰ τὸ τῶν πεπιστευκότων πλῆθος λοιπὸν δι' ἑτέρων πληροῦσθαι ἠναγκάσθη· ὅθεν οὐδὲ νενόμισται αὐτοὺς πρὸ τοῦ θυσιαστηρίου τὴν χειροτονίαν δέχεσθαι, ἐπεὶ μηδὲ αὐτῷ ὑπηρετοῦνται τῷ μυστηρίῳ, ἀλλ' οἱ μὲν τὴν ἀνάγνωσιν ἐκτελοῦσιν, οἱ δὲ ἔνδον τὰ πρὸς τὴν τῶν διακόνων ὑπηρεσίαν εὐτρεπίζουσιν, ἐπιμελόμενοι καὶ τῶν ἐκκλησιαστικῶν φώτων.

14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός σε τάχιον·
15 ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀνα-
στρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στύλος
καὶ ἑδραίωμα τῆς ἀληθείας.

Ἰωάννου Χρυσοστόμου. Ἵνα μὴ τῷ περὶ τούτων αὐτὸν διατάττεσθαι εἰς ἀθυμίαν ἐμβάλῃ τὸν μαθητὴν, φησὶν, οὐ διὰ τοῦτο ταῦτα γράφω, ὡς οὐκέτι ἥξων, ἀλλ' ἥξω μὲν, εἰ δὲ συμβῇ με βραδῦναι, ἵνα μὴ ἀσχάλλῃς, φησί· μὴ θαυμάσῃς δὲ, εἰ Πνεύματι πάντα προορῶν ἠγνόει τοῦτο· ἐπειδὴ γὰρ Πνεύματι ἤγετο, καὶ οὐκ οἰκείᾳ γνώμῃ ἔπραττεν ἅπερ ἔπραττε, καὶ τοῦτο εἰκότως ἠγνόει· "ἵνα εἰδῇς," φησὶ, "πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφε-"σθαι," οὐχ ὡς ἐκεῖνος ὁ Ἰουδαϊκός· τοῦτο γάρ ἐστι τὸ συνέχον

τὴν πίστιν καὶ τὸ κήρυγμα· ἡ γὰρ ἀλήθειά ἐστι τῆς ἐκκλησίας καὶ στύλος καὶ ἑδραίωμα.

(Θεόδωρος.) *Ἄλλος δέ φησιν· ἐκκλησίας, οὐ τοὺς οἴκους λέγει τοὺς εὐκτηρίους κατὰ τὴν τῶν πολλῶν συνήθειαν, ἀλλὰ τῶν πιστῶν τὸν σύλλογον, ὅθεν καὶ στύλον αὐτὴν καὶ ἑδραίωμα τῆς ἀληθείας ἐκάλεσεν, ὡς ἂν ἐν αὐτῇ τῆς ἀληθείας τὴν σύστασιν ἐχούσης.*

16 Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυ-
στήριον· Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν Πνεύ-
ματι.

Τουτέστιν, ἡ οἰκονομία ἡ ὑπὲρ ἡμῶν. μή μοι εἴπῃς τοὺς κώδωνας, μηδὲ τὰ ἅγια τῶν ἁγίων, μηδὲ τὸν ἀρχιερέα· στύλος ἐστὶ τῆς οἰκουμένης ἡ ἐκκλησία· ἐννόησον τὸ μυστήριον, καὶ φρίξον· ἀναμφίβολον γάρ ἐστιν, ἐπειδὴ περὶ ἱερέων διαταττόμενος οὐδὲν τοιοῦτον εἶπεν, οἷον ἐν τῷ Λευϊτικῷ, εἰς ἕτερον ἀνάγει τὸ πρᾶγμα· ὅτι "ἐφανερώθη ἐν σαρκὶ," δημιουργὸς ὤν· ὄντως μέγα τὸ μυστήριον, πανταχοῦ τῆς οἰκουμένης ἠκούσθη καὶ ἐπιστεύθη τοῦτο· μὴ γὰρ νομίσῃς ἁπλῶς ῥήματα εἶναι ψιλὰ, ὤφθη φησὶν, ἐν σαρκὶ, "ἐδικαιώθη ἐν πνεύματι," ἢ ὅτι δόλον οὐκ ἐποίησεν, ὅπερ ὁ προφήτης λέγει, "ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ "στόματι αὐτοῦ," ἢ τοῦτο λέγει, "ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν "τέκνων αὐτῆς." "ὤφθη Ἀγγέλοις·" ὥστε καὶ Ἄγγελοι μεθ' ἡμῶν εἶδον τὸν Υἱὸν τοῦ Θεοῦ, τὸ πρότερον οὐχ ὁρῶντες· ὄντως μέγα τὸ τῆς εὐσεβείας μυστήριον.

Ἄλλος *δέ φησιν· ἡ ἐκκλησία ἡ ἐπὶ τῆς γῆς διὰ τῆς ὁμολογίας ἐδικαιώθη ἐν πνεύματι, ὅμοιόν ἐστι τοῦτο τῷ "ὅπως ἂν "δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε." τοῦ γὰρ Πνεύματος τὰ σημεῖα ποιοῦντος, ἐδικαιοῦτο κατὰ τὴν ἡμετέραν ὁμολογίαν καὶ τὴν πίστιν τῶν πιστευόντων. ὁ ἐπὶ σωτηρίᾳ ἀνθρώπων ἐληλυθὼς, "ὤφθη Ἀγγέλοις·" ἔδειξε διὰ τούτου, ὅτι ἀόρατός ἐστιν ἡ θεότης τοῦ μονογενοῦς καὶ Ἀγγέλοις. ὤφθη δὲ αὐτοῖς διὰ τῆς σαρκὸς, "ἀνελήφθη ἐν δόξῃ," ἐπὶ νεφελῶν, φησί.*

1 Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς

ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις.

Ἐπισυνῆψε ταῦτα τοῖς περὶ τοῦ Χριστοῦ λόγοις, οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπειδὴ τοὺς αὐτοὺς ἠπίστατο ἔσεσθαι τούς περί τε γάμων καὶ βρωμάτων ἐκεῖνα ἀναιροῦντας, καὶ τὸ ἀνειλῆφθαι σάρκα παρὰ τοῦ Θεοῦ Λόγον μέλλοντας ἀναιρεῖν, εἰκότως αὐτὰ ἐκείνοις συνέπλεξε· πάντας γὰρ τούτους ὁμοίως ἀμφότερα εὑρήσειας τηροῦντας. "ἀποστήσονταί τινες τῆς πίστεως·" περὶ Μανιχαίων καὶ Ἐγκρατητῶν καὶ Μαρκιωνιστῶν, καὶ παντὸς αὐτῶν ἐργαστηρίου τοῦ τοιούτου, ταῦτά φησιν· ὁρᾷς ὅτι πάντων αἴτιον τῶν μετὰ ταῦτα κακῶν τὸ τῆς πίστεως ἀποστῆναι; τί δὲ ἐστὶ "ῥητῶς;" φανερῶς, σαφῶς. μὴ θαυμάσῃς, φησὶν, εἰ νῦν ἀπὸ τῆς πίστεως τινὲς ἀποστάντες ἔτι Ἰουδαΐζουσιν· ἔσται καιρὸς, ὅτε χαλεπώτερον αὐτοὶ οἱ τῆς πίστεως μετεσχηκότες τοῦτο ἐργάσωνται, οὐ μέχρι βρωμάτων, ἀλλὰ καὶ γάμων καὶ πάντων τῶν τοιούτων τὴν ὀλεθρίαν συμβουλὴν εἰσάγοντες· πνεύματα δὲ πλάνα ἐκάλεσεν αὐτούς. εἰκότως· ὑπὸ γὰρ ἐκείνων ἐνεργούμενοι ταῦτα ἐφθέγξαντο.

2 *Καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν.*

Ἀντὶ τοῦ αὐτὰ ἃ ψεύδονται, οὐ παρ᾽ ἄγνοιαν, οὐδὲ οὐκ εἰδότες, ἀλλ᾽ ὑποκρινόμενοι ψεύδονται· εἰδότες μὲν τὸ ἀληθὲς, τὸ δὲ συνειδὸς κεκαυτηριασμένοι, τουτέστι πονηροῦ ὄντες βίου.

3 *Κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς*
ἔκτισεν εἰς μετάληψιν, μετὰ εὐχαριστίας τοῖς πιστοῖς
4 *καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν, ὅτι πᾶν κτίσμα καλὸν,*
καὶ οὐδὲν ἀπόβλητον μετ᾽ εὐχαριστίας λαμβανόμενον·
5 *ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.*

Τί δήποτε καὶ τὰς ἄλλας αἱρέσεις οὐκ εἶπεν; ᾐνίξατο αὐτὰς, εἰπὼν "πνεύμασι πλάνοις, διδασκαλίαις δαιμονίων·" οὐ γὰρ ἐβούλετο ἤδη κατασπεῖραι εἰς τὰς τῶν ἀνθρώπων ψυχὰς ταῦτα, ἀλλ᾽ ὅπερ ἀρχὴν εἰλήφει, τοῦτο ἤδη παρέδειξε, τὸ "τῶν βρωμάτων, ἃ "ὁ Θεὸς," φησὶν, "ἔκτισεν εἰς μετάληψιν τοῖς πιστοῖς·" πῶς τοῖς ἀπίστοις οὔ; νόμοις γὰρ ἑαυτοὺς τούτων ἀπείργουσι καὶ

ἐπεγνωκόσι τὴν ἀλήθειαν. ἄρα τὰ πρότερα τύπος ἦν· οὐδὲν γὰρ φύσει ἀκάθαρτον, ἀλλὰ παρὰ τὴν συνείδησιν τοῦτο τοῦ μεταλαμβάνοντος. τίνος οὖν ἕνεκεν πολλῶν αὐτοὺς βρωμάτων ἀπήγαγε; τὴν πολλὴν ἐκκόπτων τρυφήν· εἰ γὰρ κτίσμα Θεοῦ, καλόν· πάντα γὰρ καλὰ λίαν. καὶ ἤδη προκατασπᾷ τὴν αἵρεσιν, τῶν τὴν ἀγέννητον ὕλην εἰσαγόντων, καὶ ἐκείνης ταῦτα λεγόντων εἶναι· οὐκοῦν τί ἐστι τὸ "ἁγιάζεται διὰ λόγου καὶ ἐντεύξεως;" δηλονότι ἀκάθαρτον ὂν ἁγιάζεται. οὐ τοῦτο, ἀλλ' ἐνταῦθα πρὸς ἐκείνους φησὶ τοὺς κοινὰ τινὰ νομίζοντας ἐξ αὐτῶν εἶναι. δύο τοίνυν τίθησι κεφάλαια, ἓν μὲν ὅτι οὐδὲν κτίσμα κοινὸν, δεύτερον δὲ, εἰ καὶ γένοιτο κοινὸν, ἀλλ' ἔχει τὸ φάρμακον· σφράγισον, εὐχαρίστησον, καὶ πᾶσα ἀκαθαρσία ἀπέστη· οὐκοῦν καὶ τὸ εἰδωλόθυτον, φησὶν, οὕτω δυνάμεθα καθαίρειν; ναὶ, ἐὰν μὴ εἰδῇς ὅτι εἰδωλόθυτόν ἐστιν· ἐὰν δὲ εἰδῇς καὶ μεταλάβῃς, ἀκάθαρτος ἔσῃ· οὐχ ὅτι εἰδωλόθυτόν ἐστιν, ἀλλ' ὅτι προσταχθεὶς μὴ κοινωνεῖν, δαιμονίοις ἐκοινώνησας δι' ἐκείνων.

6 Ταῦτα ὑποθέμενοι τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρηκολούθηκας.

Ταῦτα ποῖα; ἅπερ εἶπον, ὅτι τὸ μυστήριον μέγα ἐστὶν, ὅτι τὸ τούτων ἀπέχεσθαι δαιμονίων ἐστὶν, ὅτι διὰ λόγου καὶ ἐντεύξεως Θεοῦ τὰ βρώματα καθαρίζεται· διέστησε δὲ λόγον διδασκαλίας· διδασκαλία μὲν γάρ ἐστιν, ὅταν τὰ κείμενα λέγῃ ἁπλῶς· λόγος δὲ, ὅταν καὶ τὰς αἰτίας παριστᾷ καὶ τῶν νοημάτων τὴν δύναμιν ἐξαπλοῖ.

ΚΕΦ. Ζ.

Περὶ ἀγῶνος εὐσεβείας ἐπ' ἐλπίδι.

7 Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ, γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν.

Ὁρᾷς ὡς οὐδαμοῦ τὴν αὐθεντείαν ἐνταῦθα τίθησιν, ἀλλὰ τὴν συγκατάβασιν· "ὑποτιθέμενος," φησὶν, οὐκ ἐπιτάττων, οὐ παραγγέλλων, ὡς συμβουλεύων δὲ ταῦτα ὑποτίθεσο, καὶ τοὺς λόγους

ἀνακίνει τοὺς περὶ πίστεως, " ἐντρεφόμενος," φησὶ, τὸ διηνεκὲς τῆς εἰς τὰ τοιαῦτα προσοχῆς δηλῶν· ὥσπερ γὰρ τὴν τροφὴν ταύτην καθ' ἑκάστην ἡμέραν ζητοῦμεν, οὕτω καὶ τοὺς περὶ πίστεως λόγους, ἀεὶ τούτοις τρεφώμεθα. " γραώδεις δὲ μύθους," τὰς τῶν Ἰουδαίων παρατηρήσεις φησὶν, ἢ διὰ τὰς παραποιήσεις, ἢ διὰ τὸ ἄκαιρον· τὸ γὰρ ἐν καιρῷ χρήσιμον, χωρὶς δὲ τοῦ καιροῦ οὐ μόνον ἄχρηστον, ἀλλὰ καὶ βλαβερόν. Ὁρᾷς; καὶ ἀκάθαρτα ταῦτα εἶπε καὶ γραώδη· τὸ μὲν διὰ τὸ παλαιὸν, τὸ δὲ διὰ τὸ ἐμποδίζειν τῇ πίστει. " γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν," τουτέστιν, πρὸς πίστιν καθαρὰν καὶ βίον ὀρθόν· τοῦτο γάρ ἐστιν εὐσέβεια· γυμνασίας ἄρα χρεία ἡμῖν· " ἡ γὰρ σωματικὴ γυμνα- " σία," φησὶ, " πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος." τίνος χάριν ἐμνήσθη τῆς σωματικῆς γυμνασίας; ἀπὸ συγκρίσεως τὴν ὑπεροχὴν ταύτης δηλῶν, ὅτι ἐκείνη μὲν καὶ πόνους ἔχουσα πολλοὺς οὐδὲν ἔχει τὸ κέρδος, οὐδὲ ἄξιον λόγου· αὕτη δὲ διηνεκὲς καὶ ἄφθονον, καὶ ἐν τῷ μέλλοντι ἀποδίδωσιν. " πιστὸς ὁ λόγος·" τουτέστιν, ἀληθής· ὅτι καὶ ἐνταῦθα καὶ ἐκεῖ. ὅρα πῶς πανταχοῦ τοῦτο ἐπάγει· οὐ δεῖται κατασκευῆς, ἀλλ' ἀποφαίνεται· πρὸς γὰρ Τιμόθεον ὁ λόγος ἦν αὐτῷ.

10 *Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι Σωτὴρ ἁπάντων, μάλιστα πιστῶν.*

Τίνος γὰρ, φησὶν, ἕνεκεν κόπτομεν ἑαυτοὺς, εἰ μὴ τὰ μέλλοντα προσεδοκῶμεν, εἰ μὴ ἐπὶ Θεῷ ζῶντι ἠλπίκαμεν; εἰ δὲ τοὺς ἀπίστους σώζει ἐνταῦθα, πολλῷ μᾶλλον τοὺς πιστοὺς ἐκεῖ· πλείονα γὰρ σπουδὴν περὶ τοὺς πιστοὺς ἐνδείκνυται καὶ ἐνταῦθα· εἰ γὰρ μὴ σωτὴρ ἦν, οὐδὲν ἂν ἐκώλυσεν ὑπὸ πάντων πολεμουμένους πάλαι διεφθάρθαι· ἐνταῦθα καὶ παρορμᾷ αὐτὸν πρὸς τοὺς κινδύνους, ὥστε μὴ ἐκλυθῆναι, Θεὸν ἔχοντα τοιοῦτον.

ΚΕΦ. Θ.

Περὶ ἐπιμελείας αὐτοῦ καὶ τῆς ἐκκλησίας.

11 12 Παράγγελλε ταῦτα καὶ δίδασκε. μηδείς σου τῆς νεό-
τητος καταφρονείτω.

Τῶν πραγμάτων τὰ μὲν διδασκαλίας δεῖται, τὰ δὲ ἐπιταγῆς· οἷόν τι λέγω, τὸ μὴ εἶναι πονηρὸν ἐπιτάττειν χρὴ καὶ ἀπαγορεύειν μετὰ πλείονος αὐθεντείας· τὸ μὴ Ἰουδαΐζειν, ἐπιταγῆς δεῖται· ἂν μέντοι λέγῃ, ὅτι δεῖ τὰ ὑπάρχοντα κοινοῦν, ὅτι δεῖ παρθενεύειν, ἂν περὶ πίστεως διαλέγηται, ἐνταῦθα διδασκαλίας χρεία. διὰ τοῦτο ἀμφότερα τίθησιν ὁ Παῦλος, "παράγγελλε καὶ δίδασκε," φησὶν, ὅταν γὰρ εἰδότες αὐτὰ πονηρὰ ὄντα πράττωσι, παραγγελίας δεῖ μόνης· ὅταν δὲ μὴ εἰδότες, διδασκαλίας. "μηδείς σου τῆς νεότητος "καταφρονείτω," φησιν· εὐκαταφρόνητον γάρ πως πρᾶγμα ἡ νεότης· δεῖ δὲ ἀκαταφρόνητον εἶναι τὸν διδάσκαλον· ποῦ οὖν τὸ ἐπιεικὲς, φησὶ, ποῦ τὸ πρᾷον, ἐὰν μὴ καταφρονῆται; ἐν μὲν τοῖς πρὸς ἑαυτὸν καταφρονείσθω, ἐν δὲ τοῖς πρὸς ἑτέρους μηκέτι· τοῦτο γὰρ οὐκ ἔστιν ἐπιείκεια, ἀλλὰ ψυχρότης, ἵνα μὴ τὸ κοινὸν λυμαίνηται. ἢ τοῦτό φησιν ἢ ἐκεῖνο, μηδεὶς διὰ τὴν νεότητα καταφρονήσῃ σου· ἕως γὰρ ἂν ἀντίρροπον ἐπιδεικνύῃ βίον, οὐκέτι διὰ τὴν ἡλικίαν σου καταφρονήσει.

Ἀλλὰ τύπος γένου τῶν πιστῶν, ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ.

Περὶ πάντας ἑαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων. τουτέστι, τὸ ἀρχέτυπον τοῦ βίου κάλλος, ἔσο ὥσπερ εἰκὼν προκείμενος, ὥσπερ νόμος ἔμψυχος, ὥσπερ κανὼν καὶ ὅρος τῆς εὐζωΐας· τὸν γὰρ διδάσκαλον τοιοῦτον εἶναι χρή· ἐν λόγῳ, ὡς καὶ φθέγγεσθαι μετ' εὐκολίας, ἐν ἀναστροφῇ τῇ τῆς ἐκκλησίας, ἐν ἀγάπῃ, ἐν πίστει τῇ ὀρθῇ, ἐν ἁγνείᾳ, ἐν σωφροσύνῃ.

13 Ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλή-
σει, τῇ διδασκαλίᾳ.

Ὅρα, πῶς αὐτὸν παραμυθεῖται· εἰκὸς γὰρ αὐτὸν ἀπορφανισθέντα ζητεῖν αὐτόν· "πρόσεχε τῇ ἀναγνώσει," τῇ τῶν θείων

γραφῶν δηλονότι, τῇ παρακλήσει τῇ πρὸς ἀλλήλους, τῇ διδασκαλίᾳ.

Θεόδωρος. *Διδασκαλίαν φησὶ τὴν ἀπόλυτον ἐξήγησιν, παράκλησιν δὲ τὴν ἀπὸ τινῶν συμβεβηκότων νουθεσίαν τε καὶ ὑπόμνησιν, ἣν ἐνίοτε μὲν, καὶ ἐπὶ τοῦ κοινοῦ γίνεσθαι ἀνάγκη, μάλιστα δὲ καὶ ἐν ταῖς πρὸς τὸν καθ' ἕνα διαλέξεσι.*

14 Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας.

Τὴν διδασκαλίαν φησὶν ἐνταῦθα.

Μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου.

Οὐ περὶ πρεσβυτέρων φησὶν ἐνταῦθα, ἀλλὰ περὶ ἐπισκόπων· οὐ γὰρ δὴ πρεσβύτεροι τὸν ἐπίσκοπον ἐχειροτόνουν.

Θεόδωρος. *Ἢ καὶ τὸν τῶν Ἀποστόλων σύλλογον φησὶν, οἳ συνῄεσάν τε αὐτῷ, καὶ συνεφήπτοντο ὡς εἰκὸς ποιουμένῳ τὴν ἐπ' αὐτῷ χειροτονίαν· πρεσβυτέριον αὐτὸ ὀνομάσας ἀπὸ τοῦ ἐντίμου· τοῦτο δὲ καὶ νῦν ἔθος ἐν ταῖς τῶν ἐπισκόπων γίνεσθαι προβολαῖς, τὸ μὴ ὑφ' ἑνὸς, ἀλλ' ὑπὸ πλειόνων τὰς τοιαύτας ἐν τῇ ἐκκλησίᾳ χειροτονίας πληροῦσθαι.*

15 Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι.

Ὅρα πῶς πολλάκις περὶ τῶν αὐτῶν αὐτῷ παρεγγυᾷ, δεῖξαι βουλόμενος, ὅτι μάλιστα πάντων ἐν τούτοις σπουδάζειν τὸν διδάσκαλον χρή.

16 Ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς.

Τουτέστι, πρόσεχε σεαυτῷ καὶ δίδασκε τοὺς λοιπούς.

Τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου.

Ὁ γὰρ τοῖς τῆς διδασκαλίας ἐντρεφόμενος λόγοις, πρότερος αὐτὸς καρποῦται τὴν ὠφέλειαν· ἐν τῷ γὰρ παραινεῖν ἑτέροις καὶ ἑαυτὸν κατανύσσει.

Ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν.

Μὴ ἐν τῷ βίῳ μόνον, ἀλλὰ καὶ ἐν τῷ βίῳ τῷ διδασκαλικῷ.

ΚΕΦ. Ι.

Περὶ τοῦ ἁρμοζόντως ἑκάστῳ προσφέρεσθαι.

1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς.

Περὶ παντὸς γεγηρακότος φησί· τί οὖν ἂν δέηται διορθώσεως; ὡσανεὶ πρὸς πατέρα φησὶ προσενεχθείης ἁμαρτάνοντα· οὕτω καὶ πρὸς ἐκεῖνον διαλέγου· ὁμοίως καὶ οἱ λοιποί· "νεωτέρους ὡς ἀδελ-"φούς, πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφὰς ἐν πάσῃ "ἁγνείᾳ." αὐτὴ τοῦ πράγματος ἡ φύσις, φορτικόν τι ἐστὶ τὸ ἐλέγχεσθαι λέγω, καὶ μάλιστα ὅταν καὶ εἰς γέροντα γένηται καὶ παρὰ νέου. παραμυθεῖται οὖν αὐτὸ τῷ τρόπῳ καὶ τῇ προσηνείᾳ· διὰ τί δὲ καὶ ἐπὶ τῶν νεωτέρων; τὸ θρασὺ πάλιν διὰ τὴν ἡλικίαν αἰνιττόμενος. "νεωτέρας," φησὶν, "ὡς ἀδελφὰς," καὶ προσέθηκεν "ἐν πάσῃ ἁγνείᾳ," μή μοι τὴν τῆς μίξεως, φησὶν, εἴπῃς ἁμαρτίαν, ἀλλὰ μηδὲ ὑποψίαν δῷς, μηδὲ πρόφασιν τοῖς διαβάλλειν βουλομένοις.

ΚΕΦ. ΙΑ.

Περὶ χηρῶν ἡλικίας καὶ τρόπου καὶ διοικήσεως.

Χήρας τίμα, τὰς ὄντως χήρας.

Διὰ τί μηδὲν περὶ παρθενίας διαλέγεται; ὅτι μοι δοκοῦσι μηδὲ εἶναι τότε, ἢ καὶ ἐκπεπτωκέναι· ἤδη γάρ τινες, φησὶν, ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ· ἆρα δὲ οὖν ἐστιν μὴ ἔχειν μὲν ἄνδρα, μὴ εἶναι δὲ χήραν· ὥσπερ γὰρ τὴν παρθένον οὐ τοῦτο ποιεῖ παρθένον τὸ μὴ ὡμιληκέναι γάμῳ, ἀλλὰ πολλῶν καὶ ἑτέρων δεῖ τοῦ ἀμέμπτου, τοῦ εὐπροσέδρου, οὕτω καὶ ἐπὶ τῆς χήρας πολλῆς δέονται τῆς τιμῆς· εἰκότως· ἐπονείδιστον γὰρ δοκεῖ εἶναι τὸ πρᾶγμα καὶ δυσαγώνιστον παρὰ τοῖς πολλοῖς· οὐ διὰ τοῦτο δὲ
4 μόνον, ἀλλ' ἐπειδὴ καὶ ἄξιόν ἐστιν.

Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις.

Ὅρα Παύλου τὸ συνετὸν, πῶς πανταχοῦ ἀπὸ ἀνθρωπίνων προ-

τρέπει λογισμῶν· οὐ γὰρ ἔθηκεν ἐνταῦθα μέγα τι καὶ ὑψηλὸν, ἀλλ' ὅπερ ἐστὶν εὐσυνείδητον, "καὶ ἀμοιβάς," φησιν, "ἀποδιδόναι τοῖς "προγόνοις·" πῶς; τῆς ἀνατροφῆς, τῆς αὐξήσεως· πολλῆς ἀπέλαυσας τῆς τιμῆς, ἀμείβου, ἀποδίδου τὸ ὄφλημα διὰ τῶν παίδων.

Ἄλλος φησί· τὸ "μανθανέτωσαν τὰ τέκνα," λέγει, καὶ τὰ ἔκγονα, οὐχ αἱ χῆραι, σκοπὸς γὰρ αὐτῷ διδάξαι ὅτι ἐκεῖναι μόναι τῆς ἐκκλησιαστικῆς ἐπιμελείας ἀξιοῦσθαι ὀφείλουσιν, αἷς οὐδεὶς κηδεμονίας ἑτέρωθεν ὑπολέλειπται τρόπος. ἐὰν τοίνυν, φησὶν, ἡ χήρα τέκνα ἔχουσα ἢ ἔκγονα, διδασκέσθωσαν οἱ ἀπ' ἐκείνης τεχθέντες ἐπιμελεῖσθαι τῆς μητρὸς, ἤτοι τῆς μάμμης· "μανθανέτωσαν τοίνυν τὸν ἴδιον οἶκον εὐσεβεῖν" ἀντὶ τοῦ εἰπεῖν.

5 Τοῦτο γὰρ ἐστὶν ἀποδεκτὸν, ἐνώπιον Θεοῦ· ἡ δὲ
ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ
προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ
6 ἡμέρας· ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν.

Εἴ τις, φησὶ, μὴ κοσμικὸν ἐπανῄρηται βίον, καὶ ἐν χηρείᾳ οὖσα, αὕτη ὄντως χήρα ἐστὶν, ἡ ἐπὶ τὸν Θεὸν ἐλπίζουσα ὡς χρὴ, ἡ δεήσεσι προσανέχουσα καὶ προσκαρτεροῦσα νυκτὸς καὶ ἡμέρας· αὕτη χήρα ἐστὶν, οὐχ ὡς καὶ τῆς τέκνα ἐχούσης οὐχὶ χήρας οὔσης· κἂν γὰρ καὶ ἐκείνην θαυμάζῃ τὴν παιδοτροφοῦσαν ὡς χρὴ, ἀλλ' εἴ τις τέκνα μὴ ἔχῃ, τουτέστιν ἡ μεμονωμένη οὖσα· εἶτα παραμυθεῖται αὐτὴν ὡς οὐκ ἔχουσαν τέκνα, εἰπὼν, ὅτι τοῦτο μάλιστά ἐστι χήραν εἶναι, ὅταν μὴ τῆς παρὰ τοῦ ἀνδρὸς παραμυθίας, ἀλλὰ καὶ τῆς παρὰ τῶν τέκνων ἀπεστερημένη οὖσα τύχῃ· ἔχει γὰρ τὸν Θεὸν ἀντὶ πάντων. "ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν." ἐπειδὴ γὰρ πολλαὶ τὴν χηρείαν αἱροῦνται, οὐχ ἵνα τοῦ βίου τὰς ἀφορμὰς περικόψωσιν, ἀλλ' ἵνα μᾶλλον ἑαυτὰς ἐξάψωσιν, ἵνα μετὰ πλείονος αὐθεντείας ἅπαντα πράττωσι, καὶ κοσμικαῖς μᾶλλον ἐκδοῖεν ἑαυτὰς ἐπιθυμίαις τοῦτο, φησὶν, οἱ γὰρ ζῶντες τὰ τῆς ζωῆς ἐνεργοῦσι τῆς μελλούσης, περὶ ἧς ἡμᾶς ἠσχολῆσθαι προσήκει τὸν ἅπαντα χρόνον, ἐπεὶ εἰ μὴ τοῦτο προσῄει, τῶν τεθνεώτων οὐδὲν χεῖρον ἔσονται.

8 Εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προ-
νοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων.

Πρόνοιαν πᾶσαν λέγει, τὴν κατὰ ψυχὴν, τὴν κατὰ σῶμα, ἐπεὶ καὶ αὐτὴ πρόνοιά ἐστιν· ὁ δὲ τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων, τουτέστι τῶν πρὸς γένος διαφερόντων μὴ προνοῶν, ἀπίστου, φησὶ, χείρων ἐστίν· ὃ λέγει καὶ Ἡσαΐας "ἀπὸ τῶν οἰκείων τοῦ σπέρ-"ματός σου οὐχ ὑπερόψει." ὁ γὰρ τούτους περιορῶν, πῶς ἔσται περὶ τοὺς ἄλλους φιλόστοργος; "καὶ ἔστι," φησὶν, "ἀπίστου "χείρων," ὅτι ἐκεῖνος εἰ καὶ μὴ τοὺς ἀλλοτρίους, τοὺς γοῦν ἐγγὺς οὐ περιορᾷ· πῶς δὲ τὴν πίστιν ἤρνηται; "Θεὸν," φησὶν, "ὁμο-"λογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται·" τί δὲ ἐπέταξεν ὁ πιστευθεὶς Θεός; τοὺς οἰκείους τοῦ σπέρματος μὴ περιορᾶν· ἄρα οὐ τοῦτο πίστεως ὁμολογία μόνον τὸ πιστεύειν, ἀλλὰ καὶ τὸ ἔργα ἐπιδείκνυσθαι ἄξια.

9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γε-
10 γονυῖα ἑνὸς ἀνδρὸς γυνὴ, ἐν ἔργοις καλοῖς μαρτυρου-
μένη.

Εἶπεν ἅπερ μὴ ἔχουσα, ἀνάξιός ἐστι τοῦ καταλόγου τῶν χηρῶν, λέγει ἐνταῦθα, τί δεῖ ἔχειν· τί οὖν ἀπὸ τῶν χρόνων αὐτὴν ἐκκρινοῦμεν; καὶ ποῖον τοῦτο κατόρθωμα; οὐ γὰρ αὐτῆς ἐστι τὸ ξʹ ἐτῶν γεγονέναι· οὐκ ἀπὸ τῆς ἡλικίας μόνον, φησὶν, ὡσανεὶ καὶ ἐκείνην παρέλθοι τὴν ἡλικίαν, φησὶ, μὴ ἔχουσα τὸ ἔργον, μηδὲ τότε καταλεγέσθω.

(Θεόδωρος.) Καὶ ἄλλος φησίν· οὐ περὶ τῶν εἰς διακονίαν προαχθῆναι ὀφειλουσῶν διαλέγεται, ἀλλὰ περὶ τῶν εἰς τὸ χηρικὸν ἐγκαταλεγῆναι· οὐδὲ γὰρ ἡλικία τῶν εἰς κλῆρον προαγομένων ὁρίζεσθαι χρὴ, ὥσπερ οὐδὲ ἐπ' αὐτοῦ Τιμοθέου ὁ Ἀπόστολος τοῦτο παρεφυλάξατο, ἀλλὰ τῇ ἀρετῇ τὴν δοκιμασίαν χαρακτηρίζειν. ἀλλ' ἐπειδὴ κατελέγοντο χῆραι διὰ τὸ τῆς ἐκκλησιαστικῆς ἐπιμελείας ἀξιοῦσθαι, οὐκ ἀρετῆς ἐπιθυμίᾳ τὴν χηρείαν μετιοῦσαι, ἀλλ' ὥστε ἀμερίμνως τὰς σωματικὰς ἐκ τῆς ἐκκλησίας πορίζεσθαι χρείας· ἐκ δὲ τούτου πλεῖστα ὡς εἰκὸς ἐπετελεῖτο κακά· διὰ τοῦτο ἡλικίᾳ καὶ ἀρετῇ ὡρίσατο τὴν εἰς τὸν κατάλογον τῶν χηρῶν συντελεῖν ὀφείλουσαν· "γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή·" ἀντὶ τοῦ μὴ δεύτερον ἀγαγομένη, ἀλλ' ἐκείνῳ μόνῳ προσκαρτερήσασα, καὶ σωφρόνως βιώσασα, εἴτε ἕνα τοῦτον εἶχεν, εἴτε καὶ δεύτερον ἠγάγετο.

Εἰ ἐτεκνοτρόφησεν.

Ἡ γὰρ τῶν οἰκείων μὴ ἐπιμελησαμένη τέκνων, δήλη πάντως ἐστὶ πολλὴν ἐπὶ τῆς ψυχῆς τὴν ἀπανθρωπίαν ἔχουσα.

Εἰ ἐξενοδόχησε.

Πιστοὺς δηλονότι καὶ ἐν γάμῳ καταλεγομένη.

Εἰ ἁγίων πόδας ἔνιψεν.

Τοῦτο προσέθηκεν ἐπὶ τὸ δεῖξαι ὅτι καὶ μετ᾽ ἐπιμελείας αὐτοὺς ὑποδέχεσθαι χρή· δῆλον δὲ ὅτι καὶ τὰ κατὰ δύναμιν ἀπαιτῶν ταῦτα πάντα φησίν· οὐ γάρ ἐστι τῆς τοὺς δύο ὀβολοὺς καταβαλούσης ἀπορωτέρα· "εἰ ἁγίων πόδας ἔνιψεν." τοῦτο οὐκ ἔστι δαπάνης, "εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν," οἷον τὴν σωματικὴν λέγει ἐνταῦθα ὑπηρεσίαν εἰσφέρειν· πρὸς γὰρ θεραπείαν μάλιστα ἐπιτηδείως ἔχουσιν αἱ γυναῖκες, κλίνην στρῶσαι, ἀναπαῦσαι. ποίους δὲ ἁγίους φησί; τοὺς ἀγνῶτας· ἔστι γὰρ καὶ ἁγίους εἶναι, καὶ πολλῆς ἀπολαύειν αὐτοὺς θεραπείας.

11 Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν.

Τί ἐστιν "ὅταν καταστρηνιάσωσιν;" ὅταν ἀκκισθῶσιν, ὅταν θρύπτωνται, καθάπερ ὅταν ἐπὶ ἀνδρὸς τίς ἐπιεικοῦς λέγοι, ὅτι ἀφεῖσα αὐτὸν ἑτέρου γέγονε· δείκνυσι τοίνυν ὅτι καὶ τὴν χηρείαν ἁπλῶς εἵλοντο, οὐ κρίνασαι· ἄρα καὶ ἡ χήρα τῷ Χριστῷ ἁρμόζεται ἐν τῇ χηρείᾳ.

Ἄλλος δέ φησιν· ἐπειδὰν ταῖς χήραις ἐγκαταλεγῶσι τῆς ἐκκλησίας καὶ ἀξιωθῶσιν ἐπιμελείας, πρὸς στρήνους ἐντεῦθεν χειραγωγηθεῖσαι, τῷ μηδὲν ἔχειν ὅπερ μεριμνῶσι ταπεινοῦσθαι δύνανται τὴν διάνοιαν, μακρὰν χαίρειν εἰποῦσαι τῇ οἰκείᾳ ἐπαγγελίᾳ μελετῶσι γάμον, καὶ τὰ λεχθέντα ἐφεξῆς διαπράττονται, ἀμερίμνως τὰ τῆς χρείας ποριζόμεναι.

12 Ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.

"Πίστιν," συνθήκην λέγει· ἀντὶ τοῦ παρέβησαν τὰς συνθήκας· "ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι·" πᾶσαν γὰρ τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία· οὐ τούτῳ οὖν, φησὶ, τῷ κρίματι μόνον εἰσὶν ὑπεύθυνοι, ἀλλὰ καὶ ἑτέρων ἁμαρτημάτων.

13 Οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι, καὶ περίεργοι,

λαλοῦσαι τὰ μὴ δέοντα, βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν.

Τί οὖν; ὅταν καὶ ἡ τοῦ ἀνδρὸς μέριμνα ἀποστῇ, καὶ ἡ τοῦ Θεοῦ μὴ κατέχῃ, εἰκότως ἀργαὶ, λάλοι, περίεργοι γίνονται· ὁ γὰρ τὰ αὑτοῦ μὴ μεριμνῶν, τὰ ἑτέρων μεριμνήσει πάντως. "λα- "λοῦσαι τὰ μὴ δέοντα," οὐδὲν οὕτως ἀνάρμοστον γυναικὶ, ὡς τὰ ἑτέρων περιεργάζεσθαι μάλιστα· ἀναισχυντίας γὰρ καὶ ἰταμότητος τεκμήριον τοῦτο μέγιστον· "βούλομαι οὖν" ἐπειδὰν καὶ αὐταὶ βούλονται, "νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν," τουτέστιν οἰκουρεῖν· πολλῷ γὰρ τοῦ ποιεῖν ἐκεῖνα τοῦτο βέλτιον.

Μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας
15 χάριν [μηδὲ λαβήν τινα,] ἤδη γάρ τινες ἐξετράπησαν
ὀπίσω τοῦ Σατανᾶ.

Κωλύει τοίνυν τὰς χηρείας τὰς τοιαύτας· οὐ βουλόμενος μὴ εἶναι χήρας νεωτέρας, ἀλλὰ μὴ βουλόμενος μοιχαλίδας εἶναι, μηδὲ ἀργὰς ἢ περιέργους, ἢ λαλούσας τὰ μὴ δέοντα, μὴ βουλόμενος τὸν διάβολον ἀφορμὴν λαμβάνειν.

16 Εἰ δέ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρχείτω αὐ-
ταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις
ἐπαρκῇ.

Δύο γὰρ ἐγίνοντο τὰ μέγιστα· καὶ ἐκεῖναι ἀφορμὴν ἐλάμβανον τοῦ εὖ ποιεῖν, καὶ αὐταὶ διετρέφοντο καλῶς, καὶ ἡ ἐκκλησία οὐκ ἐβαρεῖτο. καλῶς δὲ προσέθηκεν, "εἴ τις πιστὸς," τὰς γὰρ τῶν ἀπίστων οὐκ ἔδει παρ' ἐκείνων τρέφεσθαι, ἵνα μὴ δόξωσι δεῖσθαι αὐτῶν.

ΚΕΦ. ΙΒ.

Περὶ πρεσβυτέρων τιμῆς.

17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς
ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδα-
σκαλίᾳ. λέγει γὰρ ἡ γραφὴ, Βοῦν ἀλοῶντα οὐ φιμώ-
σεις· καὶ ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.

Τιμὴν ἐνταῦθα τὴν θεραπείαν λέγει, τὴν τῶν ἀναγκαίων χορηγίαν. ἄρα καὶ ὅταν λέγῃ "χήρας, τίμα τὰς ὄντως χήρας·" ταὐτὸν λέγει περὶ τῆς τῶν ἀναγκαίων τροφῆς· τίθησι τὸ τοῦ νόμου, τίθησι τὸ τοῦ Χριστοῦ, ἀμφότερα συμφωνοῦντα· ἄρα δεῖ μετὰ ἀφθονίας ἐπιρρεῖν τοῖς διδασκάλοις τὴν τῶν ἀναγκαίων χορηγίαν, ἵνα μὴ περὶ τὰ μικρὰ σχολάζοντες, τῶν μεγάλων ἀποστερῶσιν ἑαυτοὺς, καὶ τῶν πνευματικῶν. τί δαί ἐστι "διπλῆς τιμῆς;" ἢ τῆς πρὸς τὰς χήρας ἢ τῆς πρὸς τοὺς διακόνους. ἢ ἁπλῶς πολλῆς, φησί· μὴ τοίνυν τοῦτο μόνον σκοπῶμεν, ὅτι διπλῆς τιμῆς αὐτοὺς ἠξίωσεν, ἀλλ᾽ ὅτι προσέθηκε τοὺς καλῶς προεστῶτας· καλῶς δὲ προΐστανται οἱ τιθέντες τὴν ἑαυτῶν ψυχὴν ὑπὲρ τῶν προβάτων, καὶ πάντα ποιοῦντες πρὸς κηδεμονίαν τοῦ ποιμνίου συντείνοντα.

19 Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.

Κατὰ γὰρ ἑτέρου τινὸς κατηγορίαν δεῖ παραδέχεσθαι ἐκτὸς μαρτύρων; οὐχὶ μετὰ ἀκριβείας δεῖ πάντοτε τὰς κρίσεις ποιεῖσθαι; οὐδὲ ἐπὶ ἄλλου, φησὶ, μάλιστα δὲ ἐπὶ πρεσβυτέρου· πρεσβύτερον γὰρ ἐνταῦθα φησὶν, οὐ τὸ ἀξίωμα ἀλλὰ τὴν ἡλικίαν· ἐπειδήπερ εὐκολώτερον ἁμαρτάνουσιν οἱ νέοι τῶν πρεσβυτέρων.

20 Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.

Τουτέστι μὴ ταχέως ἔκκοπτε, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκριβείας περιεργάζου ἅπαντα· ὅταν μέντοι μάθῃς σαφῶς, σφοδρῶς ἐπέξιθι, ἵνα καὶ οἱ λοιποὶ σωφρονισθῶσιν· ὥσπερ γὰρ τὸ ἁπλῶς κατακρίνειν βλαβερὸν, οὕτω τὸ μὴ ἐπεξιέναι τοῖς φανεροῖς ἁμαρτήμασι, ὁδὸν ἐστὶ δοῦναι τοῖς ἄλλοις τοῦ ταῦτα ποιεῖν.

21 Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν Ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.

Δείξας διὰ τῶν προλαβόντων, ὅσων ἐστὶν ὁ ἐπίσκοπος κύριος· ὅτε περὶ κρίσεως ἔλεγεν, ἐπήγαγε ταῦτα καὶ φρικτῶς παραγγέλλει. ἀλλὰ τὸν μὲν Πατέρα καὶ Υἱὸν καλῶς παραλαμβάνει, τοὺς μέντοι ἐκλεκτοὺς Ἀγγέλους, τίνος ἕνεκεν; ἀπὸ πολλῆς ἐπιεικείας, ἐπεὶ καὶ Μωϋσῆς οὕτω φησὶ, "διαμαρτύρομαι ὑμῖν τὸν οὐρανὸν

“ καὶ τὴν γῆν,” διὰ τὴν πολλὴν ἐπιείκειαν τοῦ δεσπότου· “ μηδὲν “ ποιῶν κατὰ πρόσκλισιν,” τουτέστιν, ἵνα κοινὸς ᾖς καὶ ἴσος τοῖς δικαζομένοις, ἵνα σὲ μηδεὶς προκαταλάβῃ· τίνες δέ εἰσιν οἱ ἐκλεκτοί; ἄρα ὡς ὄντων τινῶν τοιούτων, οὕτω μεγάλη ἐστὶν ἡ μαρτυρία, ὡς ἂν εἰ ἔλεγε, μάρτυρα καλῶ τὸν Θεὸν καὶ τὸν Υἱὸν αὐτοῦ, καὶ τοὺς δούλους αὐτοῦ ὅτι παραγγελίᾳ σοι παραγγέλλω.

ΚΕΦ. ΙΓ.

Περὶ χειροτονίας ἀσφαλοῦς.

22 **Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις.**

Μὴ ἐκ πρώτης, φησὶ, δοκιμασίας, ἀλλὰ πολλάκις περισκεψάμενος, καὶ ἀκριβῶς ἐξετάσας· τῶν γὰρ ἡμαρτημένων καὶ σὺ δίκην ὑφέξεις, ὁ τὴν ἀρχὴν παρασχών. ὁ γὰρ ἀφεὶς τὰς πρώτας ἀκαίρως, ὑπεύθυνος ἔσῃ καὶ τῶν ἐσομένων, ὡς σὺ αἴτιος ὤν· τῶν δὲ παρελθουσῶν, ὡς οὐκ ἀφεὶς αὐτὰς πενθηθῆναι. ὥσπερ γὰρ τῶν κατορθωμάτων κοινωνεῖς, οὕτω καὶ τῶν ἁμαρτημάτων.

Σεαυτὸν ἁγνὸν τήρει.

Περὶ σωφροσύνης φησὶν ἐνταῦθα,

Μηκέτι ὑδροπότει, ἀλλ᾽ ὀλίγῳ οἴνῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.

Τί δήποτε οὐκ ἔρρωσεν αὐτοῦ τὸν στόμαχον; οὐ τὰ ἱμάτια αὐτοῦ νεκροὺς ἀνίστη; ἵνα κἂν νῦν ἴδωμεν ἄνδρας μεγάλους καὶ ἐναρέτους ἀσθενοῦντας, μὴ σκανδαλιζώμεθα· καὶ γὰρ ἡ νόσος συμφερόντως ἐγίνετο· ἱκανὰ γὰρ ἦν τὰ σημεῖα εἰς ἀπόνοιαν ἆραι, διὰ τοῦτο νόμῳ ἰατρείας ἀφίησιν αὐτὸν δουλεῦσαι, ἵνα καὶ αὐτὸς μετριάζῃ, καὶ οἱ ἄλλοι μήτε σκανδαλίζωνται καὶ μάθωσιν ὅτι τῆς φύσεως ὄντες τῆς ἡμετέρας, οὕτω κατώρθουν ἅπερ κατώρθουν.

ΚΕΦ. ΙΔ.

Ὅτι οὐδὲν ἔργον λανθάνει.

24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν· τισὶ δὲ καὶ ἐπακολουθοῦσιν.

Ἐπειδὴ περὶ χειροτονιῶν ἔλεγε, τινῶν μὲν φησὶν, δῆλοί εἰσιν αἱ ἁμαρτίαι, ὅτι προλαμβάνουσιν· "ὡσαύτως καὶ τὰ καλὰ ἔργα "πρόδηλά εἰσι, καὶ κρυβῆναι οὐ δύνανται·" τί δέ ἐστι "προά-"γουσαι;" οἷον ὅταν τις ἁμαρτάνῃ τὰ ἤδη αὐτὸν κατακρίνοντα.

(Σετηριανοῦ.) Ἄλλος δέ φησιν, ἐπειδὴ εἶπεν ἄνω, "χεῖρας "ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις," νῦν τὴν αἰτίαν λέγει δι' ἣν εἶπεν ἐκεῖνο· οὐ πάντων φανερά ἐστι τὰ ἁμαρτήματα, πολλοὶ γὰρ καὶ κρύπτοντες ἁμαρτάνουσι· λέγει οὖν, δοκίμαζε τῷ χρόνῳ· τὸ γὰρ σήμερον λαθεῖν δυνηθὲν, αὔριον ἐλέγχεται· καὶ τῶν ἁμαρτημάτων τὰ μὲν φανερά ἐστιν, εἰς κρίσιν προάγοντα τὴν τῶν ἀνθρώπων· πάντες γὰρ ἴσασιν, ὅτι ἁμαρτάνουσι, καὶ κρίνουσιν αὐτοὺς ἀναξίους· τινὰ δὲ μετὰ ταῦτα φαίνεται, καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ δύνανται· ἐπειδὴ τοίνυν οὕτως ἔχει τὰ κατὰ τοὺς ἀνθρώπους, "χεῖρας ταχέως μηδενὶ "ἐπιτίθει," μήποτε εὑρεθῇ εἰς τὸ λεληθὸς ἁμαρτάνων, καὶ ἀναξίως προαχθῇ, καὶ κοινωνήσῃς αὐτῷ τοῦ πράγματος.

25 Ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστιν.

Ἐπὶ τῶν καλῶν ἔργων τοῦτο μόνον εἶπεν, ὅτι κρυβῆναι οὐ δύναται, οὐκ εἶπεν ὅτι λανθάνει· ἐπὶ δὲ τῶν κακῶν ἔργων, τινὰ μὲν πρόδηλά ἐστι, τινὰ δὲ λανθάνει· διὰ τί; ὅτι τὸ καλὸν ταχέως τις οὐ κρύπτει· ὁ γὰρ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς· ὁ δὲ κακοποιῶν κρύπτει, λανθάνειν βουλόμενος.

Ἄλλος δὲ πάλιν φησίν· βούλεται εἰπεῖν ὅτι ὥσπερ τὰ τῶν οὐκ εὖ βιούντων ἀνθρώπων πταίσματα πρόδηλά ἐστιν, ἀναγκαίως τὴν ἐπὶ τοῦ μέλλοντος αἰῶνος τιμωρίαν αὐτοῖς ἐπάγοντα, εἰ καὶ ὡς εἰκὸς τινὰ παρ' αὐτοῖς λανθάνει τοὺς πολλοὺς, οὕτω καὶ ἐπὶ τῶν εὐσεβούντων, τὰ πολλὰ μὲν πρόδηλα τοῖς ἀνθρώποις ἐστὶν, ὅσα δέ ἐστι λανθάνοντα τοὺς πολλοὺς, ταῦτα γὰρ λέγει τὰ ἄλλως

ἔχοντα, οὐχ οἷόν τε πάντα δῆλα εἶναι, ὥστε, φησὶ, μὴ τοῦτο δεδιὼς μὴ οὐ χρηστὴν ἐντεῦθεν παρὰ τοῖς ἀνθρώποις ὑπόληψιν κτήσῃ, τῇ ὑδροποσίᾳ σαυτὸν κατανάλισκε, εἰδὼς ὅτι καὶ ἡ παρὰ τοῖς ἀνθρώποις ὑπόληψις, ἐὰν ἡμεῖς κατὰ τὸ προσῆκον βίωμεν, κατάγε τὸ πλεῖστον καλλίστη γίνεται, οὐδὲν ἀπὸ τούτων παραβλαπτομένη, κἂν δοκῇ πολλὰ τῶν καθ' ἡμᾶς τοὺς πολλοὺς λανθάνειν.

ΚΕΦ. ΙΕ.

Περὶ δούλων ὑπακοῆς.

1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται.

Μὴ γὰρ ἐπειδὴ πιστὸς ᾖ, νομίσῃς ἐλεύθερος εἶναι, τοῦτό ἐστι ἐλευθερίας τὸ μᾶλλον δουλεύειν· ὁ γὰρ πιστὸς ἂν μὲν εἰδῇ διὰ τὴν πίστιν αὐθαδῶς προσφερόμενον, βλασφημήσει πολλὰ, ὡς στάσιν ἐμποιοῦν τὸ δόγμα. ὅταν δὲ εἰδῇ πειθομένους, μᾶλλον πεισθήσεται, μᾶλλον προσέξει τοῖς λεγομένοις· κἂν πιστοὶ δὲ ὦσιν οἱ δεσπόται, καὶ οὕτως ὑπείκειν χρὴ διὰ τὸ τοῦ Θεοῦ ὄνομα.

2 Οἱ γὰρ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. [κόπτονται καὶ ταλαιπωροῦνται ὑπὲρ τῆς ὑμετέρας ἀναπαύσεως.] ταῦτα δίδασκε καὶ παρακάλει.

Οὐκ αὐθεντείας δεῖ τῷ διδασκάλῳ μόνον, ἀλλὰ καὶ προσηνείας πολλῆς· καὶ ταῦτα πάντα διδάσκει ὁ μακάριος Παῦλος· εἰ γὰρ ἰατροὶ τοὺς κάμνοντας παρακαλοῦσιν, οὐχ ἵνα αὐτοὶ τῆς ὑγιείας ἐπιτύχωσιν, ἀλλ' ἵνα ἐκείνους ἀπαλλάξωσι τῆς ἀσθενείας, καὶ κειμένους ἀναστήσουσι, πολλῷ μᾶλλον ἡμᾶς δεῖ τούτῳ πρὸς τοὺς διδασκομένους κεχρῆσθαι τῷ ἔθει παρακαλοῦντας.

ΚΕΦ. Ιϛ.

Κατὰ φιλοκερδῶν καὶ ψευδοδιδασκάλων.

3 Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχηται ὑγιαί-
νουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ
4 τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπι-
στάμενος.

Οὐκ ἄρα ἐκ τοῦ εἰδέναι τὸ εἰς ἀπόνοιαν αἴρεσθαι συμβαίνει, ἀλλ' ἐκ τοῦ μὴ εἰδέναι· ὁ γὰρ εἰδὼς τοὺς κατ' εὐσέβειαν λόγους, οὗτος μάλιστα καὶ μετριάζειν οἶδεν, ὁ τοὺς ὑγιαίνοντας ἐπιστάμενος λόγους, οὐ νοσεῖ· καὶ ὁ μὴ εἰδὼς ἅπερ εἰδέναι χρὴ, οὐδὲν οἶδεν, "ἀλλὰ νοσῶν," φησὶ, "περὶ ζητήσεις καὶ λογομαχίας." ἆρα νοσεῖν ἐστι τὸ ζητεῖν καὶ λογομαχίας ἐγείρειν; εἰκότως· ὅταν γὰρ ὑπὸ τῶν λογισμῶν ἡ ψυχὴ πυρέττῃ, ὅταν χειμάζηται, τότε ζητεῖ· ὅταν δὲ ἐν ὑγείᾳ ᾖ, οὐ ζητεῖ, ἀλλὰ τὴν πίστιν δέχεται· ἀπὸ δὲ ζητήσεως καὶ λογομαχίας οὐδέν ἐστιν εὑρεῖν.

Ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημία, ὑπόνοιαι πονηραί.

Ἀπὸ τῶν ζητήσεων τότε περὶ Θεοῦ ἃ μὴ δεῖ ὑποπτεύομεν, ὅταν εἰς ζήτησιν ἐμπέσωμεν· δι' ἃ παρατριβαὶ, τουτέστι σχολὴ, διατριβὴ, ἢ δι' ἃ παρατριβαὶ, τοῦτό φησι, καθάπερ τὰ ψωραλέα τῶν προβάτων παρατριβόμενα, νόσου καὶ τὰ ὑγιαίνοντα ἐμπίπλησιν· οὗτοι καὶ οἱ πονηροὶ ἄνδρες.

Καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν.

Ὁρᾷς πόσα τίκτειν φησὶ τὰς λογομαχίας, αἰσχροκέρδειαν, ἄγνοιαν, ἀπόνοιαν; τὴν γὰρ ἀπόνοιαν ἡ ἄγνοια τίκτει· καὶ ἀπὸ τούτου, φησὶν, ἀφίστασο· οὐκ εἶπεν, ὁμόσε χώρει· "αἱρετικὸν," γάρ φησιν "ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ," δείκνυσιν αὐτοὺς οὐκ ἀπὸ ἀγνοίας τοσοῦτον, ὅσον ἀπὸ ῥαθυμίας, καὶ αὐτὴν τὴν ἄγνοιαν ἔχοντας· δεῖ τοίνυν τοὺς ἀδιορθώτως ἔχοντας ἐκτρέπεσθαι. ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας, οὐχ ὅταν χρήματα ἔχῃ, ἀλλ' ὅταν μὴ ἔχῃ· ἵνα γὰρ μὴ καταπέσῃ εἰς ἀθυμίαν διὰ τὴν πενίαν, ἀνίστησιν αὐτὸν

καὶ ἀνορθοῖ· νομίζουσι, φησὶν, ὅτι πορισμός ἐστιν ἡ εὐσέβεια. ἔστι μὲν γὰρ, οὐχ οὕτως δὲ, ἀλλὰ μειζόνως· εἶτα πρότερον καταβαλὼν ἐκείνην, τότε ταύτην ἐπαίρει. ὅτι γὰρ οὐδέν ἐστιν ὁ πορισμὸς οὗτος, δῆλον ἐκ τοῦ μένειν ἐνταῦθα, μηδὲ συμμεθίστασθαι ἡμῖν, μηδὲ συναποδημεῖν. ποῖον δὲ πειρασμὸν καὶ παγίδα, φησὶν, ὑπομένειν τοὺς βουλομένους πλουτεῖν; τῆς γὰρ πίστεως αὐτοὺς ἀποπλανᾷ, κινδύνοις αὐτοὺς περιβάλλει, καὶ ἀτολμοτέρους ἐργάζεται.

(Θεόδωρος.) Ἄλλος φησὶν, εἰς τὸ "ἐξ ὧν γίνεται φθόνος καὶ "ἔρις," καὶ τὰ ἑξῆς· φθόνος μὲν ἑκάστου βασκαίνοντος τὸ ὅπως ποτε εὐδοκιμεῖν ἐν τῇ διαλέξει δυνηθέντι· ἔριδες δὲ ἐκφερομένων αὐτῶν εἰς μάχας· καὶ βλασφημίαι δὲ, πολλὰ μὲν καὶ αὐτῶν λεγόντων οἷα μὴ προσῆκε, μάλιστα δὲ τῶν ἐκτὸς βλασφημούντων ἡμᾶς, ὡς περὶ τὸ ζητεῖν τὴν σχολὴν ἔχοντας. ἀνάγκη οὖν καὶ ὑπονοίας πονηρὰς περὶ ἡμῶν ἐγγίνεσθαι τοῖς ἐκτὸς ἀπὸ τούτων, ἄνθρωποι διεφθορότες τὴν διάνοιαν, καὶ οὐδεμίαν τῆς ἀληθείας ἐπιθυμίαν ἔχοντες, πάντα κέρδους ἕνεκεν ἐπιτηδεύοντες.

9 Οἱ δὲ βουλόμενοι πλουτεῖν.

Οὐχ ἁπλῶς οἱ πλουτοῦντες, ἀλλ' οἱ βουλόμενοι· ἔστι γάρ τινα καὶ χρήματα ἔχοντα καλῶς οἰκονομεῖν.

Ἐμπίπτουσιν εἰς παγίδα καὶ πειρασμὸν τοῦ διαβόλου, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους.

Καλῶς εἶπε "βυθίζουσιν," ὡς μηδὲ ἀνενεγκεῖν δύνασθαι.

Εἰς ὄλεθρον καὶ ἀπώλειαν.

Καὶ τὴν ἐνταῦθα, καὶ τὴν μέλλουσαν.

10 Ῥίζα γὰρ πάντων τῶν κακῶν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ περιέπειραν ἑαυτοὺς ὀδύναις πολλαῖς.

Καὶ ταῦτα ἑτέρως οὐκ ἔστιν μαθεῖν, ἢ τὸν πλουσίοις παροικοῦντα, πόσα ἀποδύρονται, πόσα θρηνοῦσι.

11 Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ Θεοῦ.

Μέγα τὸ ἀξίωμα, πάντες γὰρ ἄνθρωποι τοῦ Θεοῦ, ἀλλὰ κυρίως οἱ δίκαιοι, οὐ κατὰ τὸν τῆς δημιουργίας λόγον μόνον, ἀλλὰ καὶ κατὰ τὸν τῆς οἰκειώσεως.

Ταῦτα φεῦγε, δίωκε δὲ δικαιοσύνην.

Ὥστε μὴ πλεονεκτεῖν. εὐσέβειαν τὴν τῶν δογμάτων πίστιν, ἥπερ ἐστὶν ἐναντία τῇ ζητήσει. "ἀγάπην, ὑπομονὴν, πραότητα."

12 Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἐνώπιον πολλῶν μαρτύρων.

ΘΕΟΔΩΡΟΣ. Τουτέστι, μὴ καταισχύνῃς τὴν παρρησίαν ἐκείνην· πολλοὶ γὰρ ἦσαν οἱ τὸν μακάριον Τιμόθεον[a] συνόντα τῷ μακαρίῳ Παύλῳ εὐσεβείας ἕνεκεν, εἰδότες καὶ μὴν καὶ πεπονθότα οὐκ ὀλίγα διὰ ταύτην.

ΚΕΦ. ΙΖ.

Παραγγελία φοβερὰ περὶ καθαρᾶς ὑπακοῆς ἄχρι τέλους.

13 Παραγγέλλω σοι ἐνώπιον Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα.

Πάλιν τὸν Θεὸν μαρτύρεται, ὁμοῦ καὶ τὸν φόβον αὔξων, καὶ ἀσφαλέστερον καθιστὰς τὸν μαθητὴν, καὶ δεικνὺς ὡς οὐκ ἀνθρώπινα τὰ παραγγέλματα, ἵνα ὡς παρ' αὐτοῦ τοῦ δεσπότου λαμβάνων ᾖ τὴν παραγγελίαν· "τοῦ ζωοποιοῦντος," φησὶ, "τὰ πάντα."

ΣΕΥΗΡΙΑΝΟΥ. Ἐνταῦθα καὶ παράκλησίς ἐστι πρὸς τοὺς κινδύνους, καὶ τῆς ἀναστάσεως ὑπόμνησις· οὐχ ἁπλῶς δὲ ἔθηκε τὴν λέξιν· εἰ γὰρ τὰ πάντα ζωογονεῖ, δηλονότι τοὺς ἀνθρώπους τοὺς εὐσεβεῖς ἀξιώσει καὶ τῆς ἀναστάσεως, πρὸς τῇ κοινῇ ζωογονήσει, καὶ τῶν ἀποθνησκόντων σωμάτων τὴν ἀναβίωσιν διδούς· μέλλων οὖν παραγγέλλειν ἐφ' ᾧτε τηρῆσαι τὴν ἐντολὴν ἄσπιλον, μνημονεύει τοῦ ζωογονοῦντος, ἵνα ἡ ἐλπὶς τῆς ζωώσεως ἐκείνης προτρέψηται πρὸς εὐσέβειαν. ἐπισημαντέον δὲ, ὅτι ζωογονοῦντος τὰ πάντα εἶπεν, οὐχ ἵνα καὶ τὰ ἄψυχα ζωογονεῖν αὐτὸν οἰηθῶμεν. τοιοῦτόν ἐστι καὶ τὸ "πάντα δι' αὐτοῦ ἐγένετο·" οὐ γὰρ πάντως τὰ πάντα, ἀλλὰ περὶ ὧν ὁ λόγος.

Καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν.

[a] Deest verbum aliquod.

Πάλιν ἀπὸ τοῦ διδασκάλου ἡ προτροπή· ὥσπερ ἐκεῖνος ἐμαρτύρησε, φησὶ, κατ᾽ ἴχνος αὐτοῦ βαίνωμεν· “τὴν καλὴν ὁμολογίαν·” ὡς ἂν εἰ ἔλεγε, μὴ δείσῃς τὸν θάνατον, Θεοῦ γὰρ εἶ δοῦλος, τοῦ τὰ πάντα δυναμένου ζωογονεῖν· ποίαν δὲ λέγει “καλὴν ὁμολογίαν;” εἰπόντος τοῦ Πιλάτου, “εἰ βασιλεὺς εἶ;” φησὶν, “εἰς τοῦτο γεγέννημαι·” ἴδε, οὗτοί μου ἤκουσαν. οἱ δὲ, φησὶ, “ὅτι υἱὸν ποιεῖς σεαυτὸν τοῦ Θεοῦ.

14 Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τουτέστι, μέχρι τῆς σῆς τελευτῆς, μέχρι τῆς ἐξόδου· ἀλλ᾽ οὐκ εἶπεν οὕτως, ἵνα μᾶλλον αὐτὸν διεγείρῃ· τί ἐστι “τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον;” οἷον, μήτε δογμάτων ἕνεκεν, μήτε βίου κηλῖδα τινὰ προστριψάμενον.

15 Ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν
16 κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον.

Περὶ τοῦ Υἱοῦ ταῦτά φησι, καὶ ταῦτα πάλιν εἰς παραμυθίαν, ἵνα μὴ θαυμάζῃ, μηδὲ δεδοίκῃ τοὺς ἐνταῦθα βασιλεῖς· “ἣν καιροῖς ἰδίοις,” τουτέστι τοῖς προσήκουσι, τοῖς ὀφειλομένοις, ὥστε μὴ ἀσχάλλειν ὅτι μηδέπω γέγονεν· ὅτι δὲ δείξει μόνος ἐστὶ δυνάστης· οὐκοῦν δείξει. “ὁ μακάριος,” ἡ αὐτομακαριότης, οὐδὲν ἐκεῖ λυπηρὸν, οὐδὲν ἀηδές· “ὁ μόνος δυνάστης,” πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρώπων, ἢ διὰ τὸ ἀγέννητον, ὃ καὶ ἡμεῖς λέγομεν πάλιν περὶ ἀνθρώπων· “ὁ μόνος ἔχων ἀθανασίαν,” φησὶ, τί οὖν, ὁ Υἱὸς οὐκ ἔχει; οὐκ αὐτοαθανασία ἐστίν; “φῶς οἰκῶν ἀπρόσιτον,” φησὶ, “ἄλλο τὸ φῶς, ἄλλο ὃ οἰκεῖ; οὐκοῦν καὶ τόπῳ ἐμπεριείληπται; ὁρᾷς καὶ ὅταν μέγα τι φθέγξασθαι βουληθῇ, ἡ γλῶττα πῶς ἐξασθενεῖ;

Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται.

Ὥσπερ οὖν οὐδὲ τὸν Υἱὸν εἶδέ τις, οὐδὲ ἰδεῖν δύναται.

Ὧι τιμὴ καὶ κράτος αἰώνιον. ἀμήν.

Καλῶς ἐθεολόγησεν ἐνταῦθα καὶ ἀναγκαίως· ἐπειδὴ γὰρ μάρτυρα αὐτὸν ἤγαγε, πολλὰ περὶ τοῦ μάρτυρος διαλέγεται, ὥστε μᾶλλον ἐντρέψαι τὸν μαθητήν. τουτέστι, δόξα αὐτῷ· τοῦτο μόνον

δεόμεθα λέγειν, τοῦτο μόνον ποιεῖν, οὐ περιεργάζεσθαι τί ἐστιν· εἰ τοίνυν τὸ κράτος αὐτοῦ αἰώνιον, μὴ δείσῃς, κἂν μὴ νῦν γένηται, ἀεὶ τιμὴ αὐτῷ, ἀεὶ τὸ κράτος αὐτῷ.

(Θεόδωρος.) Ἄλλος φησί· μακάριον αὐτὸν ἐκάλεσεν ἐπὶ συστάσει τῆς μελλούσης προσέσεσθαι ἡμῖν ἀτρεπτότητος· δυνάστην δὲ ὅτι δὴ τὴν ἀνάστασιν ἐργάσασθαι δυνατὸς, καὶ μὴν καὶ βασιλέα καὶ Κύριον, ἐπὶ ἀποδείξει τοῦ πάντων κρατεῖν καὶ δύνασθαι ὑποτάξαι, καὶ θάνατον ἀφελεῖν· διὰ τοῦτο καὶ μόνον ἔχοντα ἀθανασίαν, ὡς ἂν ἱκανὸν τοῦτο ἡμῖν παρασχεῖν· καὶ τὸ φῶς δὲ οἰκῶν ἀπρόσιτον, σύστασιν ἔχον τοῦ ἐν ἀφάτῳ τινὶ καὶ ἀπροσίτῳ τυγχάνοντα φωτί· ὄντως δὴ φωτεινὰ καὶ τῶν δικαίων ποιήσειν τὰ σώματα· οὕτω καὶ τὸ "ὃν ἴδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται," ὥστε δεῖξαι ὅτι οὐδὲν θαυμαστὸν μὴ φαίνεσθαι νῦν τὰ τότε περὶ ἡμᾶς ἐσόμενα, ὅπου γε καὶ αὐτὸς ὁ τούτων αἴτιος, ἀόρατος ἡμῖν πάντῃ τὴν φύσιν ἐστί.

ΚΕΦ. ΙΗ.

Πλουσίων ὁδηγία ἐπὶ τὴν ὄντως ζωήν.

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν.

Χρυσοστόμου. Καλῶς εἶπεν, "ἐν τῷ νῦν αἰῶνι·" εἰσὶ γὰρ καὶ ἄλλοι πλούσιοι ἐν τῷ μέλλοντι· οὐδὲν γὰρ οὕτως τίκτει τύφον ὡς χρήματα· εἶτα εὐθέως κατέσπασεν εἰπὼν, "μηδὲ ἠλπικέναι "ἐπὶ πλούτου ἀδηλότητι·" ἀπὸ γὰρ τούτου ἡ ἀπόνοια, ὡς ὅγε εἰς Θεὸν ἐλπίζων οὐκ ἐπαίρεται, "ἀλλ' ἐπὶ τῷ Θεῷ," φησὶ, "τῷ "ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν." καλῶς εἶπεν "πάντα πλουσίως," τὰς ἐτησίους τροφὰς αἰνιττόμενος, τὸν ἀέρα, τὸ φῶς, τὰ ἄλλα πάντα· εἰ πλοῦτον ζητεῖς, ἐκεῖνον ζητεῖ, τὸ ἀπὸ τῶν ἔργων γενόμενον τῶν ἀγαθῶν· ποίων δὴ τούτων;

18 Ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς.

Τὸ μὲν τῶν χρημάτων, τὸ δὲ τῆς ἀγάπης· "κοινωνικούς·" ὁμιλητικοὺς, φησὶ, προσηνεῖς.

19 *Ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον.*

Ἐκεῖ οὐδὲν ἄδηλον, οὐδὲν ἄστατον, ἔνθα βέβαιος ὁ θεμέλιος, ἀλλὰ πάντα βέβαια, ἀκίνητα, πάγια, μόνιμα.

Ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.

Ἡ γὰρ τῶν ἀγαθῶν ἔργων πρᾶξις τὴν ἐκείνην ἡμῖν ἀπόλαυσιν προξενῆσαι δύναται.

20 *Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον.*

Μὴ μειώσῃς, οὐκ ἔστι σά· τὰ ἀλλότρια ἐπιστεύθης.

Ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως.

Καλῶς εἶπεν, ὅταν γὰρ πίστις μὴ ᾖ, γνῶσις οὐκ ἔστιν· ὅταν ἐκ τῶν οἰκείων λογισμῶν τίκτηταί τι, γνῶσις οὐκ ἔστιν· τινὲς ἑαυτοὺς ἐκάλουν τάχα τότε Γνωστικοὺς, ὡς πλέον τι τῶν ἄλλων εἰδότες.

21 *Ἥν τινες ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν ἠστόχησαν.*

"Ἐκτρεπόμενος," φησὶ, "τὰς ἀντιθέσεις·" ἄρα εἰσὶν ἀντιθέσεις πρὸς ἃς οὐδὲ ἀποκρίνεσθαι χρή· διὰ τί; ὅτι τῆς πίστεως ἐκβάλλουσιν, οὐκ ἀφιᾶσιν ἑστάναι βεβαίως, οὐδὲ πεπηγέναι· μὴ δὴ ταύτης ἐχόμεθα, ἀλλὰ τῆς πίστεως, τῆς πέτρας τῆς ἀρραγοῦς· ἵνα καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ Ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* Τριὰς * μονὰς * ἐλέησον.

Τῶν εἰς τὴν πρὸς Τιμόθεον Ἐπιστολὴν Παύλου τοῦ Ἀποστόλου ἐξηγητικῶν ἐκλογῶν τόμος α΄.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β′ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

ΤΙ δήποτε καὶ δευτέραν ἐπιστέλλει τῷ Τιμοθέῳ Ἐπιστολήν; εἶπεν, "ἐλπίζω ἐλθεῖν πρός σε τάχιον·" οὐκ ἐγένετο τοῦτο· παραμυθεῖται αὐτὸν διὰ τῶν γραμμάτων ἀντὶ τῆς παρουσίας ἴσως τεθλιμμένον, καὶ διὰ τοῦτο καὶ διὰ τὸ ἀρχῆς ἤδη ἧφθαι· κἂν γὰρ μεγάλοι τινὲς ἄνδρες ὦσιν, ὅταν ἀναδέξωνται τοὺς οἴακας τῆς ἐκκλησίας, ξενοπαθοῦσι, καὶ μάλιστα, ὅτε ἡ ἀρχὴ τοῦ κηρύγματος ἦν. οὐ διὰ γραμμάτων δὲ αὐτὸν παραμυθεῖται μόνον, ἀλλὰ καὶ καλεῖ πρὸς ἑαυτόν· "σπούδασον γὰρ ἐλθεῖν πρός με ταχέως·" δοκεῖ δέ μοι πρὸς τῷ τέλει εἶναι αὕτη ἡ Ἐπιστολὴ ἐκ τῶν λεγομένων ἐνταῦθα· ποιεῖται δὲ τὴν παράκλησιν καὶ ἀπὸ τῶν οἰκείων πειρασμῶν, εὐθέως δὲ ἀνέστησεν αὐτοῦ τὴν ψυχὴν, ἀπὸ τοῦ προοιμίου, "κατ' ἐπαγγελίαν," εἰπὼν, "ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ." μή μοι τοὺς ἐνταῦθα κινδύνους εἴπῃ, φησὶν, οὗτοι τίκτουσιν ἡμῖν τὴν αἰώνιον ζωὴν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός· εἰ δὲ ἐπαγγελίᾳ ἐστὶ, μὴ ζήτει αὐτὴν ἐνταῦθα· ἐλπὶς γὰρ βλεπομένη οὐκ ἔστιν ἐλπίς.

(Θεόδωρος.) Ἄλλος φησίν· ὅτι μὴ ἀκολούθως τῇ προτέρᾳ ταύτην γεγράφηκε, μηδὲ ἐπὶ τινὰ διάγοντι τόπον, δῆλον, ἀλλὰ μετὰ πολὺν χρόνον ἄγαν· ἐκείνην μὲν γὰρ ἀπέστειλεν αὐτῷ ἐν Ἐφέσῳ διάγοντι, ἐν ταύτῃ δὲ πρὸς τῷ τέλει φησὶ, "Τυχικὸν ἀπέστειλα "εἰς Ἔφεσον·" εἶπε δὲ ἂν ὅτι πρός σε, εἴπερ ἐπὶ τῆς Ἐφέσου διάγοντι καὶ ταύτην ἔγραφε τὴν Ἐπιστολήν· κἀκείνην μὲν οὕτω γράφων δῆλός ἐστιν ὅταν μετ' οὐ πολὺ πρὸς αὐτὸν ἐλευσόμενος, ταύτην δὲ, ὡς μετ' οὐ πολὺ διὰ τὴν τοῦ Χριστοῦ ὁμολογίαν τὴν ἐκ τοῦδε τοῦ βίου μετάστασιν δέξασθαι προσδοκῶν. κελεύει δὲ αὐτὸν καὶ θᾶττον πρὸς αὐτὸν ἀφικέσθαι· γράφει δὲ αὐτὴν ἀπὸ

Ῥώμης, ἡνίκα τῆς εὐσεβείας ἕνεκεν τὴν κεφαλὴν ἀποτέμνεται, διεγείρων αὐτὸν εἰς τὸ μετὰ σπουδῆς τὰ ὑπὲρ τῆς ἑτέρων ὠφελείας ἐπιτελεῖν σὺν ἡδονῇ, καὶ τὸ πάσχειν ὑπὲρ τούτων αἱρούμενον· μέμνηται δὲ καὶ τῶν πρὸς τὸ χεῖρον βλεπόντων, οὐ μικρῶς αὐτῶν καθαπτόμενος· πρὸς δέ γε τῷ τέλει τῆς Ἐπιστολῆς τὰ καθ' ἑαυτὸν δηλοῖ, ἡνίκα ἐγένετό τε καὶ ἔσται.

ΣΕΥΗΡΙΑΝΟΥ. Ἐν τῇ πρώτῃ Ἐπιστολῇ κατ' ἐπιταγὴν λέγει, μέλλων διατάττειν· ἐν δὲ τῇ δευτέρᾳ Ἐπιστολῇ, κατ' ἐπαγγελίαν· ἡ γὰρ ἀποστολὴ διατάττει μὲν, ἐπ' ἐλπίδι δὲ τοῦ τυχεῖν αἰωνίου ζωῆς τοὺς ὑπακούοντας.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΤΙΜΟΘΕΟΝ Β ΕΠΙΣΤΟΛΗΣ.

α′. Ἔπαινος τῆς Τιμοθέου πίστεως, καὶ προτροπὴ ὑπομονῆς, κατὰ τὸ πρέπον τῇ χάριτι, ἐν ᾗ καὶ αὐτός φησι διακαρτερεῖ πάσχων.

β′. Περὶ τῆς ἁρμοζούσης μεταδόσεως τῶν θείων δογμάτων.

γ′. Περὶ τῆς ἀφρόντιδος ἐν τῷ νῦν βίῳ πολιτείας, ἐπὶ ταῖς ἀπόνοις τροφαῖς.

δ′. Περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ ὑπομονῆς, ἐπ' ἐλπίδι ζωῆς.

ε′. Περὶ θείας διδασκαλίας καὶ βίου καθαροῦ καὶ εἰρηνικοῦ, καὶ κατὰ τῶν ἐναντίων.

ς′. Πρόρρησις περὶ κακίας ἀνθρώπων πλεοναζούσης, ἀπατηλῆς ἐλεγχομένης.

ζ′. Προτροπὴ τῆς ἑαυτοῦ μιμήσεως ἐξ ἐναντίου τοῖς φαύλοις, ἐν ὑπομονῇ Θεοῦ.

η′. Περὶ τῶν καινοτομησάντων, οἷς ἀντιτάττει τὸν Τιμόθεον.

θ′. Περὶ τῆς ἑαυτῷ μελλούσης αναλύσεως ἐπὶ δόξῃ αἰωνίᾳ.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ Β.

---

1 ΠΑΥΛΟΣ Ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελή-
ματος Θεοῦ κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ,
2 Τιμοθέῳ ἀγαπητῷ τέκνῳ.

Χρυσοστόμου. Καλῶς "ἀγαπητῷ·" ἔστι γὰρ εἶναι τέκνα μὴ ἀγαπώμενα· πολλὴν δὲ αὐτῷ μαρτυρεῖ τὴν ἀρετήν· ὅταν γὰρ μὴ ἐκ φύσεως ᾖ ἡ ἀγάπη, ἀρετῆς ἐστιν· οἱ γὰρ κατὰ πίστιν ὅταν ὦσιν ἀγαπητοὶ, δι' οὐδὲν ἕτερόν εἰσιν, ἀλλὰ δι' ἀρετήν· "χάρις, "ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου "ἡμῶν." ἅπερ καὶ πρότερον, ταῦτα αὐτῷ καὶ νῦν ἐπεύχεται.

ΚΕΦ. Α.

Ἔπαινος τῆς Τιμοθέου πίστεως καὶ προτροπὴ ὑπομονῆς, κατὰ τὸ πρέπον τῇ χάριτι, ἐν ᾗ καὶ αὐτός φησι διακαρτερεῖ πάσχων.

3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν
καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ
4 μνείαν ἐν ταῖς δεήσεσί μου, νυκτὸς καὶ ἡμέρας, ἐπιπο-
θῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς
πληρωθῶ.

Εὐχαριστῶ, φησὶ, τῷ Θεῷ, ὅτι μέμνημαί σου· πῶς δὲ ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει λατρεύει τῷ Θεῷ; ὅτι τὸ συνειδὸς αὐτοῦ οὐκ ἦν βλαβέν· ἄλλως τε ἐνταῦθα περὶ βίου φησὶ, καὶ πανταχοῦ τὴν συνείδησιν τὸν βίον, φησίν· ἢ ὅτι οὐδὲν ὧν προεθυμούμην καλῶν, δι' ἀνθρωπίνην αἰτίαν προὔδωκα, οὐδὲ τότε ὅτε

ἐδίωκον· διὸ φησίν· "ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν "ἀπιστίᾳ."

(Σετηριανός.) *Ἄλλος δέ φησίν· οὐ τὸ ἄμεμπτον λέγει τοῦ βίου, ἀλλὰ τὸ τῆς εἰς Θεὸν πίστεως.*

Ἐπιποθῶν ἰδεῖν σε.

Χρυσοστόμου. *Ὅρα ζέοντα πόθον καὶ ταπεινοφροσύνην, πῶς ἀπολογεῖται τῷ μαθητῇ, εἶτα δείκνυσιν, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ· ἐπιφέρει γὰρ "μεμνημένος σου τῶν δακρύων." εἰκὸς γὰρ ἦν αὐτὸν ἀποσχιζόμενον κλαίειν καὶ ὀδύρεσθαι· "ἵνα χαρᾶς," φησὶ, "πληρωθῶ, ἐπιποθῶ σε ἰδεῖν." οὐκ ἂν οὖν ἐμαυτὸν τοσαύτης ἀπεστέρησα ἡδονῆς, εἰ καὶ σφόδρα ἀναίσθητος ἤμην καὶ ὠμὸς, ἱκανὰ ἦν τὰ δάκρυα ἐκεῖνα εἰς μνήμην ἐλθόντα κάμψαι· νυνὶ δὲ, οὐχ εἷς τῶν τοιούτων εἰμὶ, ἀλλὰ τῶν καθαρῶς λατρευόντων τῷ Θεῷ· καὶ ἑτέραν δὲ τίθησιν αἰτίαν ἅμα καὶ παρακλητικήν· "ὑπόμνησιν "λαμβάνων," φησὶ, "τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως." εἶτα καὶ ἄλλο ἐγκώμιον, ὅτι οὐκ ἐξ ἐθνῶν, οὐδὲ ἐξ ἀπίστων, ἀλλ' ἄνωθεν ἦν ἀπ' οἰκίας τῷ Χριστῷ δουλευούσης, "ἥτις ἐνῴκησεν," φησὶν, "ἐν τῇ μάμμῃ σου Λωΐδι καὶ τῇ μητρί σου Εὐνείκῃ." ἦν γὰρ, φησὶν, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς· πῶς Ἰουδαίας; πῶς πιστῆς; ἐξ Ἰουδαίων πιστῆς, οὐκ ἐξ ἐθνικῶν· διὰ δὲ τὸν πατέρα αὐτοῦ φησὶν, ὅτι Ἕλλην ὑπῆρχε, καὶ διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις, ἔλαβε καὶ περιέτεμεν αὐτόν. ὁρᾷς πῶς ἤρχετο ὁ νόμος καταλύεσθαι τῶν ἐπιμιξιῶν τούτων γινομένων; ὅρα πόσα ἔθηκεν· ἐγὼ λατρεύω τῷ Θεῷ, φησὶ, συνείδησιν ἔχων ἀληθινὴν, σὺ δὲ δάκρυα· οὐ διὰ τὰ δάκρυα μόνον, ἀλλὰ διὰ τὴν πίστιν, ὅτι ἀληθείας εἶ ἐραστὴς, ὅτι οὐδὲν δολερὸν παρά σοι· ὅταν οὖν καὶ σαυτὸν ἄξιον τοῦ φιλεῖσθαι παρέχῃς, μηδὲ ἐγὼ τῶν ἀστόργων ὦ, ἀλλὰ τῶν ἀληθεύειν σπουδαζόντων, τί τὸ κωλῦον ἦν ἐμὲ ἐλθεῖν;*

5 *Πέπεισμαι δὲ, ὅτι καὶ ἐν σοί.*

Ἄνωθεν ἔχεις τοῦτο τὸ καλόν· ἐκ προγόνων διεδέξω τὴν πίστιν, τὸ ἀνυπόκριτον· εἰ τοίνυν δι' οὐδὲν ἀνθρώπινον ἦλθες ἐπὶ τοῦτο, οὐδέν σε παρασαλεῦσαι δυνήσεται.

Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε, ἀναζωπυρεῖν τὸ χά-

ρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου.

Ὁρᾷς πῶς δείκνυσιν αὐτὸν ἐν ἀθυμίᾳ ὄντα πολλῇ; μὴ τοίνυν νομίσῃς, φησὶν, ὅτι κατεφρόνησά σου, ἀλλ' εἰδὼς ὅτι οὐ κατέγνων οὐδ' ἐπελήσθην, εἰ καὶ μηδὲν ἕτερον, τὴν μάμμην καὶ τὴν μητέρα ἐννόει· δεῖ σοι προθυμίας πρὸς τὸ ἀναζωπυρῆσαι τὸ χάρισμα τοῦ Θεοῦ· καθάπερ τὸ πῦρ δεῖται ξύλων, οὕτω ἡ χάρις τῆς προθυμίας τῆς ἡμετέρας, ἵνα ἀεὶ ἀναζέῃ· ἣν ἔλαβες εἰς προστασίαν τῆς ἐκκλησίας, εἰς σημεῖα, εἰς τὴν λατρείαν πᾶσαν· ἐν ἡμῖν γάρ ἐστι καὶ σβέσαι καὶ ἀνάψαι τοῦτο· ὑπὸ μὲν γὰρ ἀκηδίας καὶ ῥαθυμίας σβέννυται, ὑπὸ δὲ νήψεως καὶ προσοχῆς διεγείρεται.

7 *Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ.*

Τουτέστιν, οὐ διὰ τοῦτο τὸ πνεῦμα ἐλάβομεν, ἵν' ὑποστελλώμεθα, ἀλλ' ἵνα δυνώμεθα, ἵνα παρρησιαζώμεθα· πολλοῖς γὰρ δίδωσι πνεῦμα δειλίας, οἷον ἐπὶ τῶν πολέμων, ἐν ταῖς Βασιλείαις γέγονε[a]· "καὶ ἐποίησεν, φησὶ, πνεῦμα δειλίας ἐπ' αὐτούς·" τουτέστι, φόβον αὐτοῖς ἐνέβαλεν. ἀλλὰ σοὶ ἔδωκε τὸ ἐναντίον, ἀγάπῃ τῇ εἰς αὐτόν. ἄρα καὶ τοῦτο ἀπὸ χάριτός ἐστιν· οὐχ ἁπλῶς ἀπὸ χάριτος, ἀλλ' ὅταν καὶ ἡμεῖς πρότεροι ἐπιδειξώμεθα τὰ παρ' ἑαυτῶν· τὸ γὰρ ποιοῦν ἡμᾶς κράζειν ἀββὰ, ὁ Πατήρ· καὶ τὴν ἀγάπην ἐντίθησι τὴν πρὸς αὐτὸν, καὶ τὴν πρὸς τὸν πλησίον φησὶν, ἵνα ἀλλήλους ἀγαπῶμεν. ἀπὸ γὰρ τῆς δυνάμεως καὶ τοῦ μὴ δειλιᾷν καὶ ἡ ἀγάπη γίνεται· οὐδὲν γὰρ οὕτως ἀγάπην διαλύειν εἴωθεν, ὡς δειλία καὶ προδοσίας φήμη· "σωφρονισμοῦ" δὲ, φησὶν, ἤτοι τὴν ὑγείαν τῆς διανοίας καὶ τῆς ψυχῆς, ἢ ὥστε σωφρονίζεσθαι ἡμᾶς, καὶ τὰ περιττὰ περικόπτειν.

Θεόδωρος. Οὐ τοίνυν οὐδὲ δειλιᾷν προσήκει τὰ παρὰ τῶν ἔξωθεν ἐπαγόμενα κακά· διὰ τί; ὅτι ἡ ἐνοῦσα ἡμῖν τοῦ Πνεύματος χάρις ἱκανὴ καὶ ἐνισχύειν ἡμᾶς, καὶ πρὸς τὴν ἀγάπην ἐπισφίγγειν τοῦ Θεοῦ, καὶ σωφρονεστέρους ἐν τοῖς λογισμοῖς μένειν τοῖς οἰκείοις ποιεῖν.

8 *Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν,*

[a] In marg. Σημείωσον ὅτι δίδωσιν ὁ Θεὸς πνεῦμα δειλίας, φόβον ἐμβάλλων οἷς βούλεται.

μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ
9 *εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ, τοῦ σώσαντος ἡμᾶς καὶ*
καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ
κατ' ἰδίαν πρόθεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν
10 *Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, φανερωθεῖσαν δὲ*
νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν.

Χρυσοστόμου. *Οὐδὲν χεῖρον ἢ ὅταν τις ἀνθρωπίνοις λογισμοῖς τὰ θεῖα κρίνῃ καὶ μετρῇ πράγματα· οὕτως γὰρ ἀποπεσεῖται τῆς πέτρας ἐκείνης ἐκ πολλοῦ τοῦ μέτρου. ὅρα οὖν Μαρκίωνα καὶ Μάνητα καὶ Οὐαλεντῖνον, καὶ πάντας τοὺς τὰς λοιπὰς αἱρέσεις καὶ τὰ ὀλέθρια δόγματα ἐπεισάγοντας τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ὅπως ἀνθρωπίνοις λογισμοῖς τὰ τοῦ Θεοῦ μετρήσαντες ᾐσχύνθησαν ἐπὶ τῇ οἰκονομίᾳ· καίτοι οὐκ αἰσχύνης, ἀλλὰ πολλοῦ καυχήματος ἄξια ἂν εἴη, τὸν σταυρὸν λέγω τοῦ Χριστοῦ. οὐδὲν γὰρ οὕτω τῆς φιλανθρωπίας αὐτοῦ τεκμήριον μέγα, ὡς ὁ σταυρός· διὸ καὶ Παῦλός φησιν, "ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ "ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·" διὰ τοῦτο ἄνωθεν τῷ μαθητῇ παρῄνει λέγων, καὶ δι' ἐκείνου ἡμῖν πᾶσιν· μὴ οὖν ἐπαισχυνθῇς, ὅτι τὸν ἐσταυρωμένον κηρύττεις· τοῦτο γάρ ἐστι τὸ μαρτύριον· ταῦτα μὲν γὰρ καθ' ἑαυτὰ θάνατος καὶ δεσμωτήρια καὶ δεσμὰ, αἰσχύνης ἄξια, ἀλλ' ἐάν τις τὴν αἰτίαν προσθῇ, καὶ τὸ μυστήριον εἰδῇ, καλῶς πολλοῦ καυχήματος ἑκάτερα ὄντα εὑρήσει. ὁ θάνατος γὰρ ἐκεῖνος τὴν οἰκουμένην ἀπολλυμένην ἔσωσεν, τῇ γῇ συνῆψε τὸν οὐρανὸν, τὴν τυραννίδα τοῦ διαβόλου κατέλυσε, τοὺς ἀνθρώπους Ἀγγέλους ἐποίησε καὶ Θεοῦ υἱούς· ὁ θάνατος ἐκεῖνος τὴν ἡμετέραν φύσιν ἀνήγαγεν εἰς τὸν θρόνον τὸν βασιλικόν. κἂν αὐτὸς οὖν ταῦτα πάθῃς, μὴ αἰσχυνθῇς· διὰ τοῦτό φησι, "συγκακοπάθησον," τουτέστι, μὴ ἐπαισχυνθῇς τῇ πέτρᾳ, ὡς οὐκ ὄντος κινδύνου, εἰ ἐγὼ ὁ νεκροὺς ἀνιστῶν, ὁ μυρία ἐργαζόμενος σημεῖα, ὁ τὴν οἰκουμένην ἐπιδραμὼν, δέδεμαι νῦν τοῦ σταυρωθέντος ἕνεκεν· εἰ ὁ διδάσκαλος ἡμῶν καὶ δεσπότης σταυρὸν ὑπέμεινε, πολλῷ μᾶλλον ἡμεῖς τὰ δεσμά. μηδὲν οὖν ἀνθρώπινον πάθῃς, ἀλλὰ τοῖς αὐτοῖς κοινώνησον.*

9 Κατὰ *δύναμιν Θεοῦ, τοῦ σώσαντος ἡμᾶς καὶ καλέ-*

σαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατὰ τὴν ἰδίαν πρόθεσιν, καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων.

Μὴ γὰρ δυνάμει τῇ σῇ φησὶ, τῇ τοῦ Θεοῦ δυνάμει ταῦτα φέρε· σὸν τὸ ἑλέσθαι καὶ προθυμηθῆναι· εἶτα καὶ τῆς δυνάμεως αὐτοῦ δείκνυσι τὰ τεκμήρια· πῶς ἐσώθης, φησὶ, πῶς ἐκλήθης, "κλήσει ἁγίᾳ," τουτέστιν, ἁγίους εἰργάσατο, ἁμαρτωλοὺς ὄντας καὶ ἐχθρούς· καὶ ταῦτα οὐκ ἐξ ἡμῶν, Θεοῦ τὸ δῶρον· εἰ τοίνυν καὶ δυνατός ἐστι καλέσαι καὶ ἀγαθὸς, τῷ κατὰ χάριν καὶ οὐ κατ' ὀφειλὴν τοῦτο ποιῆσαι, οὐ δεῖ δεδοικέναι· "οὐ κατὰ τὰ ἔργα ἡμῶν, "φησὶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν·" οὐδενὸς ἀναγκάζοντος, οὐδενὸς συμβουλεύοντος, ἀλλ' ἐξ ἰδίας προθέσεως· οἴκοθεν, ἐκ τῆς ἀγαθότητος αὐτοῦ ὁρμώμενος ἔσωσεν· "κατ' ἰδίαν," φησὶ, "πρόθεσιν "καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων "αἰωνίων," τουτέστιν ἀνάρχως ταῦτα τετύπωτο ἐν τῷ Χριστῷ γενέσθαι· πῶς οὖν οὐκ ἀΐδιος ὁ Υἱός; καὶ γὰρ καὶ αὐτὸς ταῦτα ἐβούλετο ἐξ ἀρχῆς.

10 Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου.

Εἶδες δωρεὰν, οὐχὶ δι' ἔργων γινομένην ἀλλὰ διὰ τοῦ εὐαγγελίου; ἐλπίδος γὰρ ταῦτά ἐστιν· ἐν μὲν γὰρ τῷ αὐτοῦ σώματι, ἀμφότερα ταῦτα γεγένηται, ἐν δὲ τῷ ἡμετέρῳ ἔσται πῶς;

11 Διὰ τοῦ εὐαγγελίου, εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ Ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν.

Τί δήποτε τοῦτο συνεχῶς λέγει; πεῖσαι βουλόμενος ὅτι χρὴ καὶ ἔθνεσι πλησιάζειν· μὴ καταπέσῃς, φησίν· ἐν τοῖς ἐμοῖς παθήμασι καταβέβληται τοῦ θανάτου τὰ νεῦρα· οὐχὶ ὡς κακοῦργος ταῦτα ὑπομένω, ἀλλὰ διὰ τὴν διδασκαλίαν τῶν ἐθνῶν, ἅμα καὶ ἀξιόπιστον ποιεῖ τὸν λόγον.

12 Δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι. οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνα-

τός ἐστι τὴν παραθήκην μοῦ φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.

Αἰσχύνῃς γὰρ, εἰπέ μοι, τὰ δεσμά; αἰσχύνῃς τὰ πάθη; μὴ οὖν ἐπαισχυνθῇς· ταῦτα γὰρ πάσχω, φησὶν, εἰς δεσμωτήριον ἐμβέβλημαι, ἐλαύνομαι· ὅρα πῶς διὰ τῶν ἔργων ἐπιδείκνυται τὴν διδασκαλίαν. τί δὲ ἦν ἡ παραθήκη; ἡ πίστις, τὸ κήρυγμα· τοῦτο αὐτός, φησιν, ὁ παρακαταθέμενος ἀκέραιον φυλάξει· πάντα πάσχω, ὥστε μὴ τὸν θησαυρὸν συληθῆναι· οὐκ ἐπαισχύνομαι τούτοις, ἕως ἂν αὕτη ἀκέραιος σώζηται. ἢ τοὺς πιστοὺς λέγει τὴν παρακαταθήκην, ἢ ἣν ὁ Θεὸς αὐτῷ παρέθετο.

(Σετηριανός.) Ἄλλος δέ φησιν εἰς τὸ "συγκακοπάθησον τῷ "εὐαγγελίῳ." καὶ πῶς οἷόν τε πειράζεσθαι τὸ Εὐαγγέλιον, ὡς ἐπειράζοντο οἱ κηρύττοντες, ἀλλ' ἐπειδὴ ὁ κατὰ τῶν εὐαγγελιζομένων πειρασμὸς ἐγκοπὴν ἐποίει τῷ Εὐαγγελίῳ, διὰ τοῦτο ταῦτά φησὶ, "φωτίσαντος δὲ ζωήν·" τὸ ὂν φωτίζεται· ἐπειδὴ τοίνυν ἐδόθη μὲν πρὸ τῆς παρακοῆς τοῦ Ἀδὰμ ἡ ζωὴ, θανάτῳ δὲ ἐζοφώθη, πάλιν τῇ ἀναστάσει τοῦ Σωτῆρος ἡ ζωὴ φωτίζεται.

(Θεόδωρος.) Ἄλλος δὲ πάλιν φησὶ, παρακαταθήκην λέγεσθαι νῦν τὸν ἀρραβῶνα τοῦ Πνεύματος, ὃν ὥσπερ τινὰ παρακαταθήκην μοι δεδωκὼς, ἐπ' ἐλπίδι τῶν μελλόντων διαφυλάξαι τοῦτο ἀκέραιον· ἐπὶ τῷ τὴν ὁλοτελῆ με τότε τοῦ Πνεύματος κομίσασθαι χάριν, ἧς ἐπ' ἐλπίδι νυνὶ κεκόμισμαι ταύτην.

13 Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ.

Οὐ διὰ γραμμάτων μόνον τὰ πρακτέα ὑπετίθετο τῷ μαθητῇ, ἀλλ' ἤδη καὶ διὰ ῥημάτων· καὶ τοῦτο καὶ ἐν ἄλλοις ἐδήλωσε λέγων· "εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν·" πολλῷ δὲ μᾶλλον καὶ ἐνταῦθα· μὴ τοίνυν ἐλλιπῶς εἰρῆσθαι τὰ κατὰ τὴν διδασκαλίαν νομίσωμεν· πολλὰ γὰρ αὐτῷ καὶ ἀγράφως παρέδωκε, ἅπερ οὖν ἀναμιμνήσκων αὐτοὺς ἔλεγεν· "ὑποτύπωσιν ἔχε ὑγιαι-"νόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας." καθάπερ ἐπὶ τῶν ζωγράφων ἀνετυπωσάμην σοι, φησὶν, εἰκόνας ἀρετῆς, καὶ τῶν τῷ Θεῷ δοκούντων ἁπάντων, ὥσπερ κανόνα καὶ ἀρχέτυπον, καὶ ὅρους καταβαλὼν εἰς τὴν σὴν ψυχήν· ταῦτα οὖν ἔχε, κἂν περὶ τῆς πίστεως,

κἂν περὶ ἀγάπης, κἂν περὶ σωφρονισμοῦ δέῃ τι βουλεύσασθαι· ἐκεῖθεν λάμβανε τὰ παραδείγματα. ἢ ἐπειδὴ μὴ τὸ τέλειον τῆς γνώσεως δέδοται, ἀλλ᾽ ὅσον ἐχωροῦμεν ἐν ὑποτυπώσεως λόγῳ· οὐ γάρ ἐστιν ὅρος ἡ ὑποτύπωσις, ἀλλὰ διαζωγράφησίς τις τῆς τῶν πραγμάτων φύσεως· διὰ τοῦτό φησιν, "ὑποτύπωσιν ἔχε ὑγιαι- "νόντων λόγων·" ὑγιαίνοντας δὲ λόγους καλεῖ, ἀντιδιαστέλλων τοῖς νοσώδεσι λόγοις τοῖς τῶν φιλοσόφων. "τὴν καλὴν παραθή- "κην φύλαξον· πῶς;" διὰ Πνεύματος Ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. οὐ γάρ ἐστιν ἀνθρωπίνης ψυχῆς ἢ δυνάμεως τοσαῦτα ἐμπιστευθέντα πρὸς τὴν φυλακὴν ἀρκέσαι, διὰ τὸ πλῆθος τῶν ἐπιβουλευόντων καὶ ἐφεδρευόντων δαιμόνων· ἐὰν οὖν τὸ Πνεῦμα ἔχωμεν παρ᾽ ἡμῖν μένον, ἐὰν μὴ τὴν χάριν ἀπολέσωμεν, παρέσται. εἶτα ἐξηγεῖται τοὺς πειρασμοὺς οὐχὶ καταβαλεῖν τὸν μαθητὴν βουλόμενος, ἀλλὰ διαναστῆσαι, ἵν᾽ εἴ ποτε καὶ αὐτὸς περιπέσοι τούτοις, μὴ ξενοπαθεῖν, πρὸς τὸν διδάσκαλον ἀφορῶν καὶ μεμνημένος πάντων τῶν συμβάντων αὐτῷ.

ΚΕΦ. Β.

Περὶ τῆς ἁρμοζούσης μεταδόσεως τῶν θείων δογμάτων.

15 Οἶδας τοῦτο, ὅτ᾽ ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ
Ἀσίᾳ.

Εἰκὸς ἦν ἐν Ῥώμῃ εἶναι πολλοὺς τότε ἀπὸ τῶν τῆς Ἀσίας μερῶν· ἀλλ᾽ οὐδείς μοι παρέστη, φησὶν, οὐδείς με ἐγνώρισεν, πάντες ἀπηλλοτριώθησαν. καὶ ὅρα τὴν φιλόσοφον αὐτοῦ ψυχήν· εἶπεν τὸ γενόμενον· οὐ κατηράσατο αὐτοῖς, ἀλλὰ τὸν μὲν πράξαντα τοῦτο καὶ ἐπήνεσε, καὶ ἐπεύχεται αὐτῷ μυρία ἀγαθά· ἐκεῖνον δὲ οὐ κατηράσατο, ἀλλὰ τί φησιν;

16 Ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης. δῴη ἔλεος, ὁ
Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυ-
17 ξεν, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπαισχύνθη, ἀλλὰ γενό-
μενος ἐν Ῥώμῃ, σπουδαιότερον ἐπεζήτησέν με καὶ εὗρέν
με.

Τὴν αἰσχύνην, λέγει, οὐ τὸν κίνδυνον, ὥστε μὴ πταιθῆναι τὸν

τὸν Τιμόθεον· καίτοι τὸ πρᾶγμα κινδύνων ἔγεμε· προσέκρουσε γὰρ τότε τῷ Νέρωνι, τινὰ τῶν ἀνακειμένων αὐτῷ οἰκειωσάμενος. οὐ μόνον οὐκ ἔφυγέ μου τὴν συντυχίαν, ἀλλὰ καὶ ἐπεζήτησέ με καὶ εὗρέ με· "δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίῳ, ἐν "ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ "γινώσκεις·" τοιούτους εἶναι χρὴ τοὺς πιστούς, μήτε φόβῳ μήτε ἀπειλῇ μήτε αἰσχύνῃ κωλύεσθαι, ἀλλὰ συμπράττειν ἀλλήλοις, καθάπερ ἐν πολέμῳ παρεστάναι καὶ βοηθεῖν· ἑαυτοῖς γὰρ μᾶλλον ἢ ἐκείνοις χαρίζεσθαι· "δῴη αὐτῷ," φησὶ, "Κύριος εὑρεῖν "ἔλεος παρὰ Κυρίῳ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ," τῇ φοβερᾷ καὶ χαλεπῇ, ἔνθα πολλοῦ ἐλέου χρεία ἡμῖν. ἆρα δὲ δύο Κύριοι; οὐδαμῶς, ἀλλ' ἡμῖν εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἷς Θεός. ἐνταῦθα οἱ τὰ Μαρκίωνος νοσοῦντες ἐπιπηδῶσι τῷ εἰρημένῳ· ἀλλὰ μανθανέτωσαν, ὡς ἔθος τῇ γραφῇ τοῦτο λεγούσῃ, ὅταν περί τινος διαλέγηται· εἶπεν, φησὶν, Ἀβραὰμ, ὅτι οὐ μὴ εἰσέλθῃ Ἀβραὰμ, ἢ ἄλλο τι τοιοῦτο· καὶ οὐκ εἶπεν, ὅτι δῴη αὐτῷ ὁ Κύριος ἕτερόν τι, ἀλλ' ἔλεος.

1 *Σὺ δὲ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ.*

Τουτέστι, στῆθι γενναίως, οἶδας τὴν παράταξιν· ἔχε τὴν χάριν τοῦ Θεοῦ συμμαχοῦσαν καὶ συναγωνιζομένην σοι· εἰ ἐγὼ Παῦλος ταῦτα πάσχω, πολλῷ μᾶλλον σὺ ταῦτα φέρειν ὀφείλεις· εἰ ὁ διδάσκαλος, πολλῷ μᾶλλον ὁ μαθητής.

2 *Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις.*

Πιστοῖς, οὐ ζητητικοῖς, οὐ συλλογιστικοῖς, τοῖς μὴ προδιδοῦσι τὸ κήρυγμα.

ΧΡΥΣΟΣΤΟΜΟΥ. *"Ἃ ἤκουσας·" "ἡ πίστις γὰρ ἐξ ἀκοῆς, ἡ δὲ "ἀκοὴ διὰ ῥήματος Θεοῦ·" τί ἐστι "διὰ πολλῶν μαρτύρων;" ὡς ἂν εἰ ἔλεγεν· οὐ λάθρα ἤκουσας, οὐδὲ κρυφῇ, ἀλλὰ πολλῶν παρόντων· μετὰ παρρησίας, ταῦτα παράθου· οὐκ εἶπεν, εἰπὲ, ἀλλὰ "παράθου," καθάπερ ἐπὶ θησαυροῦ βασιλικοῦ τὸ παρατιθέμενον ἐν ἀσφαλείᾳ παρακατατίθεται.*

Οἵ τινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

Δύο γὰρ χρὴ τὸν διδάσκαλον ἔχειν, καὶ πιστὸν εἶναι καὶ διδακτικόν· οὐ πιστοῖς οὖν μόνον λέγει, παράθου, ἀλλὰ καὶ διδακτικοῖς· τί γὰρ ὄφελος ὅταν πιστὸς μὲν ᾖ, μὴ δύνηται δὲ καὶ εἰς ἑτέρους ἐξάγειν τὴν διδασκαλίαν· ἢ ὅταν αὐτὸς μὲν μὴ προδῷ τὴν πίστιν· ἑτέρους δὲ κατασκευάζει τοιούτους.

ΚΕΦ. Γ.

Περὶ τῆς ἀφροντίδος ἐν τῷ νῦν βιῷ πολιτείας, ἐπὶ ταῖς ἀπόνοις τροφαῖς.

3 Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Χριστοῦ Ἰησοῦ.

Βαβαὶ πόσον τὸ ἀξίωμα, στρατιώτην εἶναι Χριστοῦ; ὥστε οὐ χρὴ δυσχεραίνειν, εἰ κακοπαθεῖς· τοῦτο γὰρ στρατιώτου.

4 Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πρα-
5 γματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ
ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.

Ταῦτα εἴρηται μὲν πρὸς Τιμόθεον· λέγεται δὲ καὶ πρὸς πάντα διδάσκαλον καὶ μαθητὴν δι᾽ ἐκείνου.

Χρυσοστόμου. Τί δέ ἐστιν, "ἐὰν μὴ νομίμως;" οὐκ ἐὰν εἰς τὸν ἀγῶνα κάθηται, φησὶν, ἀρκεῖ τοῦτο, οὐδὲ ἐὰν ἀλείψηται, οὐδὲ ἐὰν συμπλακῇ, ἀλλ᾽ ἐὰν μὴ πάντα τὸν τῆς ἀθλήσεως νόμον φυλάττῃ· καὶ τὸν ἐπὶ σιτίων, καὶ τὸν ἐπὶ σωφροσύνης καὶ σεμνότητος, καὶ τὸν ἐν παλαίστρᾳ, καὶ πάντα ἁπλῶς διεξέλθῃ τὰ τοῖς ἀθληταῖς πρέποντα, οὐδέποτε στεφανοῦται· καὶ ὅρα τοῦ Παύλου τὴν σοφίαν· ἀθλήσεως καὶ στρατιωτῶν ἐμνημόνευσε, τὸ μὲν ὥστε ἑτοίμους εἶναι πρὸς σφαγὰς καὶ φόνους καὶ αἵματα· τὸ δὲ καρτερικῶς, ἵνα φέρῃ πάντα καὶ γενναίως, ἵνα διὰ παντὸς ἐν ἀσκήσει ᾖ.

6 Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.

Σευηριανοῦ. Ἐπειδὴ προλαβὼν εἶπεν, "οὐδεὶς στρατευόμενος "ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις·" ἐζητεῖτο δὲ πῶς μὴ

ἐμπλεκόμενος τύχῃ τῆς χρείας, ἐδείχθη ὅπως ἀπὸ τοῦ Εὐαγγέλίου δεῖ ζῆν.

Χρυσοστόμου. Τὸ μὲν τοῦ στρατιώτου καὶ τοῦ ἀθλητοῦ παράδειγμα καὶ τοῖς ἀρχομένοις κατάλληλον, τὸ δὲ τοῦ γεωργοῦ τῷ διδασκάλῳ· ὁ γεωργὸς οὐχ ἑαυτοῦ ἐπιμελεῖται, ἀλλὰ τῶν καρπῶν καὶ τῆς γῆς, τουτέστιν, οὐ μικρὰν ἀμοιβὴν τῶν πόνων καρποῦται καὶ ὁ γεωργός. ἐνταῦθα καὶ τοῦ Θεοῦ τὸ ἀνενδεὲς δείκνυσι, καὶ τὴν ἀντίδοσιν τῆς διδασκαλίας· εἶτα ἐπειδὴ τὰ παραδείγματα ἔθηκε, καὶ πάντα αἰνιγματωδῶς, "οὐδεὶς," φησὶ, "στεφανοῦται, "ἐὰν μὴ νομίμως ἀθλήσῃ," καὶ εἰπὼν, "τὸν κοπιῶντα γεωργὸν "δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν," ἐπήγαγε.

7 Νόει ἃ λέγω· δώῃ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσιν.

Τίνος ἕνεκεν ταῦτα εἴρηται; ἐν παροιμίᾳ καὶ ἐν παραβολῇ· εἶτα πάλιν τὸ φιλόστοργον αὐτοῦ δεικνὺς, οὐ παύεται ἐπευχόμενος αὐτῷ, ἅτε ὡς ὑπὲρ γνησίου τέκνου δεδοικὼς, καί φησι,

8 Μνημόνευε Ἰησοῦν Χριστὸν ἐπηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυὶδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος.

Ἐνταῦθα τούτου μέμνηται, καὶ πρὸς τοὺς αἱρετικοὺς ἀποτεινόμενος· ἅμα δὲ καὶ ἀνακτώμενος αὐτὸν, καὶ δεικνὺς ὅτι τῶν παθημάτων τὸ κέρδος, ὅτι καὶ αὐτὸς ὁ διδάσκαλος ἡμῶν ὁ Κύριος, διὰ πάθους τὸν θάνατον κατηγωνίσατο· τοῦτόν μνημόνευε, φησὶ, καὶ ἕξεις παράκλησιν ἱκανήν· "ἐκ σπέρματος Δαυίδ·" ἤδη γὰρ ἐξ ἐκείνου ἤρξαντό τινες τὴν οἰκονομίαν ἀνατρέπειν, ἐπαισχυνόμενοι τῷ μεγέθει τῆς τοῦ Θεοῦ φιλανθρωπίας· τοιαῦτα γὰρ ἦν, ἃ εὐεργέτησεν ἡμᾶς ὁ Θεὸς, ὡς τοὺς ἀνθρώπους αἰσχύνεσθαι περιάπτειν αὐτὰ τῷ Θεῷ, καὶ ἀπιστεῖν ὅτι τοσοῦτον κατέβη· "κατὰ "τὸ εὐαγγέλιόν μου," φησί· πανταχοῦ τοῦτο τίθησι τῶν ἐπιστολῶν· ἐπεὶ δὲ αὐτῷ πείθεσθαι ἐχρῆν, ἐπειδὴ καὶ ἕτεροι ἦσαν εὐαγγελιζόμενοι ἕτερα.

Ἐν ᾧ κακοπαθῶ ὡς κακοῦργος μέχρι δεσμῶν.

Πάλιν παρ' ἑαυτοῦ τὴν παραμυθίαν εἰσάγει, καὶ τὴν προτροπήν· ἀλλὰ τί τούτου τὸ χρήσιμον καὶ τὸ θαυμαστόν;

Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται.

Εἰ μὲν γὰρ κοσμικοὶ ἦμεν στρατιῶται, φησὶν, ἴσχυσεν ἂν ταῦτα τὰ δεσμὰ, τὰ χεῖρας κατέχοντα· νῦν δὲ τοιούτους ἡμᾶς ἐποίησεν ὁ Θεὸς ὡς μηδὲν καταγωνίζεσθαι ἡμῶν· δεσμοῦνται γὰρ αἱ χεῖρες, ἀλλ᾽ οὐχ ἡ γλῶττα· ἡμῶν γὰρ δεδεμένων, ὁ εὐαγγελικὸς λόγος λέλυται καὶ τρέχει· τοῦτο εἰς προτροπὴν τῶν λελυμένων· εἰ ἡμεῖς δεδεμένοι κηρύττομεν, πολλῷ μᾶλλον ὑμᾶς τοὺς λελυμένους τοῦτο ποιεῖν χρή.

10 Καὶ ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτοὺς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου.

Ἐξὸν, φησὶν, ἀκινδύνως ζῆν, καὶ μηδὲν τούτων πάσχειν, εἴγε τὰ ἐμαυτοῦ ἐσκόπουν, ἀλλὰ ταῦτα πάσχω ὑπὲρ ἀλλοτρίων ἀγαθῶν, ἵνα ἄλλοι τύχωσι ζωῆς αἰωνίου. εἰ γὰρ ὁ Θεὸς αὐτοὺς ἐξελέξατο, πάντα ἡμᾶς δεῖ πάσχειν ὑπὲρ αὐτῶν, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν, ὡς ἂν εἰ καὶ ἡμεῖς, φησί· καὶ γὰρ καὶ ἡμᾶς ὁ Θεὸς ἐξελέξατο. ὥσπερ δὲ ὁ Θεὸς δι᾽ ἡμᾶς ἔπαθεν, οὕτω καὶ ἡμεῖς δι᾽ ἐκείνους· ὥστε ἀνταπόδοσίς ἐστι τὸ πρᾶγμα, καὶ οὐ χάρις. ποίας δέ; ἵνα τύχωσι σωτηρίας, οὐ ταύτης, ἀλλὰ τῆς ἐν Χριστῷ Ἰησοῦ, τῆς ὄντως σωτηρίας, μετὰ δόξης αἰωνίου.

ΚΕΦ. Δ.

Περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ ὑπομονῆς ἐπ᾽ ἐλπίδι ζωῆς.

11 Πιστὸς ὁ λόγος.

Ὅτι ὁ ζωῆς τυχὼν οὐρανίου, καὶ αἰωνίου τεύξεται, πόθεν πιστός; "εἰ γὰρ συναπεθάνομεν," φησὶ, "καὶ συζήσομεν·" εἰπὲ "γάρ μοι, ἐν τοῖς σκυθρωποῖς κοινωνοῦμεν αὐτῷ καὶ ἐν τοῖς κόποις ἔχουσι, καὶ ἐν τοῖς χρηστοῖς οὐκέτι; ἀλλὰ τοῦτο οὐκ ἂν οὐδὲ ἄνθρωπος ποιήσειεν τὸν ἑλόμενον αὐτῷ συναποθανεῖν, εἴ ποτε ἐν ἀνέσει γένοιτο, οὐχ αἱρούμενος αὐτῷ γενέσθαι κοινωνόν· ποῦ δὲ συναπεθάνομεν; διὰ τοῦ λουτροῦ καὶ διὰ τῶν παθημάτων. φησὶ γὰρ "τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες," καὶ "συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος·" ἐνταῦθα δὲ τὸν τῶν πειρασμῶν λέγει μᾶλλον.

13 Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει, ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται.

Τουτέστιν, εἰ ἀπιστοῦμεν ὅτι ἀνέστη, οὐδὲν ἀπὸ τούτου βλάπτεται ἐκεῖνος· ἀληθές ἐστι, βέβαιός ἐστιν· εἰ τοίνυν οὐδὲν παρ' ἡμῶν βλάπτεται τῶν ἀρνουμένων, δι' οὐδὲν ἕτερον ἀπαιτεῖ τὴν ὁμολογίαν ἡμῶν, ἀλλ' ἢ διὰ τὸ χρήσιμον· ἵνα δὲ μή τις νομίσῃ τὸν Τιμόθεον τούτων δεῖσθαι, ἐπήγαγε,

14 Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου, μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

Φοβερὸν τὸ ἐπὶ μάρτυρος τοῦ Θεοῦ λέγειν, τότε παραδοῦναι αὐτόν.

15 Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

Τί δήποτε πολλὴν περὶ τῆς αἰσχύνης ποιεῖται τὴν σπουδήν; ἐπειδὴ πολλοὺς ἦν εἰκὸς ἐπαισχύνεσθαι τὸν Παῦλον αὐτὸν, ἅτε σκηνοποιὸν ὄντα, καὶ τὸ κήρυγμα ὡς τῶν διδασκάλων ἀπολλυμένων, ὡς τοῦ Χριστοῦ σταυρωθέντος, μὴ ἐπαισχυνθῇς, φησὶ, μηδὲν ὅλως αἰσχύνου τῶν εἰς εὐσέβειαν ἡκόντων, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας· πολλοὶ γὰρ αὐτὸν παρασπῶσι πάντοθεν καὶ παρέλκουσι· τέμνε οὖν τὰ νόθα μετὰ πολλῆς τῆς σφοδρότητος τῇ μαχαίρᾳ τοῦ Πνεύματος.

16 Τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο.

Ὅταν γάρ τι κενὸν ἐπεισενεχθῇ, ἀεὶ καινοτομίας τίκτει καὶ οὐδαμοῦ ἵσταται.

17 Ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν, ὡς γάγγραινα νομὴν ἕξει.

Οὐκέτι ἰατρείᾳ κατασχεθῆναι δυνάμενοι· ἑκόντες γὰρ ἀπεπλανήθησαν· μάλιστα γὰρ οὗτοί εἰσιν ἀδιόρθωτοι.

18 Ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός· οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τὴν τινῶν πίστιν.

Καλῶς εἶπεν, "ἐπὶ πλέον γὰρ προκόψουσι·" δοκεῖ γὰρ τοῦτο μόνον εἶναι τὸ δεινόν· ὅρα δὲ πόσα ἐξ αὐτοῦ τίκτεται δεινά· εἰ γὰρ ἤδη ἡ ἀνάστασις, οὐ τοῦτο μόνον ζημιούμεθα, ὅτι τῆς μεγάλης δόξης ἀπεστερήμεθα, ἀλλὰ καὶ τὰ τῆς κρίσεως ἀνῄρηται. εἰ γὰρ ἤδη ἡ ἀνάστασις, καὶ ἡ ἀνταπόδοσις, οὐκοῦν ἀπέλαυσαν μὲν οἱ ἀγαθοὶ τῶν θλίψεων καὶ τῶν ὀδυνῶν, κολάζονται δὲ οἱ πονηροί. καλῶς γε ἐν τρυφῇ ὄντες πολλῇ, καὶ ἀνατρέπουσι τὴν τινῶν πίστιν, οὐ πάντων, ἀλλά τινῶν· εἰ γὰρ ἀνάστασις οὐκ ἔστι, καὶ τὰ τῆς πίστεως ἀνατέτραπται· καὶ εἰ ἀνάστασις οὐκ ἔστι, κενὸν τὸ κήρυγμα ἡμῶν· οὐδὲ Χριστὸς ἀνέστη· εἰ δὲ μὴ ἀνέστη, οὐ δὲ ἐγεννήθη, οὐ δὲ εἰς οὐρανοὺς ἀνῆλθεν.

19 Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.

Δείκνυσιν ὅτι καὶ πρὸ τοῦ ἀνατραπῆναι οὐκ ἦσαν βέβαιοι· οὐ γὰρ ἂν ἐτράπησαν ἀπὸ πρώτης προσβολῆς· ὥσπερ οὖν οὐδὲ Ἀδὰμ πρὸ τῆς ἐντολῆς βέβαιος ἦν· οἱ γὰρ πεπηγότες οὐ μόνον οὐδὲν πάσχουσιν ὑπὸ τῶν ἀπατώντων, ἀλλὰ καὶ θαυμάζονται· ὡς στερεὸς, φησὶ, καὶ θεμέλιος, οὕτως ἔχεσθαι δεῖ τῆς πίστεως ἔχειν τὴν σφραγῖδα ταύτην· τί ἐστιν "ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ;" ἀπὸ τοῦ Δευτερονομίου αὐτὸ ἔλαβεν, τουτό ἐστιν αἱ στερεαὶ ψυχαὶ ἑστήκασι πεπηγυῖαι καὶ ἀκίνητοι· πόθεν δὲ δῆλοί εἰσιν; ἀπὸ τοῦ τὰ γράμματα ταῦτα ἔχειν ἐπὶ τῶν πραγμάτων, ἀπὸ τοῦ γνωρίζεσθαι ὑπὸ τοῦ Θεοῦ καὶ μὴ συμπαραπόλλυσθαι, καὶ ἀπὸ τοῦ ἀφεστάναι ἀπὸ ἀδικίας, ταύτην ἔχειν δεῖ τὴν σφραγῖδα ἐμπεπηγμένην ἐπὶ τῶν πραγμάτων.

20 Ἐν μεγάλῃ δὲ οἰκίᾳ, οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν.

Χρυσοστόμου. Μὴ σὲ ταραττέτω, φησὶν, ὅτι εἰσὶν ἄνθρωποι πονηροί· καὶ γὰρ ἐν μεγάλῃ οἰκίᾳ ἐστὶ σκεύη τοιαῦτα, ἀλλ' οὐ τῆς αὐτῆς, φησὶν, ἀπολαύει τιμῆς· ἀλλὰ τὰ μέν ἐστιν εἰς τιμὴν, τὰ δὲ εἰς ἀτιμίαν. ναί· ἀλλ' ἐνταῦθα μὲν χρῆσιν τινὰ πληροῖ,

ἐπὶ δὲ τοῦ κόσμου τί; οὐχὶ κέχρηται αὐτοῖς τούτοις πρὸς ἕτερα ὁ Θεός· οἷον ὁ κενόδοξος, πολλὰ οἰκοδομεῖ· ὁ πλεονέκτης, ὁ ἔμπορος, ὁ κάπηλος, ὁ ἄρχων· ἔστι γὰρ ἐν τῷ κόσμῳ αὐτοῖς ἁρμόζοντα, τὸ δὲ χρυσοῦν σκεῦος οὐδὲν τοιοῦτον, ἀλλὰ περὶ τὴν τράπεζαν στρέφεται τὴν βασιλικήν· οὐ τοῦτο οὖν φησὶν, ὅτι ἀναγκαῖον πρᾶγμα ἡ πονηρία; πῶς γάρ; ἀλλ' ὅτι καὶ αὐτοὶ ἔχουσιν ἔργον· εἰ γὰρ πάντες ἦσαν καρτερικοὶ, οὐκ ἔδει οἰκοδομημάτων· εἰ πάντες τρυφῆς ἦσαν ἀπηλλαγμένοι, οὐκ ἔδει ἐδεσμάτων, ἢ λαμπρᾶς οἰκοδομῆς, εἰ τῆς χρείας ἐπεμελοῦντο πάντες.

21 Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον.

Χρυσοστόμου. *Ὁρᾷς ὅτι οὐ φύσεως, οὐδὲ ὑλικῆς ἀνάγκης ἐστὶ τὸ εἶναι χρυσοῦν ἢ ὀστράκινον, ἀλλὰ τῆς ἡμετέρας προαιρέσεως; σκεῦος ὀστράκινον ἦν Παῦλος, ἀλλ' ἐγένετο χρυσοῦν· σκεῦος χρυσοῦν ἦν Ἰούδας, ἀλλ' ἐγένετο ὀστράκινον. πῶς οὖν ἀλλαχοῦ φησιν, "ἔχοντες τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν;" ἐκεῖ τὴν φύσιν αὐτήν φησίν· ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· σκεῦος ὀστράκινον ἡμῶν τὸ σῶμα· ὥσπερ γὰρ τὸ ὀστράκινον οὐδὲν ἄλλο ἐστὶν ἢ πηλὸς ὠπτημένος, οὕτω καὶ τὸ σῶμα τὸ ἡμέτερον, οὐδὲν ἄλλο ἐστὶν ἢ πηλὸς τῇ θερμότητι τῆς ψυχῆς στερεούμενος. ἐκεῖ οὖν περὶ φύσεως διαλέγεται, ἐνταῦθα δὲ περὶ προαιρέσεως· "ἐὰν οὖν "τις ἐκκαθάρῃ ἑαυτὸν," τουτέστι τελείως καὶ παντελῶς, ἔστι σκεῦος εἰς τιμὴν ἡγιασμένον, καὶ εὔχρηστον τῷ δεσπότῃ. ἄρα ἐκεῖνα ἄχρηστα, εἰ καί τινα χρείαν ἐπιτελεῖ, ἀλλ' οὐκ εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. δεῖ τοίνυν πρὸς πάντα παρεσκευάσθαι, κἂν πρὸς θάνατον, κἂν πρὸς μαρτύριον, κἂν πρὸς παρθενίαν.*

ΚΕΦ. Ε.

Περὶ θείας διδασκαλίας καὶ βίου καθαροῦ καὶ εἰρηνικοῦ καὶ κατὰ τῶν ἐναντίων.

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε.

Ἀντὶ τοῦ πᾶσαν ἐπιθυμίαν ἄτοπον νεωτερικήν· ταῦτα φεῦγε· "δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικα- "λουμένων τὸν Κύριον, ἐκ καθαρᾶς καρδίας." δικαιοσύνην τὴν

καθόλου ἀρετὴν λέγει, τὴν ἐν τῷ βίῳ εὐσέβειαν, "μετὰ τῶν ἐπι-"καλουμένων τὸν Κύριον," τουτέστιν, ἐκείνοις θάρρει μόνοις, τοῖς ἀνυποκρίτως καὶ ἀδόλως προσιοῦσι· μετὰ δὲ τῶν ἄλλων οὐ χρὴ πρᾷον εἶναι, ἀλλὰ μόνον εἰρηνεύειν τὸ ἐξ αὐτοῦ.

23 Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ.

Ὁρᾷς πῶς πανταχοῦ αὐτὸν ἀπάγει τῶν ζητήσεων; οὐ διὰ τὸ μὴ ἔχειν ἱκανῶς ἀνατρέπειν αὐτὰς, εἶχε γὰρ, ἀλλ' οἶδεν ἄχρηστον ὂν τὸ καθιέναι ὅλως εἰς τούτους τοὺς ἀγῶνας, καὶ ὅτι οὐδὲν ἔσται ὅλως ἢ μάχη καὶ ἀπέχθεια. ταύτας οὖν τὰς ζητήσεις παραιτοῦ· ὥστε εἰσὶν ἕτεραι ζητήσεις, αἱ περὶ γραφῶν, αἱ περὶ τῶν ἄλλων.

24 Οὐ δεῖ οὖν μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας.

Πῶς οὖν λέγει, "ἔλεγχε αὐτὸν μετὰ πάσης ἐπιταγῆς," καὶ ἐνταῦθα πάλιν, "μηδείς σου τῆς νεότητος καταφρονείτω·" καὶ πάλιν, "ἔλεγχε αὐτοὺς ἀποτόμως;" ὅτι καὶ τοῦτο πρᾳότης ἐστίν· ὁ γὰρ σφοδρὸς ἔλεγχος ὅταν μετὰ ἐπιεικείας γένηται, ὁ μάλιστα δυνάμενος δακεῖν, οὗτός ἐστι διδακτικὸς πρὸς πάντας βουλομένους διδαχθῆναι· "αἱρετικὸν," γάρ φησιν, "ἄνθρωπον, μετὰ μίαν καὶ "δευτέραν νουθεσίαν παραιτοῦ·" "ἀνεξίκακον," μάλιστα γὰρ τοῦτο ἔχειν χρὴ, ἐπεὶ πάντα μάτην γίνεται· συμβαίνει γὰρ τῆς συνεχοῦς διδασκαλίας κατελθόντα τὸν καρπὸν ἐκκόψαι τὸ ἐνοχλοῦν τῆς ψυχῆς πάθος· ὁ γὰρ μυριάκις ἀκούσας πείσεταί τι.

25 Ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους.

Μάλιστα γὰρ τὸν διδάσκοντα τοῦτο χρὴ ποιεῖν· οὐ γὰρ ἔνι ψυχὴν δεομένην μαθεῖν μετὰ θρασύτητος καὶ μάχης δυνηθῆναί τι τῶν χρησίμων συνιδεῖν· δεῖ γὰρ τὸν μέλλοντά τι τῶν χρησίμων μανθάνειν, πρὸ τῶν ἄλλων ἁπάντων, ἡδέως ἔχειν πρὸς τὸν διδάσκοντα· ἡδέως δὲ οὐκ ἄν τις ἔχοι πρὸς τὸν θρασυνόμενον καὶ ὑβρίζοντα· "πῶς οὖν αἱρετικόν," φησιν, "ἄνθρωπον μετὰ μίαν "καὶ δευτέραν νουθεσίαν;" παρὰ τοῦ τὸν ἀδιόρθωτον λέγει, ὃν οἶδας ἀνίατα νοσοῦντα.

Μήποτε δῷ αὐτοῖς ὁ Κύριος μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς παγίδος τοῦ διαβόλου.

Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἴσως ἔσται διόρθωσις· τὸ δὲ ἴσως

ἐπὶ τῶν ἀδήλων ἐστίν· ὥστε ἐκείνων ἀφίστασθαι μόνον χρὴ, περὶ ὧν δυνάμεθα σαφῶς ἀποφήνασθαι, ὅτι οὐδ᾽ ἂν ὁτιοῦν γένηται, μεταστήσονται.

26 Ἐζωγρημένους ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

Καλῶς εἶπεν ἐζωγρημένοι· τέως γὰρ ἐν πλάνῃ νήχονται· ὁρᾷς πῶς διδάσκει μετριοφρονεῖν; οὐκ εἶπε, μήποτε δυνηθῇς, ἀλλὰ μήποτε δῷ αὐτοῖς ὁ Κύριος ἀνανῆψαι· μήποτε τοίνυν διακεώμεθα ὡς αὐτοὶ τινὰ πείσοντες κἂν πείσωμεν· "καὶ ζωγρηθέντες," φησὶν, "ὑπ᾽ αὐτοῦ, εἰς τὸ ἐκείνου θέλημα·" τοῦτο δὲ οὐ περὶ δογμάτων ἄν τις εἴποι, ἀλλὰ καὶ περὶ βίου· τὸ δὲ "μήποτε" πολλῆς μακροθυμίας ἐστὶ, καὶ τὸ μὴ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ, παγὶς διαβολική.

ΚΕΦ. ϛ.

Πρόρρησις περὶ κακίας ἀνθρώπων πλεοναζούσης, ἀπατηλῆς ἐλεγχομένης.

1 Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί.

Οὐχὶ τὰς ἡμέρας λέγει, οὐδὲ τοὺς καιροὺς, ἀλλὰ τοὺς ἀνθρώπους τοὺς τότε ὄντας· καὶ γὰρ ἡμῖν οὕτω λέγειν ἔθος ἐστίν· καιροὺς πονηροὺς καὶ μὴ πονηροὺς, ἀπὸ τῶν ἐν αὐτοῖς συμβαινόντων πραγμάτων, ἀπὸ τῶν ἀνθρώπων.

2 Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι.

Ὁ φίλαυτος οὗτός ἐστιν, ὁ μάλιστα ἑαυτὸν φιλῶν, ὁ δὲ φιλάδελφος οὗτος μάλιστά ἐστιν ὁ ἑαυτὸν ἀγαπῶν· ἀπὸ τούτου ἡ φιλαργυρία. τὴν γὰρ ἀγάπην πλατεῖαν οὖσαν καὶ πανταχοῦ ἐκκεχυμένην συστέλλει καὶ εἰς βραχὺ συνάγει τὸ τῆς φιλαυτίας ὀλέθριον καὶ πικρόν. "φιλάργυροι·" ἀπὸ τούτου ἀλαζονεία τίκτεται, ἀπὸ τῆς ἀλαζονείας ὑπερηφανία, ἀπὸ τῆς ὑπερηφανίας βλασφημία, ἀπὸ τῆς βλασφημίας ἀπόνοια καὶ ἀπείθεια. ὁ γὰρ κατὰ ἀνθρώπων ἐπαιρόμενος εὐκόλως καὶ κατὰ τοῦ Θεοῦ· οὕτω καὶ τὰ ἁμαρτήματα τίκτεται, πολλάκις κάτωθεν ἄνω ἄνεισιν. ὁ πρὸς τοὺς ἀνθρώπους εὐλαβὴς, πολλῷ μᾶλλον πρὸς τὸν Θεόν· ὁ πρὸς ὁμοδούλους ἐπιεικὴς, πολλῷ μᾶλλον πρὸς τὸν δεσπότην· ὁ δὲ

ὁμοδούλων καταφρονῶν, ὁδῷ προβαίνων, καὶ αὐτοῦ καταφρονήσει τοῦ Θεοῦ.

Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι.

ΘΕΌΔΩΡΟΣ. Φίλαυτοί εἰσιν οἱ πάντα πρὸς τὴν ἑαυτῶν ὠφέλειαν ποιοῦντες. "ἀλαζόνες," καυχώμενοι ἔχειν ἃ μὴ ἔχουσιν. "ὑπερήφανοι," μεγάλα φρονοῦντες ἐπὶ τοῖς οὖσιν. "βλάσφημοι," κατηγορίαις χαίροντες. "ἀνόσιοι," ἐπιμέλειαν τοῦ δικαίου μὴ ποιούμενοι. "ἄστοργοι," περὶ οὐδένα σχέσιν ἔχοντες. "ἄσπονδοι," οὐ βέβαιοι περὶ τὰς φιλίας, οὐδὲ ἀληθεῖς περὶ ἃ συντίθενται. "διάβολοι·" ταῦτά τε ἐκεῖ, ἐκεῖνα ἐνταῦθα λέγοντες, ἐπὶ τῷ κατεργάζεσθαι μάχην. "ἀκρατεῖς," ἥττους τῶν παθῶν. "ἀνήμεροι," οὐδεμιᾶς χρηστότητος ἐπιμελούμενοι. "τετυφωμένοι," μεγάλα φρονοῦντες ἐπὶ τοῖς μὴ προσοῦσι· διαφέρει δὲ τοῦ ἀλαζόνος τῷ τὸν μὲν τετυφωμένον ἀπὸ τῆς γνώμης λέγειν, ἀλαζόνα δὲ τὸν ἐπὶ ῥήματι καυχώμενον.

ΧΡΥΣΟΣΤΌΜΟΥ. Ὁ ἀχάριστος δὲ ἀνόσιος εἰκότως· ὁ γὰρ περὶ τὸν εὐεργέτην ἀχάριστος, τίς ἂν γένοιτό ποτε περὶ τοὺς ἄλλους; ὁ ἀχάριστος, ἄσπονδος, ὁ ἀχάριστος, ἄστοργος· "διάβολοι," φησὶ, τουτέστι κατήγοροι· οἱ γὰρ μηδὲν ἑαυτοῖς συνειδότες ἀγαθὸν, ὥσπερ τινὰ παραμυθίαν ἔχοντες τὸ τῶν ἄλλων τὰς ὑπολήψεις βλασφημεῖν, μυρία πλημμελοῦσι καὶ ἁμαρτάνουσιν· "ἀκρατεῖς," πάντων τῶν παθῶν· "ἀνήμεροι·" ἐντεῦθεν ἡ ὠμότης, ἐντεῦθεν ἡ ἀπήνεια, ὅταν τις φιλάργυρος ᾖ, ὅταν φίλαυτος, ὅταν ἀχάριστος, ὅταν λάγνος. "ἀφιλάγαθοι, προδόται φιλίας, προπετεῖς, οὐδὲν βέβηκὸς ἔχοντες, τετυφωμένοι, ἀπονοίας πεπληρωμένοι."

4 Φιλήδονοι μᾶλλον ἢ φιλόθεοι,
5 ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι.

Καὶ ἐν τῇ πρὸς Ῥωμαίους γράφων, οὕτω πως φησὶν, "ἔχοντες μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ." ἐκεῖ μὲν ἐπαινῶν αὐτὸ τίθησιν· ἐνταῦθα δὲ παρὰ πάντα τὰ ἐλαττώματα χαλεπώτερον αὐτὸ δείκνυσι τὸ ἁμάρτημα· τί δή ποτε; ὅτι οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον αὐτὸ ἔλαβεν. ὥσπερ γὰρ τὴν εἰκόνα, πολλάκις μὲν εἰς ὁμοίωσιν λαμβάνει, πολλάκις δὲ εἰς τὸ ἄψυχον καὶ οὐδαμινὸν, οἷον καθάπερ καὶ αὐτὸς φησὶ, γράφων, "ἀνὴρ μὲν

"γὰρ οὐκ ὀφείλει κατακάμπτεσθαι τὴν κεφαλὴν, καὶ εἰκὼν καὶ "δόξα Θεοῦ ὑπάρχων·" καὶ πάλιν ὁ προφήτης "πλὴν ἐν εἰκόνι "διαπορεύεται ἄνθρωπος·" καὶ τὸν λέοντα, ποτὲ μὲν εἰς τὸ βασιλικὸν λαμβάνει· "ἐκοιμήθη," φησὶν, "ὡς λέων, καὶ ὡς σκύμνος "λέοντος, τίς ἐγερεῖ αὐτόν;" ποτὲ δὲ εἰς τὸ ἁρπακτικὸν, "ὡς "λέων ἁρπάζων καὶ ὠρυόμενος·" οὕτω καὶ ἡμεῖς τὸ αὐτὸ ποιοῦμεν· ἐπειδὴ γὰρ τὰ πράγματα σύνθετά ἐστι καὶ ποικίλα, εἰκότως εἰς πολλὰς εἰκόνας καὶ παραδείγματα εἴληπται· οὕτως καὶ ἐν τῇ μορφῇ· ἐκεῖ μὲν ὅτι τύπος τις καὶ εἰκὼν καὶ διδασκαλία ἐστὶ, καὶ ἀρχέτυπον τῆς εὐσεβείας· ἐνταῦθα δὲ ὅτι ἄψυχον καὶ νεκρὸν, καὶ σχῆμα μόνον καὶ τύπον καὶ ὑπόκρισιν δηλοῖ· οὐδὲν γὰρ κέρδος πίστεως, ὅταν μηδὲν πράττῃ τῶν τὴν εὐσέβειαν χαρακτηριζόντων· "τούτους οὖν," φησὶν, "ἀποτρέπου," ἀλλ' ἐν ὑστέροις οἱ τοιοῦτοι ἔσονται. πῶς, φησὶ, "τούτους ἀποτρέπου;" εἰκὸς μὲν καὶ τότε τοιούτους εἶναί τινας, τὸ δὲ ἀληθέστερον δι' ἐκείνου πᾶσιν παραινεῖ.

6 Ἐκ τούτων γὰρ εἰσὶν οἱ ἐνδύνοτες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα.

Ὁρᾷς αὐτοὺς τῇ τοῦ ἀρχαίου ἀπάτῃ κεχρημένους τῷ ὅπλῳ, ᾧ καὶ ὁ διάβολος κατὰ τοῦ Ἀδὰμ ἐχρήσατο· εἶδες τὸ ἀναίσχυντον πῶς ἐδήλωσε διὰ τοῦ εἰπεῖν "ἐνδύνοντες," τὸ ἄτιμον, τὴν ἀπάτην, τὴν κολακείαν; "καὶ αἰχμαλωτίζοντες γυναικάρια·" γυναικῶν γὰρ τὸ ἀπατᾶσθαι, μᾶλλον δὲ οὐ γυναικῶν, ἀλλὰ γυναικαρίων. "σεσωρευμένα." ὁρᾷς πόθεν κἀκείναις γίνεται τὸ πείθεσθαι ἀπὸ τῶν ἁμαρτημάτων, καὶ σφόδρα κυρίως εἶπεν "σεσωρευμένα·" τὸ πλῆθος γὰρ τῶν ἁμαρτημάτων συνίστησι, καὶ τὸ ἄτακτον, καὶ τὸ συγκεχυμένον, "ἀγόμενα ἐπιθυμίαις ποικίλαις," οὐ τῆς φύσεως κατηγόρησεν· οὐ γὰρ ἁπλῶς εἶπεν γυναῖκας, ἀλλὰ τοιάσδε γυναῖκας· διὰ δὲ τοῦ "ποικίλαις" πολλὰ ᾐνίξατο, τὴν τρυφὴν, τὴν ἀσχημοσύνην, τὴν λαγνείαν, τὴν φιλοχρηματίαν, τὴν αὐθάδειαν, τὴν τιμήν· ἴσως καὶ ἑτέρας αἰσχρὰς ἐπιθυμίας αἰνίττεται· "πάν"τοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν

" δυνάμενα." ἐπειδὴ γὰρ ἑαυτὰς κατέχωσαν ταῖς ἐπιθυμίαις ἐκείναις καὶ τοῖς ἁμαρτήμασιν, ἐπορώθη αὐτῶν ἡ διάνοια.

8 Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ, οὕτω καὶ οὗτοι ἀντιστήσονται τῇ ἀληθείᾳ.

Οὗτοί εἰσιν οἱ μάγοι οἱ ἐπὶ τοῦ Μωσέως. πόθεν δὲ αὐτῶν τὰ ὀνόματα; οὐδαμοῦ γὰρ ἐμφέρεται ἀλλαχοῦ. ἢ ἀγράφως παραδέδοτο, ἢ ἀπὸ τοῦ Πνεύματος εἰκὸς ἦν εἰδέναι τὸν Παῦλον.

Οὕτως καὶ οὗτοι ἀντιστήσονται τῇ ἀληθείᾳ· ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν· ἀδόκιμοι περὶ τὴν πίστιν.
9 ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλέον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο.

Πῶς οὖν λέγει ἀλλαχοῦ; " καὶ προκόψουσιν ἐπὶ πλέον ἀσε- " βείας·" ἐνταῦθα δὲ " οὐ προκόψουσιν." ἐκεῖ τοῦτό φησιν, ὅτι ἀρχόμενοι καινοτομεῖν καὶ πλανᾷν οὐ στήσονται τῆς πλάνης, ἀλλ' ἀεὶ ἐξευρήσουσιν ἀπάτας καινὰς καὶ δόγματα διεφθαρμένα· ἐνταῦθα δὲ τοῦτό φησιν, ὅτι οὐκ ἀπατήσουσι, κἂν παρὰ τὴν ἀρχὴν δόξωσί τινας παρακρούεσθαι, ἀλλ' εὐφώρατοι ταχέως ἔσονται· διὰ τοῦτο ἐπιφέρει, " ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν·" πόθεν τοῦτο; ὥσπερ " καὶ ἡ ἐκείνων ἐγένετο·" πανταχόθεν γὰρ κἂν πρὸς καιρὸν ἀνθήσῃ τὰ τῆς πλάνης, εἰς τέλος οὐ διαμένει.

Ἄλλος δέ φησιν, ἀνωτέρω ἐπὶ τῶν ἀπατωμένων λέγει, ὡς ἂν οὐδέποτε ἐπιλειψόντων αὐτοῖς τῶν πειθομένων οἷς λέγουσιν· ἐνταῦθα δὲ παρὰ τοῖς τῆς ἀληθείας δοκιμασταῖς οὐ προκόπτειν αὐτοὺς φησίν· οἱ γὰρ ἐν ἀρχῇ πολλάκις οὔπω τὰ κατ' αὐτοὺς εἰδότες, τῷ σχήματι δελεάζονται· τῷ χρόνῳ μέντοι τὴν ἐνοῦσαν αὐτοῖς τῶν δογμάτων διαφορὰν ἐπιγινώσκουσιν.

ΚΕΦ. Ζ.

Προτροπὴ τῆς ἑαυτοῦ μιμήσεως ἐξ ἐναντίου τοῖς φαύλοις, ἐν ὑπομονῇ Θεοῦ.

10 Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ.

Χρυσοστόμου. *Ὥστε ἰσχυρὸς ἔσο· ἐνταῦθα τὸν χρόνον σημαίνει πολὺν γεγενῆσθαι, ἀπὸ τοῦ εἰπεῖν, " παρηκολούθηκας τῇ*

“διδασκαλίᾳ·” τοῦτο περὶ λόγου· “τῇ ἀγωγῇ,” τοῦτο περὶ βίου· “τῇ προθέσει,” τοῦτο περὶ προθυμίας καὶ τοῦ παραστήματος τῆς ψυχῆς· “τῇ μακροθυμίᾳ·” πῶς οὐδέν με τούτων ἐτάρασσε; “τῇ ἀγάπῃ·” ὅπερ οὐκ εἶχον οὗτοι· “τῇ ὑπομονῇ,” ὅπερ οὐδὲ τοῦτο· “τῇ μακροθυμίᾳ,” φησὶ πρὸς τοὺς αἱρετικούς· “τῇ ὑπομονῇ,” πρὸς τοὺς διωγμούς· τοῖς λογισμοῖς[a], “τοῖς παθήμασιν·” δύο γὰρ ταῦτα ταράττει τὸν διδάσκαλον, τὸ αἱρετικοὺς εἶναι πολλούς, καὶ τὸ διώκεσθαι.

11 Οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις.

Τούτων ἴσως ὡς νεαρῶν μέμνηται καὶ γνωρίμων αὐτῷ· ταῦτα δὲ οὐ πρὸς ἐπίδειξιν λέγει, ἀλλὰ πρὸς παραμυθίαν τοῦ μαθητοῦ. Ἀντιόχειαν δὲ τὴν Πισιδίας ἐνταῦθά φησιν. ἐν Ἰκονίῳ τινές φασι διὰ Θέκλαν· ἐν Λύστροις, ὅθεν ἦν ὁ Τιμόθεος· τινὲς δὲ πάλιν φασὶ διὰ τὴν ἔχουσαν τὸ πνεῦμα τοῦ Πύθωνος.

Οἵους διωγμοὺς ὑπέμεινα.

Ἀμφότερα παρακλήσεως, ὅτι καὶ ἐγὼ προθυμίαν παρειχόμην γενναίαν, καὶ οὐκ ἐγκατελείφθην.

12 Ἐκ πάντων γάρ με ἐρρύσατο ὁ Κύριος· καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ διωχθήσονται.

Τί δὲ ὅλως, φησὶ, λέγω περὶ ἐμαυτοῦ; ἕκαστος τῶν θελόντων εὐσεβῶς ζῆν διωχθήσεται. τὰς θλίψεις ἐνταῦθά φησι καὶ τὰς ὀδύνας· καὶ γὰρ οὐκ ἔνι ἄνδρα τὴν τῆς ἀρετῆς ὁδὸν ὁδεύοντα μὴ εἶναι ἐν λύπῃ, ἢ χωρὶς εἶναι θλίψεως καὶ πειρασμῶν.

13 Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.

Μηδέν σε θορυβείτω, φησὶν, εἰ ἐκεῖνοι μὲν ἐν εὐθηνίᾳ, σὺ δὲ ἐν πειρασμοῖς· τοιαύτη γὰρ ἡ τοῦ πράγματος φύσις ἐστίν· ἐκ τῶν ἐμῶν δύνασαι μαθεῖν, ὅτι οὐκ ἔνι ἄνδρα πολεμοῦντα τοῖς πονηροῖς μὴ εἶναι ἐν θλίψει.

14 Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ
15 τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα

[a] Leg. διωγμοῖς.

οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

Καθάπερ ὁ προφήτης Δαβὶδ παρῄνεσε μὴ παρὰ ζῆλον ἐν πονηρευομένοις, τοῦτο καὶ αὐτὸς παραινεῖ λέγων· "σὺ δὲ μένε ἐν οἷς "ἔμαθες καὶ ἐπιστώθης·" τουτέστιν, ἐπίστευσας ὅτι αὕτη ἐστὶν ἡ ζωὴ, κἂν ἐναντία τοίνυν ὁρᾷς ἐνταῦθα ὢν ἐπίστευσας, μὴ θορυβοῦ, ἐπεὶ καὶ Ἀβραὰμ ἤκουσεν, "ἐν Ἰσαὰκ κληθήσεταί σοι "σπέρμα," καὶ τὸν Ἰσαὰκ σφάξαι ἐκελεύετο, καὶ οὐδὲν ἐθορυβεῖτο· διὰ τοῦτο δίκαιοι ἐνταῦθα θλίβονται, ὅτι πάροικοί εἰσιν, ὅτι ξένοι· καὶ δοκιμῆς ἕνεκεν ταῦτα ὑπομένουσιν· οἱ δὲ ἁμαρτωλοὶ, ἐὰν καί ποτέ ἐστι[b] τοιοῦτον ὑπομένωσι, δίκην τίνουσι τῶν ἁμαρτημάτων· εἰ γὰρ μηδεὶς πονηρὸς ἐκολάζετο, οὐδεὶς ἂν ἐνόμισεν ἐφεστάναι τὸν Θεὸν τοῖς ἀνθρωπίνοις πράγμασι· καὶ εἰ πάντες ἐκολάζοντο, οὐδεὶς ἂν προσεδόκησεν εἶναι ἀνάστασιν, ὡς πάντων ἐνταῦθα ἀπολαμβανόντων· διὰ τοῦτο κολάζει καὶ οὐ κολάζει. "εἰδὼς," φησὶν, ὅτι "ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας," τουτέστιν, ἐκ πρώτης ἡλικίας, ἐν ταῖς θείαις ἀνετράφης γραφαῖς, ὥστε καὶ διὰ τοῦτο στεῤῥὰν εἶναί σοι προσήκει τὴν πίστιν· κατὰ βάθους γὰρ ἡ ῥίζα κεῖται, ἣ χρόνῳ τραφεῖσα πολλῷ, καὶ οὐδὲν αὐτὴν παραβλάψαι δύναται· "τὰ δυνάμενά σε," φησὶ, "σο-"φίσαι." τουτέστιν, οὐκ ἀφίησιν ἀνόητόν τι παθεῖν, καὶ οἷον οἱ πολλοὶ τὰς γραφὰς μὴ εἰδότες· ὁ γὰρ τὰς γραφὰς εἰδὼς ὡς εἰδέναι χρὴ, οὐδενὶ τῶν γινομένων σκανδαλίζεται, πάντα φέρει γενναίως· τὰ μὲν τῇ πίστει ἐπιτρέπων καὶ τῷ ἀκαταλήπτῳ τῆς τοῦ Θεοῦ οἰκονομίας, τῶν δὲ καὶ λόγους εἰδὼς, καὶ παραδείγματα εὑρίσκων ἐν ταῖς γραφαῖς.

16 Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος.

Πολλὴν παράκλησιν ποιησάμενος καὶ παραμυθίαν ἀπὸ πάντων, ἐπάγει καὶ τὴν ἀπὸ τῶν γραφῶν τελειοτέραν οὖσαν, ἐπειδὴ μέγα τι καὶ λυπηρὸν ἔμελλεν ἐρεῖν· τί γὰρ οἴει παθεῖν τὸν Τιμόθεον, οὕτω μὲν ἀγαπώμενον, οὕτω δὲ ἀγαπῶντα, ἀκούοντα μέλλει ἀποθνήσκειν ὁ διδάσκαλος, καὶ ὅτι οὐδὲ ἀπέλαυσεν αὐτοῦ τῶν χρόνων τῶν ἐγγὺς τοῦ θανάτου· διὰ τοῦτο ὅτε πολλὴν ἐποιήσατο παρά-

b Leg. τι.

κλησιν, τότε περὶ τῆς τελευτῆς ἑαυτοῦ διαλέγεται, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ λέξεσι κέχρηται ἱκαναῖς αὐτὸν παραμυθήσασθαι, καὶ χαρᾶς ἐμπλῆσαι, ὡς θυσίαν νομισθῆναι εἶναι τὸ πρᾶγμα, ἢ τελευτὴν καὶ μετάστασιν πρὸς τὰ κρείττω, ὅπερ οὖν καὶ ἦν· "ἐγὼ "γὰρ ἤδη σπένδομαι," φησὶ, διὰ τοῦτο ἔγραφε λέγων,

16 Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδα-
σκαλίαν, πρὸς ἐλεγμὸν, πρὸς ἐπανόρθωσιν, πρὸς παι-
17 δείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἀρτίως ᾖ ὁ τοῦ Θεοῦ
ἄνθρωπος πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

Εἴ τι μαθεῖν, εἴ τι ἀγνοῆσαι χρὴ, ἐκεῖθεν εἰσόμεθα· εἰ ἐλέγξαι ψευδῆ, καὶ τοῦτο ἐκεῖθεν· εἰ ἐπανορθωθῆναι καὶ σωφρονισθῆναι πρὸς παράκλησιν, πρὸς παραμυθίαν, εἴ τι λείπει καὶ χρὴ προστιθέναι. "ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος·" ἀντ' ἐμοῦ τοίνυν, φησὶν, ἔχεις τὰς γραφὰς, εἴ τι βούλει μαθεῖν, ἐκεῖθεν δυνήσῃ.

1 Διαμαρτύρομαι οὖν ἐνώπιον τοῦ Θεοῦ καὶ Χριστοῦ
Ἰησοῦ, τοῦ μέλλοντος κρίναι ζῶντας καὶ νεκρούς.

Ἤ τοι ἁμαρτωλοὺς λέγει καὶ δικαίους, ἤτοι καὶ τοὺς ἀπελθόντας καὶ τοὺς νῦν ὄντας, ἢ ὅτι πολλοὶ καταληφθήσονται ζῶντες. ἐφόβησεν αὐτὸν καὶ ἐν τῇ προτέρᾳ, ἐνταῦθα δὲ τὸ φοβερώτερον τέθεικε· "τοῦ μέλλοντος κρίναι καὶ ζῶντας καὶ νεκροὺς," τουτέστι, τοῦ μέλλοντος τὰς εὐθύνας ἀπαιτεῖν "κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ "καὶ τὴν βασιλείαν," ἵνα εἴπῃ τὴν μετὰ δόξης, τὴν μετὰ βασιλείας. ἢ ὅτι διαμαρτύρομαί σοι τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν, μάρτυρα καλῶς ἐκεῖνον, ὅτι καὶ τοῦτο ἀνέμνησα.

2 Κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως, ἀκαίρως,
ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυ-
μίᾳ καὶ διδαχῇ.

Τουτέστι μὴ καιρὸν ἔχε ὡρισμένον, ἀεί σοι καιρὸς ἔστω, μὴ ἐν εἰρήνῃ, μηδὲ ἐν ἀδείᾳ ὢν, μηδὲ ἐν ἐκκλησίᾳ μόνον καθήμενος, ἐν δὲ τοῖς κινδύνοις ὑποσταλεὶς, κἂν ἐν δεσμωτηρίῳ ᾖς, κἂν ἅλυσιν περικείμενος, κἂν μέλλῃς ἐξιέναι ἐπὶ θάνατον, καὶ παρ' αὐτὸν τὸν καιρὸν ἔλεγξον, μὴ ὑποσταλῇς ἐπιτιμῆσαι· τότε γὰρ καὶ ἡ ἐπιτίμησις ἔχει καιρὸν, ὅταν ὁ ἔλεγχος προχωρήσῃ, ὅταν ἀποδειχθῇ

τὸ ἔργον· παρακάλεσον, φησίν· ἄν τε γὰρ χωρὶς ἐλέγχων ἐπιτιμήσῃς, δόξεις εἶναι θρασὺς, καὶ οὐδεὶς ἀνέχεται· μετὰ δὲ τὸ ἀποδειχθῆναι, τότε καὶ καταδέχεται τὴν ἐπιτίμησιν· ἄν τε ἐπιτιμήσῃς καὶ μὴ παράκλησιν προσαγάγῃς, πάλιν τὸ πᾶν ἀνατέτραπται· ἀφόρητον γὰρ ἔλεγχος καθ' ἑαυτὸν, ὅταν μὴ παράκλησιν ἀναμεμιγμένην ἔχῃ· πάλιν ὁ ἐλέγχων μακροθυμίας δεῖται, ὥστε μὴ ἁπλῶς πιστεύειν· καὶ ἡ ἐπιτίμησις καὶ ἡ παράκλησις καὶ ἡ διδαχὴ, μὴ ὡς ὀργιζόμενος, μὴ ὡς μαινόμενος, μὴ ὡς ἐπεμβαίνων, μὴ ὡς ἐχθρὸν εὑρηκὼς, ἀλλ' ὡς φιλῶν καὶ συναλγῶν, ὡς μᾶλλον ἐκείνου πενθῶν.

ΚΕΦ. Η.

Περὶ τῶν καινοτομησάντων ἀντιτάττει τὸν Τιμόθεον.

3 Ἔσται γὰρ καιρὸς, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται.

Πρὶν ἢ ἐκτραχηλισθῆναι προκατάλαβε πάντας αὐτοὺς, ὡς ἔχεις εἴκοντας μαθητευομένους πάντα πράττε.

Ἀλλὰ κατὰ τὰς ἰδίας ἐπιθυμίας ἐπισωρεύσουσιν ἑαυτοῖς[c] διδασκάλους.

Οὐδὲν ἐμφαντικώτερον τῆς λέξεως ταύτης· τὸ γὰρ ἀδιάκριτον πλῆθος τῶν διδασκάλων διὰ τοῦ "σωρεύουσιν" ἐδήλωσε, καὶ διὰ τοῦ παρὰ τῶν μαθητῶν χειροτονεῖσθαι· "κνηθόμενοι τὴν ἀκοὴν," τῆς ἡδονῆς, φησι, χάριν λέγοντες.

4 Καὶ ἀπὸ μὲν τῆς ἀληθείας, τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται.

ΘΕΟΔΩΡΟΣ. Μύθους εἶπε τὰ ἐναντία τῆς εὐσεβείας ῥήματα· ταῦτα δέ φησιν ὥστε διεγεῖραι αὐτὸν, καὶ ἵνα ὅταν ἐκβῇ, τῷ παρόντι καιρῷ κεχρῆσθαι εἰς δέον· ὅθεν ἐπάγει,

5 Σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον.

Τουτέστι, κάμε, προκατάλαβε, πρὶν ἢ τὴν λύμην ἐκείνην ἐπελθεῖν τῇ ποίμνῃ.

[c] αὐτοὺς Cod.

ΚΕΦ. Θ.

Περὶ τῆς ἑαυτοῦ μελλούσης ἀναλύσεως ἐπὶ δόξῃ αἰωνίᾳ.

6 Ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

Ἆρα τοῦτο ἔργον εὐαγγελιστοῦ, τὸ κακοπαθεῖν καὶ παρ' ἑαυτοῦ καὶ παρὰ τῶν ἔξωθεν· τὸ δὲ "πληροφόρησον" ἀντὶ τοῦ πλήρωσον· ἰδοὺ καὶ ἄλλη ἀνάγκη τοῦ κακοπαθεῖν.

Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν.

Οὐκ εἶπε τῆς ἐμῆς θυσίας· τῆς μὲν γὰρ τῆς θυσίας οὐ τὸ πᾶν ἀναφέρεται τῷ Θεῷ, τῆς δὲ σπονδῆς τὸ ὅλον.

7 Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα.

Τίνος ἕνεκεν οὕτω μεγαληγορεῖ ταῦτα λέγων ὁ Παῦλος; ἐμοὶ δοκεῖ τὴν ἀθυμίαν βούλεται παραμυθήσασθαι τοῦ μαθητοῦ, θαρρεῖν κελεύων, ὡς ἐπὶ στέφανον ἀπιόντος αὐτοῦ, ὡς πάντα τετελεκότος· ὡς ἂν εἰ πατὴρ παιδίον αὐτῷ παρακαθήμενον καὶ τὴν ὀρφανίαν οὐ φέρον παραμυθεῖται λέγων, τέκνον, μὴ κλαῖε· ἐζήσαμεν καλῶς εἰς γῆρας ἐλθόντες, καταλιμπανόμενοι· ἄληπτος ἡμῶν ὁ βίος γέγονε, μετὰ δόξης ἀπερχόμεθα· ἔχεις καὶ σὺ θαυμάζεσθαι ἀπὸ τῶν ἡμῖν πεπραγμένων. πολλὰς ἡμῖν ὁ βασιλεὺς οἶδε τὰς χάριτας, τρόπαια ἐστήσαμεν, τοὺς πολέμους ἐνικήσαμεν· οὐ μεγαληγορῶν, ἀλλὰ τοῖς ἐγκωμίοις παιδεύων τὸν παῖδα, κούφως φέρειν τὰ συμβάντα, καὶ χρηστὰς ἔχειν τὰς ἐλπίδας.

8 Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος.

Δικαιοσύνην ἐνταῦθα τὴν καθόλου φησὶν ἀρετήν.

Ὃν ἀποδώσει μοι ὁ δίκαιος κριτὴς, οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

Ἐν πᾶσιν, πολλῷ μᾶλλον Τιμοθέῳ· πῶς δὲ ἄν τις ἀγαπήσειεν τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ; εἰ χαίροι ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ,

εἰ ἄξια πράττοι τῆς χαρᾶς. ἐπιφάνεια δὲ λέγεται διὰ τὸ ἐπάνω φαίνεσθαι, καὶ ἄνωθεν ἀνατέλλειν.

9 Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν πρός με ταχέως.

Ἄξιον ἐπιζητῆσαι, πῶς καλεῖ τὸν Τιμόθεον πρὸς ἑαυτὸν, εἴγε ἐκκλησίαν ἐμπεπιστευμένος ἦν καὶ ἔθνος ὁλόκληρον; ἀνάγκη κατείληπτο πολλῇ, δεσμωτήριον ᾤκει καὶ συνεκέκλητο ὑπὸ Νέρωνος, ἰδεῖν ποθῶν πρὸ τῆς τελευτῆς, καὶ ἴσως πολλὰ παραθέσθαι· καὶ οὐ λέγει ἵνα σε ἴδω πρὶν ἀπελθεῖν ἐκ τοῦ βίου, ὃ μάλιστα λυπεῖ, ἀλλ' ἐπειδὴ μόνος εἰμὶ, καὶ οὐδένα ἔχω τὸν συναντιλαμβανόμενόν μοι τοῦ εὐαγγελίου.

10 Δημᾶς γάρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην.

Τουτέστι, τῆς ἀνέσεως ἐρασθεὶς τοῦ ἀκινδύνου καὶ τοῦ ἀσφαλοῦς, εἵλετο μᾶλλον οἴκοι τρυφᾷν, ἢ μετ' ἐμοῦ ταλαιπωρεῖσθαι. τοῦτον διέβαλεν, οὐ τοῦτο αὐτὸ προῃρημένος, ἀλλ' ἡμᾶς στηρίξαι ὥστε μὴ μαλακίζεσθαι ἐν τοῖς κινδύνοις· τοῦτο γάρ ἐστι τὸν παρόντα ἀγαπῆσαι αἰῶνα.

Κρίσκης εἰς Γαλατίαν, Τῖτος εἰς Δαλματίαν.

ΘΕΌΔΩΡΟΣ. Τὰς νῦν καλουμένας Γαλλίας· οὕτως γὰρ αὐτὰς πάντες ἐκάλουν οἱ παλαιοί. τούτους δὲ οὐκέτι διαβάλλει· καὶ γὰρ ὁ Τῖτος τῶν σφόδρα θαυμαστῶν ἦν.

11 Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ.

Οὗτος γὰρ σφόδρα ἀδιασπάστως εἶχεν αὐτοῦ, ὁ καὶ τὸ Εὐαγγέλιον γράψας καὶ τὰς Πράξεις τὰς Καθολικὰς, φιλόπονος ὢν καὶ φιλομαθὴς καὶ καρτερικός.

Μάρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν.

Οὐκ εἰς τὴν ἀνάπαυσιν τὴν ἑαυτοῦ, ἀλλ' εἰς τὴν διακονίαν τοῦ Εὐαγγελίου· ὥστε μηδὲ μίαν γενέσθαι ταραχὴν κατὰ τὴν αὐτοῦ τελευτὴν τοῖς πιστοῖς· τῶν αὐτοῦ μαθητῶν πολλῶν παρόντων καὶ παραμυθουμένων τοὺς ἀφορήτως φέροντας αὐτοῦ τὴν τελευτήν· καὶ γὰρ ἄνδρας ἀξιολόγους εἰκὸς εἶναι τοὺς πεπιστευκότας ἐπὶ τῆς Ῥώμης.

12 Τὸν φελόνην ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ,

ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

Ἱμάτια ἐνταῦθα λέγει, τινὲς δέ φασι τὸ γλωσσόκομον ἔνθα τὰ βιβλία ἔκειτο· τί δὲ αὐτῷ τῶν βιβλίων ἔδει, μέλλοντι ἀποδημεῖν πρὸς τὸν Θεόν; καὶ μάλιστα, ὥστε αὐτὰ τοῖς πιστοῖς παραθέσθαι, καὶ ἀντὶ τῆς αὐτοῦ διδασκαλίας ἔχειν αὐτά· τὸν δὲ φελόνην ἐζήτει, ὥστε μὴ δεηθῆναι παρ' ἑτέρων λαβεῖν· ὁρᾷς γὰρ αὐτὸν πολλὴν ὑπὲρ τούτου ποιούμενον τὴν σπουδήν.

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐπεδείξατο·
ἀποδώσει αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ.

Πάλιν ἐνταῦθα μέμνηται πειρασμοῦ, οὐχ ἁπλῶς ἐκεῖνον βουλόμενος διαβαλεῖν, ἀλλὰ τὸν μαθητὴν ἀλείψαι πρὸς τοὺς ἀγῶνας, ὥστε πάντα φέρειν γενναίως· κἂν εὐτελεῖς ὦσιν οἱ τὰς πείρας προσάγοντες· "ἔθλιψέ με, φησὶ, διαφόρως," ἀλλ' οὐκ ἀτιμωρητὶ ταῦτα αὐτῷ προχωρήσει, οὐχ οὕτως τῶν ἁγίων ταῖς τιμωρίαις ἐπιτρεχόντων, ἀλλ' ὡς τοῦ κηρύγματος δεομένου καὶ τῶν ἀσθενεστέρων τῆς ἐντεῦθεν παραμυθίας, ὃ καὶ προφητεία ἐστὶν, εἰ ἄρα ἀποδώσει αὐτῷ κατὰ τὰ ἔργα αὐτοῦ, "ὃν καὶ σὺ φυλάττου, λίαν "γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις." τουτέστι, πολεμεῖ καὶ ἀνθίσταται· καὶ οὐκ εἶπε, τιμώρησαι, κόλασον, ἀπέλασον, καίτοι γε ἐνῆν ταῦτα διὰ τῆς χάριτος ἐργάσασθαι, ἀλλ' οὐδὲν τούτων εἶπε, οὐδὲ ὁπλίζει αὐτὸν κατ' αὐτοῦ, ἀλλὰ παραχωρεῖν κελεύει, τῷ Θεῷ παραχωροῦντα τὴν τιμωρίαν.

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρε-
γένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον, μὴ αὐτοῖς λογι-
17 σθείη· ὁ δὲ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με,
ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ, καὶ ἀκούσῃ
πάντα τὰ ἔθνη, καὶ ἐρρύσατό με ἐκ στόματος λέοντος,
18 καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ,
καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.
ἀμήν.

Χρυσοστόμου. Ποίαν λέγει πρώτην ἀπολογίαν; παρέστη ἤδη τῷ Νέρωνι καὶ διέφυγεν· ἐπειδὴ δὲ τὸν οἰνοχόον αὐτοῦ κατήχησε, τότε αὐτὸν ἀπέτεμεν· οὐδὲ γὰρ οὕτω πρὸς τὰ εἴδωλα ζῆλον εἶχεν

ὁ Νέρων, οὕτως ἦν ἐξίτηλος ἐν πᾶσι· τὸ δὲ "πάντες με ἐγκα-"τέλιπον," οἱ Ἰουδαῖοι, φησὶν, οἱ ἀδελφοί· "μὴ αὐτοὺς λογι-"σθείη." ὁρᾷς αὐτὸν μὴ μόνον οὐ βουλόμενον τιμωρεῖσθαι, ἀλλὰ καὶ συγχώρησιν εὐχόμενον; καίτοι δεινὰ ἐπεπόνθει· οὐ γὰρ ἴσον ἀπὸ ἀλλοτρίων προδίδοσθαι, ὅσον τὸ ἀπὸ τῶν οἰκείων· "ὁ δὲ Κύ-"ριός μοι παρέστη," φησί· τὸν γὰρ ὑπὸ ἀνθρώπων ἐγκαταλιμπανόμενον ὁ Κύριος οὐκ ἀφίησιν· "ἐνεδυνάμωσέ με," φησὶ, τουτέστι, παρρησίαν ἐχαρίσατο, καὶ οὐκ ἀφῆκε καταπεσεῖν. ὁρᾷς προτροπὴν πρὸς τὸν μαθητήν; "ἵνα δέ μου τὸ κήρυγμα πληρο-"φορηθῇ." ὅρα ταπεινοφροσύνην, οὐ γὰρ ὡς ἄξιος, φησὶν, ἐπικουρίας ἐβοηθήθην, ἀλλὰ διὰ τὸ κήρυγμα, ἵνα πληρωθῇ καὶ εἰς πέρας ἔλθῃ, καὶ ἀκούσῃ, φησὶ, πάντα τὰ ἔθνη· ἵνα πᾶσι, φησὶ, κατάδηλος γένηται καὶ τοῦ κηρύγματος ἡ δύναμις, καὶ τῆς περὶ ἐμὲ προνοίας ἡ κηδεμονία· καὶ "ἐρρύσθην ἐκ στόματος λέοντος." λέοντα τὸν Νέρωνα λέγει, διὰ τὸ ὠμὸν καὶ θηριῶδες. "καὶ ῥύσε-"ταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς τὴν "βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον." εἰ ῥύσεται, πῶς, φησὶν, "ἐγὼ "ἤδη σπένδομαι;" ἀλλ' ὅρα, τότε μὲν ἐκ τοῦ Νέρωνος ἐρρύσατο, νῦν δὲ οὐκέτι ἐκ τοῦ Νέρωνος· τὸ ἱκανὸν γὰρ τῷ εὐαγγελίῳ ἐγεγόνει, ἀλλ' ἀπὸ παντὸς ἁμαρτήματος, τουτέστιν, οὐκ ἀφήσει καταγνωσθέντα ἔν τινι ἀπελθεῖν, "καὶ σώσει εἰς τὴν βασιλείαν "αὐτοῦ·" ἐξαρπάσει με, φησὶν, ἔνθεν καὶ φυλάξει· τοῦτο γὰρ τὸ "σώσει εἰς τὴν βασιλείαν αὐτοῦ·" ἄρα αὕτη ἐστὶν ἡ σωτηρία. "ᾧ "ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν·" ὅρα δοξολογίαν Υἱοῦ ὥσπερ ἤδη Πατρὸς, καὶ ἄλλοτε Πνεύματος.

19 Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου οἶκον.

Οὗτοί εἰσιν, ὧν συνεχῶς μέμνηται, τῶν σκηνοποιῶν, παρ' οἷς καὶ κατήχθη· τῆς δὲ γυναικὸς ὡς πιστοτέρας, πρώτης μέμνηται. ὁ γὰρ Ὀνησιφόρος ἐν Ῥώμῃ ἦν, τοὺς οὖν ἐν τῷ οἴκῳ αὐτοῦ ἀσπάζεται, ταύτῃ διεγείρων πρὸς τὸν ὅμοιον τῷ Ὀνησιφόρῳ ζῆλον.

20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.

Ἐπειδὴ τούτων οὐκ ἐμνήσθη, νῦν μέμνηται, ἵνα δείξῃ ὅτι πάν-

τοθεν μεμόνωται καὶ χρήζει τοῦ Τιμοθέου. "Τρόφιμον δὲ ἀπέλιπον "ἐν Μιλήτῳ ἀσθενοῦντα·" διὰ τι γὰρ μὴ ἰάσω αὐτὸν, ἀλλ' ἀπέλιπες; οὐ πάντα ἴσχυον οἱ Ἀπόστολοι, ἢ οὐ πάντα ᾠκονόμουν χάριτι, ἵνα μή τις λογίσηται εἰς αὐτοὺς, ὑπὲρ ὃ βλέπει. ἡ δὲ Μίλητος ἐγγὺς τῆς Ἐφέσου τυγχάνει. ἆρα οὖν ἀποπλέων ἐπὶ τὴν Ἰουδαίαν ἀπέλιπεν αὐτὸν, ἢ μετὰ τὸ γενέσθαι ἐν Ῥώμῃ· πάλιν γὰρ εἰς τὴν Σπανίαν ἀπῆλθεν· εἰ δὲ καὶ ἐκεῖθεν εἰς ταῦτα τὰ μέρη οὐκ ἴσμεν. "σπούδασον πρὸ χειμῶνος ἐλθεῖν," ἕως οὗ, φησὶ, ζῶ· ἵνα μὴ τῷ χειμῶνι ἐπισχεθεὶς οὐκ ἴδῃς με.

21 Ἀσπάζεταί σε Εὔβουλος, καὶ Σπούδης, καὶ Λῆνος, καὶ
22 Κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες. ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου· ἡ χάρις μεθ' ὑμῶν.

Τοῦτον τὸν Λῆνον ἱστοροῦσί τινες δεύτερον μετὰ Πέτρον ἐπίσκοπον τῆς Ῥωμαίων ἐκκλησίας γεγενῆσθαι. τίνος δὲ ἕνεκεν τοσούτων ὄντων πιστῶν, τούτων μέμνηται; δηλονότι ὡς ἐκβεβηκότων ἤδη τὴν γνώμην τῶν κοσμικῶν πραγμάτων, καὶ μᾶλλον λαμπόντων.

Τριὰς, μονὰς, ἐλέησον.

Τέλος τῶν εἰς τὴν πρὸς Τιμόθεον β' Ἐπιστολὴν ἐξηγητικῶν ἐκλογῶν.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΤΩΝ τῷ Παύλῳ συνόντων δόκιμος οὗτος ἦν. οὐκ ἂν οὖν αὐτῷ τὴν νῆσον ὁλόκληρον ἐπέτρεψεν, οὐκ ἂν τὰ ἐλλειφθέντα ἀναπληρῶσαι προσέταξεν. ἵνα γάρ, φησὶ, τὰ ἐπιλείποντα ἐπιδιορθωθῇ, καὶ τοσούτων ἐπισκόπων κρίσιν ἐπέτρεψεν, εἰ μὴ σφόδρα ἐθάρρει τἀνδρί. φασὶ δὲ αὐτὸν καὶ νέον εἶναι, διὰ τὸ τέκνον αὐτῷ γράφειν, πλὴν ἀλλ' οὔπω τοῦτο δῆλον ἀπὸ τούτου. οἶμαι δὲ αὐτοῦ, καὶ ἐν ταῖς Πράξεσιν εἶναι μνείαν· τάχα καὶ Κορίνθιος ἦν, εἰ μή τις ἕτερος ἦν ὁμώνυμος αὐτῷ. δοκοῦσι δέ μοι χρόνοι εἶναι μέσοι τινές· καὶ ἐν ἀδείᾳ Παῦλος ὢν γράφει ταῦτα· οὐδὲν γὰρ περὶ πειρασμῶν, φησὶ, συνεχῶς δὲ περιστρέφει τοῦ Θεοῦ τὴν χάριν ἱκανὴν οὖσαν παράκλησιν τοῖς πεπιστευκόσι πρὸς ἀρετήν· τὸ γὰρ μαθεῖν τίνων μὲν ἦσαν ἄξιοι, πρὸς τί δὲ μετέστησαν, καὶ ταῦτα χάριτι, καὶ τίνων ἠξίωνται, οὐ μικρὰ προτροπή. ἀποτείνεται δὲ καὶ πρὸς τοὺς Ἰουδαίους· εἰ δὲ ὁλόκληρον τὸ ἔθνος ὑβρίζει, μὴ θαυμάσῃς· καὶ ἐπὶ Γαλατῶν γὰρ αὐτὸ ποιεῖ· οὐχ ὑβριστικοῦ δὲ τοῦτο ἤθους, ἀλλ' ἐρωτικοῦ. εἰ μὲν γὰρ τῶν αὐτοῦ ἕνεκεν ταῦτα ἐποίει, εἰκότως τίς αὐτῷ ἐμέμψατο, εἰ δὲ πεπυρωμένος καὶ ζέων ὑπὲρ τοῦ κηρύγματος, οὐχ ὑβριστικῶς αὐτὸ ἐποίει· καὶ ὁ Χριστὸς δὲ μυρία ἐλοιδορεῖτο τοῖς γραμματεῦσι καὶ Φαρισαίοις, ἀλλ' οὐκ αὐτοῦ ἕνεκεν, ἀλλ' ὅτι τοὺς ἄλλους ἅπαντας ἀπολύων. βραχεῖαν δὲ ποιεῖ τὴν Ἐπιστολὴν, εἰκότως· καὶ τοῦτο δὲ τῆς ἀρετῆς τοῦ Τίτου τεκμήριον ἦν, τὸ μὴ δεῖσθαι λόγων πολλῶν, ἀλλ' ὥσπερ τινὸς ὑπομνήσεως. αὕτη δέ μοι δοκεῖ τῆς πρὸς Τιμόθεον νεαρωτέρα Ἐπιστολὴ, ἐκείνην μὲν γὰρ πρὸς τῷ τέλει ὢν ἔγραφεν· ἐνταῦθα δὲ ἄφετος ὢν καὶ λελυμένος· τὸ γὰρ "κέκρικα παραχειμάσαι ἐν Νικοπόλει," τεκμήριον ἦν τοῦ μηδέπω ἐν δεσμοῖς εἶναι· ἐκεῖ δὲ συνεχῶς δέσμιον ἑαυτὸν καλεῖ.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΣ.

α′. Περὶ διδασκάλων ἐπιτηδείων εἰς διακονίαν, καὶ ἔλεγχον ἀπειθῶν.

β′. Κατὰ τῶν σαρκικὰς καθάρσεις πρεσβευόντων, καὶ ὑπὲρ πνευματικῆς ἀρετῆς.

γ′. Παραινέσεις ἃς δεῖ παραινεῖν καθ' ἡλικίαν ἑκάστοις.

δ′. Περὶ δούλων, ὡς ἂν καὶ αὐτοὶ τῆς Χριστοῦ χάριτος ἀξίως δουλεύοιεν.

ε′. Περὶ ἀρχόντων ὑπακοῆς, πρεπούσης τῇ ἐπιεικείᾳ τοῦ Χριστοῦ.

ς′. Παραινέσεις περὶ τοῦ ἐκκλίνειν τοὺς αἱρετικοὺς ζητητάς.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΝ.

---

1 ΠΑΥΛΟΣ *δοῦλος* Θεοῦ, *Ἀπόστολος δὲ* Ἰησοῦ
Χριστοῦ, *κατὰ πίστιν ἐκλεκτῶν* Θεοῦ.

Ὁρᾷς πῶς ἀδιαφόρως ταῦτα τίθησι; ποτὲ μὲν ἑαυτὸν τοῦ Θεοῦ *δοῦλον λέγων, τοῦ δὲ* Χριστοῦ *Ἀπόστολον, ποτὲ δὲ τοῦ* Χριστοῦ *δοῦλον;* "Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ·" *οὕτως οὐδεμίαν οἶδε διαφορὰν* Πατρὸς *καὶ* Υἱοῦ. "*κατὰ πίστιν ἐκλεκτῶν* "Θεοῦ, *καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾿ εὐσέβειαν, ἐπ᾿ ἐλπίδι* "*ζωῆς αἰωνίου.*" *τί ἐστι* "*κατὰ πίστιν ἐκλεκτῶν* Θεοῦ;" *ὅτι ἐπίστευσας, ἢ ὅτι ἐπιστεύθης· οἶμαι αὐτὸν λέγειν ὅτι ἐπιστεύθην τοὺς ἐκλεκτοὺς τοῦ* Θεοῦ, *τουτέστιν, οὐκ ἀπὸ κατορθωμάτων, οὐδὲ ἀπὸ πόνων καὶ ἱδρώτων τὸ ἀξίωμα ἔλαβον, ἀλλὰ τὸ πᾶν τῆς τοῦ πιστεύσαντος εὐεργεσίας ἐγένετο. εἶτα ἵνα μὴ ἄλογος ἡ χάρις γένηται, ἐπήγαγε,* "*καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾿ εὐσέβειαν,*" *ἀπὸ ταύτης ἐπιστεύθην, μᾶλλον δὲ καὶ τοῦτο ἐπιστεύθην ἐκ τῆς αὐτοῦ χάριτος· καὶ γὰρ καὶ τούτου αὐτὸς αἴτιος, καὶ διὰ τοῦτο καὶ αὐτός φησιν ὁ* Χριστὸς, "*οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ᾿ ἐγὼ* "*ἐξελεξάμην ὑμᾶς·*" *τὸ δὲ κατὰ πίστιν εἰπεῖν τὸ πᾶν ἐκείνοις λογίζεται, ὅτι δι᾿ ἐκείνους εἰμὶ* Ἀπόστολος, *οὐχ ὡς ἄξιος, ἀλλὰ διὰ τοὺς ἐκλεκτούς·* "*καὶ ἐπίγνωσιν,*" *φησὶν,* "*ἀληθείας τῆς* "*κατ᾿ εὐσέβειαν·*" *ἔστι γὰρ ἀλήθεια πραγμάτων, ἀλλ᾿ οὐ κατ᾿ εὐσέβειαν· οἷον τὸ εἰδέναι τέχνας, ἀληθής ἐστιν ἐπίγνωσις, ἀλλ᾿ οὐ κατ᾿ εὐσέβειαν ἡ ἀλήθεια· ἢ τὸ κατὰ πίστιν, ὅτι ἐπίστευσαν καθάπερ οἱ λοιποὶ ἐκλεκτοὶ, καὶ ἐπέγνωσαν τὴν ἀλήθειαν. ἀπὸ πίστεως ἄρα ἡ ἐπίγνωσις, οὐκ ἀπὸ λογισμῶν·* "*ἐπ᾿ ἐλπίδι ζωῆς*

“αἰωνίου·” εἶπε τὴν παροῦσαν, τὴν ἐν τῇ χάριτι τοῦ Θεοῦ· λέγει καὶ τὴν μέλλουσαν, καὶ ἔπαθλα τίθησιν ἡμῖν, ὑπὲρ ὧν ἡμᾶς εὐηργέτησεν, ἐπειδὴ ἐπιστεύσαμεν καὶ ἀπηλλάγημεν τῆς πλάνης. ἀλήθειαν δὲ ἐνταῦθα πρὸς τὸν τύπον φησὶ, καὶ γὰρ καὶ ἐκείνη ἐπίγνωσις ἦν καὶ εὐσεβείας ἦν, ἀλλ' οὐκ ἀληθείας, οὐ μὴν οὐδὲ ψεύδους, ἀλλὰ τύπων καὶ εἰκόνος. “ἐπ' ἐλπίδι ζωῆς αἰωνίου,” ἐκείνη ἐπ' ἐλπίδι ζωῆς τῆς παρούσης· “ὁ γὰρ ποιήσας,” φησὶν, “αὐτὰ, “ζήσεται ἐν αὐτοῖς,” ἐκεῖνοι οὐκ ἐκλεκτοὶ, ἀλλ' ἡμεῖς· εἰ γὰρ καὶ αὐτοὶ ἐλέγοντο ἐκλεκτοὶ, ἀλλ' οὐκέτι. “ἣν ἐπηγγείλατο,” φησὶν, “ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων,” τουτέστιν οὐ νῦν ἐκ μετανοίας, ἀλλ' ἄνωθεν ταῦτα προώριστο· πολλαχοῦ δὲ τοῦτο τίθησι, δεικνὺς τὴν εὐγένειαν τὴν ἡμετέραν, ὅτι ἡμᾶς οὐ νῦν ἀλλ' ἄνωθεν ἠγάπησεν. “ἐφανέρωσε δὲ καιροῖς ἰδίοις.” τίς οὖν ἡ ἀναβολή; κηδεμονίας χάριν καὶ τοῦ εὐκαίρως ποιῆσαι· τὸ γὰρ “ἰδίοις,” τουτέστι τοῖς προσήκουσιν. “τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ “ἐπιστεύθην ἐγὼ,” τουτέστι τὸ κήρυγμα· τοῦτο γὰρ τὰ πάντα εἶχεν τὸ εὐαγγέλιον, καὶ τὰ ἐνταῦθα, καὶ τὰ μέλλοντα, τὴν ζωὴν καὶ τὴν εὐσέβειαν, τὴν πίστιν, πάντα ὁμοῦ ἐν κηρύγματι, τουτέστι φανερῶς, μετὰ παρρησίας. ὥσπερ γὰρ ὁ κήρυξ πάντων παρόντων ἐν τῷ θεάτρῳ κηρύττει, οὕτω καὶ ἡμεῖς κηρύττομεν, ὥστε μηδὲν προσθεῖναι, ἀλλ' αὐτὰ ἃ ἠκούσαμεν εἰπεῖν· ἡ γὰρ τοῦ κηρύγματος ἀρετή ἐστιν ἐν τῷ πᾶσιν εἰπεῖν, καὶ γεγωνὸς οὐκ ἐν τῷ προσθεῖναί τινα καὶ ἀφελεῖν. “ὃ ἐπιστεύθην ἐγὼ, κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ημῶν Θεοῦ,” καὶ τὸ “ἐπιστεύθην” καὶ τὸ “κατ' ἐπιταγὴν” τὸ ἀξιόπιστον δείκνυσιν· εἰ γὰρ ἐπιταγῆς ἐστι, οὔκ εἰμι κύριος, ἐπίταγμα γὰρ πληρῶ· τῶν γὰρ πρακτέων τὰ μὲν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν· τὸ γὰρ “ἐάν τις εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχός “ἐστιν εἰς τὴν γέενναν τοῦ πυρὸς,” τοῦτο ἐπιτάγμα, καὶ τὸν μὴ ποιήσαντα ἀνάγκη ὑπεύθυνον εἶναι κολάσει· ὅταν δὲ λέγῃ, “πώλη“σόν σου τὰ ὑπάρχοντα,” καὶ πάλιν, “ὁ δυνάμενος χωρεῖν χω“ρείτω,” οὐκέτι ἐπίταγμά ἐστι· τὸν γὰρ ἀκροατὴν ποιεῖ κύριον τῶν λεχθέντων· τοῦτο οὖν λέγει, καὶ ὅταν λέγῃ, “ἀνάγκη γάρ “μοι ἐπίκειται· οὐαὶ δέ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι,” οὐ τοίνυν φιλαρχίας τὸ πρᾶγμά ἐστι, πίστις γάρ ἐστι καὶ ἐπιταγή. “καὶ Θεοῦ σωτῆρος, Τίτῳ γνησίῳ τέκνῳ,” ἐπὶ μὲν τῶν φυσικῶν

τέκνων τὸ γνήσιον καὶ τὸ μὴ γνήσιον, ἀπὸ τῆς ὠδινούσης ἢ τοῦ σπείροντος ὁρίζεται· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως, "κατὰ κοινὴν," φησὶ, "πίστιν." ἐπειδὴ εἶπε "τέκνῳ," καὶ τὴν τοῦ πατρὸς ἔλαβε τάξιν· πῶς καὶ ταύτην τὴν τιμὴν ἐλαττοῖ καὶ καταστέλλει, ἄκουσον. κατὰ τὴν πίστιν, φησὶν, οὐδὲν ἔχω σου πλέον· κοινὴ γάρ ἐστι, καὶ διὰ τῆς αὐτῆς ἐγώ τε ἐτέχθην καὶ σύ· πόθεν τοίνυν αὐτὸν τέκνον καλεῖς; ἤτοι τὴν φιλοστοργίαν μόνον δηλῶσαι θέλων, ἢ τὸ πρότερον εἶναι ἐν τῷ κηρύγματι, ἢ τὸ δι' αὐτοῦ πεφωτίσθαι· τὸ οὖν "κατὰ κοινὴν πίστιν" τὴν ἀδελφότητα ᾐνίξατο.

Θεοδώρου. Τὰ μὲν τῆς προγραφῆς, ἐν τούτοις, "Παῦλος "δοῦλος Θεοῦ, Ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, Τίτῳ γνησίῳ "τέκνῳ," καὶ τὰ ἑξῆς. παρέθηκε δὲ τὰ ἀπὸ τοῦ "κατὰ πίστιν "ἐκλεκτῶν Θεοῦ," ἄχρι τοῦ "Τίτῳ γνησίῳ τέκνῳ."

4 Χάρις καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν.

Χρυσοστόμου. Ἐπειδὴ εἶπε τέκνον, ἐπήγαγεν ἀπὸ τοῦ πατρὸς, ὥστε ἀναστῆσαι αὐτοῦ τὴν διάνοιαν καὶ μαθεῖν, τίνος ἐστὶ τέκνον.

ΚΕΦ. Α.

Περὶ διδασκάλων ἐπιτηδείων εἰς διακονίαν καὶ ἔλεγχον ἀπειθῶν.

5 Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ.

Ὡς ἂν εἴποι τις, πλέονος καταρτισμοῦ· πρὸς γὰρ τὸ κοινὸν κέρδος ὁρῶ μόνον, καὶ εἴτε δι' ἐμοῦ εἴτε δι' ἑτέρου, οὐδέν μοι διαφέρει.

Θεοδώρου. *Ὁ γὰρ τῆς εὐσεβείας λόγος παραδέδοτο πᾶσι παρ' αὐτοῦ· ἐλείπετο δὲ οἰκονομῆσαι τὰ κατὰ τοὺς πεπιστευκότας, καὶ εἰς ἁρμονίαν αὐτοὺς καταστῆσαι ταῖς ἐκκλησιαστικαῖς διατυπώσεσι.*

Καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους.

Τοὺς ἐπισκόπους ἐνταῦθά φησι, καθὼς πολλαχοῦ εἴρηται.

Ὡς ἐγώ σοι διεταξάμην.

"Κατὰ πόλιν," *φησὶν, οὐ γὰρ ἐβούλετο πᾶσαν τὴν νῆσον*

ἐπιτετράφθαι ἑνὶ, ἀλλ' ἕκαστον ἰδίαν ἔχειν φροντίδα καὶ μέριμναν.

6 Εἴ τις ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα.

Τίνος ἕνεκεν καὶ τῶν τοιούτων εἰς μέσον παράγει; ἐπιστομίζει τοὺς αἱρετικοὺς, τοὺς τὸν γάμον διαβάλλοντας, δεικνὺς ὅτι τὸ πρᾶγμα οὐκ ἔστιν ἐναγὲς, ἀλλ' οὕτω τίμιον, ὡς μετ' αὐτοῦ δύνασθαι καὶ ἐπὶ τὸν ἅγιον ἀναβαίνειν θρόνον· ἐν ταὐτῷ δὲ καὶ τοὺς ἀσελγεῖς κολάζων, καὶ οὐκ ἀφιεὶς μετὰ δευτέρου γάμου τὴν ἀρχὴν ἐγχειρίζεσθαι ταύτην· ὁ γὰρ πρὸς τὴν ἀπελθοῦσαν μηδεμίαν φυλάξας εὔνοιαν, πῶς ἂν οὗτος γένοιτο προστάτης καλός; καὶ ὁ τῶν αὐτοῦ παίδων διδάσκαλος γενέσθαι μὴ δυνηθεὶς, πῶς ἂν ἑτέρων γένοιτο; εἰ οὓς ἐξ ἀρχῆς εἶχε μεθ' ἑαυτοῦ καὶ ἔτρεφεν, ὧν καὶ παρὰ τῶν νόμων καὶ παρὰ τῆς φύσεως εἶχε τὴν ἐξουσίαν, τούτους ῥυθμίσαι οὐκ ἴσχυσε, πῶς ἂν τοὺς ἔξωθεν ὠφελῆσαι δυνήσεται; καὶ οὐδὲ εἶπε μὴ ἀσώτως ἁπλῶς, ἀλλὰ μηδὲ διαβολὴν ἔχειν τοιαύτην, μηδὲ πονηρᾶς εἶναι δόξης.

7 Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην.

Πῶς γὰρ ἑτέρους παιδεύει κρατεῖν τῶν παθῶν, ἑαυτὸν μὴ παιδεύσας; "πάροινον" δὲ τὸν ὑβριστὴν ἐνταῦθά φησι· νουθετοῦντα γὰρ ἢ ἐπιπλήττοντα πάντα χρὴ ποιεῖν, μὴ ὑβρίζοντα· ὁ γὰρ ὑβρισθεὶς θρασύτερος γίνεται μᾶλλον, καὶ καταφρονεῖ τοῦ ὑβρίζοντος· "μὴ πλήκτην·" ἰατρός ἐστιν ὁ διδάσκαλος τῶν ψυχῶν, ὁ δὲ ἰατρὸς οὐ πλήττει, καὶ τὰ πεπληγότα διορθοῦται καὶ θεραπεύει.

8 Μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώ-
9 φρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ
τὴν διδαχὴν πιστοῦ λόγου.

Τουτέστι, πολλὴν ὑπεροψίαν χρημάτων ἐπιδεικνύμενον, τὰ αὐτοῦ πάντα τοῖς δεομένοις προϊέμενον. "ἐγκρατῆ" δὲ οὐ τὸν νηστευτὴν εἶπεν ἐνταῦθα, ἀλλὰ τὸν πάθους κρατοῦντα, τὸν καὶ γλώσσης καὶ χειρὸς, καὶ ὀφθαλμῶν ἀκολάστων· τοῦτο γάρ ἐστιν ἐγκράτεια, τὸ

μηδενὶ ὑποσύρεσθαι πάθει. "ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου." "πιστοῦ" ἐνταῦθα τοῦ ἀληθοῦς φησιν, ἢ τοῦ διὰ πίστεως παραδεδομένου, οὐ δεομένου συλλογισμῶν, οὐδὲ ζητημάτων· "ἀντεχόμενον," φροντίζοντα, ἔργον τοῦτο ποιούμενον.

Ἵνα δυνατὸς ᾖ καὶ παρακάλειν καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

Οὐ χρεία, φησὶ, κόμπου καὶ ῥημάτων, ἀλλὰ φρενῶν καὶ γραφῶν ἐμπειρίας, καὶ νοημάτων δυνάμεως, "ἵνα δυνατὸς ᾖ καὶ παρα-"καλεῖν," φησὶν, "ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ," τουτέστι, πρὸς φυλακὴν τῶν οἰκείων, πρὸς ἀνατροπὴν τῶν ἐχθρῶν. ὁ γὰρ οὐκ εἰδὼς τοῖς ἐχθροῖς μάχεσθαι καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καὶ περὶ τῆς ὀρθῆς διδάσκειν διδασκαλίας, πόρρω ἔστω θρόνου διδασκαλικοῦ.

ΚΕΦ. Β.

Κατὰ τὰς σαρκικὰς καθάρσεις πρεσβευόντων, καὶ ὑπὲρ πνευματικῆς ἀρετῆς.

10 Εἰσὶ γὰρ πολλοὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρε-
11 ναπάται, μάλιστα οἱ ἐκ τῆς περιτομῆς, οὓς δεῖ ἐπιστο-
μίζειν.

Ὁρᾷς πῶς δείκνυσι πόθεν εἰσὶ τοιοῦτοι; οὐ βούλονται ἄρχεσθαι, ἀλλὰ ἄρχειν· τοῦτο γὰρ ᾐνίξατο· ὅταν οὖν πεῖσαι μὴ δυνηθῇς, μηδὲ διάταττε τούτοις, ἀλλ' ἐπιστόμιζε εἰς τὴν τῶν ἄλλων ὠφέλειαν· "οἵτινες," φησὶν, "ὅλους οἴκους ἀνατρέπουσιν, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν." εἰ γὰρ τὴν μὲν διδασκαλίαν ἀνεδέξατο, οὐχ ἱκανὸς δέ ἐστιν ἐκείνοις μάχεσθαι οὐδὲ ἐπιστομίσαι οὕτως ἀναισχυντοῦντας, τῆς τῶν ἀπολλυμένων βλάβης καθέκαστον αἴτιος γενήσεται.

12 Εἶπέν τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης, Κρῆτες
ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.

Πολλὰ ἐνταῦθά ἐστι τὰ ζητούμενα. πρῶτον μὲν, τίς ὁ εἰρηκώς· δεύτερον δὲ, τί δήποτε Παῦλος αὐτοῖς ἐχρήσατο· τρίτον, ὅτι οὐδὲ ὀρθῶς ἔχουσαν μαρτυρίαν παρήγαγε. φέρε γοῦν καὶ ἑτέραν ζήτησιν προσθέντας, οὕτως κυρίαν τὴν λύσιν ἐπαγάγωμεν. καὶ γὰρ ὅτε

τοῖς Ἀθηναίοις διελέγετο, μεταξὺ τῆς δημηγορίας φησὶν, "ἀγνώστῳ Θεῷ·" καὶ πάλιν, "τοῦ γὰρ καὶ γένος ἐσμὲν, ὡς καί τινες τῶν καθ' ὑμῶν ποιητῶν εἰρήκασι." καὶ τίς καὶ πόθεν ἐστὶν "ὁ εἰρηκὼς, ἀναγκαῖον εἰπεῖν πρὸς ὑμᾶς· ἔχει δὲ οὕτως ἡ ὑπόθεσις. οἱ Κρῆτες τάφον ἔχουσι τοῦ Διὸς, ὁ ποιητὴς οὖν φησὶ,

> καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
> Κρῆτες ἐτεκτήναντο, σὺ δ' οὐ θάνες, ἐσσὶ γὰρ αἰεί [a].

ὅρα τὸν κίνδυνον· εἰ ἀληθὴς ὁ προφήτης αὐτῶν εἰπὼν περὶ τοῦ Διὸς, "σὺ δ' οὐ θάνες," εὑρίσκεται κατὰ τὸν Ἀπόστολον ἀθάνατος ὁ Ζεύς. τί οὖν ἐστι, καὶ πῶς ἐστι τοῦτο ἐπιλύσασθαι; ὁ Ἀπόστολος οὐ τοῦτο εἶπεν, ἀλλ' ἀπλάστως ἔλαβε τὴν μαρτυρίαν καὶ ἀφελῶς πρὸς τὸ ἦθος αὐτῶν τὸ ἐψευσμένον· διὰ τί γὰρ μὴ ἐπήγαγε, "καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο Κρῆτες ἐτεκτήναντο; Οὐ τοῦτο οὖν εἶπεν ὁ Παῦλος, ἀλλ' ὅτι ὁ δεῖνα καλῶς εἶπεν, ὅτι ψεῦσταί εἰσι. πόθεν οὖν διϊσχυριζόμεθα ὅτι οὐκ ἔστι Θεὸς ὁ Ζεύς; ἐκ μυρίων ἑτέρων· οὐ γὰρ δεῖ ἀπὸ τῆς τῶν Κρητῶν μαρτυρίας τοῦτο παράγειν· τί δή ποτε δὲ ἀπὸ τῶν Ἑλληνικῶν παράγει τὰς μαρτυρίας; ὅτι τούτοις μάλιστα ἐντρέπομεν αὐτούς· ὅταν οἴκοθεν ἐνέγκωμεν τὰς κατηγορίας, ὅτι τοὺς παρ' αὐτοῖς θαυμαστοὺς τούτους ἐπιστήσωμεν αὐτοῖς αἰτιωμένους. διὰ τοῦτο καὶ ἑτέρωθι κέχρηται ἀγνώστῳ Θεῷ. οἱ γὰρ Ἀθηναῖοι ἐπειδὴ οὐκ ἐξ ἀρχῆς τοὺς θεοὺς παρέλαβον, ἀλλὰ κατὰ χρόνους, στοχαζόμενοι ἀπὸ τούτων, ὅτι εἰκὸς καὶ ἄλλον εἶναι Θεὸν, ὑπ' αὐτῶν δὲ ἠγνοῆσθαι, ἵνα καὶ περὶ ἐκείνων ὦσι εὐκαθοσίωτοι, τοιοῦτον ἔστησαν τὸν βωμὸν, ἐπιγράψαντες ἀγνώστῳ Θεῷ. εἶπεν οὖν ὁ Ἀπόστολος, ὅτι ὃν προλαβόντες ὑμεῖς ἐπέγνωτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν· πάλιν "τοῦ γὰρ καὶ γένος ἐσμὲν," εἴρηται περὶ τοῦ Διός. φησὶ γὰρ, "πλήρεις μὲν Διὸς ἀγυιαὶ, πλήρεις δὲ θάλασσαι·" εἶτα μετὰ μικρὸν, "τοῦ γὰρ γένος ἐσμέν." Ἄρατος αὐτὰ εἶπεν. πῶς οὖν ὁ Παῦλος τὰ περὶ τοῦ Διὸς εἰρημένα ἕλκει εἰς τὸν Θεὸν τὸν τῶν ὅλων; οὐ τὰ περὶ τοῦ Διὸς εἰρημένα εἵλκυσεν εἰς τὸν Θεὸν, ἀλλὰ τὰ προσήκοντα τῷ Θεῷ, καὶ οὐ γνησίως οὐδὲ κυρίως ἐπιτεθέντα τῷ Διῒ, ταῦτα ἀποδίδωσι, τῷ Θεῷ· ἐπεὶ καὶ τὸ Θεὸς

[a] Callimach. Hymn. Jov. 20.

ὄνομα αὐτοῦ μόνου ἐστὶ, καὶ παρανόμως ἐπίκειται τοῖς εἰδώλοις. ἀλλὰ πόθεν ἐχρῆν αὐτοῖς διαλεχθῆναι; ἀπὸ προφητῶν; ἀλλ' οὐκ ἂν ἐπίστευσαν, ἐπεὶ καὶ Ἰουδαίοις οὐδὲν ἀπὸ τῶν εὐαγγελίων φθέγγεται, ἀλλ' ἀπὸ προφητῶν· διὰ τοῦτό φησιν, "ἐγενόμην τοῖς "Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος, τοῖς ὑπὸ νόμον "ὡς ὑπὸ νόμον·" καὶ τοῦτο καὶ ὁ Θεὸς ποιεῖ, οἷον ἐπὶ τῶν μάγων· οὐ δι' ἀγγέλου αὐτοὺς ἄγει, οὐ διὰ προφήτου, οὐ δι' ἀποστόλου, οὐ δι' εὐαγγελιστοῦ, ἀλλὰ πόθεν; δι' ἄστρου. ἐπειδὴ γὰρ περὶ ταῦτα τὴν τέχνην εἶχον, ἐκεῖθεν αὐτοὺς εἵλκυσε. πάλιν ἐπὶ τῶν βοῶν καὶ τῆς κιβωτοῦ, ἐὰν πορευθῶσι, φησὶ, ταύτην τὴν ὁδὸν, ἀληθής ἐστιν ἡ τοῦ Θεοῦ ἀγανάκτησις, καθάπερ οἱ μάντεις ὑπετίθεντο. οὐκοῦν ἀληθεύουσιν οἱ μάντεις; ἄπαγε· ἀλλ' ἀπὸ τῶν οἰκείων αὐτοὺς στομάτων ἐλέγχει καὶ καταπλήττει. πάλιν ἐπὶ τῆς ἐγγαστριμύθου· καὶ γὰρ ἐπειδὴ ταύτῃ ἐπίστευσε, διὰ ταύτης ἐποίησεν ἀκοῦσαι τὸν Σαοὺλ τὰ μέλλοντα αὐτὸν καταλαμβάνειν. τίνος οὖν ἕνεκα ἐπεστόμισε τὸν δαίμονα Παῦλος τὸν λέγοντα, "οὗτοι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν· οἵτινες κα"ταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας;" τίνος δὲ ἕνεκεν καὶ ὁ Χριστὸς κωλύει τοὺς δαίμονας φθέγγεσθαι; ἐκεῖ μὲν εἰκότως· καὶ γὰρ τὰ σημεῖα προεχώρει, ἐπεὶ καὶ ἐνταῦθα οὐκ ἀστὴρ ἦν, ἀλλ' αὐτὸς αὐτὸν ἐκήρυττε, καὶ οἱ δαίμονες δὲ οὐχὶ προσεκυνοῦντο· οὐκ ἦν εἴδωλον τὸ φθεγγόμενον ἵνα κωλυθῇ· καὶ τὸν Βαλαὰμ δὲ εἴασεν εὐλογῆσαι, καὶ οὐκ ἐκώλυσεν ἐλθεῖν, οὕτως πανταχοῦ συγκαταβαίνει.

(Σετηριανός.) Ἄλλος δέ φησιν· ἐπειδὴ ὁ ποιητὴς ὁ εἰρηκὼς τὸ

Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.

ἐπιλαμβανόμενος αὐτῶν εἶπεν, ὡς κακῶς δεικνύντων τάφον Διὸς τὸν οὐκ ὄντα. ἐχρήσατο δὲ τῷ αὐτῷ στίχῳ Παῦλος, ἵνα μὴ νομισθῇ τῷ ποιητῇ συντρέχειν, καὶ τῷ λεγομένῳ Διῒ μαρτυρεῖν ἀθανασίαν, ἐπήγαγεν, ἡ μαρτυρία αὕτη ἀληθής ἐστιν· ἐκεῖνος ἐψεύσατο τῷ Διῒ συνηγορῶν, ἐγὼ δὲ ἀληθεύω λέγων, ὅτι οἱ Κρῆτες ἀεὶ ψεῦσταί εἰσι, καὶ γαστέρες ἀργαί· αὕτη ἡ μαρτυρία ἀληθὴς, οὐκ ἐκείνη.

Θεόδωρος. Καὶ Θεόδωρος δὲ ὁμοίως φησὶν, οἱ κατὰ τῶν

Χριστιανικῶν συντάξαντες δογμάτων, ἐνταῦθα ἔφασαν καὶ τὸν μακάριον Παῦλον ἀποδέχεσθαι τὴν τοῦ ποιητοῦ φωνὴν, καὶ ἐπιμαρτυρεῖν αὐτῷ, ὡς ἂν δικαίως ταῦτα ὑπὲρ τοῦ Διὸς περὶ Κρητῶν εἰρηκότι, οὐ προσεσχηκότες οὔτε τῷ τρόπῳ τῆς τοῦ Ἀποστόλου χρήσεως, οὔτε τῷ "ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής·" οὐ γὰρ τὸ ποίημα οὐδὲ τὴν τοῦ ποιητοῦ ἀποδέχεται, ἀλλ' ὡς παροιμίᾳ τῇ τοῦ ποιητοῦ φωνῇ χρησάμενος τυχὸν καὶ τῶν τότε τῇ φωνῇ κεχρημένων. ὥσπερ οὖν καὶ ἕτερα πολλὰ τῶν παρὰ τοῖς ἀρχαίοις φερομένων ἐν παροιμίαις χρήσει τοῖς ὕστερον ἐγένετο. "δι' "ἣν αἰτίαν," φησὶν, "ἔλεγχε αὐτοὺς ἀποτόμως·" ἐπειδὴ πολλάκις ἐπαινῶν ἐπιείκειαν ἐκδιδάσκει, εὗρε δὲ τοὺς Κρῆτας χρείαν ἔχοντας ὥσπερ κέντρου τῆς ἐπιπλήξεως· διὰ τοῦτο εἶπεν, "ἀποτόμως ἔλεγχε αὐτοὺς, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει·" ἐλέγχειν οὖν ἀποτόμως οὐ τοὺς ἀλλοτρίους φησὶν, ἀλλὰ τοὺς οἰκείους ἀποτόμως· οὐ γὰρ πᾶσιν ἑνὶ τρόπῳ προσενεκτέον, ἀλλὰ διαφόρως καὶ ποικίλως καὶ πρὸς τὰ ὑποκείμενα.

Μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις.

Χρυσοστόμου. Διπλῆ μῦθος τὰ Ἰουδαϊκά· καὶ ὅταν παραποίησις ᾖ, καὶ ὅταν παρὰ καιρὸν ᾖ τὸ πρᾶγμα. ὅταν γὰρ μὴ δεῖ αὐτὸ γενέσθαι, καὶ γενόμενον βλάπτῃ, μῦθός ἐστιν. ὥσπερ ἄχρηστόν ἐστιν, ὥσπερ ἐκείνοις οὐ δεῖ πείθεσθαι, οὕτως οὐδὲ τούτοις· εἰ γὰρ πιστεύεις τῇ πίστει, τί ἕτερα ἐπεισάγεις ὡς οὐκ ἀρκούσης τῆς πίστεως δικαιῶσαι;

15 Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς.

Ὁρᾷς ὅτι πρός τί ἐστι τὸ εἰρημένον; "τοῖς δὲ μεμιασμένοις," φησὶ, "καὶ ἀπίστοις οὐδὲν καθαρόν." οὐκ ἄρα παρὰ τὴν οἰκείαν φύσιν καθαρὰ ἢ ἀκάθαρτα, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν μεταλαμβανόντων.

Ἀλλὰ μεμίανται αὐτῶν ὁ νοῦς καὶ ἡ συνείδησις.
16 Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται· βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

Οὐκοῦν καὶ ὗς καθαρόν· τί οὖν ὡς ἀκάθαρτον ἀπηγόρευται; οὐ

τῇ φύσει ἀπηγόρευται. πάντα γὰρ καθαρὰ, καὶ οὐδὲν ἀκάθαρτον ἐποίησεν ὁ Θεός· ἁμαρτία δὲ μόνη· ψυχῆς γὰρ ἅπτεται καὶ ταύτην ῥυποῖ· τοῦτο πρόληψίς ἐστιν ἀνθρωπίνη· "τοῖς δὲ μεμιασμένοις," φησὶ, "καὶ ἀπίστοις, οὐδὲν καθαρόν." πῶς γὰρ ἐν τοῖς καθαροῖς ἀκάθαρτον ἂν εἴη ὁ ψυχὴν ἔχων ἀσθενῆ; πάντα ῥυποῖ· εἰ γὰρ ἐὰν παραιτοῖτο τὸ καθαρὸν καὶ ἀκάθαρτον ζητῶν, οὐδενὸς ἅψεται, οὐδὲ γὰρ ταῦτα καθαρὰ, ἰχθύες λέγω, ἀνθρωπίνων σωμάτων ἀπογευόμενοι· καὶ ὄρνιθες σκωλήκων καὶ κόπρου καὶ ὅσα τοιαῦτα· οὐδὲν οὖν ἀκάθαρτον, ἀλλ' αὐτοὶ καὶ ὁ νοῦς καὶ ἡ συνείδησις αὐτῶν, προαίρεσις πονηρὰ, ἀκάθαρτον.

Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι· σὺ δὲ λάλει, ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ.

(ΘΕΟΔΩΡΟΣ.) Ἄλλος φησίν· ἐπειδὴ περὶ τὰ βρώματα ἀκριβολογεῖσθαι ἐδόκουν, ὡς ἂν κατὰ νόμον τῶν μὲν δέον μεταλαμβάνειν, τῶν δὲ ἀπέχεσθαι· τῶν γεγονότων φησὶν, ἀκάθαρτον οὐδὲν, εἰ δή τις αὐτῶν καθαρᾷ μεταλαμβάνοι τῇ γνώμῃ· ἐπειδὰν δέ τις δι' ἀπιστίαν ἔχοι τὴν συνείδησιν μεμολυσμένην, καθαρὸν οὐδὲν τῷ τοιούτῳ· βλάπτεται γὰρ ὑφ' ἁπάντων ὁμοίως· ὁ γὰρ Θεὸς πάντα καθαρὰ ἐποίησεν· εἰ δὲ ἀκάθαρτά ἐστιν, ἡ κατηγορία τοῦ δημιουργήσαντος ἅπτεται· καὶ τοῦτό ἐστι—"Θεὸν ὁμολογοῦσιν εἰδέναι, "τοῖς δὲ ἔργοις ἀρνοῦνται." ἀλλὰ μηδὲν τούτων ἕνεκεν σιγήσῃς, κἂν μὴ δέχωνται, φησὶ, σὺ τὰ σαυτοῦ πράττε. ἄρα οὐ τὸ παρατηρεῖσθαι καθαρότητος, ἀλλὰ καθαρότητος τὸ πάντων κατατολμᾷν· αἱ γὰρ παρατηρήσεις ἐκεῖναι σύμβολα ἦσαν καθαρσίων καὶ τύποι, νῦν δὲ ταῦτα οὐκ ἀπαιτούμεθα· μετέστη γὰρ εἰς τὴν ψυχὴν τὸ πᾶν. οὐ δεῖ τοίνυν προσεδρεύειν ταῖς σκιαῖς, ἀλλὰ τῆς ἀληθείας ἔχεσθαι.

ΚΕΦ. Γ.

Παραινέσεις ἃς δεῖ παραινεῖν καθ' ἡλικίαν ἑκάστοις.

2 Πρεσβύτας νηφαλίους εἶναι, σεμνοὺς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ.

Πολλὰ γάρ ἐστι τὰ ποιοῦντα μὴ νήφειν, τοὺς ἐν ἡλικίᾳ τοιαύτῃ· πρῶτον μὲν αὐτὸ τὸ πανταχόθεν ἀμβλύνεσθαι καὶ δυσκόλως κινεῖσθαι· διὰ τοῦτό φησι "νηφαλίους, σεμνοὺς καὶ σώφρονας." σώφρονας ἐνταῦθα τοὺς φρονίμους φησὶ, σωφροσύνη γάρ ἐστιν ἡ τῶν φρενῶν σωτηρία· καλῶς δὲ ἐπήγαγε καὶ "τῇ ὑπομονῇ·" τοῦτο γὰρ μάλιστα τοῖς γέρουσιν ἁρμόζει.

3 Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖ.

Τουτέστιν, ὡς ἀπ' αὐτοῦ τοῦ σχήματος καὶ τῆς καταστολῆς δείκνυσθαι τὴν κοσμιότητα.

Ἄλλος δέ φησιν· ἔδειξεν ὅτι εἰς κλῆρον τὰς γυναῖκας καλεῖ, οὐ γὰρ ἂν ἱεροπρεπεῖς εἶπεν. ἀλλὰ τούτοις ἕτερος ἀνθιστάμενός φησιν,

(Θεόδωρος.) Οὐχ ὥς τινες ἐνόμισαν, ὅτι χειροτονία τις ἦν τότε ἐν γυναιξὶ πρεσβυτέρων· διδάσκει γὰρ ὁμοίως καὶ τῶν γυναικῶν τὰς τὴν ἡλικίαν παλαιοτέρας, τό τε σχῆμα ἔχειν ἱεροπρεπὲς, ἵνα εἴπῃ θαυμαστὸν καὶ αἰδέσιμον.

Μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας.

Μάλιστα γὰρ τοῦτο τῶν γυναικῶν τὸ ἐλάττωμα, καὶ τοῦ γήρως, πανταχόθεν τὴν μέθην ἐκκόπτων, καὶ τοῦ νοσήματος τούτου ἐκτὸς αὐτὰς εἶναι βουλόμενος. "καλοδιδασκάλους." καὶ μὴν κωλύεις γυναῖκας διδάσκειν οὐδὲ αὐθεντεῖν ἀνδρός. μακρὸν ἀποτείνειν λόγον ἐπ' ἐκκλησίας, οὐ συγχωρεῖ, οὐδὲ προκαθῆσθαι.

4 Ἀλλ' ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι.

Τὸ κεφάλαιον τοῦτο τῶν κατὰ τὴν οἰκίαν ἀγαθῶν· "φιλοτέκνους." ἡ γὰρ τὴν ῥίζαν ἀγαπῶσα, πολλῷ μᾶλλον τοὺς καρπούς· "σώφρονας, ἁγνὰς, οἰκουροὺς, ἀγαθάς·" πάντα ἀπ' ἐκείνου τίκτεται, καὶ γὰρ ἀγαθαὶ, καὶ οἰκουροὶ, ἀπὸ τῆς ἀγάπης καὶ τῆς περὶ τὸν ἄνδρα φιλίας, γίνονται.

5 Ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

Ἀπὸ τοῦ φιλεῖν τὸν ἄνδρα καὶ σωφροσύνη πολλὴ τίκτεται, καὶ πᾶσα ἀναιρεῖται φιλονεικία· κἂν Ἕλλην ᾖ, ταχέως πεισθήσεται, ἂν δὲ Χριστιανὸς, ταχέως βελτιωθήσεται· καὶ τούτων καλῶς διοικουμένων, καὶ τὰ πνευματικὰ χώραν ἕξει, ἑτέρῳ δὲ κἀκεῖνα λυμανεῖται.

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν.

Τῆς μὲν εἰς τὰς γυναῖκας διδασκαλίας, καὶ ταῖς γυναιξὶ τὸ πλέον ἀπένειμε τὰς γεγηρακυίας, ταῖς νεωτέραις ἐπιστήσας· τῶν δὲ ἀνδρῶν τὸ πᾶν αὐτῷ δίδωσι καὶ ἀπονέμει· οὐδὲν δὲ οὕτω δύσκολον καὶ χαλεπὸν τῇ ἡλικίᾳ ταύτῃ γένοιτ' ἂν, ὡς τὸ περιγενέσθαι τῶν ἡδονῶν τῶν ἀτόπων· διὸ πάντα ἀφεὶς, περὶ τὸ καίριον αὐτὸ τὴν παραίνεσιν ἵστησιν· εἶτα οὐδὲ τῶν ἄλλων ῥᾳθυμεῖ, ἀλλὰ τί φησι;

7 Περὶ πάντας ἑαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων.

Πρὸς τούτοις φησὶν, ἔστω πᾶσι κοινὸν διδάσκαλον καὶ ὑπόδειγμα ἀρετῆς, ἡ τοῦ σοῦ βίου λαμπρότης. ὅταν γὰρ καὶ βίος λάμπῃ καὶ λόγος ᾖ συμβαίνων, ἐπιεικὴς, ἥμερος, προσηνὴς, μηδεμίαν τοῖς ἐναντίοις παρέχων λαβὴν, πολὺν καὶ ἄφετον τὸ κέρδος. "ἀδιαφορίαν, σεμνότητα·" τὸ τῆς ἀδιαφορίας ἐπὶ τοῦ νοῦ ἔλαβε, τὸ δὲ τῆς σεμνότητος, ἐπὶ τοῦ ἔργου, ἵνα μὴ μόνον ἔργου ἀπέσχῃ φθαρτοῦ, ἀλλὰ καὶ νοήματός.

ΚΕΦ. Δ.

Περὶ δούλων ὡς ἂν καὶ αὐτοὶ τῆς Χριστοῦ χάριτος ἀξίως δουλεύοιεν.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν
10 εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους,
ἀλλὰ πᾶσαν πίστιν ἐνδεικνυμένους ἀγαθὴν, ἵνα τὴν
διδασκαλίαν τὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν
πᾶσιν.

Εἰκότως ἄρα ἔλεγεν ἑτέρωθι, "ὡς τῷ Θεῷ δουλεύοντες καὶ οὐκ

"ἀνθρώποις·" κἂν γὰρ τῷ δεσπότῃ διακονῇς μετ' εὐνοίας, ἡ πρόφασις ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ τὴν ἀρχὴν ἔχει.

11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν
12 ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν εὐσέ-
βειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως
13 καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι
τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ
14 μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς
ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ
πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον,
ζηλωτὴν καλῶν ἔργων

Τὴν αἰτίαν ἐπήγαγε δικαίαν, δι' ἣν ὀφείλουσι τοιοῦτοι εἶναι· πῶς γὰρ οὐκ ἂν εἰκότως εἶεν τοιοῦτοι οἱ μυρίων ἁμαρτημάτων λύσιν εὑρόντες; ἴστε γὰρ ὅτι μετὰ τῶν ἄλλων καὶ τοῦτο οὐχ ὡς ἔτυχεν ἐντρέπει καὶ συστέλλει τὴν ψυχὴν, τὸ μυρίων ἁμαρτημάτων οὖσαν ὑπεύθυνον, μὴ δίκην δοῦναι, ἀλλὰ συγγνώμης τυχεῖν καὶ μυρίων ἀγαθῶν· καὶ τοῦτο δὲ χάριτος, τὸ ἀπαλλάξαι τῶν βιωτικῶν, τὸ πρὸς τὸν οὐρανὸν ἀγαγεῖν. δύο δὲ δείκνυσιν ἐνταῦθα ἐπιφανείας· καὶ γάρ εἰσι δύο, ἡ μὲν προτέρα χάριτος, ἡ δὲ δευτέρα ἀνταποδόσεως καὶ τοῦ δικαίου. "Ἵνα ἀρνησάμενοι, τὴν "ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας," μεθ' ὅσης σπουδῆς τὰ εἴδωλα ἀπεστράφησαν, μετὰ τοσαύτης, καὶ τὴν κακίαν αὐτὴν, "καὶ τὰς κοσμικὰς ἐπιθυμίας," φησὶ, καὶ γὰρ καὶ ταῦτα εἴδωλα· κοσμικαὶ δὲ ἐπιθυμίαι, πάντα ὅσα ἂν μὴ διαβαίνῃ μεθ' ἡμῶν πρὸς τὸν οὐρανὸν, ἀλλὰ τῷ παρόντι κόσμῳ συγκαταλύεται. "σωφρόνως "καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι." σωφροσυνή οὐ τοῦτο μόνον ἐστὶ τὸ πορνείας ἀπέχεσθαι, ἀλλὰ καὶ τὸ τῶν λοιπῶν παθῶν ἐκτὸς εἶναι. τίς δὲ ἡ ἐλπίς, καὶ τί τὸ ἔπαθλον τῶν πόνων; προσδεχόμενοι," φησὶ, "τὴν μακαρίαν ἐλπίδα καὶ ἐπι"φάνειαν·" ὄντως γὰρ οὐδὲν ἐκείνης μακαριώτερον. "τοῦ μεγάλου "Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ." ποῦ εἰσιν οἱ τοῦ Πατρὸς τὸν Υἱὸν ἐλάττονα λέγοντες; τὸ μέγας ἐπὶ Θεοῦ ὅταν λέγῃ, οὐ πρός τι μέγαν φησὶ, ἀλλ' ἀπολύτως μέγαν, μεθ' ὃν οὐκ ἂν εἴη μέγας, ἀλλ' ἀσυγκρίτως μέγας.

Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον.

Ἐξηλλαγμένον, οὐδὲν ἔχοντα κοινὸν πρὸς τοὺς λοιπούς· "ζηλω-"τὴν καλῶν ἔργων," τουτέστι μετὰ προθυμίας πολλῆς ἐπ' αὐτὴν ἰόντας τὴν ἀρετήν· τὸ μὲν οὖν βεβαρημένους τοῖς κακοῖς καὶ ἀνίατα νοσοῦντας ἀπαλλάξαι τῆς ἐκείνους φιλανθρωπίας ἦν, τὰ δὲ μετὰ ταῦτα καὶ ἡμῶν καὶ ἐκείνου.

ΚΕΦ. Ε.

Περὶ ἀρχόντων ὑπακοῆς πρεπούσης τῇ ἐπιεικείᾳ τοῦ Χριστοῦ.

15 Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε, μετὰ πάσης
ἐπιταγῆς.

Ἐπειδὴ τὸ ἦθος τούτων σκληρότερον ἦν, διὰ τοῦτο καὶ ἀποτόμως. ἔστι γάρ τινα τῶν ἁμαρτημάτων, ἃ καὶ ἐπιτάγμασιν ἀπείργειν χρή, οἷον τὸ χρημάτων καταφρονεῖν, παραινοῦντας δεῖ πείθειν, καὶ τὸ ἐπιεικεῖς εἶναι, καὶ ὅσα τοιαῦτα· τὸν δὲ μοιχὸν καὶ πόρνον καὶ πλεονέκτην μετ' ἐπιταγῆς ἀπάγειν, καὶ τὸν ἄλλα τοιαῦτα πράττοντα.

1 Μηδείς σου περιφρονείτω, ἀλλ' ὑπομίμνησκε αὐτοὺς
ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, μηδὲν βλασφη-
μεῖν, ἀλλ' ἀμάχους εἶναι.

Τί οὖν μηδὲ τοὺς κακῶς πράττοντας, μηδ' ἐκείνους λοιδορεῖσθαι; "ἀλλὰ πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα "βλασφημεῖν," κἂν ὅστις ᾖ, ἀλλὰ καθαρὸν ἡμῖν εἶναι τὸ στόμα λοιδορίας.

2 Ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πρα-
3 ότητα πρὸς πάντας ἀνθρώπους. ἦμεν γάρ ποτε καὶ ἡμεῖς
ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις
καὶ ἡδοναῖς ποικίλαις, κακίᾳ καὶ φθόνῳ διάγοντες, στυ-
γητοί, μισοῦντες ἀλλήλους.

Ὥστε πρὸς πάντας τοιούτους εἶναι δεῖ, ἡμέρως ἔχειν. ὁ γὰρ

τοιοῦτος ὢν πρότερον καὶ ἀπαλλαγεὶς, οὐκ ὀνειδίζειν ὀφείλει, ἀλλὰ χάριτας ἔχειν τῷ καὶ αὐτοῖς κἀκείνοις δόντι τὴν ἀπαλλαγὴν τῶν προτέρων κακῶν· ἐννοῶν οὖν οἷος ἦσθα πρότερον, καὶ τὸ τοῦ μέλλοντος ἄδηλον, ἀναχαίτιζε τὴν ὁρμήν.

4 Ἦμεν γάρ ποτε καὶ ἡμεῖς πλανώμενοι· ὅτε δὲ ἡ χρη-
στότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν
5 Θεοῦ, πῶς οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἀλλὰ κατὰ
τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενε-
σίας, καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου.

Βαβαὶ, πῶς ἦμεν ἐν τῇ κακίᾳ βεβαπτισμένοι, ὡς μὴ δύνασθαι καθαρθῆναι, ἀλλ᾽ ἀναγεννήσεως δεηθῆναι· τοῦτο γάρ ἐστι "παλιγ-"γενεσίας·" οὐκ ἐπεσκεύασεν, ἀλλ᾽ ἄνωθεν κατεσκεύασεν, ἄνωθεν ἐποίησε κοινούς· πῶς; διὰ τοῦ Πνεύματος· καὶ πάλιν ἑτέρωθεν δείκνυσιν εἰπὼν, "οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χρι-"στοῦ τοῦ Σωτῆρος ἡμῶν·" πολλοῦ ἔδει ἡμῖν Πνεύματος· "ἵνα "δικαιωθέντες," φησὶ, "τῇ ἐκείνου χάριτι," πάλιν χάριτι, οὐκ ὀφειλῇ, "κληρονόμοι γενώμεθα κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου." ἅμα καὶ προτροπὴ εἰς ταπεινοφροσύνην ἐστὶν, καὶ ἐλπὶς ὑπὲρ τῶν μελλόντων· εἰ γὰρ οὕτως ἀπεγνωσμένως ὡς ἄνωθεν γεννηθῆναι, ὡς χάριτι σωθῆναι, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι τοῦτο ἐργάσεται. τί ἐστι κατ᾽ ἐλπίδα; τουτέστι καθὼς ἠλπίσαμεν, οὕτως ἀπολαύσομεν, ἢ ὅτι ἤδη κληρονόμοι ἐστέ· "πιστὸς ὁ λόγος." ἐπειδὴ περὶ μελλόντων διελέχθη, ἐπήγαγε τὸ ἀξιόπιστον· ἀληθῆ ταῦτά ἐστι, φησὶ, καὶ δῆλον ἐκ τῶν φθασάντων· ὁ γὰρ τοσαύτης ἡμᾶς ἀνομίας ἀπαλλάξας, καὶ τοσούτων κακῶν, εὔδηλον ὅτι καὶ τῶν μελλόντων ἡμῖν μεταδώσει ἐπιμείνασι τῇ χάριτι· βεβαιῶν τὰ περὶ τοῦ Θεοῦ εἰς ἡμᾶς ἐσόμενα ἀγαθὰ, δι᾽ ὧν ἔφθασεν ἀπαριθμήσασθαι, καὶ τὴν πρὸς ἡμᾶς αὐτοῦ κηδεμονίαν δηλῶν, ἐπήγαγε,

8 Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων βούλομαί σε βεβαι-
οῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ
πεπιστευκότες Θεῷ.

Ἐπὶ τὴν ἐλεημοσύνην αὐτοὺς προτρέπεται, οὐ παρέργως δὲ, ἀλλ᾽ "ἵνα," φησὶ, "φροντίζωσι καλῶν ἔργων προΐστασθαι," τουτέστιν, ἀδικουμένοις βοηθεῖν, μὴ χρήμασι μόνοις, ἀλλὰ καὶ προστα-

σίαις καὶ χήραις ἀμύνειν καὶ ὀρφανοῖς, καὶ πάντας τοὺς κακῶς πάσχοντας ἐν ἀσφαλείᾳ καθιστᾶν· τοῦτο γάρ ἐστι καλῶν ἔργων προΐστασθαι.

Ταῦτα γάρ ἐστι καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις·
9 μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας
νομικὰς περιΐστασο, εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι.

Τί ποτε βούλονται αἱ γενεαλογίαι; καὶ γὰρ ἐν τῇ πρὸς Τιμόθεον τοῦτο τίθησι λέγων, "μύθους καὶ γενεαλογίας ἀπεράντους·" "ἔρεις" δὲ, φησὶ, τὰς πρὸς τοὺς αἱρετικοὺς, ὅταν μηδὲν ᾖ κέρδος· τὸ γὰρ τέλος αὐτῆς οὐδέν· ὅταν γὰρ ᾖ τις διεστραμμένος, καὶ μηδ' ἂν ὁτιοῦν γένηται προῃρημένος μεταθέσθαι τὴν γνώμην, τίνος ἕνεκεν εἰκῇ κάμνεις κατὰ πετρῶν σπείρων; δέον πονεῖν εἰς τοὺς σοὺς, περὶ ἐλεημοσύνης αὐτοῖς διαλεγόμενος καὶ τῆς ἄλλης ἀρετῆς.

ΚΕΦ. ϛ.

Παραινέσεις περὶ ἐκκλίνειν τοὺς αἱρετικοὺς ζητητάς.

10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθε-
11 σίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ
ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.

Πῶς οὖν ἑτέρωθι, φησὶ, "μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν," ἐνταῦθα δὲ ἐκτρέπεσθαι εἰσηγεῖται; ἐκεῖ μὲν περὶ τῶν ἐλπίδα ἐχόντων διορθώσεως φησὶ, καὶ περὶ τῶν ἀντιδιατιθεμένων ἁπλῶς· ὅταν δὲ δῆλος ᾖ πᾶσι καὶ φανερὸς, τίνος ἕνεκεν πυκτεύεις ἐκεῖ; "αὐτοκατάκριτος" δέ ἐστιν, ὅτι οὐκ ἔχει εἰπεῖν, ὅτι οὐδείς με ἐνουθέτησεν. ὅταν οὖν μετὰ τὴν παραίνεσιν ὁ αὐτὸς μείνῃ, αὐτοκατάκριτος γίνεται.

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικὸν, σπού-
δασον ἐλθεῖν πρός με εἰς Νικόπολιν.

Τί λέγεις; ἐπιστήσας αὐτὸν τῇ Κρήτῃ, πάλιν καλεῖς πρὸς σαυτόν; οὐκ ἀπάγων αὐτὸν τῆς σχολῆς ἐκείνης, ἀλλὰ πλέον ῥυθμίζων· ὅτι γὰρ οὐχ ὥστε περιάγειν αὐτὸν καὶ πανταχοῦ ἔχειν ἀκολουθοῦντα καλεῖ, ἄκουσον· "ἐκεῖ," φησὶ, "κέκρικα παραχειμάσαι," ἡ δὲ Νικόπολις τῆς Θρᾴκης ἐστί.

13 Ζηνᾶν τὸν νομικὸν, καὶ Ἀπολλῶ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.

Οὗτοι οὐδέπω τῶν ἐγχειρισθέντων ἦσαν, ἀλλὰ τῶν συνόντων αὐτῷ· δυνατὸς δὲ ἦν ὁ Ἀπολλῶς ἐν ταῖς γραφαῖς, καὶ ἀνὴρ λόγιος· εἰ τοίνυν νομικὸς ἦν ὁ Ζηνᾶς, οὐκ ἔδει παρ' ἑτέρῳ αὐτὸν τρέφεσθαι· νομικὸν δὲ ἐνταῦθα φησὶ, τὸν τῶν Ἰουδαϊκῶν νόμων ἔμπειρον. "ἵνα "μηδὲν αὐτοῖς λείπῃ," τουτέστιν, ἐν πάσῃ ἀφθονίᾳ αὐτοὺς κατάστησον.

14 Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

15 ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες· ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει.

Ἤτοι τοὺς αὐτὸν φιλοῦντας ἢ τοὺς πιστοὺς ἄνδρας. "ἡ χάρις "μετὰ πάντων ὑμῶν, ἀμήν." πῶς οὖν αὐτῷ κελεύεις τοὺς ἀντιλέγοντας ἐπιστομίζειν, εἰ περιΐστάναι τούτους δεῖ; ὅταν ἐπὶ λύμῃ πάντα ποιῶσι, φησὶν, αὐτὸν δὲ προηγουμένως ἐπὶ τῷ ἐκείνων κέρδει μηδέποτε τοῦτο ποιεῖν· εἰ μὲν γὰρ ἑτέροις λυμαίνοιντο, δεῖ ἑστάναι καὶ μάχεσθαι, ἐπεὶ περιΐστατο· εἰ δὲ ὁρᾷς ἑτέρους διαφερομένους, μὴ σίγα, ἀλλ' ἐπιστόμιζε, τῶν μελλόντων ἀπόλλυσθαι κηδόμενος. τί ἐστιν "ἵνα φροντίζωσι καλῶν ἔργων προΐστα-"σθαι;" ἀντὶ τοῦ ἵνα μὴ περιμένωσι τοὺς δεομένους ἐλθεῖν πρὸς αὐτούς· ἀλλ' αὐτοὶ περιεργάζωνται τοὺς δεομένους τῆς αὐτῶν βοηθείας.

Τῶν εἰς τὴν πρὸς Τίτον ἐπιστολὴν Παύλου τοῦ Ἀποστόλου ἐξηγητικῶν ἐκλογῶν.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

ἈΝΗΡ τις ἦν Φιλήμων τῶν πιστῶν καὶ γενναίων ἀνδρῶν, καὶ τοῦτο δῆλον ἀπὸ τοῦ καὶ τὴν οἰκίαν αὐτοῦ πᾶσαν εἶναι πιστῶν, καὶ οὕτω πιστῶν, ὡς καὶ ἐκκλησίαν αὐτὴν ὀνομάζεσθαι. μαρτυρεῖ δὲ αὐτῷ καὶ πολλὴν ὑπακοὴν, καὶ ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀνεπαύσατο εἰς αὐτόν. δοκεῖ δέ μοι καὶ καταγώγιον ἁγίων εἶναι ἡ οἰκία ἐκείνου, πάντων ἕνεκεν. οὗτος παῖδά τινα εἶχεν Ὀνήσιμον κλέψαντά τι παρὰ τοῦ δεσπότου καὶ δραπετεύσαντα, ὃς ἐλθὼν πρὸς τὸν Παῦλον εἰς τὴν Ῥώμην, καὶ εὑρὼν αὐτὸν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπολαύσας τῆς παρ' αὐτοῦ διδασκαλίας, τοῦ βαπτίσματος ἔτυχεν ἐκεῖ. καὶ τοῦτο δηλοῖ ὁ Ἀπόστολος λέγων "ὃν "ἐγέννησα ἐν τοῖς δεσμοῖς μου." γράφει τοίνυν ὁ Παῦλος συνιστῶν αὐτὸν πρὸς τὸν δεσπότην ὡς ἀναγεννηθέντα νῦν. ἀλλ' ἐπειδὴ τινές φασι περιττὸν εἶναι τὸ καὶ ταύτην προσκεῖσθαι τὴν Ἐπιστολὴν, εἴ γε ὑπὲρ πράγματος μικροῦ ἠξίωσε, μαθέτωσαν ὅτι μυρίων ἐγκλημάτων εἰσὶν ἄξιοι, ὅσοι ταῦτα ἐγκαλοῦσιν. οὐ μόνον γὰρ τὰς οὕτω μικρὰς ἐπιστολὰς καὶ ὑπὲρ οὕτω πραγμάτων ἀναγκαίων ἐπεσταλμένας ἔδει ἐγγεγράφθαι, ἀλλ' εἴθε γὰρ ἐνῆν εὐπορῆσαι ἅπασαν τῶν Ἀποστόλων καὶ τὴν ἄλλην ἀναστροφήν· οὕτω πάντα τὰ παρ' αὐτῶν γενόμενα πολλῆς ὠφελείας γέμει. ὅτι δὲ περὶ ἀναγκαίων ἡ Ἐπιστολὴ διεπέμπετο, μαθεῖν ὑμᾶς χρήσιμον· ἓν μὲν καὶ πρῶτον, τὸ σπουδαῖόν τινα εἶναι περὶ πάντα· εἰ γὰρ Παῦλος ὑπὲρ λῃστοῦ καὶ δραπέτου τοσαύτην ποιεῖται πρόνοιαν, οὐδὲ παραιτεῖται ἢ αἰσχύνεται, πολλῷ μᾶλλον οὐδὲ ἡμᾶς ῥαθύμους εἶναι προσήκει περὶ τὰ τοσαῦτα· δεύτερον ὅτι τὸ δουλικὸν γένος οὐ δεῖ ἀπογινώσκειν, κἂν εἰς ἐσχάτην ἐλάσῃ κακίαν· τρίτον ὅτι τοὺς δούλους ἀποσπᾷν τῶν δεσποτῶν οὐ προσήκει. εἰ γὰρ Παῦλος ὁ

οὕτω θαρρῶν τῷ Φιλήμονι τὸν Ὀνήσιμον τὸν οὕτως εὔχρηστον καὶ χρήσιμον αὐτῷ πρὸς διακονίαν οὐκ ἠθέλησε κατασχεῖν παρὰ γνώμην τοῦ δεσπότου, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν οὐ χρή· πρὸς τούτοις διδάσκει ἡμᾶς μὴ ἐπαισχύνεσθαι τοὺς οἰκέτας εἰ ἐνάρεστοι εἶεν. προσέχωμεν τοίνυν παρακαλῶ τῇ παρὰ τοῦ Ἀποστόλου γραφείσῃ Ἐπιστολῇ· τοσαῦτα γὰρ ἤδη κερδάναντες, πλέονα κερδανοῦμεν ἀπὸ τῆς ὑφῆς.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Ἔπαινος Φιλήμονος καὶ εὐχαριστία ὑπὲρ αὐτοῦ.

β΄. Σύστασις Ὀνησίμου φυγάδος οἰκέτου, καὶ παράκλησις ὑπὲρ αὐτοῦ σωθέντος διὰ πίστεως.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΝ.

---

1 Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ.

Ὑπὲρ οἰκέτου πρὸς δεσπότην ἐστὶ ταῦτα· εὐθέως οὖν ἀπὸ τοῦ προοιμίου τὸ φρόνημα αὐτοῦ κατέσπασε, τὸν θυμὸν ἔσβεσε, δέσμιον ἑαυτὸν καλῶν, κατένυξε καὶ συνέτεινεν, οὐδὲν τὰ παρόντα ἐποίησε δοκεῖν εἶναι πράγματα· εἰ γὰρ δεσμὸς οὐκ αἰσχύνει διὰ Χριστὸν, πολλῷ μᾶλλον δουλεία οὐκ ἐπονείδιστον.

(Σευηριανός.) *Ἄλλος φησί· ἐν πολλαῖς ἐπιστολαῖς ξένον τίθησι ῥῆμα τοῦ μέλλοντος εἰσάγεσθαι λόγου κατασκευαστικὸν, καὶ νῦν ἐπειδὴ ἔμελλεν ἀξιοῦν ὑπὲρ Ὀνησίμου τῇ ἑαυτοῦ ἀξίᾳ, ἀξία δὲ αὐτοῦ τὸ δεδέσθαι, τὸ ἀξιόπιστον τῆς παρακλήσεως δείκνυσιν. ὡς ἂν εἰ ἔλεγεν, δι' ὑμᾶς τὸν δεσμὸν τοῦτον περίκειμαι.*

Καὶ Τιμόθεος ὁ ἀδελφός.

Χρυσοστόμου. *Συμπαραλαμβάνει καὶ ἕτερον μεθ' ἑαυτοῦ, ὥστε κἀκεῖνον μᾶλλον εἶξαι καὶ δοῦναι τὴν χάριν.*

Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν.

Εἰ ἀγαπητὸς, οὐ τόλμης τὸ θαρρεῖν, ἀλλὰ πολλῆς φιλίας· εἰ συνεργὸς, οὐ μόνον ἀξιοῦσθαι ὑπὲρ τῶν τοιούτων, ἀλλὰ καὶ χάριν εἰδέναι ὀφείλει.

Θεόδωρος. *Συνεργὸς δὲ τῷ περὶ τὴν τῶν ἁγίων ἐσπουδακέναι θεραπείαν, οὐ μικρὰ συμβαλλόμενον τοῖς τὸ Εὐαγγέλιον κηρύττειν ἐγκεχειρισμένοις.*

2 Καὶ Ἀμφίᾳ τῇ ἀγαπητῇ.

Ἐμοὶ δοκεῖ σύμβιον εἶναι τούτου· ὅρα Παύλου τὸ ταπεινόν· οὐ τὸν ἄνδρα μόνον ἀξιοῖ, ἀλλὰ καὶ τὴν γυναῖκα.

Θεόδωρος. Καὶ ὥσπερ ἀγαπητὸν ἐκεῖνον ἐκάλεσεν, οὕτω καὶ ταύτην, ἅτε δὴ μηδὲν διαφέρειν κατὰ τὴν εὐσέβειαν ἀνδρῶν τὰς γυναῖκας ἡγούμενος· ἡγεῖτο δὲ ταύτην ἐπ' ἐκείνων ἁρμόττειν τὴν προσηγορίαν, ἐφ' ὧν πάθους αἰσχρότης οὐκ ἐμεσίτευσε.

Καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν.

Ἕτερόν τινα ἴσως φίλον, οὐκ ἐξ ἐπιτάγματος βουλόμενος τὰ τοιαῦτα ἀνύειν, οὐδὲ ἀγανακτῶν εἰ μὴ εὐθέως κελεύσαντι ὑπακούσειεν, ἀλλ' ἅπερ ἂν ἀνὴρ ἄγνωστος ἐποίησε, ταῦτα ποιεῖν κἀκείνους ἀξιοῖ, ὥστε συναντιλαμβάνεσθαι τῆς δεήσεως. εἰ συστρατιώτης εἶ, καὶ ἐν τούτοις κοινωνεῖν ὀφείλεις. οὗτος δέ ἐστιν Ἄρχιππος, περὶ οὗ γράφων Κολοσσαεῦσιν ἔλεγεν· "εἴπατε Ἀρχίππῳ τὴν "διακονίαν ἣν παρέλαβεν ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς·" δοκεῖ μοι αὐτὸς εἶναι τῶν ἐν κλήρῳ κατειλεγμένων.

(Θεόδωρος.) Ἄλλος φησίν· υἱῷ αὐτοῦ λέγει τοῦ τε Φιλήμονος καὶ τῆς Ἀμφίας.

Καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ.

Χρυσοστόμου. Οὐδὲ δούλους παρῆκεν ἐνταῦθα, οἶδε γὰρ πολλάκις καὶ ῥήματα δούλων ἀνατρέψαι τὸν δεσπότην, καὶ μάλιστα ὅταν ὑπὲρ δούλου ἡ ἀξίωσις ᾖ· οὐ τοίνυν ἀφίησιν αὐτοὺς εἰς φθόνον ἐμπεσεῖν, τῇ προσηγορίᾳ τιμήσας μετὰ τῶν δεσποτῶν, ἀλλ' οὐδὲ τὸν δεσπότην ἀγανακτῆσαι συγχωρεῖ, ὀνομαστὶ αὐτῶν μὴ μνημονεύων· ὅρα οὖν πῶς συνετῶς εὗρεν καὶ τούτους τῇ μνήμῃ τιμῆσαι, κἀκεῖνον μὴ πλῆξαι· τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα οὐκ ἀφίησι τοὺς δεσπότας ἀγανακτεῖν, εἴγε συναριθμοῖντο τοῖς οἰκέταις.

3 Χάρις ὑμῖν καὶ εἰρήνη.

Εἰς ὑπόμνησιν αὐτὸν ἤνεγκε τῶν οἰκείων ἁμαρτημάτων· ἐννόησον, φησὶ, πόσα σοι συνεχώρησεν ὁ Θεὸς, πῶς χάριτι σὺ ἐσώθης· μίμησαι τὸν δεσπότην.

ΚΕΦ. Α.

Ἔπαινος Φιλήμονος καὶ εὐχαριστία ὑπὲρ αὐτοῦ.

4 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου τὴν ἀγάπην

καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν, καὶ
6 πρὸς πάντας τοὺς ἁγίους· ὅπως ἡ κοινωνία τῆς πίστεώς
σου ἐνεργὴς γένηται, ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ
ἐν ἡμῖν εἰς Χριστὸν Ἰησοῦν.

Οὐκ εὐθέως ἐκ προοιμίων αἰτεῖ τὴν χάριν, ἀλλὰ πρότερον τὸν ἄνδρα θαυμάσας καὶ ἐπαινέσας, ἐπὶ τοῖς κατορθώμασι καὶ τῆς ἑαυτοῦ ἀγάπης δείξας τεκμήριον οὐ μικρὸν, τὸ διὰ παντὸς αὐτοῦ μεμνῆσθαι ἐν ταῖς προσευχαῖς, καὶ εἰπὼν ὅτι πολλοὶ ἀναπαύονται, καὶ πᾶσιν ὑπακούει καὶ πείθεται, τότε καὶ ἑαυτὴν τελευταίαν τίθησιν· οὐκ εἶπε δὲ ἡ πίστις σου, ἀλλ' "ἡ κοινωνία τῆς πίστεώς σου," συνάπτων αὐτὸν ἑαυτῷ, καὶ ἓν σῶμα δεικνὺς, καὶ τούτῳ μάλιστα αὐτὸν δυσωπῶν.

7 Χαρὰν γὰρ ἔσχον καὶ πολλὴν παράκλησιν ἐπὶ τῇ
ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται
διὰ σοῦ, ἀδελφέ.

Οὐδὲν οὕτω δυσωπεῖ ὡς τὸ τὰς ἑτέρων εὐεργεσίας προφέρειν, καὶ μάλιστα ὅταν ἐκείνων αἰδεσιμώτερος ἦν· τοῦτο οὖν βούλεται εἰπεῖν· σύ μοι παρρησίαν ἔδωκας ἐκ τῶν εἰς ἑτέρους γεγενημένων καὶ παράκλησιν, τουτέστιν, οὐ μόνον ἡδόμεθα, ἀλλὰ καὶ παραμυθούμεθα· μέλος γὰρ ἡμῶν ἐκεῖνοι· καὶ ἐμφαντικώτερον δὲ αὐτό φησιν, "ὅτι τὰ σπλάγχνα τῶν ἁγίων," ὡς ἂν εἰ περὶ παιδίου ποθεινοῦ τοῖς πατράσιν ὄντος καὶ ἐπεράστου· οὕτως ἡ ἀγάπη δείκνυσιν αὐτὸν καὶ σφόδρα ἀγαπώμενον παρ' αὐτῶν.

8 Διὸ πολλὴν ἔχων παρρησίαν ἐν Χριστῷ.

Ὅρα πῶς ἀσφαλίζεται, μή τι καὶ τῶν ἀπὸ σφοδρᾶς ἀγάπης λεγομένων πλήξει τὸν ἀκροατήν· ὅθεν ἐκ περιουσίας πολλὴν τίθεται τὴν προδιόρθωσιν. ὡς ἂν εἰ ἔλεγεν, παρρησίαν ἡμῖν ἔδωκας σὺ, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐν Χριστῷ, οὐχ ὡς ἐν τῷ κόσμῳ λαμπρότερος ὢν, ἀλλὰ διὰ τὴν πίστιν τὴν εἰς τὸν Χριστὸν, καὶ τότε ἔθηκε τὸ ἐπιτάσσειν σοι, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἀνῆκον, τουτέστιν εὔλογον πρᾶγμα· διὰ ταῦτα μὲν οὖν οἶδα, ὅτι καὶ ἐπιτάττων ἀνύω μετὰ πολλῆς τῆς ἐξουσίας, πλὴν ἐπειδὴ περὶ τοῦ πράγματος πολλὴν ποιοῦμαι σπουδήν.

9 Παρακαλῶ, τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης.

Βαβαὶ, πόσα δυσωπητικὰ ἀπὸ τῆς ποιότητος τοῦ προσώπου, ὅτι Παῦλος· ἀπὸ τῆς ἡλικίας, ὅτι πρεσβύτης· ἀπὸ τοῦ δικαιοτέρου πάντων, ὅτι καὶ δέσμιος Ἰησοῦ Χριστοῦ. τοσούτοις προλεήνας αὐτοῖς τὴν ψυχὴν, ἔτι τὸ ὄνομα ἀναβάλλεται· ἴστε γὰρ τοὺς θυμοὺς τῶν δεσποτῶν κατὰ τῶν ἀποδεδρακότων οἰκετῶν, καὶ μάλιστα ὅταν μετὰ κλοπῆς τοῦτο ἐργάσωνται· παρασκευάσας οὖν αὐτοῦ τὴν ψυχὴν πρὸς πᾶσαν ὑπακοὴν, τότε ἐπάγει τὴν δέησιν, καί φησι,

ΚΕΦ. Β.

Σύστασις Ὀνησίμου φυγάδος οἰκεταῦ, καὶ παράκλησις ὑπὲρ αὐτοῦ σωθέντος διὰ πίστεως.

10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου.

Πάλιν οἱ δεσμοὶ δυσωπητικοὶ, καὶ τότε τὸ ὄνομα· οὐ μόνον γὰρ τὸν θυμὸν ἔσβεσεν, ἀλλὰ καὶ ἡσθῆναι πεποίηκεν· οὐ γὰρ ἂν, φησὶν, αὐτὸν τέκνον ἐκάλουν, εἰ μὴ σφόδρα ἦν εὔχρηστος· δεσμὸς αὐτὸν ἐγέννησε, φησὶν, ὥστε καὶ διὰ τοῦτο ἄξιος πολλῆς τυχεῖν τῆς τιμῆς, ὅτι ἐν αὐτοῖς τοῖς ἄθλοις ἀπετέχθη, ἐν τοῖς ὑπὲρ Χριστοῦ πειρασμοῖς.

11 Ὀνήσιμον, τὸν ποτέ σοι ἄχρηστον.

Ὁμολογεῖ αὐτοῦ τὸ ἁμάρτημα, καὶ τούτῳ σβεννὺς αὐτοῦ τὸν θυμὸν, οἶδα, φησὶν, ὅταν ἄχρηστος ἦν, νῦν δέ σοι χρήσιμος ἔσται.

Νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον.

Θεόδωρος. Εἰ Παύλῳ χρήσιμος, τῷ τοιαύτην ἀκρίβειαν ἀπαιτοῦντι, πολλῷ μᾶλλον τῷ δεσπότῃ. ἵνα μὴ δόξῃ τὸν ἀλλότριον οἰκέτην σφετερίζεσθαι, διὰ τοῦτο σοὶ, εἶτα μοί· σοὶ κατὰ τὴν ὑπηρεσίαν, ἐμοὶ κατὰ τὴν βελτίωσιν τοῦ τρόπου. "ὃν ἔπεμψα "πρός σε," καὶ τούτῳ τὸν θυμὸν ἔσβεσε, τῷ παραδοῦναι αὐτόν· μάλιστα γὰρ οἱ δεσπόται ὀργίζονται, ὅταν ὑπὲρ ἀπόντων παρακαλῶνται.

12 *Σὺ δὲ αὐτὸν τουτέστι τὰ ἐμὰ σπλάγχνα προσλαβοῦ.*

Καὶ πάλιν οὐ γυμνὸν τίθησι τὸ ὄνομα, ἀλλὰ μετὰ ῥήματος ἐντρεπτικοῦ, ὃ τοῦ τέκνου θερμότερόν ἐστι· τουτέστι, "τὰ ἐμὰ "σπλάγχνα προσλαβοῦ·" ἵνα εἴπῃ, οὐχὶ συγγνώμης ἐστὶν ἄξιος, διὰ τί; τέκνον Παύλου γέγονεν.

13 *Ὃν ἐγὼ ἐβουλόμην ὑπὲρ σοῦ κατέχειν, ἵνα διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου.*

Ὅρα πόσα πρότερον κατασκευάσας, τότε αὐτὸν ἤγαγεν εἰς τὴν τοῦ δεσπότου τιμὴν, κἀκεῖνον πόσον ὑπεύθυνον ποιεῖ, καὶ τοῦτον πῶς τιμᾷ· εὗρες, φησὶν, ὅπως ἀποδῷς τὴν πρὸς ἐμὲ λειτουργίαν δι' αὐτοῦ.

14 *Χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι.*

Τοῦτο μάλιστα χαυνοῖ τὸν ἀξιούμενον, ὅταν καὶ πράγματος ὄντος χρησίμου, μετὰ τῆς ἐκείνου γνώμης γίνηται· καὶ οὐκ εἶπεν, ἵνα μὴ κατὰ ἀνάγκην, ἀλλ' ὡς κατὰ ἀνάγκην. ᾔδειν μὲν γὰρ, φησὶν, ὅτι καὶ μὴ μαθὼν, ἀλλ' ἀθρόον γνοὺς, οὐκ ἂν ἠγανάκτησας, ἀλλ' ὅμως ἐκ πλείονος περιουσίας.

Ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ
15 *κατὰ ἑκούσιον. τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς*
ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον.

Καλῶς τὸ "τάχα," ἵνα καὶ εἴξῃ ὁ δεσπότης· ἐπειδὴ γὰρ ἀπ' αὐθαδείας γέγονεν ἡ φυγὴ καὶ διεστραμμένης διανοίας, λέγει "τάχα," καὶ οὐκ εἶπε διὰ τοῦτο ἔφυγεν, ἀλλὰ "διὰ τοῦτο ἐχωρί- "σθη," εὐφημοτέρῳ ὀνόματι, "πρὸς ὥραν," καὶ τὸν χρόνον συστέλλει, καὶ τὸ ἁμάρτημα ὁμολογεῖ, καὶ τρέπει εἰς οἰκονομίαν· "ἵνα "αἰώνιον," φησὶν, "αὐτὸν ἀπέχῃς," οὐκ ἐν τῷ παρόντι μόνον καιρῷ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ἵνα διὰ παντὸς ἔχῃς αὐτὸν, καὶ οὐκέτι δοῦλον, ἀλλὰ τιμιώτερον δούλου· "ἀπέχεις" ἀντὶ τοῦ ἀπολαύεις.

16 *Οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν, μάλιστα ἐμοί.*

Δοῦλον ἀπώλεσας πρὸς ὀλίγον, καὶ ἀδελφὸν εὗρες εἰς τὸ διηνεκές· ἀδελφὸν οὐ σὸν μόνον, ἀλλὰ καὶ ἐμόν· εἰ δὲ ἐμὸς ἀδελφὸς, οὐκ ἐπαισχυνθήσῃ καὶ σύ· διὰ μὲν οὖν τοῦ τέκνου τὴν στοργὴν

ἔδειξε, διὰ δὲ τοῦ ἀδελφοῦ, τὴν εὔνοιαν τὴν πολλὴν καὶ τὴν ἰσοτιμίαν.

Ἄλλος φησίν· ἀντὶ τοῦ, ἵνα αὐτὸν κομίσῃ, οὐκέτι δουλικὴν εὔνοιαν μόνον ἐπιδεικνύμενον περὶ σὲ, ἀλλὰ καὶ μείζονα ἢ κατὰ δοῦλον, διὰ τὴν τοῦ τρόπου μεταβολήν.

17 Εἰ οὖν με ἔχεις κοινωνὸν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ.

Οὐδὲν οὕτως πρᾶγμα περαίνειν οἶδεν, ὡς τὸ μὴ πάντα ἀθρόον αἰτεῖν. ὅρα γὰρ μετὰ πόσα τὸ μέγα τοῦτο ἔθηκε τὸ "ὡς ἐμέ·" καὶ οὐκ ᾐσχύνθη τοῦτο Παῦλος. τοῦτο οὖν φησιν, εἰ τὰ αὐτά μοι φρονεῖς, εἰ ἐπὶ τοῖς αὐτοῖς τρέχεις, εἰ φίλον ἡγῇ, προσλαβοῦ αὐτὸν ὡς καὶ ἐγώ· ἵνα δὲ μὴ ὑπὲρ τῶν ἀφαιρεθέντων χρημάτων ἐγκαλῇ, εἰκὸς γὰρ αὐτὰ καταναλῶσθαι, ὅρα τί φησιν· οὐκ εἶπεν, εἴ τι ἔκλεψεν, ἀλλ' εἴ τι ἠδίκησεν· ἅμα καὶ τὸ ἁμάρτημα ὡμολόγηκε, καὶ οὐχ ὡς δούλου ἁμάρτημα, ἀλλ' ὡς φίλου πρὸς φίλον, τῷ τῆς ἀδικίας μᾶλλον, ἢ τῷ τῆς κλοπῆς ὀνόματι χρησάμενος τοῦτο.

18 Εἰ δέ τι ἠδίκησε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει.

Τουτέστι πρὸς ἐμὲ ἔχεις τὴν ὀφειλήν· εἶτα καὶ μετὰ χάριτος τῆς πνευματικῆς.

19 Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί.

Καὶ σφόδρα ἐντρεπτικῶς, εἴ γε ὑπὲρ τούτου καὶ γραμματεῖον ἐκτελέσαι Παύλου μὴ παραιτησαμένου, τοῦτον παραιτήσεται λαβεῖν. ἵνα μὴ λέγω, φησὶν, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις, οὐ τὰς αὐτοῦ μόνον, φησὶν, ἀλλὰ καὶ σαυτόν· καὶ τοῦτο ἀπὸ ἀγάπης, καὶ κατὰ τὸν τῆς φιλοστοργίας λόγον. ὁρᾷς πῶς ἀμφοτέρων πανταχοῦ ἐπιμελεῖται, καὶ τοῦ μετὰ πολλῆς ἀσφαλείας ἀξιοῦν, καὶ τοῦ μὴ τοῦτο γενέσθαι τεκμήριον τοῦ μὴ σφόδρα θαρρεῖν αὐτοῖς; "ναὶ, ἀδελφὲ, προσλαβοῦ αὐτόν·" ἀφεὶς τὸν χαριεντίσμον, πάλιν ἔχεται τῶν προτέρων τῶν σπουδαίων, καί τοι καὶ ταῦτα σπουδαῖα, κἂν χαριεντίζηται.

20 Ἐγώ σου ὀναίμην ἐν Κυρίῳ· ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Χριστῷ.

Τουτέστι τῷ Κυρίῳ δίδως τὴν χάριν, οὐκ ἐμοὶ τὰ σπλάγχνα

τὰ περί σε· "πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι·" ὅπερ καὶ ἀρχόμενος εἶπε παρρησίαν ἔχων, τοῦτο καὶ ἐνταῦθα εἰς τὸ ἐπισφραγίσαι τὴν Ἐπιστολήν.

21 Εἰδὼς ὅτι ὑπὲρ ὃ λέγω ποιήσεις.

Ἅμα καὶ προετρέψατο, ᾐσχύνθη γὰρ ἄν, εἰ καὶ μηδὲν ἕτερον τοιαύτην δόξαν ἔχων παρ' αὐτῷ, ὅτι καὶ ὑπὲρ ὃ λέγει, ποιεῖ, μὴ ποιῆσαι τοσοῦτον.

22 *Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.*

Καὶ τοῦτο ὑπὲρ Ὀνησίμου, ἵνα μὴ ῥᾳθυμήσαντες, ἀλλ' εἰδότες ὅτι πάντως ἐπανελθὼν ἀκούσει τὰ κατ' αὐτὸν, πᾶσαν μνησικακίαν ἐξέλωσι, καὶ χάριν μᾶλλον δῶσι· πολλὴ γὰρ ἦν ἡ χάρις καὶ ἡ τιμὴ Παύλου ἐνδημοῦντος μετὰ ἡλικίαν τοιαύτην, μετὰ δεσμούς· καὶ πάλιν τῆς ἀγάπης αὐτῶν τεκμήριον τὸ εὔχεσθαι αὐτοὺς καὶ τοσοῦτον αὐτοῖς δοῦναι· εἰ γὰρ καὶ ἐν κινδύνοις εἰμὶ νῦν, ἀλλ' ὅμως ὄψεσθέ με ἂν εὔχησθε.

23 Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ.

Οὗτος παρὰ Κολοσσαέων ἦν ἀποσταλεὶς, ὥστε καὶ ἀπὸ τούτου, δηλονότι ἐν Κολοσσαῖς ἦν ὁ Φιλήμων· συναιχμάλωτον δὲ αὐτὸν καλεῖ, δεικνὺς καὶ αὐτὸν ἐν πολλῇ θλίψει· τὸ δὲ "ἐν Χριστῷ "Ἰησοῦ·" ἀντὶ τοῦ διὰ Χριστοῦ.

24 Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

Τί δὴ τὸν Λουκᾶν τελευταῖον τίθησι, καί τοι γε, φησὶ, "Λουκᾶς "ἐστι μετ' ἐμοῦ," καὶ Δημᾶς φησιν, εἷς τῶν ἐγκαταλιπόντων αὐτὸν ἦν καὶ ἀγαπησάντων τὸν νῦν αἰῶνα· οὐδὲ γὰρ ταῦτα ἀνεξέταστα χρὴ ἀφιέναι· τὸν μὲν οὖν Ἐπαφρᾶν ὡς γνώριμον αὐτοῖς καὶ ἐκεῖθεν ὄντα προτίθησι, καὶ Μάρκον ὡς καὶ αὐτὸν θαυμαστόν· τί δὲ πρὸς Δημᾶν; ἴσως μετὰ ταῦτα γέγονε ῥᾳθυμότερος, ὅτε τοὺς κινδύνους εἶδε τοὺς πολλούς· ὁ μέντοι Λουκᾶς ἔσχατος, ὢν ἐγένετο πρῶτος· καὶ ἀπὸ τούτων δὲ αὐτοὺς προσαγορεύει, ἐντρέπων πλέον εἰς τὴν αἴτησιν.

25 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ
πνεύματος ὑμῶν. ἀμήν.

Εὐχῇ τὴν Ἐπιστολὴν κατέκλεισεν· ἡ δὲ εὐχὴ μέγα μὲν ἀγαθὸν καὶ σωτήριον, καὶ τῶν ψυχῶν τῶν ἡμετέρων φυλακτήριον, μέγα δὲ, ὅταν ἄξια αὐτῆς πράττωμεν, καὶ μὴ ἀναξίους ἑαυτοὺς κατασκευάζωμεν.

Τριὰς * μονὰς * ἐλέησον.

Τῶν εἰς τὴν πρὸς Φιλήμονα Ἐπιστολὴν ἐξηγητικῶν ἐκλογῶν τόμος α΄. ἡ ἑρμηνεία τῆς ἐπιστολῆς τοῦ μακαρίου Ἰωάννου τοῦ Χρυσοστόμου, Σευηριανοῦ, Θεοδώρου Μοψουεστίας.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

ΕΙ ἐθνῶν Ἀπόστολος ἦν ὁ μακάριος Παῦλος, καθά φησι Ῥωμαίοις ἐπιστέλλων, " ἐφ' ὅσον μὲν εἰμὶ ἐγὼ ἐθνῶν Ἀπόστολος, τὴν " διακονίαν μου δοξάζω, εἴ πως παραζηλώσω μου τὴν σάρκα·" καὶ πάλιν ἀλλαχοῦ· " ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν " τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη," τί αὐτοῖς ἐπέστελλε, καὶ μάλιστα τοῦ Θεοῦ εἰπόντος αὐτῷ καὶ χρηματίσαντος· " οὐ γὰρ ἀνέξονταί σου, ἀλλὰ πορεύου εἰς ἔθνη μακρά·" διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ· καὶ αὐτοῦ πρὸς αὐτὸν φήσαντος τὸν Θεὸν, " ναὶ, Κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην " φυλακίζων καὶ δέρων κατὰ συναγωγὰς τοὺς πιστεύοντας ἐπί σε, " καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ " αὐτὸς ἤμην ἑστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάσ" σων τὰ ἱμάτια τῶν ἀναιρούντων·" καὶ σημεῖον τοῦτο εἰπόντος, καὶ ὑπόθεσιν τοῦ μὴ πιστεῦσαι αὐτῷ, τί δή ποτε αὐτοῖς ἔγραφε μὴ ὢν τῶν Ἰουδαίων διδάσκαλος; ποῦ δὲ οὖσιν ἐπιστέλλει; ἐμοὶ δοκεῖ, ἐν Ἱεροσολύμοις καὶ Παλαιστίνῃ· πῶς οὖν ἐπιστέλλει; ὥσπερ καὶ βαπτίσαι οὐκ ἐπετράπη, καὶ ἐβάπτιζεν· " οὐ γὰρ " ἀπεστάλην," φησὶ, " βαπτίζειν," οὐ μὴν ἐκωλύθη, ἀλλ' ἐκ παρέργου τοῦτο ποιεῖ· πῶς δὲ οὐκ ἂν ἐπέστελλε τούτοις, ὑπὲρ ὧν καὶ ἀνάθεμα γενέσθαι ἠθέλησε; διὰ τοῦτο ἔλεγε, " γινώσκετε τὸν " ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ ἐὰν τάχιον ἔρχηται, ὄψο" μαι ὑμᾶς·" οὔπω γὰρ συνειλημμένος ἦν. δύο μὲν οὖν ἔτη ἐποίησεν

ἐν Ῥώμῃ δεδεμένος, εἶτα ἀφείθη, εἶτα εἰς τὰς Σπανίας ἐλθὼν, εἶδε καὶ Ἰουδαίους ἴσως, καὶ τότε ἦλθεν εἰς Ῥώμην, ὅταν καὶ ὑπὸ Νέρωνος ἀνῃρέθη. ταύτης μὲν οὖν τῆς Ἐπιστολῆς πρεσβυτέρα ἡ πρὸς Τιμόθεον· ἐκεῖ γὰρ, φησὶν, "ἐγὼ δὲ ἤδη σπένδομαι·" καὶ πάλιν ἐκεῖ φησιν, "ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμ- "παρεγένετο."

(Σευηριανοῦ.) Ὁ δὲ μακάριος Σευηριανός φησιν, οἱ αἱρετικοί φασιν μὴ εἶναι Παύλου τὴν Ἐπιστολὴν, καὶ τούτου πρώτην ἀπόδειξιν προφέρουσι τὸ μὴ προτετάχθαι αὐτοῦ τὸ ὄνομα ὡς ἐν ταῖς ἄλλαις Ἐπιστολαῖς· δεύτερον τὸ τὴν φράσιν ἄλλην εἶναι, τουτέστι ξένην παρὰ τὴν Παύλου, καὶ τὴν κατασκευήν. δεῖ τοίνυν εἰδέναι, ὅτι Παῦλος ἐμισεῖτο ὑπὸ Ἰουδαίων, ὡς ἀποστασίαν νόμου διδάσκων· διά τοι τοῦτο καὶ κινδυνεύσας ἐν Ἱεροσολύμοις καὶ μόλις διαφυγὼν, ἐπέμφθη εἰς Ῥώμην. ὠφέλιμα τοίνυν γράφων Ἑβραίοις, οὐ προτίθησι τὸ ὄνομα τὸ ἑαυτοῦ· ἵνα μὴ τῷ μίσει τῷ πρὸς αὐτὸν, ζημιωθῶσι τὴν ὠφέλειαν τὴν ἀπὸ τῆς Ἐπιστολῆς.

Θεόδωρος Μοψουεστίας. Ταύτην τὴν αἰτίαν στρέφων[a] Θεόδωρος ὧδε λέγει· ὡς οὐκ ἀπίστοις ἔγραφε τοῖς ἄσπονδον πρὸς αὐτὸν μῖσος κεκτημένοις, ἀλλὰ τοῖς μετεσχηκόσιν ἁπάντων ὧν δεῖ μετεῖναι τοῖς πιστεύουσιν· εἶτα οὐδὲ τοῖς τυχοῦσιν ἁπλῶς, ἀλλὰ τοῖς ἐπὶ τῶν ἔργων τῆς πίστεως τὴν βεβαίωσιν καὶ τῆς ἀρετῆς τὴν ἀκρίβειαν ἐπιδειξαμένοις, ὡς καὶ τὰ ἐν τῇ Ἐπιστολῇ κείμενα δείκνυσιν. ὥστε καὶ ἀποδεδόσθαι αὐτοῖς ἔδει τὴν Ἐπιστολὴν, ὡς Παύλου γεγραφότος αὐτοῖς· ὥσπερ οὖν καὶ ἐπὶ τῶν λοιπῶν ἐγίνετο· οὐδὲ γὰρ αὐτοὺς ὠφελεῖν τι τὰ ἀναγεγραμμένα ἐδύνατο, μὴ τούτου γινομένου. πρὸς δ' αὖ τούτοις καὶ τὰ πρὸς τῷ τέλει τῆς Ἐπιστολῆς γεγραμμένα δείκνυσιν ὅ φημι, "παρακαλῶ "γὰρ ὑμᾶς," φησὶν, "ἀδελφοὶ, ἀνέχεσθαι τοῦ λόγου τῆς παρα- "κλήσεως. καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν." τίσι δὲ ἔγραφεν, ὅτι "ἐπέστειλα ὑμῖν," οὐκ ὄντων ἐκείνων, οἷς ἀποδεδόσθαι ἦν ἀνάγκη τὸ γράμμα; εἶτα ἐπάγει, "γινώσκετε τὸν ἀδελφὸν Τιμό- "θεον ἀπολελυμένον, μεθ' οὗ ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς."

[a] στρέπων Cod.

ὁρᾷς ὅτι δῆλος ἦν ὁ καὶ τῇ Ἐπιστολῇ τοῦ γράμματος διακονησάμενος, μεθ' οὗ καὶ ὄψεσθαι αὐτοὺς εἰ τάχιον ἐπανέλθοι σαφῶς ὑπισχνεῖται; τίς οὖν ἡ τούτου αἰτία; εὔδηλος καὶ ἄγαν σαφής· διέλοντο Βαρνάβας τε καὶ αὐτὸς μετὰ τῶν περὶ τὸν μακάριον Πέτρον τὸ κήρυγμα, οὐχ ἵνα τὰ μὲν οὗτοι, τὰ δὲ ἐκεῖνοι διδάσκωσιν, εἷς γὰρ ἦν αὐτὸς ὁ σκοπὸς, ἀλλ' ἵνα οἱ μὲν τοὺς ἀπὸ ἐθνῶν, οἱ δὲ τοὺς ἀπὸ τῶν Ἰουδαίων τῇ πίστει προσάγωσι· διὰ τὴν τότε κρατοῦσαν ἔτι φιλονεικίαν ἀπὸ τῆς ἐν τῷ νόμῳ συνηθείας, τῶν Ἰουδαίων τοῖς ἐξ ἐθνῶν ἐπιμίγνυσθαι οὐκ ἀνεχομένων· οἰκονομικώτερον τῇ διαιρέσει ταύτῃ χρησάμενοι. ἐχρημάτιζον οὖν οἱ μὲν ἐθνῶν Ἀπόστολοι, οἱ δὲ τῶν ἐκ περιτομῆς, οἱ δέ γε πεπιστευκότες κοινοὺς ὡς εἰκὸς διδασκάλους τε καὶ Ἀποστόλους ἐνόμιζον εἶναι. ὅτε μὲν οὖν ἔγραφε τοῖς ἀπὸ ἐθνῶν, εἰκότως ὡς αὐτῶν Ἀπόστολος αὐτοῖς ἐπιστέλλει, ὅτε δὲ πρὸς τοὺς ἀπὸ Ἑβραίων, οὐκέτι.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησίν· εἰκότως αὐτῶν πανταχοῦ πολλὴν πρόνοιαν ποιεῖται, ἐπειδὴ καὶ πολλὰς ὑπέμενον θλίψεις, καθὼς Θεσσαλονικεῦσι γράφων λέγει, "μιμηταὶ "ἐγένεσθε τῶν ἐκκλησιῶν τῆς Ἰουδαίας," καὶ αὐτοῖς δὲ τούτοις γράφων φησὶ, "μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῖν "προσεδέξασθε." διὰ τοῦτο αὐτῶν μάλιστα ὁρᾷς αὐτὸν φροντίζοντα. ὅταν γὰρ λέγῃ, "πορεύομαι διακονήσων τοῖς ἁγίοις τοῖς ἐν "Ἱεροσολύμοις," καὶ πάλιν ὅταν Κορινθίους παρακαλῇ πρὸς τὴν εὐποιΐαν, καὶ Μακεδόνας λέγῃ εἰσενηνοχέναι, καί φησιν, "ἐὰν "ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι," τοῦτο λέγει· καὶ ὅταν λέγῃ, "μόνον, ἵνα τῶν πτωχῶν μνημονεύωμεν." ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι, τοῦτο λέγει· "δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ "κοινωνίας· ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περι"τομήν·" καὶ πανταχοῦ ὁρᾷς αὐτὸν πολλὴν πρόνοιαν αὐτῶν ποιούμενον· εἰκότως· ἐν μὲν γὰρ τοῖς ἄλλοις ἔθνεσιν, ἔνθα καὶ Ἰουδαῖοι ἦσαν καὶ Ἕλληνες, οὐδὲν αὐτὸν ἐδέδιττεν· ἐκεῖ δὲ ἐπειδὴ ἐδόκουν τέως κρατεῖν καὶ αὐτονομεῖσθαι, καὶ πολλὰ καὶ τοῖς ἰδίοις νόμοις διοικεῖν, οὔπω τῆς ἀρχῆς κατάστασιν ἐχούσης, οὐδὲ [b] τέλεον

[b] ἔλεον Cod.

ὑπὸ Ῥωμαίοις κειμένης, εἰκότως πολλῇ τυραννίδι ἐκέχρηντο· ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσι τοῖς ἄρχουσιν αὐτοὺς προσάγουσι, καὶ αὐτῶν δέονται πρὸς βοήθειαν καὶ τῶν ἐθνῶν· ἐνταῦθα δὲ οὐδὲ μίαν ἐποιοῦντο φροντίδα τούτου, ἀλλ᾽ αὐτοὶ συνέδριον καθίζουσι, καὶ ἀναιροῦσιν, ὃν ἐὰν θέλωσι. μὴ θαυμάσωμεν οὖν, εἰ καὶ διὰ γραμμάτων αὐτοὺς παρακαλεῖ καὶ παραμυθεῖται, ἀναπίπτοντας αὐτοὺς καὶ κειμένους ἀνορθοῖ· καὶ γὰρ τεταριχευμένοι λοιπὸν ἦσαν, καὶ ἀπεγνωκότες ταῖς πολλαῖς θλίψεσι· καὶ τοῦτο πρὸς τῷ τέλει ἐμφαίνει λέγων, "τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε·" καὶ πάλιν, "ἔτι μικρὸν ὅσον ὅσον ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ," καὶ πάλιν, "εἰ ἐκτὸς ἐστὲ παιδείας, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί."

(Σευηριανοῦ.) Γράφει δὲ αὐτοῖς, ὥς φησιν ὁ μακάριος Σευηριανὸς, τῇ Ἑβραίων γλώττῃ, ἃ καὶ ἡρμηνεύθη ὑπό τινος τῶν μαθητῶν, ὑπὸ Λουκᾶ, ἢ μᾶλλον ὑπὸ Κλήμεντος, οὗ καὶ μέμνηται· διὰ τοῦτο ξένη φράσις· καὶ τοῦτο ἐζήτηται τοῖς πρὸ ἡμῶν· καὶ Εὐσέβιος ὁ Παμφίλου ἱστορικώτερος γεγονὼς τῶν πρὸ αὐτοῦ καὶ μετ᾽ αὐτοῦ, ἐμνημόνευσε τῆς ζητήσεως, καὶ ὅτι τοῖς πατράσιν ἡμῶν τοῖς παλαιοῖς τῶν ἐπισκόπων ἔδοξε Παύλου τὴν Ἐπιστολὴν εἶναι.

(Κυρίλλου.) Ὁ μακάριος δὲ Κύριλλος φησί· γέγονε δὲ αὐτῷ καὶ σφόδρα σοφὸς ὁ τῆς ὑφηγήσεως τρόπος, καὶ πολὺ δὴ λεπτῶς καὶ εὐμηχάνως ἐσκευασμένος. διαποικίλλεται γὰρ ἔκ τε νομικῶν γραμμάτων καὶ πνευματικῶν ἐννοιῶν, καὶ τῆς τῶν ἁγίων προφητῶν πολυτρόπου προαναρρήσεως· καὶ σκοπὸς αὐτῷ καταδιδάξαι πανταχῇ καὶ ἀναπείθειν τοὺς ἐντευξομένους, ὅτι τύποι μὲν ἦσαν τὰ διὰ Μωϋσέως τὴν τῆς ἀληθείας ὠδίνοντα δύναμιν, ἀλήθεια δὲ ὁ Χριστός· περιττὴν ἀποφαίνων τὴν ὡς ἐκ τύπου καὶ σκιᾶς χρειωδεστάτην τοῖς πάλαι παράδειξιν. καθίστησι δὲ πρὸς τούτῳ καὶ τοῦτο ἡμῖν ἐναργὲς, ὅτι καὶ τοῖς ἐν νόμῳ βεβιωκόσι λαμπρῶς, συμβέβηκεν οὐχ ἑτέρως τὸ ἐν εὐκλείαις γενέσθαι καὶ εὐδοκιμεῖν, πλὴν ὅτι διὰ τῆς πίστεως τῆς εἰς Θεόν· καὶ ὅτι χρῆμά ἐστιν ἀρχαῖον ἡ πίστις, καὶ τοῖς ἁγίοις πατράσιν ἐντριβές. οὐκ ἐχρήσατο δὲ ταῖς κατειθισμέναις αὐτῷ ἀρχαῖς τε καὶ προοιμίοις,

ἐπειδή περ ἐν ὑποψίαις τε ἦν καὶ διαβολαῖς παρὰ τοῖς πιστεύσασι τῶν Ἰουδαίων, ὡς τοῖς ἐξ ἐθνῶν προσκείμενον καὶ διδάσκοντα πάντας πανταχῇ, παρ' οὐδὲν ἡγεῖσθαι τὸν νόμον καὶ τῶν μὲν πατρῴων ἐθνῶν ὡς εἰκαίων[b] καταφρονεῖν· ἐφ' ἑτέραν δὲ ὥσπερ ἰέναι τρίβον, ὡς ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων τοῦτό ἐστι καταμαθεῖν. οἰκονομικώτατα τοίνυν περιστέλλει τὰ συνήθη, καὶ σεσίγηκε μὲν τῆς ἀποστολῆς τὴν χάριν· κεχώρηκε δὲ μᾶλλον ἐπὶ τὸ μεμνῆσθαι δεῖ πατέρων τε καὶ προφητῶν ἁγίων, εὐπαράδεκτον ἔσεσθαι τὸν λόγον αὐτοῖς· διὰ τούτου πεπιστευκὼς, ἔφη γοῦν—

[b] ὡσεὶ καίων Cod.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Θεολογία Χριστοῦ ἐν δόξῃ Πατρὸς, καὶ ἐξουσίᾳ τῶν πάντων, μετὰ τῆς καθάρσεως τῶν ἐπὶ γῆς, ἀφ' ἧς ἀνέβη εἰς τὴν ἐπουράνιον δόξαν.

β΄. Ὅτι οὐ λειτουργικὴ ἡ δόξα Χριστοῦ, ἀλλὰ θεϊκὴ καὶ ποιητική. διὸ οὐχ ἐπὶ τοῦ παρόντος αἰῶνος, ἐν ᾧ οἱ λειτουργοὶ, ἀλλ' ἐπὶ τῆς μελλούσης οἰκουμένης.

γ΄. Ὅτι ἐσαρκώθη κατὰ διάθεσιν καὶ συμπάθειαν καὶ οἰκειότητα τὴν πρὸς ἡμᾶς ἐπὶ σωτηρίᾳ ἀνθρώπων τῇ ἐκ θανάτου, διὰ τῆς πρὸς αὐτὸν οἰκειώσεως.

δ΄. Ὅτι πιστευτέον Χριστῷ ὡς Μωσεῖ ἐπίστευσαν, καθ' ὑπεροχὴν δὲ τὴν τοῦ Θεοῦ πρὸς ἄνθρωπον.

ε΄. Προτροπὴ σπουδάσαι εἰς τὴν προδηλουμένην κατάπαυσιν.

ς΄. Τὸ φοβερὸν τῆς κρίσεως παρὰ τῷ λόγῳ τῷ διὰ πάντων, καὶ τὸ χρηστὸν τῆς χάριτος τῆς ἱερατικῆς παρὰ τῷ ὁμοιοπαθήσαντι ἡμῖν ἀνθρωπίνως.

ζ΄. Ἐπιτίμησις τοῖς δεομένοις τῆς στοιχειώδους εἰσαγωγῆς.

η΄. Ὅτι βεβαία ἡ ἐπαγγελία τοῦ Θεοῦ, καὶ ταῦτα σὺν ὅρκῳ.

θ΄. Περὶ τοῦ Μελχισεδὲκ τοῦ εἰς Χριστὸν τύπου κατὰ τὸ ὄνομα, καὶ τὴν πόλιν, καὶ τὴν ζωὴν, καὶ τὴν ἱερωσύνην.

ι΄. Ὅτι παύσεται ἡ τοῦ Ἀαρὼν ἱερωσύνη ἐπὶ γῆς οὖσα, ἵσταται δὲ ἡ οὐράνιος ἡ Χριστοῦ ἐξ ἑτέρου γένους, οὐ κατὰ σάρκα, οὐδὲ διὰ νόμου σαρκίνου.

ια΄. Ὑπεροχὴ τῆς δευτέρας διαθήκης ὑπὲρ τὴν προτέραν, ἐν ἱλασμῷ καὶ ἁγιασμῷ.

ιβ΄. Περὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐν ᾧ ἦν ἡ νέα διαθήκη, ὅτι τοῦτο ἀληθὲς καθάρσιον εἰσάγει, οὐ τὰ ἐν αἵμασι ζώων πολλάκις προσφερόμενα.

ιγ΄. Μαρτυρία περὶ τῆς μόνης καθάρσεως καὶ προσαγωγῆς πρὸς Θεόν.

ιδ΄. Προτροπὴ σπουδῆς κατὰ φόβον τῆς μελλούσης κρίσεως.

ιε΄. Περὶ τοῦ καλὴν ἀρχὴν εἰς καλὸν τέλος προαγαγεῖν.

ιϛ΄. Περὶ πίστεως τῆς καὶ τοὺς παλαιοὺς δοξασάσης.

ιζ΄. Περὶ ὑπομονῆς ἐν ἀκολουθήσει Χριστοῦ.

ιη΄. Περὶ σωφροσύνης, ἕως καιρὸς κατορθώσεως, μὴ ἀποτύχωμεν αὐτῆς ὡς Ἠσαῦ, μὴ εὑρὼν τόπον μετανοίας.

ιθ΄. Ὅτι φοβερώτερα τῶν ἐπὶ Μωϋσέως τὰ μέλλοντα, καὶ πλείονος ἄξια σπουδῆς τὰ νῦν.

κ΄. Περὶ φιλαδελφίας καὶ φιλοξενίας.

κα΄. Περὶ τοῦ μὴ σωματικῶς ζῆν κατὰ νόμον, ἀλλὰ πνευματικῶς κατὰ Χριστὸν ἐν ἀρετῇ.

κβ΄. Εὐχὴ πρὸς τὸν Θεὸν περὶ τῆς εἰς ἀρετὴν ἀγωγῆς καὶ οἰκονομίας.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

ΚΕΦ. Α.

Θεολογία Χριστοῦ ἐν δόξῃ Πατρὸς καὶ ἐξουσίᾳ τῶν πάντων, μετὰ τῆς καθάρσεως τῶν ἐπὶ γῆς, ἀφ᾽ ἧς ἀνέβη εἰς τὴν ἐπουράνιον δόξαν.

1 ΠΟΛΥΜΕΡΩΣ καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λα-
λήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ᾽ ἐσχάτου
2 τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε
κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησε.

Γενναδίου. Τοῖς ἀμφὶ τὸν Ἀβραάμ τε καὶ τὸν Μωσέα καὶ τοὺς καθεξῆς διαφόρως οὖν φησὶ, καὶ καταλλήλως, ἑκάστῳ καιρῷ τοῖς ἡμετέροις προγόνοις διὰ τῶν οἰκείων προφητῶν ὁμιλήσας Θεὸς, τοῦ παντὸς ἤδη χρόνου συμπληρουμένου, λελάκηκεν ἡμῖν ἐν Θεῷ, τουτέσι, νόμοις πρότερον τὸ γένος ἡμῶν ἑκάστης γενεᾶς καταλλήλοις πρὸς κτῆσιν δικαιοσύνης τε καὶ θεωγνωσίας διὰ τῶν ἑαυτοῦ δούλων, παιδαγωγήσεως τῶν χρόνων ἤδη συμπληρωθέντων ἐν Ἰησοῦ Χριστῷ, καὶ τῇ κατ᾽ αὐτὸν οἰκονομίᾳ τοῖς τούτων ἡμᾶς αὐτοτελῆ χάριν εὐηγγελίσατο· λέγει δὲ τοῖς μετὰ τὸν σταυρὸν διὰ τῆς ἀναστάσεως αὐτοῦ πρὸς τὸ ἄφθαρτον καὶ ἀναμάρτητον τῆς φύσεως τῆς ἡμετέρας ἀποκατάστας.

Κυρίλλου. Λελάληκε μὲν ὁ Θεὸς τοῖς ἀρχαιοτέροις ἐν πνεύματι, διὰ στόματος ἁγίων, καὶ διὰ φωνῆς προφητῶν. καὶ γοῦν ἔφη δι᾽ ἑνὸς αὐτῶν τὰς τῶν Ἰουδαίων ἀπονοίας ἐντρέπων, "οἱ πατέρες ὑμῶν ποῦ εἰσι, καὶ οἱ προφῆται, μὴ τὸν αἰῶνα ζήσονται; "πλὴν τὰ νόμιμά μου καὶ τὰ προστάγματά μου δέχεσθε, ὅσα ἐγὼ

" ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις." ἀλλ' εἰ καὶ ἦν ἐν πνεύματι τοῖς ἀρχαιοτέροις τῆς προφητείας ἡ χάρις, οὐ γέγονε δίχα τοῦ ἐκ Πατρὸς ὄντος Θεοῦ Λόγου· λαλεῖ γὰρ ἁγίοις ὡσαύτως τὸ πνεῦμα αὐτοῦ· καὶ οὐ δή που φαίη τις ἂν εἴ γε νοῦν ἔχοι, ὡς τὸ Πνεῦμα τὸ Ἅγιον ὑπουργικὴν εἰς ἡμᾶς ἀποπεραῖνον διακονίαν, ἐν ἴσῳ προφήταις δέχεσθαι μὲν παρὰ τοῦ Θεοῦ Λόγου τὴν περὶ ὧν ἂν βούλοιτο γνῶσιν, ἤγουν ἀποκάλυψιν, ποιεῖσθαι δὲ οὕτως εἰς ἡμᾶς αὐτήν. διοίσοι γὰρ οὕτως κατ' οὐδένα τρόπον τῶν ἁγίων προφητῶν, εἴπερ ὧδε ἔχοι· ἀλλ' εἰδὸς πάντα τὰ ἐν αὐτῷ, παρ' αὐτοῦ λαμβάνειν λέγεται καὶ ἀναγγέλλειν ἁγίοις. οὐκοῦν ἐλάλει καὶ πάλαι διὰ τοῦ Ἁγίου Πνεύματος τοῖς ἀρχαιοτέροις ὁ μονογενής· ἐλάλει δὲ "πολυτρόπως" διαμορφοῦσθαι κελεύων τὸ σεπτὸν καὶ μέγα τῆς ἐνανθρωπήσεως ἑαυτοῦ μυστήριον. ἔστιν οὖν ἀκοῦσαι λέγοντος διὰ προφητῶν, " ἐγὼ ὁράσεις " ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην·" καὶ πάλιν, " αὐτὸς " ὁ λαλῶν πάρειμι, ὡς ὥραιοι ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελι- " ζομένου ἀκοὴν εἰρήνης, εὐαγγελιζομένου ἀγαθά." ἐπὶ γὰρ συντελείᾳ τῶν αἰώνων, αὐτὸς ἡμῖν δι' ἑαυτοῦ λελάληκεν ὁ Υἱός· οὐ μεσολαβοῦντος ἔτι προφήτου καὶ φωνῆς ἁγίων, ἀλλὰ δι' ἑαυτοῦ καθ' ἡμᾶς γεγονὼς ὁ μονογενής, τοὺς πρὸς ἡμᾶς πεποίηται λόγους. λαλῆσαι δέ φαμεν ἐν Υἱῷ τὸν Πατέρα, οὐχ ὡς δι' ἀνθρώπου τινὸς ἰδικῶς διὰ μέσου κειμένου καὶ διαπορθμεύοντος εἰς ἡμᾶς, οὐκ ἰδίους μᾶλλον, ἀλλὰ τοὺς παρ' ἑτέρου λόγους, ἀλλ' ἰδίᾳ φωνῇ τῇ διὰ τοῦ σώματος λαλοῦντος ἡμῖν τοῦ Υἱοῦ· αὐτοῦ γὰρ ἦν τοῦ μονογενοῦς καὶ οὐχ ἑτέρου τινὸς ἡ σάρξ.

Θεὸς γὰρ ὢν φύσει γέγονεν ἄνθρωπος μετὰ τοῦ μεῖναι Θεός. τότε γὰρ τὴν ἀπόρρητον τοῦ Θεοῦ καὶ Πατρὸς φανερὰν ἡμῖν ἐποίει βουλήν· ταύτῃ τοι καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ " μεγάλης " βουλῆς Ἄγγελος." ὀρθῶς οὖν Παῦλός φησιν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐν Υἱῷ λελαληκέναι πρὸς ἡμᾶς τὸν Θεὸν καὶ Πατέρα. ᾔδει γὰρ ὄντα Θεὸν τὸν Ἐμμανουὴλ, γεγονότα δὲ καὶ ἐν ἀνθρωπότητι μεθ' ἡμῶν τὸν ἐκ Θεοῦ Λόγον, ἐπέγνω τὸν ἐλεύθερον ἐν τῇ τοῦ δούλου μορφῇ, ὡμολόγει τὸ πλήρωμα τοῦ δι' ἡμᾶς ἑαυτὸν κενώσαντος, ἐθεώρει τῆς δόξης τὸ ὕψος τοῦ καθέντος ἑαυτὸν δι' ἡμᾶς εἰς ταπείνωσιν, ὅστις καὶ ταύτης ἕνεκα τῆς αἰτίας κληρο-

νόμος πάντων τεθεῖσθαι λέγεται· καίτοι κατεξουσιάζων τῶν ὅλων καθὰ καὶ νοεῖται καὶ ἔστι Θεός· πάλιν γὰρ εἰς τὸν ἴδιον πλοῦτον ἀναφοιτᾷ καὶ μετὰ σαρκός. μεμένηκε γὰρ οὐδαμῶς ἐν τῇ καθ' ἡμᾶς πτωχείᾳ· οὐ διὰ τοῦτο γενόμενος σὰρξ, ἵνα πτωχὸς ἀπομείνῃ μεθ' ἡμῶν, τὸν ἴδιόν τε καὶ θεοπρεπῆ πλοῦτον ἀποβαλὼν, ἀλλ' ἵνα μᾶλλον ἡμεῖς οἱ τῶν θείων χαρισμάτων νοσοῦντες τὴν ἔνδειαν, τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν. καὶ γοῦν Υἱὸς ὢν φύσει καὶ συναΐδιος τῷ Πατρὶ, ὅτε διὰ τῆς ἁγίας παρθένου καὶ τὴν κατὰ σάρκα γέννησιν ὑπέμεινε δι' ἡμᾶς, ὡς εἰς ἀρχὰς υἱότητος ἀνακομιζόμενος, ἔφασκε διὰ τοῦ Δαβίδ· “Κύριος εἶπε πρός με, “υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε·” τογάρτοι σήμερον καιροῦ τοῦ ἐνεστηκότος, καθ' ὃν καὶ γέγονε σὰρξ, ποιεῖται τὴν δήλωσιν· ὑπάρχων δὲ φύσει καὶ τῶν ὅλων Κύριος. μεμαρτύρηκε γὰρ Ἰωάννης περὶ αὐτοῦ, ὅτι “εἰς τὰ ἴδια ἦλθεν,” ἴδια λέγων αὐτοῦ τὸν κόσμον, ὡς εἰς δόξαν ἀσυνήθη τὴν τῆς βασιλείας καλούμενος ἔφασκεν· “ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ·” δῆλον δὲ ὅτι τοῦ Θεοῦ καὶ Πατρός· ἠνέσχετο δὲ τῶν τοιούτων, ἵν' ὡς ἄνθρωπος υἱοποιηθεὶς, καί τοι κατὰ φύσιν ὑπάρχων Θεὸς, ὁδοποιήσῃ δι' ἑαυτοῦ τῇ ἀνθρώπου φύσει τῆς υἱοθεσίας τὴν μέθεξιν, καὶ καλέσῃ πρὸς βασιλείαν οὐρανῶν τοὺς ὑπὸ τῆς ἁμαρτίας τυραννουμένους.

Ὥσπερ γὰρ οἷά τινα κλῆρον ἐκ Πατρὸς εἰς ὅλον τὸ ἐξ αὐτοῦ διήκοντα γένος, ἃς ἐκ τῆς ἐν Ἀδὰμ παραβάσεως συμφορὰς ἐσχήκαμεν, ἀρᾷ καὶ θανάτῳ πεφορτισμένοι, οὕτω πάλιν εἰς ἅπαν τὸ ἀνθρώπινον γένος τὰ ἐν Χριστῷ διαδραμεῖται λαμπρά· δέχεται γὰρ ἡμῖν, οὐχ ἑαυτῷ δὴ πάντως ὁ μονογενὴς, πλήρης γάρ ἐστιν ὅτι καὶ φύσει Θεός· δεῖται δὲ ὅλως οὐδενὸς, καταπλουτίζει δὲ μᾶλλον αὐτὸς τοῖς ἄνωθεν ἀγαθοῖς τὴν σύμπασαν κτίσιν. τέθειται τοίνυν ὡς ἄνθρωπος κληρονόμος πάντων οἰκονομικῶς, ἵνα λοιπὸν ὡς αὐτῷ προσήκοντά τε καὶ ἴδιον ἀνασώσῃ κλῆρον τοὺς ἐπὶ τῆς γῆς, ἀνοσίως διηρπασμένους ὑπό τε τοῦ διαβόλου καὶ τῶν σὺν αὐτῷ δυνάμεων πονηρῶν. καὶ γοῦν ἔφη πρὸς αὐτὸν ὁ Θεὸς καὶ Πατήρ· “αἴτησαι παρ' ἐμοὶ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου” καὶ ἑξῆς· οὗ πρὸς πέρας ἐνηνεγμένου, πρὸς τὸν ἑαυτοῦ Πατέρα περὶ ἡμῶν

φησὶν, "οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, κἀμοὶ αὐτοὺς "δέδωκας." ἄθρει δὴ οὖν, ὅπως εἰς τὸν ὑπάρχοντα αὐτῷ πλοῦτον κατὰ φύσιν ἄνεισιν καὶ μετὰ σαρκός· εἰ γὰρ ἦσαν οἱ ἐν κόσμῳ τοῦ Πατρὸς, κατὰ τίνα δὴ τρόπον νοηθεῖεν ἂν τοῦ συμβασιλεύοντος αὐτῷ Λόγου; τοιγάρτοι καὶ ἔφασκεν, "ὅτι πάντα τὰ ἐμὰ, σά "ἐστι, καὶ τὰ σὰ, ἐμά· καὶ δεδόξασμαι ἐν αὐτοῖς." πῶς οὖν αἰτεῖν προστάσσεται, καὶ δέχεται μὲν εἰς κληρονομίαν ἔθνη, κατάσχεσιν δὲ ποιεῖται καὶ τὰ πέρατα τῆς γῆς; ἀποσκιρτήσαντα γὰρ ἐξιτήλως τὸν ἄνθρωπον δουλείας τῆς ὑπὸ Θεῷ, διασῶσαι θελήσας ὁ τῶν ὅλων γενεσιουργὸς καὶ Πατὴρ, πέπομφεν εἰς τόνδε τὸν κόσμον τὸν μονογενῆ Θεὸν Λόγον, ἵνα γενόμενος σὰρξ, καὶ τοῖς ἀνθρώποις συναναστραφεὶς ὡς ἄνθρωπος, κηρύξῃ αἰχμαλώτοις μὲν ἄφεσιν, τυφλοῖς δὲ ἀνάβλεψιν, καλέσῃ δὲ καὶ ἐνιαυτὸν Κυρίου δεκτόν. οὐκοῦν κἂν εἰ λέγοιτο λαβεῖν καὶ τεθεῖσθαι κληρονόμον διὰ τὸ ἀνθρώπινον, οὐκ ἀγνοήσομεν τὴν οἰκονομίαν· ποῦ γὰρ ὅλως ἐπτώχευσεν, εἰ μὴ γέγονε καθ' ἡμᾶς; τουτέστιν ἄνθρωπος μετὰ τοῦ μεῖναι Θεός· οὕτω φρονεῖν ἡμᾶς ἀναπείθων ὁ θεσπέσιος Παῦλος προσεπήνεγκεν ἀναγκαίως τὸ "δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε." πῶς οὖν ἂν γένοιτο καὶ τοῦτο ἀληθές; εἰ γὰρ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς τέτοκεν ἡμῖν ἡ ἁγία παρθένος τὸν Ἐμμανουὴλ, πῶς δι' αὐτοῦ τοὺς αἰῶνας πεποιῆσθαί φησι; καὶ μάλα ὀρθῶς· ὁ γὰρ ἐκ Θεοῦ Πατρὸς Λόγος, ὁ πρὸ παντὸς αἰῶνος καὶ χρόνου γεγενημένος, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων γεγενῆσθαι λέγεται σαρκικῶς ἐκ γυναικός· ἀδικήσει δὲ ὅλως οὐδὲν εἰς ἀρχαιότητα θεοπρεπῆ τὸν οὕτως ἔχοντα κατὰ φύσιν, τὸ νεώτερον τῆς οἰκονομίας, οὔτε μὴν τῆς ὑπάρξεως αὐτοῦ τὸ πρεσβύτατον τὴν οἰκείαν ἀπολέσει δόξαν. γέγραπται γὰρ ὅτι "Χριστὸς Ἰησοῦς χθὲς καὶ σήμερον "ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας." ὅτι δὲ καὶ ἐν σαρκὶ πεφηνὼς προσμεμαρτύρηκεν ἑαυτῷ τὸ ὡς ἐν θείᾳ φύσει πρεσβύτατον, πιστώσεται λέγων πρὸς Ἰουδαίους, "ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι." ἔφη δὲ καὶ ὁ θεσπέσιος Ἰωάννης ὁ Βαπτιστής[a]· "ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, "ὅτι πρῶτός μου ἦν·" πλουτεῖ γὰρ ἐν πᾶσι καὶ πρωτεύει Χριστός.

[a] εὐαγγελιστὴς Cod.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησί· διὰ τί μὴ ἀντέθηκεν ἑαυτὸν ὁ Ἀπόστολος τοῖς προφήταις; καί τοι γε πολὺ μείζων ἦν ἐκείνων, ὅσῳ καὶ μείζονα ἐνεπεπίστευτο. ἀλλ' οὐ ποιεῖ τοῦτο· τί δή ποτε; πρῶτον μὲν τὸ περὶ ἑαυτοῦ μεγάλα λαλεῖν παραιτούμενος, δεύτερον δὲ διὰ τὸ μηδέ πω τοὺς ἀκροατὰς εἶναι τελείους, καὶ τρίτον ἐπᾶραι μᾶλλον αὐτοὺς βουλόμενος, καὶ δεῖξαι πολλὴν οὖσαν νῦν τὴν ὑπεροχήν· ὡσανεὶ ἔλεγε, τί μέγα ὅτι προφήτας ἔπεμψε πρὸς τοὺς πατέρας ὑμῶν; πρὸς γὰρ ἡμᾶς αὐτὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ· καλῶς δὲ εἶπεν, "ἐπ' ἐσχάτων," καὶ τούτῳ αὐτῷ διανίστησι καὶ παρακαλεῖ ἀπειρηκότας λοιπὸν, ὥσπερ καὶ ἀλλαχοῦ φησιν, "ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε." πάλιν καὶ ἕτερόν τι αἰνίττεται, ὅτι πολλοῦ χρόνου γενομένου ὅτε προσδοκία σωτηρίας οὐκ ἦν, τότε πλέον ἔσχομεν· καὶ θέα τί συνετῶς αὐτὸ εἴρηκεν· οὐ γὰρ εἶπεν ὁ Χριστὸς ἐλάλησεν, καί τοιγε αὐτὸς ἦν ὁ λαλήσας, ἀλλ' ἐπειδὴ ἀσθενεῖς αὐτῶν ἦσαν αἱ ψυχαὶ, καὶ οὐδέπω ἀκούειν ἠδύναντο ἃ δεῖ περὶ Χριστοῦ, φησὶν, ὅτι δι' αὐτοῦ ἐλάλησεν, ὃν ἔθηκε κληρονόμον πάντων, τῷ τοῦ κληρονόμου κέχρηται, δύο δηλῶν, καὶ τὸ τῆς υἱότητος γνήσιον, καὶ τὸ τῆς κυριότητος ἀνυπόστατον, "κληρονόμον πάντων," τουτέστι τοῦ κόσμου παντός.

(Σευηριανοῦ.) Ὁ μακάριος δὲ Σευηριανὸς φησί· "πολυμερῶς" μὲν κατὰ τὰς διαφορὰς τῶν χρόνων, ἐν αἷς ᾠκονομήθη τὰ περὶ ἡμῶν, οἷον ἐν τῇ τοῦ Ἀδὰμ γενέσει, ἐν τοῖς κατὰ τὸν Κάϊν, ἐν τοῖς κατὰ τὸν Νῶε, ἐν τοῖς κατὰ τὸν Ἀβραὰμ, ἐν τοῖς πρὸ νόμου, ἐν τοῖς μετὰ νόμον· πολλὰ γὰρ τὰ μέρη τῆς ὑπὲρ ἡμῶν τοῦ Θεοῦ οἰκήσεως. "πολυτρόπως" δὲ ὅτι ἄλλη ἐδόθη ἐντολὴ τῷ Ἀδὰμ, ἄλλη τῷ Νῶε, ἑτέρα τῷ Ἀβραάμ· καὶ διὰ Μωσέως ἄλλη, καὶ διὰ τῶν προφητῶν διάφοροι. "ἐλάλησεν ἡμῖν ἐν Υἱῷ," ἀντὶ τοῦ δι' Υἱοῦ· οὐ γὰρ ἐν αὐτῷ ὡς ἐν ὀργάνῳ, ἀλλὰ δι' αὐτοῦ ὡς οἰκονομοῦντος σάρκα, ἵν' ἐντεῦθεν ἀρξαμένη τῶν Ἰουδαίων ἡ ἀκοὴ, καὶ ὥσπερ δραξαμένη ψηλαφίᾳ τινὶ τοῦ λόγου οὕτως ἀναχθῇ εἰς τὴν προαιώνιον ὕπαρξιν. πρότερον γὰρ εἰρηκὼς "ἐλάλησεν ἡμῖν ἐν "Υἱῷ, ὃν καὶ κληρονόμον ἔθηκεν," ἀντὶ τοῦ ἐποίησεν, ἀνήγαγε τὸν λόγον εἰς τὴν προαιώνιον ὕπαρξιν· καὶ τοῦτο ποιεῖ συνεχῶς, πῇ μὲν ἀνιὼν εἰς τὴν θεολογίαν, πῇ δὲ κατιὼν εἰς τὴν ἐνανθρώπησιν.

Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν.

[a]. Ὁ αἰὼν φύσις μέν ἐστιν οὐδεμία ἐν ὑποστάσει τὸ εἶναι ἔχουσα, διάστημα δέ τι νοεῖται εἶναι· ἀπό τινος οὖν ἐπινοούμενον ἀρχὴν τοῦ εἶναι ἔχοντος ἄχρι τῆς ἐκείνου τελευτῆς, ἢ ἑτέρου τινὸς ἀρχὴν εἰληφότος ὁμοίως· οὐ γὰρ ἐν ἰδίᾳ ὑποστάσει τὰ χρονικὰ νοοῦμεν διαστήματα, τοῖς δὲ ἀρχὴν τοῦ εἶναι εἰληφόσιν αὐτὰ συνεπινοοῦμεν ἐκείνοις τῆς τε ἀρχῆς αὐτοῦ καὶ τοῦ τέλους τὴν φαντασίαν δεχόμενοι, οὐχ ὥσπερ ἐπὶ τοῦ Θεοῦ λεγόντων, ὅτι ἦν μόνον, ὃς ἐπειδήπερ ἦν ἀεὶ, οὐ δυνατὸν ἡμᾶς αὐτοῦ συνόντα ἐπινοεῖν διαστήματα τῆς ζωῆς. τῷ τοίνυν εἰπεῖν τῶν αἰώνων ποιητὴν, οὐδὲν ἕτερόν ἐστιν εἰπεῖν ἢ ἀΐδιον, παντὸς ὑπερκείμενον διαστήματος, ἀπέραντον ἔχοντα τὴν οἰκείαν ὕπαρξιν. ὁ μὲν γὰρ ποιητὴς πρότερός ἐστι τῶν ποιηθέντων, τῷ δὲ ἀρχὴν ἔχοντι συνεπινοεῖσθαι διάστημα ἀνάγκη. ὥσπερ δὲ ὅταν λέγῃ ὁ μακάριος Δαυὶδ, "ὁ "ὑπάρχων πρὸ τῶν αἰώνων," οὐ τοῦτο βούλεται εἰπεῖν, ὅτι τῶν οὐχ ὑφεστώτων προϋπάρχει, ἀλλ' ἵνα εἴπῃ ὅτι παντός ἐστι διαστήματος ἀνώτερος, ἀεὶ τὸ εἶναι ἔχων, οὕτως ὅταν λέγῃ, "δι' οὗ "καὶ τοὺς αἰῶνας ἐποίησεν," οὐχὶ τῶν οὐχ ὑφεστώτων βούλεται αὐτὸν ποιητὴν εἰπεῖν, ἀλλ' ἀεὶ ὄντα καὶ τῶν ἀρχὴν ἐσχηκότων αἴτιον ἁπάντων· "ὃς ὢν ἀπαύγασμα τῆς δόξης[b] καὶ χαρακτὴρ "τῆς ὑποστάσεως αὐτοῦ·" καλῶς οὐκ εἶπε τοῦ Θεοῦ, ἀλλὰ "τῆς "δόξης," τῷ καταπληκτικῷ τοῦ ὀνόματος οὐδὲ περιεργάζεσθαι τὰ τῆς φύσεως ἐκείνης ἐπιτρέπων ἡμῖν, ὡς ἂν μόνον δοξάζεσθαι ὀφειλούσης παρ' ἡμῶν· τῇ μὲν παραβολῇ τοῦ ἀπαυγάσματος χρησάμενος, εἰς ὃ μάλιστα ἀναγκαῖον ἐνόμιζε, τῇ δὲ ἐπαγωγῇ τὸ ἀπεμφαῖνον τῆς παραβολῆς ἐκλύσας· ἀκριβῆ γὰρ, φησὶ, σώζει τὸν χαρακτῆρα τῆς φύσεως, ὥστε ὅπερ ἂν ἐκείνην νοήσῃς τὴν ὑπόστασιν, τοῦτο νόει καὶ ταύτην εἶναι, ἀκριβεῖς φέρουσαν ἐκείνης τοὺς χαρακτῆρας, τῷ κατὰ μηδὲν διαλλάττειν αὐτὴν ἐκείνης.

[a] Incertum an Δομνῖνος.

[b] Ad marg. ΓΕΝΝΑΔΙΟΥ. *Δόξαν εὐφήμως κέκληκε τὸν Πατέρα, ἀπαύγασμα δὲ τὸν Υἱὸν, διδάσκων ἐκ παραδείγματος, ἐκ Πατρός τε αὐτὸν εἶναι καὶ συναΐδιον τῷ Πατρί· τοιοῦτον γὰρ τὸ ἀπαύγασμα ἐκ τοῦ τε ὂν, καὶ συνυπάρχον αὐτῷ· οὐκοῦν ἂν ἥλιον εἴποι τις ὑπό τε τοῦ οἰκείου πρεσβύτερον ἀπαυγάσματος. ἔφη δὲ αὐτὸ δίχα τῆς ως συλλαβῆς, κατὰ τὸ ἰδίωμα τῆς γραφῆς.*

(Σευηριανοῦ.) Καὶ ὁ μακάριος δὲ Σευηριανὸς φησί· ζητῶν παραστῆσαι τρανότερον τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γεγενῆσθαι τὸν Λόγον, τοῦ ἀπαυγάσματος ἐμνήσθη· τὸ γὰρ ἀπαύγασμα ἐκ τῆς οὐσίας ἐστὶν ἐκείνου, οὗ ἐστιν ἀπαύγασμα, καὶ διηνεκὲς καὶ ἐξ αὐτοῦ, καὶ οὐδέποτε ἄνευ ἐκείνου ἐπινοούμενον οὗ ἐστιν ἀπαύγασμα. ἀλλ᾽ ἐπειδὴ τὸ ἀπαύγασμα ἐλάττονα δείκνυσι τὴν φύσιν παρ᾽ ἐκεῖνο οὗ ἐστιν ἀπαύγασμα, καὶ οὐκ ἐν ἰδίᾳ ὑποστάσει, ἑτέρᾳ λέξει τοῦτο παρέστησεν εἰπὼν, "καὶ χαρακτὴρ τῆς ὑποστάσεως·" τὸ μὲν πρῶτον τεθεικὼς εἰς ἀπόδειξιν τοῦ ἐκ τῆς οὐσίας ἀμέτρως εἶναι· τὸ δὲ δεύτερον, ὅτι οὐκ ἀνυπόστατον. ὥσπερ γὰρ Ἰωάννης Λόγον ὀνομάσας ἐπήγαγε, "πρὸς Θεὸν ἦν, καὶ Θεὸς ἦν," οὕτως καὶ Παῦλος ἀπαύγασμα εἰπὼν, προσέθηκε, "καὶ χαρακτὴρ τῆς "ὑποστάσεως."

(Χρυσοστόμου.) Ἔφη δὲ καὶ ὁ μακάριος Ἰωάννης· τοῦτο μετ᾽ εὐλαβείας ἐκλαμβάνειν δεῖ καὶ τὰ ἄτοπα περικόπτειν· ἀπαύγασμα τῆς δόξης φησὶν, ὅτι ἐξ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειωθέντος οὐδὲ ἐλαττωθέντος, ἐπειδή εἰσί τινες ἄτοπά τινα ἐκ τοῦ ὑποδείγματος ἐκλαμβάνοντες. τὸ γὰρ ἀπαύγασμα ἐνυπόστατον οὐκ ἔστιν, ἀλλ᾽ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. μὴ τοῦτο τοίνυν ἐκλάβῃς ἄνθρωπε, μηδὲ Μαρκέλλου καὶ Φωτεινοῦ νοσήσῃς τὴν νόσον· ἐγγύθεν γάρ σε θεραπεύει, ὥστε μὴ εἰς ἐκείνην ἐμπεσεῖν τὴν διάνοιαν· τί δὲ φησί; "καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ·" οἷον, ὥσπερ ἐστὶν αὐτὸς ἐνυπόστατος, οὐδενὸς δεόμενος, οὕτω καὶ ὁ Υἱός. ἐνταῦθα γὰρ τὸ ἀπαράλλακτον δεικνὺς, τοῦτό φησι, καὶ τὸν ἰδιάζοντα χαρακτῆρα τοῦ πρωτοτύπου.

(Κυρίλλου.) Ὁ μακάριος δὲ Κύριλλος φησίν· ὥσπερ ἐστὶν ἄτρεπτος ὁ Πατὴρ ἀεὶ διαμένων τοῦθ᾽ ὅπερ ἐστὶ, Πατὴρ δηλονότι οὐχ Υἱὸς, οὕτω καὶ ὁ Υἱὸς ἐμφιλοχωρεῖ τοῖς ἰδίοις, Υἱὸς ἀεὶ μένων, καὶ εἰς Πατέρα μὴ μεθιστάμενος, ἵνα φαίνηται καὶ κατ᾽ αὐτὸ δὴ τουτὶ χαρακτὴρ ὑπάρχων τῆς ὑποστάσεως τοῦ Πατρός· ἴδοι δ᾽ ἄν τις αὐτῷ τῆς τοῦ τεκόντος ὑπεροχῆς καὶ μὴν καὶ εὐκλείας ἐμπρέπον τὸ κάλλος· Θεὸς γάρ ἐστιν ἀληθινὸς, ἐξ ἀληθινοῦ Θεοῦ, φῶς ἐκ φωτός· ζωή τε ὁμοίως ἐκ ζωῆς. ὑπερανέστηκε δὲ τοσοῦτον τὴν σύμπασαν κτίσιν, ὅσον ἂν νοοῖτο καὶ αὐτὸς ὁ Πατήρ. ἔστι

γὰρ ἀγένητος ἐξ ἀγενήτου, καὶ οὐ τοῖς ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενηνεγμένοις ἐναρίθμιος· “ ἦν γὰρ ὁ Λόγος ἐν ἀρχῇ, καὶ Θεὸς “ ἦν ὁ Λόγος.” πῶς οὖν ἄρα τὸ οὐκ ἦν ἀληθὲς ἔσται λεγόμενον ἐπ' αὐτοῦ παρὰ τῶν ταῖς θείαις πολεμούντων γραφαῖς; εἰ γάρ ἐστι γενητὸς κατ' αὐτοὺς, συνυποκείσεται πάντως τοῖς ἄλλοις ἅπασι, καὶ τὸν τῆς δουλείας παραδέξεται ζυγόν· διοίσει δὲ κατ' οὐδένα τρόπον τῶν ἑαυτοῦ γεγονότων· ἔστιν οὖν Θεὸς μᾶλλον ὡς ἐκ Θεοῦ· “ φέρει γὰρ τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· “ γέγονε μὲν γὰρ δι' αὐτοῦ τὰ πάντα· καὶ χωρὶς αὐτοῦ ἐγένετο “ οὐδὲ ἕν·” ἀνέχει δὲ πάλιν αὐτὸς τὰ πάντα πρὸς ἀκλόνητον διαμονήν.

(Χρυσοστόμου.) Ὁ *μακάριος δὲ* Ἰωάννης *φησίν· ἐνταῦθα δίδωσιν αὐτῷ τὴν αὐθεντείαν, ἵνα ἐκ τούτου μὴ μόνον τὸν χαρακτῆρα τῆς ὑποστάσεως ἐκλάβωμεν, ἀλλὰ καὶ ἐκ τοῦ μετὰ αὐθεντείας ἅπαντα κυβερνᾷν. ὅρα τοίνυν ὅπως ὅπερ ἐστὶν ἴδιον τοῦ* Πατρὸς, *τοῦτο προσάπτει τῷ* Υἱῷ· *διὰ γὰρ τοῦτο οὐχ ἁπλῶς εἶπε, φέρων τὰ πάντα, ἀλλὰ “ τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ.”*

(Θεόδωρος.) Θεόδωρος *δέ φησι· τοῦτο ἔστιν, οὐ ποιητὴν μόνον εἰπεῖν τῶν ὄντων· ἀλλὰ γὰρ καὶ τῷ πολλῇ ποιεῖν αὐτὰ περιουσίᾳ τῆς δυνάμεως, ὡς ἂν ἐν τῇ φωνῇ αὐτοῦ πάντων ἀπηρτημένων· οὐδὲν γὰρ διαλλάττει τοῦτο τοῦ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα, ἢ καὶ τῆς τοῦ μακαρίου* Μωϋσέως *διηγήσεως, λέγοντος, “ καὶ εἶπε, “ γενηθήτω φῶς, καὶ ἐγένετο φῶς, γενηθήτω στερέωμα, καὶ ἐγένετο “ στερέωμα.”*

(Σευηριανοῦ.) Καὶ *ὁ μακάριος δὲ* Σευηριανὸς *φησί· τοῦτό ἐστιν ὃ λέγει* Ἱερεμίας, *“ ἰσχυρὰ ἔργα λόγων αὐτοῦ.*

(Κυρίλλου.) Καὶ *ὁ μακάριος δὲ* Κύριλλός *φησι,* Λόγος *ὢν τοῦ* Θεοῦ *καὶ* Πατρὸς *παναλκὴς, αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν· ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. ἐπειδὴ γὰρ τῶν εἰς τὸ εἶναι παρενηνεγμένων ἡ φύσις οὐκ ἔχει τὴν ἀφθαρσίαν, οὔτε μὴν τὸ ὡσαύτως ἔχειν διὰ παντὸς δύνασθαι, ἴδιον γὰρ τοῦτο τῆς ἀνωτάτω πάντων οὐσίας, φέρει τὰ πάντα αὐτὸς τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ.* Λόγος *μὲν γάρ ἐστιν αὐτὸς ἐνυπό-*

στατος, καὶ ὡς ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν γεγενημένος, πανσθενὲς καὶ ἐνεργὸν τὸ ῥῆμα αὐτοῦ, καὶ πάντα εὐκόλως κατορθοῦν ἰσχύον. ἐπάγει δὲ τούτοις,

3 Καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν
4 δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς· τοσούτῳ κρείττων
γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

Δείξας αὐτὸν χαρακτῆρα τῆς ὑποστάσεως τοῦ Πατρὸς, καὶ μὴν "καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ" μέτεισιν ἀναγκαίως ἐπὶ τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν, δι᾽ ἧς καὶ σεσώσμεθα, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν πεπλουτήκαμεν, ἡγιάσμεθά τε διὰ τοῦ αἵματος αὐτοῦ. ὡς γὰρ αὐτός φησιν ὁ σοφώτατος Παῦλος, "ἐν "ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν "τῶν παραπτωμάτων." γράφει δὲ ὡδὶ καὶ Ἰωάννης περὶ τοῦ Θεοῦ καὶ Πατρός· "ἐὰν περιπατῶμεν ἐν τῷ φωτὶ, κοινωνίαν ἔχομεν "μετ᾽ αὐτοῦ, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθα"ρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας·" αἵματι δὴ οὖν κεκαθαρίσμεθα τῷ ἁγίῳ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ὃς κεκάθικεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. πότε δέ; ὅτε καθαρισμὸν ἐποιήσατο διὰ τοῦ αἵματος αὐτοῦ, τότε καθίσαι λέγεται, γεγενῆσθαι δὲ καὶ κρείττων Ἀγγέλων, κληρονομῆσαι δὲ παρ᾽ αὐτοὺς τὸ διαφορώτερον ὄνομα· κέκληται γὰρ Υἱός. γέγονε μὲν γὰρ σὰρξ ὁ Λόγος, καί τοι Λόγος ὢν καὶ ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς, καὶ τῆς ὑποστάσεως αὐτοῦ χαρακτὴρ, οὐκ ἰδίᾳ φύσει ποιούμενος τῆς μετὰ σαρκὸς οἰκονομίας, ἵν᾽ οὕτως εἴπω, τοὺς πόνους· ὑπέμεινε γὰρ σταυρὸν, αἰσχύνης καταφρονήσας, ἀτιμίας τε καὶ ὕβρεας καὶ ἐμπτύσματα· ἀλλ᾽ ἵν᾽ ἡμᾶς ἀπαλλάξῃ παντὸς μολυσμοῦ, αἵματι τῷ ἰδίῳ καθαροὺς ἀποφήνας, συνάψῃ δὲ δι᾽ ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί. δι᾽ αὐτοῦ γὰρ τὴν προσαγωγὴν ἐσχήκαμεν, καὶ αὐτός ἐστιν ἡ θύρα καὶ ἡ ὁδος. πλὴν εἰ καὶ γέγονε σὰρξ ὁ Λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ἴδιον σῶμα ποιησάμενος τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθέν· ἀλλ᾽ οὖν ἐν δόξῃ καὶ φύσει θεότητος ἦν, καὶ τῶν ὑπερτάτων τοῦ Θεοῦ καὶ Πατρὸς οὐκ ἀπέστη θρόνων. ἦν μὲν γὰρ ἄνθρωπος ἐπὶ γῆς, ἐπλήρου δὲ πάλιν τὸν οὐρανὸν, καὶ ἦν αὐτοῦ τὰ

πάντα μεστὰ, καὶ ἠλάττωτο μὲν βραχὺ παρ' Ἀγγέλους διά γε τὸ τῆς ἀνθρωπότητος μέτρον· ὑποκάθηται γὰρ τῶν Ἀγγέλων τὸ εὐκλεὲς ἡ ἀνθρώπου φύσις. ἦν δὲ καὶ οὕτως ἔχων "ὑπὲρ ἄνω πάσης "ἀρχῆς ἐξουσίας τε καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζο-"μένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι." καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος γράφει Παῦλος· "γινώσκετε γὰρ τὴν "χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι πλούσιος ὢν ἐπτω-"χευσε δι' ἡμᾶς, ἵν' ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν."

(Ἰωάννου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶ, δύο τίθησιν ἐνταῦθα τῆς κηδεμονίας αὐτοῦ τεκμήρια μέγιστα, τό τε καθαρίσαι ἡμᾶς τῶν ἁμαρτιῶν, καὶ τὸ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι. καὶ πολλαχοῦ ὁρᾷς αὐτὸν τούτῳ σεμνυνόμενον, οὐ μόνον ἐπὶ τῇ καταλλαγῇ τῇ πρὸς τὸν Θεὸν, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ Υἱοῦ τοῦτο γεγενῆσθαι. εἰπὼν δὲ καθαρισμὸν δι' ἑαυτοῦ ποιησάμενος, καὶ ἀναμνήσας τοῦ σταυροῦ, ταχέως τὸν περὶ τῆς ἀναστάσεως λόγον ἐπήγαγε, καὶ φησίν· "ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς·" ὥσπερ εἰπὼν ἐν δεξιᾷ οὐκ ἐσχημάτισεν ἑαυτὸν, ἀλλὰ τὸ ὁμοιότιμον ἔδειξε τὸ πρὸς τὸν Πατέρα, οὕτω "ἐν ὑψηλοῖς" εἰπὼν, οὐκ ἀπέκλεισεν αὐτὸν ἐκεῖ, ἀλλὰ τὸ πάντων ἀναβεβηκὸς, τουτέστι πρὸς αὐτὸν ἔφθασε τὸν θρόνον τὸν πατρικόν. ὥσπερ οὖν ὁ Πατὴρ ἐν ὑψηλοῖς, οὕτω καὶ αὐτός· ἡ γὰρ συνεδρία οὐδὲν ἕτερον δείκνυσιν, ἢ τὸ ὁμότιμον. εἰ δὲ λέγουσιν ὅτι εἶπεν, "κάθου," ἐρώμεθα αὐτοὺς, τί οὖν ἑστῶτι εἶπεν; ἄλλως δὲ οὐκ εἶπεν ὅτι ἐκέλευσεν οὐδὲ προσέταξεν, ἀλλ' ὅτι εἶπε δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα μὴ ἀγέννητον αὐτὸν νομίσῃς καὶ ἀναίτιον· ὅτι γὰρ διὰ τοῦτο εἴρηκε, δῆλον ἐκ τοῦ τόπου τῆς καθέδρας. εἰ γὰρ ἐλάττωσιν ἠθέλησε δηλῶσαι, οὐκ ἂν εἶπεν ἐκ δεξιῶν, ἀλλ' ἐξ ἀριστερῶν.

Τοσούτῳ κρείττω γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

Τοῦ μακαρίου Ἀθανασίου. Ἐπειδὴ καὶ προφῆται διηκόνησαν, καὶ δι' Ἀγγέλων ὁ νόμος ἐλαλήθη, καὶ ὁ Υἱὸς δὲ ἐπεδήμησε καὶ ἦλθε διακονῆσαι, ἀναγκαίως ἐπήγαγε τὸ "τοσούτῳ κρείττων "γενόμενος τῶν Ἀγγέλων," δεῖξαι θέλων ὅτι ὅσον ὁ Υἱὸς διαφέρει ἀσυγκρίτοις ὑπεροχαῖς, τοσούτῳ καὶ τῆς διακονίας τῶν δούλων ἡ

τοῦ Υἱοῦ διακονία κρείττων γέγονε. τὰς διακονίας ἄρα διακρίνων ὁ Ἀπόστολος τήν τε παλαιὰν καὶ τὴν καινὴν, παρρησιάζεται πρὸς αὐτοὺς ταῦτα λέγων[c].

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης τὸ "γενόμενος" ἐνταῦθα ἀντὶ τοῦ ἀποδειχθείς· εἶτα καὶ πόθεν ἰσχυρίζεται ἀπὸ τοῦ ὀνόματος, ὅτι οἶδε τὸ υἱὸς ὄνομα τὴν γνησιότητα δηλοῦν· καὶ μὴν εἰ μὴ γνήσιος ἦν υἱὸς, γνήσιος δὲ οὐδὲν ἕτερον, ἀλλ' ἢ ἐξ αὐτοῦ· πῶς ἀπὸ τούτου διϊσχυρίζεται; εἰ γὰρ χάριτι ἔστιν υἱὸς, οὐ μόνον διαφορώτερος, ἀλλὰ καὶ ἐλάττων ἐστὶν Ἀγγέλων. πῶς; ὅτι καὶ ἄνθρωποι δίκαιοι ἐκλήθησαν υἱοί· καὶ τὸ υἱὸς ὄνομα ἂν μὴ γνήσιον ᾖ, οὐκ ἰσχύει δεῖξαι τὸ διάφορον, καὶ δηλῶν ὅτι καὶ διαφορά τίς ἐστι κτισμάτων καὶ δημιουργοῦ, ἄκουσον τί φησι, "τίνι γὰρ εἶπε "ποτὲ τῶν ἀγγέλων, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; "καὶ πάλιν, ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι "εἰς υἱόν."

ΚΕΦ. Β.

Ὅτι οὐ λειτουργικὴ ἡ δόξα Χριστοῦ ἀλλὰ θεϊκὴ καὶ ποιητική. διὸ οὐκ ἐπὶ τοῦ παρόντος αἰῶνος ἐν ᾧ οἱ λειτοῦργοι, ἀλλ' ἐπὶ τῆς μελλούσης οἰκουμένης.

Χρυσοστόμου. Καὶ ταῦτα εἴρηται μὲν καὶ εἰς τὴν σάρκα, τὸ "ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν·" τὸ δὲ "Υἱός μου εἶ συ, ἐγὼ σήμερον γεγέννηκά σε," οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι ἐξ οὗ ἐστιν ὁ Θεός· ὥσπερ γὰρ ὢν λέγεται ἀπὸ τοῦ ἐνεστῶτος χρόνου· οὗτος γὰρ μάλιστα ἁρμόζει αὐτῷ, οὕτω καὶ τὸ σήμερον· ἐνταῦθα δέ μοι δοκεῖ εἰς τὴν σάρκα εἰρῆσθαι· ὅταν γὰρ αὐτῆς ἐπιλάβηται, πάντα λοιπὸν ἀδεῶς φθέγγεται· καὶ γὰρ ἡ σὰρξ κοινωνεῖ τῶν ὑψηλῶν, ὥσπερ καὶ ἡ θεότης τῶν ταπεινῶν· ὁ

[c] Ad marg. ΤΟΥ ΑΥΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΑΘΑΝΑΣΙΟΥ ΕΚ ΤΟΥ ΚΑΤΑ ΑΠΟΛΛΙΝΑΡΙΟΥ ΛΟΓΟΥ. Κἂν λέγηται κρείττων γενόμενος τῶν Ἀγγέλων, οὐκ αὐτὸς ὁ ποιητὴς τῶν Ἀγγέλων Λόγος κρείττων γέγονεν, ὡς ἥττων ὤν ποτὲ, ἀλλ' ἡ μορφὴ τοῦ δούλου, ἣν αὐτὸς ὁ Λόγος ἰδιοποιήσατο φυσικῇ γεννήσει, κρεῖττον ἀνατείλασα ἐκ τῆς τοῦ πρωτοπλάστου γεννήσεως. Τὸ οὖν κρείττων περὶ . . . . . . ὄνομα ὁ Θεὸς Λόγος ἀεὶ εἶχεν, ... οὐδὲ ὕστερον Ἀγγέλων κρείττων ἐγένετο, ὅτε καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐποίησεν, ἀλλ' ἀεὶ κρείττων ἦν καὶ ἀσύγκριτος. περὶ δὲ τοῦ κατὰ σάρκα τοῦτο εἴρηται.

ΘΕΟΔΩΡΗΤΟΥ. Πρωτότοκος ὡς ἄνθρωπος, ὥσπερ μονογενὴς, ὡς Θεός· προσεκύνησαν δὲ αὐτὸν καὶ ὡς ἄνθρωπον οἱ ἄγγελοι.

γὰρ ἄνθρωπος γενέσθαι μὴ ἀπαξιώσας καὶ τὸ πρᾶγμα μὴ παραιτησάμενος, πῶς ἂν τὰ ῥήματα παρῃτήσατο;

6 Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν
7 οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτὸν πάντες
Ἄγγελοι Θεοῦ.

Ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὴν παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον πάροδον καλεῖ, οἷον, ὡς ὅταν λέγῃ, "ἐξῆλθεν ὁ σπείρων τοῦ "σπεῖραι," καὶ πάλιν, "ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω," καὶ πολλαχοῦ ἴδοι τις ἄν· ὁ δὲ Παῦλος ἔσοδον καλεῖ λέγων, "ὅταν "εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην," εἰσαγωγὴν ταύτην λέγων τὴν τῆς σαρκὸς ἀνάληψιν. τί δή ποτ' οὖν τούτῳ τῷ λόγῳ κέχρηται, δῆλά ἐστι τὰ σημαινόμενα, καὶ κατὰ τί εἴρηται· ὁ μὲν γὰρ Χριστὸς πάροδον καλεῖ· εἰκότως, ἐπειδὴ καθάπερ ἐν τοῖς βασιλείοις οἱ δεσμῶται καὶ προσκεκρουκότες τῷ βασιλεῖ ἔξω ἐστήκασιν, ὁ δὲ βουλόμενος αὐτοὺς καταλλάξαι, οὐκ ἔνδον εἰσάγει τούτους, ἀλλ' αὐτὸς ἐξιὼν ἔξω τούτοις διαλέγεται, ἕως ἂν αὐτοὺς καταστήσας ἀξίους τῆς ὄψεως τοῦ βασιλέως εἰσαγάγῃ, οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν, ἐξελθὼν πρὸς ἡμᾶς, σάρκα ἀναλαβὼν δηλονότι, καὶ διαλεχθεὶς τὰ παρὰ τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καθαρίσας τῶν ἁμαρτημάτων καὶ καταλλάξας· διὰ τοῦτο πάροδον αὐτὴν καλεῖ· ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν ὀνομάζει, ἀπὸ μεταφορᾶς τῶν κληρονομούντων καὶ νομὴν παραλαμβανόντων καὶ κτῆσιν

Deest folium.

...κὸς, θαυμάζοντες ἔλεγον, "τίς οὗτος ὁ παραγενόμενος ἐξ "Ἐδώμ;" τουτέστιν ἐκ γῆς, "ἐρύθημα ἱματίων ἐκ Βοσόρ·" ὅ ἐστι τῇ Ἑλλάδι φωνῇ, συνοχῆς ἢ θλίψεως, "ἵνα τί σου ἐρυθρὰ "τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ;" προσεπυνθάνοντο δὲ κακεῖνο λέγοντες, τί αὗται αἱ πληγαὶ αἱ ἀναμέσον τῶν χειρῶν σου; ὁ δὲ πρὸς αὐτοὺς, ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ μου. καὶ οὐ δή που φαίη τις ἂν, ὡς ἦν ἐξ ἀνάγκης αὐτῷ τοὺς τῶν ἥλων τύπους ἐνεῖκαί τε μετὰ τὴν ἀνάστασιν, καὶ σὺν αὐτοῖς ἀναβαίνειν εἰς τὸν οὐρανόν· ἐκεῖνο δὲ μᾶλλον εἰκότως περινοεῖν ἄξιον, ὥσπερ ἀπιστήσαντι τῷ Θωμᾷ τοὺς τύπους τῶν ἥλων καὶ αὐτὴν ἐπέδειξε τὴν πλευρὰν, ἵνα λοιπὸν ἀναπείσῃ λέγειν ἐξ

εὐμαθοῦς διανοίας "ὁ Κύριός μου καὶ ὁ Θεός μου," οὕτω καθάπερ ἐγῷμαι, τοῖς ἁγίοις Ἀγγέλοις ἐμφανῆ καθιστὰς τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν τρόπον, μετὰ τῶν τοῦ πάθους σημείων ἐφαίνετο, ἐρυθρὰ γοῦν τὰ ἱμάτια φέρων, καὶ αὐτοὺς δὲ τοὺς τύπους τῶν ἥλων, ἵνα καὶ αὐτοὶ πιστεύσειαν ὡς φύσει τε καὶ ἀληθῶς ὑπάρχων Θεὸς, γέγονε καὶ υἱὸς ἀνθρώπου, σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου, καὶ καθεὶς ἑαυτὸν εἰς κένωσιν, ἵνα προσφορὰν καὶ θυσίαν ἑαυτὸν ὑπὲρ πάντων εἰς ὀσμὴν εὐωδίας ἀναθεὶς τῷ Θεῷ καὶ Πατρὶ, διασώσῃ τὴν ὑπ' οὐρανόν· προσκυνεῖ τοιγαροῦν καὶ ἡ τῶν Ἀγγέλων ἁγία πληθὺς, οὐ παραιτουμένη τὴν προσκύνησιν, ὅτι πρωτότοκος ἦν καὶ ἐν πολλοῖς ἀδελφοῖς ἄνθρωπος, δεδιδαγμένη δὲ τὴν οἰκονομίαν καὶ τὸν ἐκ Θεοῦ κατὰ φύσιν ἐπιγινώσκουσα Υἱὸν, καὶ ὅτε γέγονε σάρξ.

(Διδυμου.) Δίδυμος δέ φησιν· εἰ πᾶσα ἡ γενετὴ φύσις προσκυνεῖ τῷ Χριστῷ, διὰ γὰρ τῆς τῶν Ἀγγέλων προσηγορίας τὴν ὑπέρτερον λογικὴν σημαίνει φύσιν· ὥσπερ καὶ ἐν τῷ "τίνι γὰρ "τῶν Ἀγγέλων εἴρηκε ποτὲ, κάθου ἐκ δεξιῶν μου·" καὶ ὑπεράνω ταύτης ἐστὶν αὐτός· καὶ προσκυνεῖν ὁ λόγος τῶν γραφῶν κτίσματι ἀπεῖπεν, "μὴ ἀναβλέψας" λέγων "εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν "ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, καὶ πάντα τὸν κόσμον "τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς·" ὡς δὲ τούτοις προσκυνεῖν κεκώλυται, οὕτω καὶ τοῖς ἄλλοις κτίσμασι, κἂν τινα ὑπεραναβεβηκότα τυγχάνῃ, ὡς καὶ ἔμπροσθεν εἴρηται, διαβεβαιοῦσθαι προσήκει, οὐ κτίσμα ἀλλὰ κτίστην εἶναι τὸν Χριστόν. εἰ δὲ δι' ἡμᾶς ἥνωσεν ἑαυτῷ τὴν κτιστὴν σάρκα ἐψυχωμένην, ψυχῇ λογικῇ τε καὶ νοερᾷ, καὶ οὕτω δὲ προσκυνούμενος ὡς Θεὸς ὑπὸ πάσης τῆς κτίσεως· ἰδοὺ ἡ μεγίστη διαφορὰ, ὅτι οἱ μὲν κτιστοὶ, ὁ δὲ ἄκτιστος· "πρὸς μὲν τοὺς Ἀγγέλους," φησὶν, "ὁ ποιῶν," "πρὸς "δὲ τὸν Υἱὸν, ὁ θρόνος σου, ὁ Θεός" ἰδοὺ βασιλείας σύμβολον, "ῥάβδος εὐθύτητος" ἰδοὺ καὶ ἕτερον βασιλείας σύμβολον· εἶτα πάλιν εἰς τὸ κατὰ σάρκα, "ἠγάπησας δικαιοσύνην· διὰ τοῦτο ἔχρισέ σε "ὁ Θεὸς, ὁ Θεός σου," τουτέστι, Θεὲ, Θεός σου· ἐνταῦθα καὶ Ἰουδαίους καὶ τοὺς ἀπὸ Παύλου τοῦ Σαμοσατέως καὶ Ἀρειανοὺς, καὶ Μάρκελλον καὶ Σαβέλλιον ἔβαλεν καὶ Μαρκίωνα· Ἰουδαίους μὲν ...ἀνο. πρόσωπον δεικνὺς, Θεὸν καὶ Θεόν· τοὺς δὲ Παυ-

λου...τοῦ Σαμσατέως εἶπε τῆς αἰωνίου ὑπάρξεως, τουτέστι, δαι... λέγεσθαι καὶ τῆς ἀκτίστου οὐσίας πρὸς ἀντιδιαστολὴν τὴν τοῦ "ἐποίησε," τὸ "ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα" τέθεικε· πρὸς δὲ Ἀρειανοὺς τοῦτο τε... τὸ πάλιν, καὶ ὅτι οὐ δοῦλος· εἰ γὰρ κτίσμα, δοῦλος· πρὸς δὲ Μάρκελλον καὶ τοὺς ἄλλους, ὅτι δύο ταῦτα ἔστι πρόσωπα διῃρημένα κατὰ τὴν ὑπόστασιν ......θὸς καὶ Μαρκιωνιστὰς, ὅτι θεότης οὐ χρίεται, ἀλλὰ ἀνθρωπότης.

Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει, ὁ ποιῶν τοὺς
Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ
8 πυρὸς φλόγα· πρὸς δὲ τὸν Υἱὸν, *ὁ θρόνος σου ὁ Θεὸς*
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

(Θεόδωρος.) *Θεόδωρός φησι· τὸ μὲν τῆς ὑπηρεσίας τὴν ὀξύτητα σημαίνει, τὸ δὲ τὸ τῆς λειτουργίας δυνατόν· ταῦτα δὲ αὐτοὺς ἐκεῖθεν γεγενῆσθαι εἰπὼν, παρέστησεν ὡς ἐκεῖθεν καὶ τὸ δύνασθαι ταῦτα ἔχουσι· διαστέλλεται δὲ πρὸς τὸ ποιῶν, τὸ Θεὸς καὶ θρόνος καὶ βασιλείας ῥάβδος, ἃ πάντα τῆς ἀνωτάτω τιμῆς τε καὶ ἀξίας σύμβολα· καὶ γὰρ τὸ Θεὸς τὴν ἀνωτάτω σημαίνει φύσιν, καὶ ὁ θρόνος καὶ ἡ ῥάβδος ἀπὸ τῶν ἀνθρωπίνων, καὶ τὸ ταύτης βέβαιον παρίστησιν· εἶτα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸ μὲν γὰρ "ποιῶν" ἀπὸ καιροῦ εἶναι τὸ ἦρχθαι δείκνυσι τοὺς γεγονότας· τοῦτο δὲ τὸ τῆς βασιλείας ἀΐδιον παρίστησιν.*

(Σευηριανοῦ.) *Ὁ μακάριος Σευηριανὸς φησὶν, ὥσπερ ἐπὶ τοῦ ἀπαυγάσματος καὶ τοῦ χαρακτῆρος ἐμιμήσατο τὸν νοῦν Ἰωάννου, Λόγον ὀνομάσαντος, καὶ πρὸς Θεὸν εἶναι εἰπόντος· οὕτω καὶ ἐνταῦθα μιμεῖται τὸν Ἰωάννην· ὥσπερ ἐκεῖνος εἶπεν· "οὗτος ἦν ἐν ἀρχῇ, "πάντα δι' αὐτοῦ ἐγένετο," ἀντὶ τοῦ οὗτος ἦν, ταῦτα οὐκ ἦν· οὕτω καὶ ὁ Παῦλος, περὶ μὲν τοὺς Ἀγγέλους, "ὁ ποιῶν," πρὸς δὲ τὸν Υἱὸν, "ὁ θρόνος σου," ἵνα δείξῃ τὸ μὲν ποιούμενον οὐκ ἦν, ὁ δὲ θρόνον ἔχων αἰώνιον, ἀεὶ πρὸς Πατέρα ἦν.*

(Χρυσοστόμου.) *Καὶ ὁ μακάριος δὲ Ἰωάννης τὴν αὐτὴν ἔννοιαν τοῖς προλαβοῦσιν εἰπὼν, ἐπιφέρει, τίνες εἰσὶν οἱ μέτοχοι, ἀλλ' ἢ οἱ ἄνθρωποι; τουτέστι τὸ πνεῦμα οὐκ ἐκ μέτρου ἔλαβεν ὁ Χριστός· "κατ' ἀρχὰς σὺ Κύριε, τὴν γῆν ἐθεμελίωσας." ἵνα μὴ ἀκούσας, "ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην," ὡς*

δῶρον αὐτῷ νομίσῃς ὕστερον προσδοθὲν, τοῦτο καὶ ἄνω προδιορθώσατο, καὶ πάλιν ἐπιδιορθοῦται λέγων, καταρχὰς σὺ ἧς, τὴν γῆν ἐθεμελίωσας, οὐχὶ νῦν, ἀλλ' ἄνωθεν.

(Κυρίλλου.) Ὁ δὲ μακάριος Κύριλλός φησιν· ὁ θεσπέσιος Δαυὶδ πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεὸν κοινὴν ὥσπερ τινὰ ὑπὲρ πάσης τῆς ἀνθρωπότητος ἐξεφώνει λιτὴν, ἔντειλαι ὁ Θεὸς τῇ δυνάμει σου, δυνάμωσον ὁ Θεὸς τοῦτο ὃ κατειργάσω ἐν ἡμῖν. δύναμις δὲ τοῦ Πατρὸς, ὁ Υἱὸς, δι' οὗ ἐστερέωσε μὲν τοὺς οὐρανοὺς, καὶ τὴν γῆν τεθεμελίωκε, καὶ τὴν τοῦδε τοῦ παντὸς εἴργασται διακόσμησιν· καὶ πεποίηκε μὲν τὸν ἄνθρωπον κατ' ἰδίαν εἰκόνα καὶ ὁμοίωσιν, φθορᾶς καὶ θανάτου κρείττονα, δικαιοσύνης ἐργάτην. ἐπειδὴ δὲ βεβασίλευκεν ὁ θάνατος διὰ τῆς ἁμαρτίας, καὶ ὑπενηνέγμεθα τῇ φθορᾷ, καὶ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, προενόησεν ἀναγκαίως τῶν ἑαυτοῦ κτισμάτων ὁ τῶν ὅλων γενεσιουργὸς καὶ Κύριος· ηὐδόκησε γὰρ ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ καὶ ἀνακαινίσαι εἰς τὸ ἐν ἀρχαῖς. ὁ Δαυὶδ οὖν τὸ βαθὺ τῆς ἐνανθρωπήσεως διατρανοῖ μυστήριον, ἀναφωνῶν πρὸς τὸν ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν Υἱόν· "ἠγάπησας "δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέν σε ὁ "Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους "σου." οἴονται δέ τινες οὐ τῷ μονογενεῖ πρέπειν τὰς τοίασδε φωνὰς, εἰρῆσθαι δὲ μᾶλλον ὡς πρὸς ἄνθρωπον ἁπλῶς, τὸν ἐκ τῆς ἁγίας παρθένου γεγενημένον. ὕθλος δὲ τῷ οὕτω φρονοῦντι ὡς διὰ πολλῶν ἀποδέδεικται λόγων· οὐ γὰρ ἄνθρωπος ἡμῖν ἐγεννήθη κοινὸς ἢ τῆς πρὸς Θεὸν ἑνότητος ἐψιλωμένος, ἵνα τις λέγοι κατὰ τὸν ἐκείνων λόγον, προεγνωκέναι περὶ αὐτοῦ τὸν τῶν ὅλων Θεὸν, ὡς ἠγάπησε δικαιοσύνην καὶ ἐμίσησεν ἀνομίαν, ὡς ἀπὸ γνώμης ἰδίας τε καὶ μόνης· καί τοι τὴν τοῦ ψάλλοντος φωνὴν ἐφαρμόσωμεν ἂν εἰκότως ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότι τῷ μονογενεῖ, καὶ ταῖς Ἡσαΐου περὶ αὐτοῦ προφητείαις, ἰσχνὸν ἐνιέντες τὸν νοῦν· ἔφη γὰρ ὧδε, "ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ "καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· βούτυρον καὶ μέλι "φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν, ἢ προσελέσθαι πονηρά·" ἐκλέξεται τὸ ἀγαθὸν, διοτι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· ἠγάπησέ τε δικαιοσύ-

νην, καὶ ἐμίσησεν ἀδικίαν, ὡς ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· ἠγάπησέ τε δικαιοσύνην καὶ ἐμίσησεν ἀδικίαν τόχρημα (sic) ὑπάρχων καὶ δικαιοσύνη καὶ Θεός· οὔπω γὰρ ἔχον ὡς ἀπό γε τοῦ καιροῦ τὸ παιδίον τὸ εἰδέναι μὲν τὸ κατεψεγμένον, ἐπαινεῖν δὲ τὸ μὴ οὕτως ἔχον, πῶς ἂν ἠπείθησε πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν; ἀλλ' ἦν ὡς ἔφην Θεὸς ἐν σαρκὶ, τῶν ἐνόντων αὐτῷ φυσικῶν ἀγαθῶν ἔξω φέρεσθαι μὴ δυνάμενος. καὶ οὐκ ἐπαινῶ μὲν ὃ βούλομαι λέγειν, ἐχέτω δὲ εἰ δοκεῖ κατὰ τὸν τῶν ἐμπλήκτων λόγον καὶ ἰδίαν ἀρετὴν ὁ καταμόνας τῇ κατὰ πρόσωπον ἑνώσει τετιμημένος· πλὴν ἐκεῖνο λεγόντων ἐρήσομαι· ἐκ ποίων ἄρα κατορθωμάτων τοσοῦτο ἔσται τις; καί τοι κατὰ φύσιν ἄνθρωπος ὢν, ὡς καὶ αὐτῶν τῶν θείων ἀξιωθῆναι θρόνων, καὶ συνεδρεῦσαι μὲν τῷ Θεῷ καὶ Πατρί· χρηματίσαι δὲ καὶ Κύριος, ἐν ἴσῳ τῷ κατὰ φύσιν· καὶ Ἀγγέλους μὲν ἔχειν προσκυνητὰς, λατρεύουσαν δὲ τὴν σύμπασαν[d], καί τοι τῆς γραφῆς λεγούσης, "Κύριον τὸ Θεόν σου προσκυνήσεις "καὶ αὐτῷ μόνῳ λατρεύσεις," καὶ πρόσφατον ἐν ἡμῖν οὐκ ἐώσης[e] εἶναι Θεόν. ἀλλ' ἐπ' ἐκεῖν ὅπου τάχα δραμοῦνται τὸ σύνηθες ἐπικούρημα· καὶ δὴ καὶ ἐροῦσιν, ὡς ἑνώσει τῇ πρὸς Θεὸν τὴν τῆς κατὰ φύσιν θεότητος περικείσεται δόξαν· ὡμολόγει τοίνυν ἀληθῆ τὴν ἕνωσιν, καὶ μὴ σοφίζου τὸ χρῆμα, διϊστὰς μὲν τὰς φύσεις καὶ ἀνὰ μέρος ἑκάστην τιθεὶς, ἀσυναφῆ τε εἶναι θατέραν λέγων, καὶ μόνην ἡμῖν τῶν προσώπων τὴν ἕνωσιν οὐκ οἶδ' ὅπως ἐξευρηκώς. εἰρῆσθαι τοίνυν διαβεβαιούμεθα πρὸς τὸν ἐκ Θεοῦ κατὰ φύσιν Υἱὸν, ὡς καθ' ἡμᾶς γεγονότα, τουτέστιν, ἄνθρωπον.

9 Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέν σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Ἐπειδὴ γὰρ ὁ πρῶτος ἄνθρωπος τὴν θείαν πεπάτηκεν ἐντολὴν, εἶτα νενόσηκεν ἀνθρώπου φύσις, τὸ πολὺ λίαν εὐπαρακόμιστον πρὸς ἁμαρτίας· διὰ τοῦτο κατὰ φύσιν ἄτρεπτος ὢν ὁ ἐκ Θεοῦ Λόγος, ἅγιός τε καὶ δίκαιος καὶ μισῶν τὴν ἀδικίαν, γέγονε καθ' ἡμᾶς, καὶ κεχρημάτικε δοῦλος, καὶ Θεὸν ἐπεγράψατο τὸν Πατέρα

[d] Verbum aliquod excidit fort. κτίσιν. [e] Sic.

διὰ τὸ ἀνθρώπινον, καίτοι Θεὸς ὑπάρχων· καὶ ἐξ αὐτοῦ κεχρίσθαι λέγεται διὰ τοῦ Ἁγίου Πνεύματος, οὐχ ἑαυτῷ δεχόμενος τοῦτο· καὶ γάρ ἐστι κατὰ φύσιν ἅγιος ὡς Θεὸς, ἀλλ' οἷον δι' ἑαυτοῦ προσάγων ἡμᾶς τῇ χάριτι, καὶ ἀξίους ἀποφαίνων τῆς παρὰ Πατρὸς εὐλογίας· καί τοι πάλαι προσκεκρουκότας διά τε τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ τὴν μετὰ τοῦτο καθ' ἡμῶν τυραννήσασαν ἁμαρτίαν. οὐ γὰρ πρέσβυς, οὐκ Ἄγγελος· εἰ δὲ δή τις οἴεται τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον εἰς ἰδίαν φύσιν δέχεσθαι τὸν ἁγιασμὸν, εἰς πλατὺ καὶ μέγα δυσφημιῶν ἀποδημήσει πέλαγος. εἰ γὰρ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς πεπράχθαι φαμὲν τὴν ἐνθάδε λεγομένην χρίσιν ἤτοι ἁγιασμὸν, πῶς οὐκ ἀναγκαίως καὶ οὐχ ἑκόντας ὁμολογεῖν ὡς οὐκ ἂν εἴη κατὰ φύσιν ἅγιος, μᾶλλον δὲ οὐδὲ ἅγιος κατά γε τοὺς ἐν ἀρχῇ καὶ πρὸ τῆς χρίσεως χρόνους ἤγουν ἀπεράντους αἰῶνας καὶ πρὶν γενέσθαι καθ' ἡμᾶς ἀμοιρήσας ἁγιασμοῦ; καὶ εἰ τοῦτό ἐστιν ἀληθὲς, οὐκ ἦν ἁμαρτίας ἐλεύθερος.

Πῶς δὴ οὖν φησιν ὁ σοφώτατος Παῦλος τὸν Υἱὸν ἀπαύγασμά τε εἶναι τῆς δόξης τοῦ Πατρὸς, χαρακτῆρα δὲ ὁμοίως τῆς ὑποστάσεως αὐτοῦ· διαμορφοῖ γὰρ πάντως ὁ χαρακτὴρ ἐφ' ἑαυτῷ τὸ ἀρχέτυπον· οὐκοῦν δὲ αὐτὸς ἅγιος ὁ Πατὴρ κατὰ φύσιν; εἶτα τίς ὁ ἁγιάζων αὐτόν; ἐρρῶσθαι δὴ οὖν τοῖς ἐκείνων εἰπόντες ἐμέτοις, ἅγιον κατὰ φύσιν ὑπάρχειν ὁμολογήσομεν τὸν Υἱὸν, καθάπερ ἀμέλει καὶ αὐτὸν τὸν Πατέρα, ἡγιᾶσθαι δὲ τότε κατὰ σάρκα φαμὲν, ὅτε κεκενῶσθαι λέγεται κεχρηματικὼς ἄνθρωπος, ᾧ κατὰ μέθεξιν τὴν παρὰ Θεοῦ καὶ οὐ κατὰ φύσιν ἰδίαν ἔνεστιν ὁ ἁγιασμός. καὶ θαυμαστὸν οὐδὲν, εἰ τὰ τῆς ἀνθρωπότητος ἴδια Θεὸς ὢν ὁ Λόγος οἰκειοῦται φιλαγάθως τε ἅμα καὶ οἰκονομικῶς. ὁ γὰρ ὅλως τὴν κένωσιν ἐθελήσας παθεῖν, πῶς ἂν εἰκότως παραιτοῖτο τὰ αὐτῆς; οὐκοῦν εἰ μὲν νοοῖτο καθ' ἑαυτὸν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ἀπροσδεής ἐστι παντὸς ἀγαθοῦ, καὶ ἴδιον αὐτοῦ φαμεν τὸ Ἅγιον Πνεῦμα. ἐπειδὴ δὲ ὡς ἔφην γέγονε σὰρξ αὐτὸς τῷ ἰδίῳ πνεύματι τὸν αὐτοῦ καταχρίει ναόν· ἐνεργεῖ γὰρ ὁ Πατὴρ ἅπερ ἂν ἐργάζοιτο δι' οὐδενὸς ἑτέρου πλὴν διὰ μόνου τοῦ Υἱοῦ ἐν Ἰσραήλ. οὐκοῦν λέγεται μὲν λαβεῖν τὸ πνεῦμα οἰκονομικῶς ὡς ἄνθρωπος. "Ἰησοῦν γὰρ τὸν ἀπὸ "Ναζαρὲτ," φησὶν, "ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ "δυνάμει·" δίδωσι δὲ ὡς Θεὸς αὐτὸ τοῖς τοῦτο λαβεῖν ἀξίοις·

καὶ γοῦν τοῖς ἁγίοις Ἀποστόλοις ἐνεφύσησε, λέγων, "λάβετε "Πνεῦμα Ἅγιον," προσεφώνει δὲ καὶ τοῖς Ἰουδαίων δήμοις ὁ θεσπέσιος Πέτρος περὶ αὐτοῦ, "τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε "ἐπαγγελίαν τοῦ Πνεύματος λαβὼν παρὰ τοῦ Πατρὸς, ἐξέχεε "τοῦτο ὃ ὑμεῖς βλέπετε καὶ ἀκούετε."

Ἀκούεις ἐν τούτοις καὶ μάλα σαφῶς ὑψῶσθαί τε αὐτὸν τῇ δεξιᾷ τοῦ Θεοῦ, λαβεῖν τε ἅμα καὶ δοῦναι τὸ Πνεῦμα· ὑψοῦται δὲ δηλονότι, ὅτε τεταπείνωκεν ἑαυτόν· ὥσπερ γὰρ καθῆκεν ἑαυτὸν εἰς τοῦτο ἑκὼν, οὕτω πάλιν ἑαυτὸν ὑψοῖ καὶ μετὰ σαρκὸς, αὐτὸς ὢν ἡ χεὶρ τοῦ Πατρὸς, δι' ἧς τὰ πάντα θεοπρεπῶς ἐργάζεται· ὑψοῦται τοίνυν δι' ἑαυτοῦ, κατὰ θέλησιν τοῦ Πατρὸς, ὅτε διαρρήξας τὰ τοῦ θανάτου δεσμὰ καὶ τοῖς κάτω πνεύμασιν εἰρηκὼς ἐξέλθετε, κεκάθικεν ἐν δεξιᾷ τοῦ Πατρός· κέχρισται τοίνυν τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως ὁ κατὰ φύσιν Υἱὸς, ὅτε καὶ Θεὸς αὐτοῦ κεχρημάτικεν ὁ Πατὴρ καθ' ἡμᾶς γεγονότος. ἄτοπον δὲ τοῦτο λέγειν οὐδαμῶς· ἔφη γάρ που τοῖς ἁγίοις Ἀποστόλοις "πορεύομαι πρὸς τὸν πατέρα μου "καὶ πατέρα ὑμῶν, καὶ τὸν Θεόν μου καὶ Θεὸν ὑμῶν." ἰδοὺ δὴ σαφῶς Θεὸν ἑαυτοῦ διὰ τὸ ἀνθρώπινον τὸν ἴδιον ἔφη Πατέρα. ἐπειδὴ δὲ κεκλήμεθα δι' αὐτοῦ πρὸς υἱοθεσίαν, κεχρημάτικεν ἀδελφὸς τοῖς κατὰ φύσιν οἰκέταις· δέδωκεν ἡμῖν Πατέρα τὸν ἑαυτοῦ· ἀλλ' ὥσπερ ἡμεῖς εἰ καὶ υἱοὶ κεκλήμεθα τοῦ Πατρός ἐσμεν ἄνθρωποι, δηλονότι καὶ τὴν τοῦ τετιμηκότος οὐκ ἠγνοήκαμεν χάριν· οὕτως ὁ κατὰ φύσιν Υἱὸς καὶ Κύριος, κἂν ἐπέγνω διὰ τὴν σάρκα καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν Θεὸν ἑαυτοῦ τὸν Πατέρα, ἀλλ' οὐκ ἔξω γέγονε τοῦ εἶναι ὅ ἐστιν, οὔτε μὴν τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοὺς πρέποντας λόγους ἡμεῖς ἀγνοήσομεν. πῶς δὲ ἄρα παρὰ τοὺς μετόχους αὐτοῦ κεχρίσθαι λέγεται; Φέρε λέγωμεν ὡς ἔνι. ἡμεῖς μὲν γὰρ κεχρίσμεθα τῷ Ἁγίῳ Πνεύματι, διωρισμένων δὲ φυσικῶς τῶν καθ' ἡμᾶς, καὶ τοσοῦτον, ὅσον ἂν νοοῖτο θεότητος φύσις παντὸς γενητοῦ· ὁ δὲ δι' ἡμᾶς γενόμενος ἄνθρωπος τοῦ Θεοῦ Λόγος τῷ ἰδίῳ πνεύματι καταχρίει τὸν ἑαυτοῦ ναὸν, οὐ μερικὴν ἐνέργειαν ἐντιθεὶς, οὔτε μὴν ἐν ἀρραβῶνος τάξει καθὰ καὶ ἡμῖν δωρούμενος, ἀναπιμπλὰς δὲ μᾶλλον ἁγιασμοῦ, καὶ τῆς ἑαυτοῦ δυνάμεώς τε καὶ δόξης· τοιγάρτοι καὶ ἔφασκεν, "ὑπὲρ αὐτῶν ἐγὼ "ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσιν καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ." ὅτι δὲ

καί τοι κεχρίσθαι λεγόμενος παρὰ τοῦ Πατρὸς κατὰ τὸ ἀνθρώπινον, οὐ πέπαυται τοῦ εἶναι ὃ ἦν τε καὶ ἔστι καὶ ἔσται διὰ παντὸς, τουτέστι, Θεὸς, αὐτὸς ἡμᾶς ὁ θεσπέσιος Παῦλος ἐνδοιάζειν οὐκ ἐᾷ, κατὰ τοῦ αὐτοῦ προσώπου ἐντιθεὶς ἐφεξῆς,

10 Καὶ, σὺ κατ' ἀρχὰς Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ
11 ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦν-
ται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθή-
12 σονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλα-
γήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλεί-
ψουσιν.

Τοῦ μακαρίου Ἀθανασίου. Οὐχ ὡς εἰς ἀπώλειαν ἐσομένης τῆς κτίσεως, φησὶν, ἀλλ' ἵνα ἀπὸ τοῦ τέλους τὴν ἀρχὴν τῶν γενητῶν δείξῃ. τὰ γὰρ δυνάμενα ἀπολέσθαι, κἂν μὴ ἀπόλωνται διὰ τὴν χάριν τοῦ πεποιηκότος αὐτὰ, ὅμως ἐξ οὐκ ὄντων γέγονε, καὶ τὸ μὴ εἶναι ποτὲ αὐτὰ μαρτυρεῖται· διὰ τοῦτο γοῦν, ὡς τούτων τοιαύτην ἐχόντων τὴν φύσιν, λέγεται ἐπὶ τοῦ Υἱοῦ, τὸ "σὺ δὲ "διαμένεις," ἵνα τὸ ἀΐδιον αὐτοῦ δειχθῇ.

Πάλιν ὁ μακάριος Κύριλλος· εἶτα τούτοις ἐπισυνάπτων εὐθὺς "πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, κάθου ἐκ δεξιῶν μου ἕως ἂν "θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·" καὶ οὐκ ἂν, οἶμαι, ὑπολάβοι τις σωφρονῶν, ἕτερον εἶναι τὸν σύνεδρον τῷ πατρὶ, παρὰ τὸν ἐκ τῆς ἁγίας παρθένου κατὰ σάρκα γεγεννημένον, καὶ πρός γε τοῦτο ἡμᾶς αὐτὸς ἐμπεδοῖ λέγων ὁ Ἐμμανουὴλ τοῖς Ἰουδαίων καθηγηταῖς· "τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ, τινος υἱός ἐστιν; λέγουσιν "αὐτῷ, τοῦ Δαβίδ·" εἶτα πρὸς αὐτοὺς ὁ Χριστός· "πῶς οὖν Δαβὶδ ἐν "πνεύματι καλεῖ αὐτὸν Κύριον λέγων, εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, "κάθου ἐκ δεξιῶν μου;" σύνες οὖν, ὅτι τὸν κεχρισμένον ὡς ἄνθρωπον παρὰ τοὺς μετόχους αὐτοῦ καὶ κύριον ὀνομάζει, καὶ κατ' ἀρχὰς ἔφη, θεμελιῶσαί τε τὴν γῆν, καὶ αὐτοὺς εἰργάσθαι τοὺς οὐρανούς· ὑπάρχειν δὲ καὶ διαπαντός. ἀΐδιος γὰρ κατὰ φύσιν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, καί τοι τῶν δι' αὐτοῦ γεγονότων οὐκ ἐχόντων οὐσιωδῶς τὸ ἄναρχον ἐν χρόνῳ· κέκληνται γὰρ εἰς τὸ εἶναι παρὰ Θεοῦ, ὃς καὶ μόνος ἔχειν εἴρηται τὴν ἀθανασίαν· ἄφθαρτον γὰρ καὶ

ἀνώλεθρον παρ' αὐτὸν οὐδέν. προσεπάγει δὲ τούτοις σαφῆ καὶ ἐναργεστάτην ἀπόδειξιν τῆς ἐνούσης αὐτῷ κατὰ φύσιν ὑπεροχῆς.

13 Πρὸς τίνα γὰρ εἶπε τῶν Ἀγγέλων, κάθου ἐκ δεξιῶν
μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
14 σου; οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακο-
νίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν
σωτηρίαν;

Εἰ γὰρ ὁ μὲν τοῖς τῆς θεότητος ἐνίδρυται θώκοις, τὸ δεσποτικὸν ἀξίωμα περικείμενος, κἂν εἰ γέγονεν υἱὸς Δαβὶδ, σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου· οἱ δὲ παρεστήκασιν ὡς Θεῷ τε καὶ βασιλεῖ τῶν ὅλων, τίνι τῶν ὄντων ἀσύμφανὴς ἡ μεταξὺ κειμένη διαφορὰ Χριστοῦ καὶ Ἀγγέλων; ὁ μὲν γάρ ἐστιν Υἱὸς καὶ Θεός· οἱ δὲ τὸ δουλοπρεπὲς ἔχουσι μέτρον, καὶ πρὸς εὐκλείας τῆς ἀνωτάτω λελόγισται παρ' αὐτοῖς τὸ γνήσιον εἰς ὑπακόην. εἰ δὲ δή τις λέγοι, καὶ ποῖος ἡμᾶς ἀναπείσει τρόπος αὐτὸν οἴεσθαι τὸν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, διὰ τῆς ἁγίας παρθένας γεγεννημένον, θεμελιῶσαί τε τὴν γῆν κατ' ἀρχὰς, καὶ αὐτοὺς ἐγεῖραι τοὺς οὐρανούς; ἀντακούσεται παρ' ἡμῶν, ὡς εἴπερ ἕλοιτο τὴν τῆς ἀληθοῦς ἑνώσεως ἐννοῆσαι δύναμιν, οὐ τὴν ἐν μόνοις προσώποις καὶ κατὰ θέλησιν, ἤγουν εὐδοκίαν· ἴδια μὲν εὑρήσει γεγονότα διὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὰ ἀνθρώπινα, οὐκ ἀλλότρια δὲ τῆς ἀνθρωπότητος τὰ αὐτῷ καὶ μόνῳ πρέποντα τῷ ἑνωθέντι Λόγῳ· ἐπεὶ δέ ἐστιν εἷς καὶ μόνος ἀληθινὸς Υἱὸς ὁ Ἐμμανουὴλ, νοεῖται δὲ πρὸς ἡμῶν Θεός τε καὶ ἄνθρωπος.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ἈΘΑΝΑΣΙΟΥ. *Τὸ ἐκ δεξιῶν τοῦ Πατρὸς καθῆσθαι τὸν Υἱὸν, τὸ γνήσιον δηλοῖ τοῦ Θεοῦ. τήν τε γὰρ βασιλείαν τοῦ Πατρὸς βασιλεύων ὁ Υἱὸς, ἐπὶ τὸν αὐτὸν θρόνον τῷ Πατρὶ καθῆται, καὶ τῇ τοῦ Πατρὸς θεότητι θεωρούμενος, Θεός ἐστιν ὁ Λόγος, καὶ ὁ βλέπων τὸν Υἱὸν βλέπει τὸν Πατέρα, καὶ οὕτω εἷς Θεός ἐστιν. ἐκ δεξιῶν γοῦν καθήμενος ἀριστερὸν οὐ ποιεῖ τὸν Πατέρα, ἀλλ' ὅπερ ἐστὶ δεξιὸν καὶ τίμιον ἐν τῷ Πατρὶ, τοῦτο καὶ ὁ Υἱὸς ἔχει, κἂν ὡς ἄνθρωπος γενόμενος λέγῃ, "προωρώμην τὸν "Κύριον ὅτι ἐκ δεξιῶν μου ἐστὶ διὰ παντός·" δείκνυται γὰρ πάλιν*

καὶ ἐν τούτῳ, ὡς ὁ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ· δεξιοῦ γὰρ ὄντος τοῦ Πατρὸς, ἐκ δεξιῶν ἐστιν ὁ Υἱὸς, καὶ καθημένου τοῦ Υἱοῦ, ἐκ δεξιῶν ὁ Πατήρ ἐστι τῷ Υἱῷ.

Θεόδωρος δέ φησιν, εἰς τὸ "καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται." "ἐντεῦθεν συνιδεῖν ἐστιν ὅτι περὶ τῆς "θείας φύσεως, ὅταν ἡμῖν ἡ παλαιὰ διαθήκη διαλέγηται, οὐ περὶ τοῦ Πατρὸς ἀφωρισμένως λέγει μόνου, ὥσπερ οἴονται οἱ αἱρετικοί· τὸ "ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ," καὶ ὅσα τοιαῦτα λαμβάνειν ἐπ' αὐτοῦ πειρώμενοι μόνου· τοὐναντίον δὲ ὅσα ἂν ὡς περὶ Θεοῦ λέγῃ τὴν ἀνωτάτω φύσιν ἐξηγουμένη, οὕτω φησὶν, ὡς ἂν καὶ Πατρὶ καὶ Υἱῷ διὰ τὴν τῆς φύσεως κοινωνίαν ὁμοίως ἁρμόττειν δυνάμενα. ἐπεὶ πῶς ὁ Ἀπόστολος τὴν δευτέραν εἵλκυσεν ἐπ' αὐτοῦ μαρτυρίαν, οὐδὲν ἔχουσαν ὃ τῆς ἰδιότητος τοῦ προσώπου σημαντικὸν εἶναι ἠδύνατο, ὥσπερ οὖν καὶ ἀνωτέραν, ἢ οὐχὶ τὸ αὐτὸ καὶ ἐν τῇ πρὸς Ῥωμαίους φαίνεται πεποιηκὼς, ἔνθα φησὶ, "γέγραπται γὰρ, ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει "πᾶν γόνυ;" οὐδὲ γὰρ ἐκείνην τὴν μαρτυρίαν εὕροι ἄν τις τοιοῦτό τι ἔχουσαν, ὃ τούτων ἀφωρισμένως ἐδήλου.

Σευηριανὸς δέ φησιν, οὐ μεταβολὴν λέγει φύσεως γινομένην, ἀλλὰ κατὰ σύγκρισιν, ὅτι εἰ χωρεῖ ταῦτα ἀπολέσθαι μᾶλλον, καὶ ὥσπερ ἀπόλλυται ὅσον πρὸς παράθεσιν τῆς τοῦ Υἱοῦ ἀϊδιότητος. καὶ γὰρ ὁ Κύριος προλέγων τὴν δευτέραν παρουσίαν, ἀστέρας μὲν πεσεῖσθαι λέγει, οὐκέτι δὲ ἥλιον ἢ σελήνην ἢ οὐρανόν. "πρὸς "τίνα δὲ τῶν Ἀγγέλων εἴρηκέ ποτε·" ἀφεὶς τὴν κτίσιν πᾶσαν, τὸ ταύτης ἀνώτερον λέγει τοὺς Ἀγγέλους· εἰ γὰρ πρὸς Ἀγγέλους διαφορὰ τῷ Υἱῷ, κατὰ τὸ τοὺς μὲν γενέσθαι, τὸν δὲ μὴ γενέσθαι, πόσῳ μᾶλλον πρὸς τὰ ἀόρατα πάντα. δεῖ δὲ ἐπισημήνασθαι, ὅτι διὰ τοῦ "σὺ δὲ ὁ αὐτὸς εἶ," καὶ τὸ προαιώνιον καὶ ἄτρεπτον τῆς φύσεως ἐδήλωσε, καὶ διὰ τοῦ φάναι, "οὐχὶ πάντες εἰσὶ λειτουρ"γικὰ πνεύματα εἰς διακονίαν," ἐδήλωσεν ὅτι ὁ Υἱὸς οὐκ ἔστι λειτουργικὸς, ἀλλὰ συνεργός.

Θεόδωρος δέ φησι· τὸ μὲν λειτουργικὰ εἶναι πνεύματα, ἀπὸ τῆς προκειμένης εἶχε μαρτυρίας· ἐπισυνῆψε δὲ λοιπὸν αὐτὸς τὸ τῆς διακονίας εἶδος, λέγων, ὅτι [τοῖς] ὑπὲρ τῆς ἡμετέρας σωτηρίας

διακονούμενοι ἅπαντα πράττουσιν· οὐ γὰρ μικρὸν εἰς προσθήκην εἰδέναι τῆς διακονίας τὴν χρείαν.

1 Διὰ τοῦτο δεῖ περισσοτέρως προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσι, μή ποτε παραρρυῶμεν.

Διὰ τοῦτο, φησὶ, δεῖ τοῖς παρ' αὐτοῦ λεχθεῖσι νέμειν τὴν σπουδὴν, φυλασσομένους μήποτε παρατροπήν τινα ἀπὸ τῶν κρειττόνων δεξώμεθα.

Τοῦ μακαρίου Ἀθανασίου. Ἐπεὶ οὐκ ἔστι τῶν γενητῶν ὁ Λόγος, ἀλλὰ Υἱὸς τοῦ Πατρὸς, διὰ τοῦτο, ὅσῳ κρείττων αὐτὸς καὶ τὰ δι' αὐτοῦ κρείττονα καὶ παρηγγελμένα ἐστὶ, τοσούτῳ καὶ ἡ τιμωρία χείρων ἂν γένοιτο.

Χρυσοστόμου. Ὁ μακάριος δὲ Ἰωάννης φησί· τὸ "μή ποτε παραρρυῶμεν," τουτέστι, μὴ ἀπολώμεθα, μὴ ἐκπέσωμεν, καὶ δείκνυσιν ἐνταῦθα τὸ χαλεπὸν τῆς ἐκπτώσεως, ὅτι δύσκολον τὸ παραρυὲν πάλιν ἐπανελθεῖν, καθότι ἐκ ῥαθυμίας τοῦτο συνέβη. ἔλαβε δὲ τὴν λέξιν ἀπὸ τῶν παροιμιῶν, "υἱὲ" γάρ, φησὶ, "μὴ παρα-"ρυῇς." καὶ τὸ εὔκολον τοῦ ὀλίσθου δείκνυσι, καὶ τῆς ἀπωλείας τὸ χαλεπόν· τουτέστιν, οὐκ ἀκίνδυνος ἡμῖν ἡ παραβολὴ "εἰ γὰρ "ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος·" καὶ ἐν τῇ πρὸς Γαλάτας οὕτω πού φησι, "διαταγεὶς δι' Ἀγγέλων ἐν χειρὶ "μεσίτου·" καὶ πάλιν "ἐλάβετε νόμον, εἰς διαταγὰς Ἀγγέλων, "καὶ οὐκ ἐφυλάξατε·" καὶ πανταχοῦ δι' Ἀγγέλων αὐτὸν, φησὶ, δεδόσθαι. τινὲς μέντοι Μωσέα φασιν αἰνίττεσθαι· ἀλλ' οὐκ ἔχει λόγον· Ἀγγέλους γὰρ ἐνταῦθα πολλούς φησι, καὶ ἐνταῦθα δὲ Ἀγγέλους τούτους φησὶ τοὺς ἐν οὐρανῷ· τί οὖν ἐστιν; ἤτοι τὴν δεκάλογον, φησὶ, λέγει· ἐκεῖ γὰρ Μωσῆς ἐλάλει, καὶ ὁ Θεὸς ἀπεκρίνατο, ἢ ὅτι παρῆσαν Ἄγγελοι τοῦ Θεοῦ διαπραττομένου, ἢ ὅτι περὶ τῶν ἐν τῇ παλαιᾷ λεγομένων καὶ γενομένων ἁπάντων ὡς Ἀγγέλων κοινωνησάντων τούτοις, ταῦτά φησι.

Τί δέ ἐστιν "ἐγένετο βέβαιος;" ἀληθὴς, ὡς ἄν τις εἴποι, καὶ πιστὸς ἐν τῷ προσήκοντι καιρῷ, καὶ πάντα ἐξέβη τὰ λεχθέντα· ἢ ὅτι, φησὶν, ἐκράτησε, καὶ ἀπειλαὶ εἰς ἔργον ἤρχοντο· ἢ λόγον, φησὶ, τὰ προστάγματα· πολλὰ γὰρ χωρὶς νόμου προσέταξαν

Ἄγγελοι παρὰ τοῦ Θεοῦ πεμπόμενοι, οἷον ἐπὶ τοῦ κλαυθμῶνος, ἐπὶ τῶν κριτῶν, ἐπὶ τοῦ Σαμψών. διὰ γὰρ τοῦτο οὐκ εἶπε νόμος, ἀλλὰ λόγος· καὶ τάχα μοι δοκεῖ τοῦτο λέγειν μᾶλλον τὰ δι' Ἀγγέλων οἰκονομηθέντα. τί οὖν ἐροῦμεν; ὅτι παρῆσαν οἱ Ἄγγελοι τότε οἱ τὸ ἔθνος ἐμπεπιστευμένοι, καὶ αὐτοὶ τὰς σάλπιγγας ἐποίουν, καὶ τὰ τέρατα, καὶ τὸ πῦρ, καὶ τὸν γνόφον; πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς ταῖς ἐκείνων ἀγριωτέραις ὑπενεχθήσονται δίκαις, οἱ αὐτὴν ἀτιμάσαντες τὴν ἀλήθειαν; τοῦτο δὲ ἑτέρωθί φησιν ὁ θεσπέσιος Παῦλος, "ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης "κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας ἐν ᾧ ἡγιάσθη;" ἀρχὴ τοιγαροῦν τῶν ἱερῶν κηρυγμάτων γέγονεν ἡμῖν ὁ Χριστός· τετήρηται γὰρ αὐτῷ δρᾶσαί τε ἅμα καὶ εἰπεῖν τὰ ὑπὲρ τὸν νόμον· γέγραπται γὰρ "ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ "χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο." διάκονοι δὲ μετ' αὐτὸν, οἱ θεσπέσιοι μαθηταί· καὶ οὐχ ἑαυτοῖς λαβόντες τὰς τιμὰς, κεκλημένοι δὲ μᾶλλον παρ' αὐτοῦ πρὸς ἀποστολήν· οἳ καὶ αὐτόπται τε καὶ ὑπηρέται τοῦ λόγου γεγόνασι, λελαλήκασί τε οὐκ ἀφ' ἑαυτῶν, ἀλλ' ἦν ἐν αὐτοῖς τὸ Πνεῦμα Χριστοῦ. καὶ γοῦν ὁ μὲν Παῦλος ἔφασκεν, "εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λα-"λοῦντος Χριστοῦ." γεγράφασι δὲ καὶ τοῖς ἐξ ἐθνῶν οἱ μακάριοι μαθηταὶ, "ἔδοξε γὰρ τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν·" ἔμπλεοι γὰρ ἦσαν τοῦ Ἁγίου Πνεύματος, καὶ δι' αὐτῶν ἄν τις ἴδοι, τῶν δι' ἑκάστου κατωρθωμένων, ὡς ἔστιν ἡμῖν ἀληθὴς ὁ ἐπὶ τῷδε λόγος· τί γὰρ οὐ δεδράκασιν, ὃ παντὸς ἂν εἴη πέρα λόγου καὶ θαύματος; οὐκοῦν ὅτι τέθεινται παρὰ Θεοῦ τοῦ πρὸς ἡμᾶς λόγου διάκονοι, καὶ μυστηρίων ταμίαι, καὶ τῆς ἐν πνεύματι λατρείας ἱερουργοὶ, μεμαρτύρηνται διὰ τοῦ Πνεύματος· ἐνήργηκε γὰρ ἐν ἑαυτοῖς ποικίλως, κατὰ τὸ αὐτῷ δοκοῦν ἐπιμερίζον τὴν χάριν.

Θεόδωρος δέ φησιν· Ἔδειξε καὶ τοῖς πράγμασι τούτων πολὺ τὸ πρὸς ἐκεῖνα διάφορον, ἐκεῖ μὲν λόγον εἰπὼν, ἐνταῦθα δὲ σωτηρίαν· ἐπειδὴ γὰρ ἐκεῖνο νομίμων δόσις ἦν μόνον, ἐνταῦθα δὲ καὶ χάρις Πνεύματος, καὶ λύσις ἁμαρτημάτων, καὶ βασιλείας οὐρανῶν ἐπαγγελία, καὶ ἀθανασίας ὑπόσχεσις· ὅθεν καὶ δικαίως "τηλι-

"καύτης" εἶπεν, τῇ προσθήκῃ τὸ μέγεθος αὐτῆς δεικνύς. κακεῖ μὲν διὰ τῶν Ἀγγέλων δοθεὶς, ἐνταῦθα δὲ διὰ τοῦ Κυρίου. καὶ ἐπειδὴ θαύματα παρ' ἐκείνοις ἦν ὥστε μηδὲ κατὰ τοῦτο αὐτῶν ἠλαττῶσθαι δοκεῖν, καλῶς ἐπήγαγε τὸ "συνεπιμαρτυροῦντος Θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι," κατὰ αὔξησιν αὐτὸ εἰπὼν, ὥστε κἂν τούτῳ φανῆναι τῆς χάριτος τὸ πλέον παρὰ τὸν νομον. ἐκεῖ μὲν γὰρ πρὸς τὴν χρείαν ἐγίνετο μόνον, ἐνταῦθα δὲ καὶ τῶν ἀλλοτρίων πολλοὶ οἱ θεραπευόμενοι δι' ἡμῶν, κἂν ὁποιαδήποτε πάθη κατέχειν αὐτοὺς συμβαίνοι· τοσαύτη παρ' ἡμῖν ἡ τῶν θαυμάτων περιουσία· ἀνίστανται δὲ καὶ νεκροὶ, καὶ τιμωρούμεθα δέ τινας πολλάκις ἂν δέῃ, ἐπιτιμήσεσι μόναις τυφλοὺς ἐργαζόμενοι, θανάτους ἐπάγοντες τοῖς κακογνώμοσι· ἀντιπαραθεὶς οὖν τὴν διαφορὰν, καὶ δείξας τὴν ὑπεροχὴν τῷ ποικίλῳ καὶ πολυτρόπῳ, ἐπήγαγε τὸ μεῖζον, ὃ οὐκέτι τοῖς ἐν νόμῳ προσῆν, "καὶ Πνεύματος Ἁγίου μερισμοῖς." τὸ γὰρ Πνεύματος ἕκαστον τῶν πιστευόντων μετέχειν, ἴδιον ἦν τῶν ἐν τῇ χάριτι· καὶ καλῶς ἐπὶ πᾶσιν ἐπήγαγε τὸ "κατὰ τὴν αὐτοῦ θέλησιν," τουτέστι τοῦ Θεοῦ βουληθέντος ἅπαξ, καὶ δοκιμάσαντος πολλῇ χρήσασθαι περὶ ἡμᾶς τῇ φιλοτιμίᾳ· ὥστε καὶ ἀμετάθετον εἶναι τὴν περὶ ἡμᾶς χάριν αὐτοῦ, μηδεμίαν ἅπαξ τοῖς προτέροις ὁμοίως ὑφορωμένους τῶν ἅπαξ δοθέντων μεταβολήν.

Σετηριανὸς δὲ τῷ ἁγίῳ Ἰωάννῃ ὁμοίως κατὰ μίαν ἐξήγησιν ἀκολουθήσας ἔφη, οὐ νόμον λέγει, ἀλλὰ τὸν πολλάκις δι' Ἀγγέλων οἰκονομηθέντα "ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη·" τοῦτο ὅμοιόν ἐστι ἐκείνῳ τῷ ἐν τῇ πρὸς Γαλάτας Ἐπιστολῇ, τὸ "ἀνέβην κατὰ ἀποκάλυψιν καὶ ἀνεθέμην αὐτοῖς "τὸ εὐαγγέλιον, μή πως εἰς κενὸν τρέχω ἢ ἔδραμον· ἐβεβαιώθη δὲ, "οὐχ ἡμῶν δεηθέντων, ἀλλὰ τῶν ἄλλων πάντων πληροφορηθέντων, "ὅτι ἃ κηρύσσω, καλῶς κηρύσσω."

Χρτσοστόμοτ. Ὁ μακάριος δὲ Ἰωάννης εἰς τὸ "ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη," φησὶ, τουτέστι, παρ' αὐτῆς τῆς πηγῆς ἔχει τὴν ἀρχήν· οὐκ Ἄγγελος αὐτὴν διεπόρθμευσεν εἰς τὴν γῆν, οὐ κτιστὴ δύναμις, ἀλλ' αὐτὸς ὁ μονογενής. τί δέ ἐστιν "ἐβεβαιώθη;" ἐπιστεύθη, ἐξέβη, τουτέστιν οἱ παρὰ τοῦ Κυρίου

ἀκούσαντες, αὐτοὶ ἡμᾶς ἐβεβαίωσαν· "καὶ Πνεύματος Ἁγίου "μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν." τί οὖν ὅτι καὶ γόητες σημεῖα ποιοῦσι, καὶ Ἰουδαῖοι ἐν Βεελζεβοὺλ[f] ἐκβάλλειν τὰ δαιμόνια; ἀλλ᾽ οὐ τοιαῦτα ποιοῦσι σημεῖα· διὰ τοῦτο εἶπε "ποικίλαις δυνά-"μεσι·" ἐκεῖνα γὰρ οὐ δύναμις, ἀλλ᾽ ἀσθένεια, καὶ φαντασία καὶ διάκενα πράγματα· "κατὰ τὴν αὐτοῦ θέλησιν·" ἐνταῦθα καὶ ἄλλο αἰνίττεσθαί μοι δοκεῖ· εἰκὸς γὰρ μὴ εἶναι ἐκεῖ πολλοὺς, χαρίσματα ἔχοντας· ἐκλελοιπέναι γὰρ ταῦτα, ἅτε νωθρῶν αὐτῶν γενομένων· ἵν᾽ οὖν αὐτοὺς καὶ ἐν τούτῳ παραμυθήσηται, καὶ μὴ ἀφῇ καταπεσεῖν, τὸ πᾶν ἀνέθηκε τῇ τοῦ Θεοῦ βουλῇ· αὐτὸς οἶδε τίνι συμφέρει, καὶ οὕτως μερίζει τὴν χάριν.

5 Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν.

Ἆρα μὴ περὶ ἑτέρας τινὸς διαλέγεται οἰκουμένης; οὐκέστιν, ἀλλὰ περὶ ταύτης· διὰ τοῦτο προσέθηκε "περὶ ἧς λαλοῦμεν," ἵνα μὴ ἀφῇ τὸν νοῦν πλανηθέντα ἑτέραν τινὰ ἐπιζητεῖν· πῶς οὖν αὐτὴν μέλλουσαν καλεῖ, ὥσπερ καὶ ἑτέρωθί φησιν, "ὅς ἐστι τύπος "τοῦ μέλλοντος," περὶ τοῦ Ἀδὰμ καὶ τοῦ Χριστοῦ λέγων, ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ, πρὸ τοῦ χρόνου τοῦ Ἀδὰμ μέλλοντα κατὰ σάρκα Χριστὸν καλῶν.

6 Διεμαρτύρατο δέ πού τις λέγων.

Διὰ τί μὴ τὸ ὄνομα τοῦ προφήτου εἶπεν, ἀλλ᾽ ἔκρυψεν αὐτό; καὶ ἐν ἑτέραις δὲ μαρτυρίαις τοῦτο ποιεῖ, δεικνὺς αὐτοὺς, οἶμαι, σφόδρα ἐμπείρους τῶν γραφῶν.

[f] Suppl. ἔλεγον αὐτὸν ex Ed.

ΚΕΦ. Γ.

Ὅτι ἐσαρκώθη κατὰ διάθεσιν καὶ συμπάθειαν καὶ οἰκειότητα τὴν πρὸς ἡμᾶς, ἐπὶ σωτηρίᾳ ἀνθρώπων τῇ ἐκ θανάτου, διὰ τῆς πρὸς αὐτὸν οἰκειώσεως.

9 Τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττώμενον βλέπομεν Ἰησοῦν.

Σετηριανὸς δέ φησι, τὸν μέλλοντα αἰῶνα λέγει, αὐτίκα τελευταῖον ἐπήγαγε, "νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ ὑποτεταγμένα τὰ πάντα, τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν "Ἰησοῦν." ὥστε τὸ τί ἐστιν ὅτε μιμνήσκῃ αὐτοῦ, τῷ Ἰησοῦ προσήκειν φησὶ, τὰ γὰρ τῆς κοινῆς ἀνθρωπότητος αὐτῷ προσῆκε· ἀλλὰ ὡς αὐτὸς ὁ Υἱὸς λέγει, τὸ "ἐκ στόματος νηπίων καὶ θηλαζόντων "κατηρτίσω αἶνον, ἕνεκεν τῶν ἐχθρῶν σου," καὶ "ὄψομαι τοὺς "οὐρανοὺς ἔργα τῶν δακτύλων σου," οὐδεὶς δ' ἂν εἴποι, τὸν ἄνθρωπον οὗ ἐμνήσθη ὁ Θεὸς πεποιηκέναι τὸν ἐκ στόματος νηπίων καὶ θαλαζόντων καταρτισάμενον ἕνεκεν τῶν ἐχθρῶν σου, καὶ ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου, οὗτος ἐμνήσθη τοῦ ἀνθρώπου, καὶ ἠλάττωσεν αὐτὸν βραχύ τι παρ' Ἀγγέλους· τίς δὲ ὁ ἄνθρωπος; Ἰησοῦς, διὰ τὸ πάθημα τοῦ θανάτου ἠλαττωμένος βραχύ τι παρ' Ἀγγέλους.

Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ.

Χρυσοστόμου. Ὁ μακάριος Ἰωάννης φησί· τοῦτο καὶ εἰς τὴν κοινὴν ἀνθρωπότητα εἴρηται, ἀλλ' ὅμως κυριώτερον ἁρμόσειεν ἂν τῷ Χριστῷ, κατὰ σάρκα.

(Κυρίλλου.) Ὁ μακάριος δὲ Κύριλλός φησιν· ἄνιθι, φησὶ, ταῖς ἐννοίαις, εἰς τὴν ἐν ἀρχαῖς τοῦ ἀνθρώπου κατασκευὴν, καὶ τίνα γέγονε πρῶτον· πολυπραγμόνει δὲ, πῶς πεποιήμεθα παρὰ Θεοῦ, κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ, τετιμήμεθα δὲ πλουσίως, ἄρχειν λαχόντες τῶν ἐπὶ τῆς γῆς, ἐπειδὴ δὲ ἡ τοῦ γένους ἀρχὴ, τουτέστιν Ἀδὰμ, τὴν θείαν λελύπηκεν ἐντολὴν, νενόσηκέ τε λοιπὸν ἡ ἀνθρώπου διάνοια τὸ λίαν εὐπάροιστον εἰς τὸ πλημμελὲς, ταύτῃ τοι γυμνοὶ δόξης καὶ ἀφθαρσίας καὶ τῶν ἐν ἀρχαῖς ἀγαθῶν διετελοῦμεν ἐν κόσμῳ· σεσώσμεθα δὲ διὰ Χριστοῦ, καὶ τῇ παρ' αὐτοῦ χάριτι κεκτήμεθα τὰ πρὸς ἀνάληψιν τῶν πάλαι δεδωρημένων τῶν

τοιούτων διηγημάτων, ὁ τῶν προκειμένων λόγος εἰσκομίζει τὸ πλάτος. κατατέθηπε γὰρ ὁ θεσπέσιος Δαβὶδ τῆς ἐφ' ἡμῖν ἡμερότητος τὴν ὑπερβολήν· "τί γάρ ἐστιν ἄνθρωπος," φησὶν, "ὅτι "μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν;" τὸ μικρὸν οὕτω καὶ εὐτελὲς καὶ ἀπὸ γῆς ζῶον. ἠλάττωσε γὰρ αὐτὸν βραχύ τι παρ' Ἀγγέλους· ἡττήμεθα γὰρ ὁμολογουμένως τῆς τῶν ἁγίων Ἀγγέλων φύσεως καὶ δόξης· οὐκοῦν τιμῇ τε καὶ δόξῃ στεφανοῦν ἠξίωσε καὶ λαμπροὺς ἀπέδειξεν ὁ τῶν ὅλων Θεός· κεχειροτόνηκε γὰρ εἰς ἀρχὴν τῶν ἐπὶ τῆς γῆς, καὶ κατέστησεν αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ.

Καὶ τεθαύμακε μὲν εἰκότως τὰ ἐφ' ἡμῖν ὁ μακάριος Δαβίδ· τεχνίτης δὲ λίαν ὑπάρχων εἰς ἐννοίας πνευματικὰς ὁ σοφώτατος Παῦλος, περιτρέπει μὲν ἀστεῖος εἰς ἐξήγησιν μυστικὴν τῶν εἰρημένων τὴν δύναμιν, οἰκουμένην δὲ μέλλουσαν ὀνομάζει τοῦ μετὰ τοῦτον αἰῶνος τὴν κατάστασιν, καὶ τὴν ἐσομένην κατὰ καιροὺς τῶν δοθέντων ἡμῖν ἐπανάληψιν, ἤγουν ἐκπλήρωσιν. διαπεπτώκαμεν γὰρ, ὡς ἔφην, τῆς χάριτος ἐν Ἀδάμ· εἴρηται μὲν γὰρ ὡς ἐκείνῳ καὶ πρώτῳ τῇ ἀνθρώπου φύσει, τὸ "αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ κατακυ- "ριεύσατε αὐτῆς·" "νῦν δὲ οὔπω," φησὶν, "ὁρῶμεν αὐτῷ τὰ "πάντα ὑποτεταγμένα." οὐκοῦν τὸν τοῦ πράγματος καιρὸν ἕτερον ὄντα ζητήσωμεν, καθ' ὃν ἔσται καὶ ἀληθὲς τὸ ἐφ' ἡμῖν εἰρημένον παρὰ τοῦ ψεύδεσθαι μὴ εἰδότος Θεοῦ· ταύτῃ τοι φησὶ τὴν οἰκουμένην τὴν μέλλουσαν οὐκ Ἀγγέλοις μᾶλλον ὑποτετάχθαι παρ' αὐτοῦ· δεδωρῆσθαι δὲ τοῦτο τοῖς ἐπὶ τῆς γῆς.

Ὅτι δὲ περὶ τῆς μελλούσης ἡμῖν οὐκουμένης οἱ μυσταγωγοὶ διαλέγονται, πῶς ἂν ἐνδοιάσειέ τις; ἀφιστάντες γὰρ τῶν ἐνεστηκότων, ζητεῖν ἀναπείθουσι τὰ ἐσόμενα, καὶ ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐπείγεσθαι δεῖν συμβουλεύουσι, καὶ τὴν τῶν ἁγίων ἐλπίδα διψῆν, καθ' ἣν τὰ πάντα αὐτοῖς ὑποταχθήσεται, καὶ κατακυριεύσουσι τῆς γῆς. καὶ αὐτὸς ὁ Σωτὴρ διεμέμνητο λέγων, "μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν." τίς οὖν ἄρά ἐστιν ὁ δι' οὗ γέγονε παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἡ τῶν καθ' ἡμᾶς ἀνακεφαλαίωσις; δηλονότι Χριστὸς, ὃ καὶ ἡμᾶς ἀκόλουθον εἰπεῖν, ὡς διὰ τῆς τοῦ ψάλλοντος λύρας· "Κύριος μερὶς τῆς "κληρονομίας μου καὶ τοῦ ποτηρίου μου· σὺ εἶ ὁ ἀποκαθιστῶν

“ τὴν κληρονομίαν μου ἐμοί·” δι᾽ αὐτοῦ γὰρ ἐσχήκαμεν τῶν ἐν ἀρχαῖς τῇ φύσει δεδωρημένων ἀγαθῶν τὴν ἐπανάληψιν αὐτὴν, καὶ τὸ βέβαιον εἰς κτῆσιν. ἀταλαίπωρον δὲ καὶ τοῦτο ἰδεῖν οὐχ ἑτέρως ἔχον, γεγραφότος περὶ αὐτοῦ τοῦ θεσπεσίου Παύλου, “ τὸν “ δὲ βραχύ τι παρ᾽ Ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ “ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον.”

Ἀκούεις ὅπως ἐπάνω πάντων ὑπέρτατον τὸν σύνθρονον τῷ Πατρὶ τὸν παρὰ τῶν ἄνω πνευμάτων ἐν τάξει Θεοῦ προσκυνούμενον, ᾧ χίλιαι μὲν χιλιάδες λειτουργοῦσιν Ἀγγέλων, παρεστήκασι δὲ καὶ μύριαι μυριάδες, καταβιβάζει πάλιν ὁ μυσταγωγὸς ἐν τοῖς καθ᾽ ἡμᾶς, καὶ τὸν τῆς κενώσεως ἀφηγεῖται τρόπον, προσεπάγων εὐθὺς καὶ ὅσα κατώρθωται δι᾽ αὐτῆς τῇ ἀνθρωπείᾳ φύσει ἀγαθά. ἐννόησον γὰρ ἠλαττωμένον βραχύ τι παρ᾽ Ἀγγέλους αὐτὸν, ἵν᾽ ἡμεῖς ἐν αὐτῷ πλουτήσωμεν, τὰ ὑπὲρ φύσιν ἰδίαν, ἐν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρός· “ συνήγειρε γὰρ ἡμᾶς καὶ συνεκάθισεν ἐν τοῖς ἐπου-“ ρανίοις ἐν Χριστῷ.” συνεδρεύοντος γὰρ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ἐφ᾽ ὅλην δραμεῖται τὸ καύχημα τὴν ἀνθρώπου φύσιν· ἐπεὶ τίνα τρόπον ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πεπλουτήκαμεν, εἰ κατὰ μηδένα τρόπον τὸ καθ᾽ ἡμᾶς ἐν ἀμείνοσιν, ὅτε γέγονε καθ᾽ ἡμᾶς ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν. ἠλάττωται τοίνυν βραχὺ παρ᾽ Ἀγγέλους ἄνθρωπος γεγονὼς, ἵνα τὴν ἀνθρώπου τιμήσῃ φύσιν, καὶ ἀνακομίσῃ πάλιν εἰς τὸ ἐν ἀρχαῖς· δόξῃ καὶ τιμῇ καὶ ἐν αὐτῇ στεφανούμενος, καί τοι τῆς δόξης Κύριος ὢν ὡς Θεός. ὥσπερ γὰρ ἡ τοῦ Ἀδὰμ παράβασις ἀτιμοτάτους ἀπέδειξεν, οὕτως δεδοξάσμεθα διὰ τῆς ὑπὲρ ἡμῶν ὑπακοῆς τοῦ Χριστοῦ, καὶ αὐτὴν τεθεικότος τὴν ἰδίαν ψυχὴν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ μακάριος δὲ Ἰωάννης φησί· τὸ “ βραχύ τι” αὐτῷ συναρμόσειε μᾶλλον τῷ τρεῖς ἡμέρας γενομένῳ μόνας, ἀλλ᾽ οὐχ ἡμῖν τοῖς ἐπιπολὺ φθειρομένοις. δείκνυσι δὲ ὅτι δόξα καὶ τιμὴ ὁ σταυρός ἐστιν· ὥσπερ οὖν καὶ ὁ Κύριος αὐτὸν καλεῖ λέγων, “ ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου.” εἰ οὖν ἐκεῖνος τὸ διὰ τοὺς ἀνθρώπους δόξαν καλεῖ, πολὺ μᾶλλον σὺ διὰ τὸν δεσπότην.

Ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

Κακεῖνος μὲν διὰ τὴν χάριν τοῦ Θεοῦ, φησὶ, τὴν εἰς ἡμᾶς ταῦτα ἔπαθεν, ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάν-

των παρέδωκεν αὐτόν· τίνος ἕνεκεν; οὐκ ὤφειλε τοῦτο ἡμῖν, ἀλλὰ χάριτι πεποίηκε· καὶ πάλιν ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ φησι, "πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ "ἑνὸς Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν."

Ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

Οὐχὶ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης· αὐτὸς μὲν γὰρ ὑπὲρ πάντων ἀπέθανεν.

Ὠριγένης. Μέγας ἐστιν ἀρχιερεὺς, οὐχ ὑπὲρ ἀνθρώπων μόνον, ἀλλὰ καὶ παντὸς λογικοῦ τὴν ἅπαξ θυσίαν προσενεχθεῖσαν, ἑαυτὸν ἀνενεγκών· "χωρὶς γὰρ Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου·" ἢ ὥσπερ ἔν τισι κεῖται τοῖς πρὸς Ἑβραίους ἀντιγράφοις "χάριτι "Θεοῦ·" εἴ τε δὲ "χωρὶς Θεοῦ ὑπὲρ παντὸς ἐγεύσατο θανάτου," οὐ μόνον ὑπὲρ ἀνθρώπων ἀπέθανεν, ἀλλὰ καὶ ὑπὲρ τῶν λοιπῶν λογικῶν, εἴ τε "χάριτι Θεοῦ," ὑπὲρ πάντων τῶν χωρὶς Θεοῦ ἀπέθανεν.

Τί δαί; εἰ μὴ πάντες ἐπίστευσαν, αὐτὸς τὸ αὐτοῦ πεπλήρωκε· καὶ κυρίως εἶπε "ὑπὲρ παντὸς γεύσηται θανάτου." οὐκ εἶπεν ἀποθάνῃ· ὥσπερ γὰρ ὄντως γευσάμενος, οὕτω μικρὸν ἐν αὐτῷ ποιήσας διάστημα, εὐθέως ἀνέστη. τῷ μὲν οὖν εἰπεῖν διὰ τὸ πάθημα τοῦ θανάτου, τὸν ὄντως θάνατον ἐσήμανε, τῷ δὲ ὅτι Ἀγγέλων κρείττων, τὴν ἀνάστασιν ἐδήλωσε. καθάπερ γὰρ ἰατρὸς οὐκ ἔχων ἀνάγκην τῶν τῷ ἀρρώστῳ παρεσκευασμένων σιτίων ἀπογεύσασθαι, διὰ τὴν περὶ ἐκεῖνον κηδεμονίαν, πρότερος αὐτὸς ἀπογεύεται, ἵνα πείσῃ τὸν ἀρρωστοῦντα, θαρροῦντα κατατολμῆσαι τῆς βρώσεως· οὕτως ἐπειδὴ πάντες ἄνθρωποι τὸν θάνατον ἐδεδοίκεισαν, πείθων αὐτοὺς κατατολμᾷν τοῦ θανάτου, καὶ αὐτὸς ἐγεύσατο, τούτου οὐκ ἔχων ἀνάγκην· "ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων," φησὶ, "καὶ "οὐκ ἔχει ἐν ἐμοὶ οὐδὲν," ὥστε καὶ τὸ "χάριτι" καὶ τὸ "ὑπὲρ "παντὸς γεύσηται θανάτου," τοῦτο συνίστησι.

Ἀλλὰ τούτοις Θεόδωρος ὁ Μοψουεστίας ἀντιφθεγγόμενός φησι· γελοιότατον δή τι πάσχουσι ἐνταῦθα, τὸ "χωρὶς Θεοῦ" ἐναλλάττοντες καὶ ποιοῦντες "χάριτι Θεοῦ," οὐ προσέχοντες τῇ ἀκολουθίᾳ τῆς γραφῆς, ἀλλ' ἀπὸ τοῦ μὴ συνιέναι ὅτι ποτὲ ἔφη τὸ "χωρὶς Θεοῦ" ἀδιαφόρως, ἐξαλείφοντες μὲν ἐκεῖνο, τιθέντες δὲ τὸ δοκοῦν αὐτοῖς εὔκολον εἶναι πρὸς κατανόησιν· τί γὰρ ἐνταῦθα προέκειτο τῷ Παύλῳ, ἵνα ἐπαγγέλῃ τὸ "χάριτι Θεοῦ;" τίς δὲ

αὐτὸν ἦγε πρὸς τοῦτο ἀκολουθία; οὐ γὰρ ἔθος αὐτῷ, "χάριτι Θεοῦ" τιθέναι ἁπλῶς, ἀλλὰ πάντως ἀπό τινος ἀκολουθίας λόγου· ἢ γὰρ τὰ καθ' ἑαυτὸν λέγων προστίθησι τοῦτο, ὡς τὸ "χάριτι Θεοῦ εἰμι ὅ εἰμι·" ὅταν πρόκειται αὐτῷ τὴν περὶ τοὺς ἀνθρώπους λέγειν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ ὅτι ἅπαντα πεποίηκεν, οὐχ ἡμῶν ὄντων τοῦ τυχεῖν ἀξίων, οἷόν ἐστι τὸ "τῇ γὰρ χάριτι "ἐστὲ σεσωσμένοι," ᾧ ἐπάγει, "καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται·" σαφῶς διὰ τούτων παριστῶν, ὅτι περὶ τῆς χάριτος διαλέγεται τοῦ Θεοῦ, ἣν περὶ πάντας ἔτυχε τοὺς ἀνθρώπους ἐπιδειξάμενος. ἐνταῦθα δὲ τὸ προκείμενον αὐτῷ, δηλονότι περὶ τοῦ Χριστοῦ διαλέγεται, οἷός τις ἐστι, καὶ τίνα τὴν πρὸς τοὺς Ἀγγέλους ἔχων διαφοράν· ἀφ' ὧν ἐξηνέχθη εἰς τὸ εἰπεῖν, κατὰ τί δε αὐτῶν ἠλαττῶσθαι δοκεῖ, καὶ ὅτι διὰ τὸν θάνατον. τί οὖν ἔδει ἐνταῦθα τοῦ "χάριτι Θεοῦ;" οὐ γὰρ πρόκειται αὐτῷ τὴν περὶ ἡμᾶς ἀγαθότητα λέγειν αὐτοῦ.

Τοῦτο δὲ μᾶλλον δείκνυσιν ἡ τῶν ἑξῆς ἀκολουθία. εἰπὼν γὰρ ὅτι "χωρὶς Θεοῦ ἐγεύσατο τοῦ θανάτου," οὐδὲν πρὸς τοῦτο παραβλαβείσης τῆς θεότητος· καὶ διὰ τοῦτο ἀπὸ τῆς οἰκείας φύσεως τὴν κατὰ βραχὺ τοῦτο ἐλάττωσιν ἐδέξατο· ὥστε φαίνεσθαι ἐντεῦθεν αὐτὸν καὶ τῆς τιμῆς μετέχοντα διὰ τὴν πρὸς ἕτερον συνάφειαν, ἐπειδήπερ ἀκόλουθον ἦν τοὺς ταῦτα ἀκούοντας περιττὴν ἐν τῷ τοῦ πάθους καιρῷ νομίζειν εἶναι τοῦ Θεοῦ Λόγου τὴν ἐνοίκησιν, οὐδὲν τοῖς προκειμένοις συμβαλλομένην, εἴπερ δὴ χωρὶς ἐκείνου τῆς πείρας ἐγεύσατο τοῦ θανάτου, ἐπάγει, "ἔπρεπε γὰρ αὐτῷ, "δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν "ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων "τελειῶσαι."

Οὐκ ἀσυντελὴς δὲ ἦν οὐδὲ ἡ θεότης φησίν· ἔπρεπε γὰρ τὰ οἰκεῖα καὶ ἅπερ ἦν αὐτῇ πρέποντα· τὸ γάρ τοι τοῦ πάθους οὐδαμῶς αὐτῇ πρέπον ἦν· τοῦτο τὸ "ἔπρεπε," σαφῶς τὸ "χωρὶς Θεοῦ" συνέστησεν· ὡς γὰρ ἐκείνου οὐ πρέποντος τὸ πρέπον αὐτό φησι, δεικνὺς ὁμοῦ καὶ ἅπερ ἔπραττε τότε, τίνα δὲ ταῦτα ἦν. "ἔπρεπε "γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα," δηλονότι τῷ Θεῷ Λόγῳ[g] λέγων, ἐπειδήπερ πολλοῖς τῆς υἱότητος μετέδωκεν, καὶ εἰς

[g] θεολόγῳ Cod.

τὴν δόξαν ἤγαγε ταύτην, τὸν τῆς ἁπάντων σωτηρίας ἀρχηγὸν τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα Ἰησοῦν τὸν Χριστὸν, τὸν παρ' αὐτοῦ ληφθέντα ἄνθρωπον, διὰ τῶν παθημάτων τέλειον ἀποφῆναι, ὥστε φαίνεσθαι, καὶ τούτου τὴν φύσιν, κἀκείνου τὴν χάριν.

Ὁ μακάριος δὲ Ἰωάννης τὴν προγεγραμμένην ῥῆσιν οὕτως ἐξηγήσατο. Περὶ τοῦ Πατρὸς ἐνταῦθα λέγει. ὁρᾷς πῶς πάλιν τὸ "δι' οὗ" αὐτῷ ἁρμόζει· οὐκ ἂν τοῦτο ποιήσας, εἴγε ἐλαττώσεως ἦν, καὶ τῷ Υἱῷ προσῆκον μόνον. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἄξια, φησὶ τῆς φιλανθρωπίας αὐτοῦ πεποίηκε, τὸ τὸν πρωτότοκον λαμπρότερον ἀποδεῖξαι πάντων, καὶ ὥσπερ ἀθλητὴν γενναῖον καὶ τοὺς ἄλλους ὑπερέχοντα τοῖς ἑτέροις ὑπόδειγμα εἶναι τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, τουτέστι τὸν αἴτιον τῆς σωτηρίας· ὁρᾷς ὅσον τὸ μέσον; καὶ οὗτος Υἱὸς, καὶ ἡμεῖς υἱοί· ἀλλ' ὁ μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα. εἶδες πῶς ἡμᾶς καὶ συνάγει καὶ διίστησιν; ἐνταῦθα συνήγαγε τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν· πάλιν διέστησε διὰ παθημάτων τελειῶσαι. ἄρα τὰ παθήματα τελείωσις καὶ αἴτια σωτηρίας.

(ΚΥΡΙΛΛΟΥ.) Ὁ μακάριος δὲ Κύριλλος τῷ μακαρίῳ Ἰωάννῃ ἀκολουθήσας κατὰ τὸ "ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται "θανάτου," φησὶ, τί τὸ "ἐγεύσατο" παντί τῳ σαφὲς ὥς γε οἶμαι. δοὺς γὰρ τῷ θανάτῳ τὸ ἴδιον σῶμα, καὶ οἷον ἀπογευσάμενος σαρκικῶς τοῦ συμβεβηκότος, ἀνεβίω πάλιν, καὶ πεπάτηκεν εὐθὺς τοῦ θανάτου τὸ κράτος. οὐκοῦν ὁ βραχὺ παρ' Ἀγγέλους ἠλαττῶσθαι λεγόμενος, αὐτός ἐστιν ὁ ἐκ Θεοῦ Λόγος· οὐκ εἰς ἰδίαν φύσιν παθὼν τὴν ἐλάττωσιν, ἀεὶ γάρ ἐστιν αὐτὸς καὶ ὡσαύτως ἔχων, ἄτρεπτός τε καὶ ἀναλλοίωτος, ὑπομεμενηκὼς δὲ καὶ τοῦτο δι' ἡμᾶς ἀνθρωπίνως· ἠνείχετο γὰρ καίτοι Θεὸς ὢν φύσει τῶν τῆς ἀνθρωπότητος μέτρων διὰ τὴν οἰκονομίαν· καὶ τοῦτό ἐστι τοῦ κατ' αὐτὸν μυστηρίου τὸ ὅτι μάλιστα θαυμάζεσθαι πρέπον. οὕτω καὶ ὁ προφήτης ἔλεγεν Ἀμβακούμ· "Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, "καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην." ἔκστασις γὰρ ἀληθῶς καὶ τοῦ παντὸς ἐπέκεινα θαύματος τὸ γεγενημένον. ἀλλ' οὐκ οἶδ' ὅπως τὸ ἐπ' αὐτὸ μυστήριον οὐ νενοηκότες ὀρθῶς κενολογοῦσί τινες, καὶ δὴ καὶ γεγράφασι, τὰ ἐν τῷ ὀγδόῳ ψαλμῷ διερμηνεύειν ἐθέλοντες. σκοπῶμεν τοίνυν τίς ὁ ἄνθρωπος περὶ οὗ

ἐκπλήττεται καὶ θαυμάζει, ὅτι δὴ ὁ μονογενὴς κατηξίωσεν αὐτοῦ μνησθῆναί τε καὶ ἐπισκοπὴν ποιήσασθαι· εἶτα τούτοις ἐπάγει, καὶ μάλα ἐναργῶς, ὡς οὐκ εἴρηται μὲν ἐπὶ παντὸς ἀνθρώπου, τὸ "τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ Υἱὸς ἀνθρώπου ὅτι "ἐπισκέπτῃ αὐτόν;" ἀλλὰ περὶ μόνου τοῦ Υἱοῦ· πειρῶνται δὲ τοὺς ἑαυτῶν λόγους ἐμπεδοῦν εἰς ἀλήθειαν, περιενεγκεῖν λέγοντες τὸν μακάριον Παῦλον εἰς τὸ ἑαυτοῦ πρόσωπον τὰ ἐν τῷ ψαλμῷ, διά τοι τὸ φάναι "τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον "βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ "ἐστεφανωμένον·" εἶτα διϊστάντες τὰς φύσεις, ὁλότροπον τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ἄνθρωπον εἶναί φασιν ἰδικῶς, περὶ οὗ καὶ θαυμάζει, φησὶν ὁ Δαβὶδ, ὅτι καὶ μνήμης καὶ ἐπισκοπῆς ἠξίωται· ἠξίωται δὲ καὶ τῶν ὑπὲρ φύσιν ἰδίων, ὡς εὐεργετούμενος παρὰ τοῦ Θεοῦ Λόγου.

Ἠγνοήκασι δὲ ὡς ἔοικεν, ὅτι Χριστὸς Ἰησοῦς οὐ καθ' ἑαυτὸν ἄνθρωπος κοινῶς τε καὶ ἰδικῶς νοεῖται καὶ λέγεται πρὸς ἡμῶν, ἐνανθρωπήσας δὲ μᾶλλον ὁ ἐκ Θεοῦ Λόγος. ἵνα δὲ τῶν ἐννοιῶν ἡ ἀπόδοσις ἐν κόσμῳ τῷ δέοντι προϊοῦσα φαίνοιτο, φέρε καὶ πρό γε τῶν ἄλλων τῆς ἐν τῷ παροισθέντων[h] ψαλμῷ θεωρίας ἁψώμεθα. ᾔδει ὡς προφήτης ὁ θεσπέσιος Δαβὶδ, ὅτι κατὰ τὴν ἀψευδῆ τε καὶ θείαν ὑπόσχεσιν ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ, τὸ κατὰ σάρκα γενήσεται· πλὴν οὐκ ἠγνόηκεν ὅτι Θεὸς κατὰ φύσιν ὑπάρχων ἐν τοῖς καθ' ἡμᾶς ἑαυτὸν καθήσει κατὰ καιρόν. διαλέγεται οὖν ἐν τῷ ὀγδόῳ ψαλμῷ, καὶ τοὺς πρὸς αὐτὸν ποιεῖται λόγους, ὡς πρὸς ἄνθρωπον ἅμα καὶ Θεὸν ἕνα τὸν ἐξ ἀμφοῖν ἐπιγινώσκων Θεὸν, ταύτῃ τοι φησί· "Κύριος ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου "ἐν πάσῃ τῇ γῇ, ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια σου ὑπεράνω τῶν "οὐρανῶν·" ποῦ γὰρ ὅλως, ἢ παρὰ τίσι Χριστὸς οὐ τεθαύμαστο; ἢ πῶς οὐκ ἐπήρθη καὶ ὑπεράνω τῶν οὐρανῶν ἡ μεγαλοπρέπεια αὐτοῦ καὶ τὸ τῆς δόξης περιφανές; εἴπερ ἐστὶν ἀληθὲς, "ὅτι ἐν "τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμπτει ἐπουρανίων καὶ "ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, "ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός."

Ὅτι γὰρ ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότι τῷ Λόγῳ καὶ ἑνωθέντι

h An leg. πάροιθεν νοηθέντι.

σαρκὶ τὰ τοιαῦτά φησιν ὁ θεσπέσιος μελῳδὸς, ἐκδείξειεν ἂν εὐκόλως τὰ ἐφ' ἑξῆς· ἔφη γὰρ "ὅτι ἐκ στόματος νηπίων θηλαζόντων "κατηρτίσω αἶνον." ἐπειδὴ γὰρ τὸν Λάζαρον ἤγειρεν ἐκ νεκρῶν, τεθαύμασται μὲν παρὰ πάντων· εὑρὼν δὲ ὀνάριον ἐκάθισεν ἐπ' αὐτῷ· ὅτε καὶ παῖδες λαβόντες τὰ βαΐα τῶν φοινίκων, ταῖς καθηκούσαις αὐτὸν καταγεραίροντες εὐφημίαις ἔφασκον, "ὡσαννὰ "τῷ υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου·" ἐπιτιμώντων δὲ αὐτοῖς τῶν ἄλλων, ἔφασκεν ὁ Χριστὸς, "οὐκ "ἀνέγνωτε ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω "αἶνον;" ἐνηνθρωπηκότα δὴ οὖν τὸν Υἱὸν μονονουχὶ καὶ ἐποχούμενον τῷ πώλῳ βλέπων, κατατέθηπεν εἰκότως, ἐκεῖνο διενθυμούμενος, ὅτι πρὸς τοσοῦτο σμικροπρεπείας ἑαυτὸν ὁρᾶται καθεὶς, καί τοι κατὰ φύσιν ὑπάρχων Θεός· εἶτα τοῦ κεκενῶσθαι τὴν ἀφορμὴν οὐχ ἑτέραν ὁρῶν ὁ μακάριος Δαβὶδ, πλὴν ὅτι μόνους ἡμᾶς οὓς ἦν ἀναγκαῖον καὶ φθορᾶς ἐξελέσθαι καὶ ἁμαρτίας, καὶ τυραννικῶν ἁρπάσαι χειρῶν, τῶν τοῦ διαβόλου φημὶ, τοῦ παντὸς ἀξιοθαύμαστος[1], τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον· ταύτῃ τοι φησί· "Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς "ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;" τίς γὰρ ἡ ἀνθρώπου φύσις ὡς πρὸς Θεόν; καὶ τί τοῦτο λέγω; τί τὸ γένος τὸ ἀνθρώπινον; μοῖρα τε ὅση καταλογισθεῖεν ἂν οἱ ἐπὶ γῆς, ὡς πρό γε φημὶ τὰ τῶν ἁγίων Ἀγγέλων τάγματα; ἀλλ' εἰ καὶ μηδενὶ ὅλως ὁ ἄνθρωπος φύσει τε καὶ ἀριθμῷ, οὐχ ὑπερεῖδεν ἡμᾶς ὁ δημιουργὸς, ἐμνήσθη γὰρ καὶ ἡμῶν καὶ ἐπισκοπῆσαι ἐπηξίωσεν ὡς διολωλότων· ὁ καὶ ἐν ἀρχαῖς τοῦ παραγαγεῖν εἰς ὕπαρξιν, βραχὺ μὲν ἡμᾶς ἐλαττώσας παρὰ τοὺς Ἀγγέλους, στεφανώσας δὲ τιμῇ τε καὶ δόξῃ, καὶ καταστήσας μὲν ἐπὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, πάντα δὲ ὑποτάξας ὑπὸ πόδας ἡμῶν. καὶ τῆς μὲν ὅλης ᾠδῆς ὁ σκοπὸς ἐν τούτοις· φιλοσοφεῖ δὲ λίαν ὁ θεσπέσιος Παῦλος, καὶ περιΐστησιν εὐτέχνως νενοσηκότα τὰ καθ' ἡμᾶς εἰς καινότητα διὰ Χριστοῦ· "καινὴ γὰρ κτίσις τὰ ἐν αὐτῷ, καὶ τὰ μὲν ἀρχαῖα παρῆλθε, "γέγονε δὲ πάντα καινά·" τοῦτο φησὶ καὶ δι' ἑνὸς τῶν προφητῶν τὸ Πνεῦμα τὸ Ἅγιον· "θάρσει Σιών· μὴ παρείσθωσαν αἱ χεῖρές

[1] An *ἀξιοῖ θαύματος*?

"σου· Κύριος ὁ Θεός σοῦ ἐν σοὶ δυνατῶς σῶσαί σε, καὶ ἀνακαι-"νιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ."

Ἀποφαίνει τοίνυν ὁ Παῦλος γυμνοὺς ἡμᾶς τῆς δόξης τῆς πάλαι δεδωρημένης· διὰ τοῦτό φησι· "νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ "πάντα ὑποτεταγμένα," καὶ οὐ δή που φρονοῦμεν, ὀρθὰ φρονεῖν ᾑρημένοι περὶ ἑνὸς ἀνθρώπου τὰ τοιάδε λέγειν αὐτὸν, ἀλλ' ὡς ἐν ἑνὶ προσώπῳ τὸν καθόλου σημαίνων ἄνθρωπον, σεσυλῆσθαί φησιν αὐτὸν τῆς πάλαι δοθείσης εὐκλείας τὴν μέθεξιν. καὶ ποία τις ἐστὶν ἡ τοῦ παντὸς λόγου κατασκευὴ, τί δὲ τὸ τῆς εὐτεχνίας συμπέρασμα διειπεῖν ἀναγκαῖον. ἀποφαίνει γὰρ τῆς δόξης ἡμαρτηκότα διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, ἵνα καὶ τὸν τῆς ἐπαναλήψεως ἀφηγήσηται τρόπον, καὶ οἵα τις ἦν ἐμφανῆ τὴν τοῦ γένους πτωχείαν, ἵνα δείξῃ πάλιν τὸν δι' οὗ πεπλουτίσμεθα. προσεπάγει γὰρ εὐθὺς, "τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον βλέ-"πομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστε-"φανωμένον." Θεὸς γὰρ ὢν φύσει, καθὰ πλειστάκις εἰρήκαμεν, ὁ ἐκ Θεοῦ Λόγος, καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καὶ κεχρημάτικε μεθ' ἡμῶν ὡς ἄνθρωπος, βραχὺ παρ' Ἀγγέλους, ἵνα καὶ ὑπήκοος γεγονὼς τῷ Πατρὶ, καὶ μέχρι θανάτου, δόξῃ καὶ τιμῇ στεφανώσῃ τὴν ἀνθρώπου φύσιν, ὡς εἷς ἐξ ἡμῶν στεφανούμενος, καί τοι τῆς δόξης Κύριος ὤν.

Εἰ δὲ δή τις λέγοι μνήμης καὶ ἐπισκοπῆς ἠξιῶσθαι παρὰ τοῦ Θεοῦ Λόγου τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ἄνθρωπον, εὐεργετῆσθαί τε αὐτὸν καὶ ἠξιῶσθαι τιμῆς ὑπὲρ ἰδίαν φύσιν, κατακομιεῖ μὲν ὥσπερ εἰς γῆν τοῦ μυστηρίου τὴν δόξαν· πλεῖστον δὲ ὅσον ὀφλήσει γέλωτα. ποῦ γὰρ, εἰπέ μοι ψιλὸς ἄνθρωπος ὁ Χριστός; πότε δὲ δίχα τοῦ ἑνωθέντος αὐτῷ νοεῖται Λόγου; ἔστι γὰρ ἐκ μήτρας Ἐμμανουὴλ, καὶ οὐ γέγονε τοῦτο κατὰ καιρούς. πῶς οὖν αὐτὸν ἐπισκοπῆς τε καὶ μνήμης ἠξιῶσθαί φασι παρὰ τοῦ Θεοῦ Λόγου; εἶτα διϊστάντες τε καὶ διορίζοντες ὁλοτρόπως ἁλοῖεν ἂν καὶ ἀνὰ μέρος, ἡμῖν γυμνὸν τοῦ ἑνωθέντος Λόγου δεικνύντες ἕτερον Χριστὸν καὶ υἱόν· ἕτερον γὰρ ἀνάγκη νοεῖσθαι τὸν ἐπισκοπῆς αὐτὸν καὶ μνήμης ἠξιωκότα, παρὰ τὸν ᾧ ταῦτα δέδοται παρ' αὐτοῦ· πῶς οὖν ἔτι "Κύριος εἷς, μία τε πίστις καὶ ἓν τὸ βάπτι-"σμα;" εἰ γὰρ καὶ πολλή τις τῶν φύσεων ἡ διαφορὰ, ἀλλ' ὅ γε τῆς ἑνώσεως τρόπος ἕνα τὸν ἐξ ἀμφοῖν ἔδειξεν Υἱόν. οὐκοῦν εἰ

μνήμης ἠξιῶσθαί φαμεν αὐτὸν παρὰ τοῦ Θεοῦ Λόγου, ψυχικοὶ δὴ πάντως ἐσμὲν πνεῦμα μὴ ἔχοντες καθὰ γέγραπται· διορίζομεν γὰρ εἰς δύο τὸν ἕνα. εἰ δὲ ἦν ἐν ἀρχαῖς ὅπερ ἐστὶ, καὶ ἐξ αὐτῆς μήτρας Ἐμμανουὴλ, εἰ τὸν τῆς ἑνώσεως μὴ παραδεξόμεθα τρόπον, ἑαυτοῦ δὴ πάντως ὁ λόγος διαμεμνήσεται, ἑαυτὸν ἠξίωσε τῆς ἐπισκοπῆς, ἑαυτὸν εὐεργετήσας ὁρᾶται, καὶ πολλὴν ἡμῖν ἐν τούτοις τὴν ἀτοπίαν εἰσκομιεῖ τῶν ἐννοιῶν ἡ δύναμις· οὐ γὰρ ἀλλότριον τοῦ λόγου τὸ σῶμα αὐτοῦ, ἄλλως τε, τίς ἄρα ἐστὶν ὁ κεκενῶσθαι λεγόμενος παρὰ τῆς ἁγίας γραφῆς;

Εἰ μὲν οὖν τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ἀνὰ μέρος ἡμῖν ἱστάντες, αὐτὸν ὑπομεῖναί φασι τὴν κένωσιν, πῶς ἐκενώθη δεδοξασμένος, εἴπερ ἐστὶ καθ' ἡμᾶς ἀνθρώπῳ τιμὴ καὶ δόξα τὸ ἐπισκοπῆς ἀξιοῦσθαι καὶ μνήμης, ἑνώσεώς τε τυχεῖν τῆς πρὸς Θεόν· εἰ δ' ἐπ' αὐτοῦ λέγοιεν πεπρᾶχθαι τὴν κένωσιν τοῦ μονογενοῦς, κεκένωται τί παθών· ᾧ γὰρ τὸ παθεῖν συμβέβηκε, πρέποι ἂν μᾶλλον καὶ τὰ τῆς κενώσεως χρήματα. σεσώσμεθα τοίνυν δι' ἑαυτῶν, εἴπερ ἐστὶν ἄνθρωπος καθ' ἡμᾶς οὐχ ἑνωθεὶς καθ' ὑπόστασιν τῷ ἐκ Θεοῦ φύντι Λόγῳ, καθάπερ αὐτοί φασιν, ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος. πῶς οὖν Θεὸς ὁ Χριστὸς, εἰ καὶ αὐτὸς μεθ' ἡμῶν ἠξίωται μνήμης τῆς παρὰ Θεοῦ, καὶ γέγονεν εἷς τῶν εὐεργετουμένων; καί τοι πρόσειμεν ὡς Θεῷ προσευχόμενοι, καὶ τῶν ἄνωθεν ἀγαθῶν αἰτούμενοι τὴν χορηγίαν, ὡς ὅλῃ τῇ κτίσει διανέμοντα θεοπρεπῶς τὰ αἰτήματα.

Τεχνίτης τοίνυν ὑπάρχων ὁ Παῦλος τῆς μυσταγωγίας ὡς ἔφη, δέχεται μὲν ἔσθ' ὅτε εἰς θεωρίαν πνευματικὴν τὰ ἐκ τῆς θεοπνεύστου γραφῆς· χωρήσας δὲ κατὰ μόνων τῶν ὅτι μάλιστα τῷ λόγῳ χρησίμων, σιωπᾷ τὰ ἕτερα, πρέπειν αὐτὰ μᾶλλον ἐκείνοις εἰδὼς περὶ ὧν καὶ γέγραπται, οἷον φέρε εἰπεῖν ἔφη που περὶ τῆς Εὔας καὶ τοῦ Ἀδὰμ τὸ περὶ αὐτῶν γεγραμμένον, "διὰ τοῦτο καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν·" προσεπάγει τούτοις αὐτὸς τὸ "μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν, "πλὴν καὶ ὑμεῖς οἱ καθένα τὰς ἑαυτῶν γυναῖκας ἀγαπᾶτε, ὡς τὰ ἑαυτῶν σώματα." ἄθρει δὴ καὶ ἐν τούτοις, ὡς οὐκ ἀπίθανον μὲν

τῆς εἰκόνος τὸ σχῆμα, πλὴν ἀνόσιον κομιδῆ τῆς Ἀδὰμ παρατροπῆς τὰ ἐγκλήματα περιθεῖναι Χριστῷ, κἂν εἰ γέγονεν ἐκεῖνος προανατύπωσις ὥσπερ τι καὶ μέρος τῆς ἐπ' αὐτῷ θεωρίας· ἀλλ' οὐδὲ ἐκεῖνο οἶμαι σοφὸν ἢ καὶ ἀληθὲς εἰπεῖν, ὡς ἠξίωται κατὰ πρόγνωσιν τὴν ἐν Θεῷ νοουμένην ἐπισκοπῆς καὶ μνήμης, ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος ἄνθρωπος ἰδικῶς, κατά γε τὸ ἐκείνοις εὖ ἔχειν ὑπειλημμένον.

Ὅτι μὲν γὰρ προέγνωστο τῷ Θεῷ καὶ Πατρὶ, καὶ μὴν καὶ αὐτῷ τῷ Υἱῷ τῆς ἐνανθρωπήσεως τὸ μυστήριον, ἐνδοιάσειεν ἂν οὐδεὶς, καὶ ἐξ αὐτοῦ τοῦ εἰκότος καὶ τοῦ τῇ θεότητι πρέποντος ἀναπεπεισμένος. τί γὰρ ἄποπτον αὐτῇ; τί δαὶ τῶν ἐσομένον οὐκ ᾔδει καὶ πρὶν ἑσπέρας [k] ἐλθεῖν; προσεμπεδοῖ δὲ ἡμᾶς καὶ ὁ μακάριος Παῦλος αὐτὸ τοῦτο γράφων ἐν τῇ πρὸς Ἐφεσίους Ἐπιστολῇ, κἀν τῇ δευτέρᾳ πρὸς Τιμόθεον ὁμοίως, "προωρίσμεθα γὰρ ἡμεῖς "δι' αὐτοῦ τοῦ Χριστοῦ πρὸς υἱοθεσίαν·" καὶ γέγονεν ἡμῖν πρωτότοκος, ἵν' ἡμῖν ἀνθρωπίνως συντάττηται, καί τοι Θεὸς ὢν φύσει καὶ Υἱὸς ἀληθῶς. οὐχ εὑρήσομεν δὲ κατὰ πρόγνωσιν ἄνθρωπον αὐτὸν ὠνομασμένον ἁπλῶς, γυμνὸν δὴ λέγω, καὶ δίχα τοῦ ἑνωθέντος αὐτῷ καθ' ὑπόστασιν Λόγου, καὶ οὐ μνήμης αὐτὸν ἢ ἐπισκοπῆς ὡς ἕνα τῶν καθ' ἡμᾶς ἠξιῶσθαί φαμεν· ἐκεῖνο δὲ μᾶλλον περινοήσωμεν εὐσεβῶς· ἐθελήσας γὰρ ὁ ἐκ Θεοῦ Λόγος ἐν εὐδοκίᾳ Πατρὸς ἄνθρωπος γενέσθαι καθ' ἡμᾶς, "ὅπως χάριτι Θεοῦ ὑπὲρ "παντὸς γεύσηται θανάτου," ἴδιον ἐποιήσατο σῶμα τὸ τοῖς θανάτου δεσμοῖς ὑποκείμενον, ἵνα καὶ ὑπὲρ πάντων εἰς ὀσμὴν εὐωδίας ἑαυτὸν ἀναθεὶς, διὰ τῆς ἰδίας σαρκὸς καταργήσῃ θάνατον.

Φασὶ δὲ καὶ τοῦτο καὶ διατείνεσθαι τεθαρρήκασιν, ὅτι δὴ πάλιν ὁ ἐκ Θεοῦ Λόγος, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ἄνθρωπον τετελείωκε διὰ παθημάτων, ὡς τῆς σωτηρίας ἡμῶν ἀρχηγόν· ψευδοεπῆ που πάντως ἀποφαίνοντες τὸν προφήτην λέγοντα, "οὐ πρέσβυς, οὐκ Ἄγγελος, ἀλλ' "αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς." ποῦ γὰρ ἔτι σέσωκεν ἡμᾶς αὐτὸς ὁ Κύριος, εἰ δι' ἑνὸς τῶν καθ' ἡμᾶς, καὶ ἐν ὁμοδούλῳ σεσώσμεθα; ἑνώσει μὲν γὰρ τῇ καθ' ὑπόστασιν ἐν Χριστῷ τὸ ἀνθρώ-

[k] Leg. ἐς πέρας.

πινον τῇ τῆς ἀληθοῦς κυριότητος στεφανοῦται τιμῇ. καθήκετο γάρ ἐν τῇ τοῦ δούλου μορφῇ, καί τοι κατὰ φύσιν ἐλεύθερος ὢν ὁ ἐκ Θεοῦ Λόγος, ἵνα δοξάσῃ τὸ δοῦλον, καὶ τῆς ἐνούσης εὐγενείας αὐτῷ τὴν λαμπρότητα προξενήσῃ τῇ φύσει. εἰ δὲ δή τις ἀποστήσει ἐκ τῆς πρὸς Θεὸν ἑνώσεως ἀληθοῦς τὸ ἀνθρώπινον, ἕψεται δὴ πάντως οὐκ ἐν κυριότητι ποθὲν, ἀλλ' ἐν τοῖς τῆς δουλείας αὐτὸ καταθήσεται μέτροις.

Ὅτε τοίνυν σέσωκεν ἡμᾶς αὐτὸς ὁ Κύριος κατὰ τὰς γραφὰς, τί παραιτοῦνται τὸν σεσωκότα τῆς ὅτι μάλιστα πρεπούσης εὐκλείας αὐτῷ; παύσασθε διορίζοντες τοῦ Λόγου τὸ ἀνθρώπινον, ἵνα μὴ κοινὸν ἄνθρωπον σωτῆρα καὶ λυτρωτὴν τῶν βίων κηρύττητε. ἀλλὰ ναὶ, φασὶ, τετελείωκε τὸν ἄνθρωπον διὰ παθημάτων ὁ Λόγος· αὐτὸς γάρ ἐστιν ὁ δι' οὗ τὰ πάντα, καὶ πρέποι ἂν μᾶλλον ἐπ' αὐτοῦ νοεῖσθαι τὰς τοῦ Παύλου φωνάς· τί δαὶ, εἰπέ μοι, τὸ δι' οὗ τῷ πατρὶ προσνέμοντες ἀδικήσομεν; καί τοι γεγραφότος Παύλου, "πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ·" καὶ πάλιν, "ἄρα οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς καὶ κλη-"ρονόμος διὰ Θεοῦ."

Ὅτι δὲ καὶ αὐτὸς ὁ μυσταγωγὸς ἐπ' αὐτοῦ τέθεικε τοῦ Πατρὸς τὸ "ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα," καὶ τὰ τούτοις ἐφεξῆς, ἐξ αὐτῆς εἰσόμεθα τῆς τῶν γεγραμμένων ἀκολουθίας· ἔφη γὰρ ὡδί· "τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττω-"μένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ "τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται "θανάτου·" εἶτα Θεὸν ὀνομάσας τὸν Πατέρα, καὶ τὴν αὐτοῦ μνήμην εἰσκεκομικὼς, προσεπάγει πάλιν, "ἔπρεπε γὰρ αὐτὸν δι' "ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα." . . . . "ἐξ αὐτοῦ γὰρ καὶ "δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα" κατὰ τὸ γεγραμμένον. ἀλλ' ἴσως ἐκεῖνο φαῖεν ἄν· οὐ γάρ ἐστι Θεὸς ὁ Υἱός; πῶς οὖν τὸν Πατέρα φῂς σημαίνεσθαι μόνον, διά γε τοῦ Θεὸν ὠνομάσθαι, παρά γε τοῦ μακαρίου Παύλου; καὶ πρός γε τοῦτο ἐροῦμεν τοσὸν δὲ τουτὶ, καὶ μάλα ὀρθῶς· οὐ γάρ ἐστι Θεὸς ὁ Πατήρ; εἶτα, πῶς ἄνω τιθεὶς τὸ Θεὸς ὄνομα πάντῃ τε καὶ πάντως τῷ Υἱῷ; ἀλλ' ὅτι μὲν τὸ δι' οὗ πρέποι ἂν οὐχὶ μόνῳ τῷ Υἱῷ, τέθειται δὲ πλειστάκις καὶ ἐπ' αὐτοῦ τοῦ Πατρὸς ἀποχρώντως ἡμῖν ἀποδέδεικται·

πλὴν ἐκεῖνο φάμεν· ἔθος τῷ μακαρίῳ Παύλῳ διαμνημονεύοντι τοῦ Υἱοῦ, τῇ τοῦ Θεοῦ κλήσει τὸν Πατέρα δηλοῦν ὅτε σιωπᾷ τὸ Πατήρ. ἐπιστέλλει γοῦν Κορινθίοις, Ἐφεσίοις, Κολοσσαεῦσι, "Παῦλος Ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ·" καὶ μὴν καὶ Γαλάταις, "ὅτε εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ "κοιλίας μητρός μου, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα "εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην "σαρκὶ καὶ αἵματι."

Ὅτε τοίνυν ἐστὶ τὸ κωλύον οὐδὲν τῇ τοῦ Θεοῦ κλήσει κατονομάζεσθαι τὸν Πατέρα, Θεοῦ κατὰ φύσιν ὑπάρχοντος καὶ αὐτοῦ τοῦ Υἱοῦ· τί μὴ μᾶλλον παρὰ τοῦ Πατρὸς τετελειῶσθαί φαμεν διὰ παθημάτων τὸν Υἱόν; ἐνηνθρώπησε γὰρ αὐτὸς, καὶ μορφὴν δούλου λαβὼν πέπονθεν ὑπὲρ ἡμῶν σαρκὶ κατὰ τὰς γραφάς· καί τοι κατὰ φύσιν ἰδίαν ὑπομεμενηκὼς τῶν παθημάτων οὐδὲν, καθ' ὃ καὶ Θεὸς νοεῖται, καὶ ἔστι Λόγος τοῦ Πατρός. ταύτης ἕνεκεν τῆς αἰτίας σαρκὶ πεπονθέναι φαμὲν τὸν ἐπέκεινα τοῦ παθεῖν· ἔφη γάρ που καὶ ὁ μακάριος Πέτρος, "Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν "σαρκί." καὶ ἐπειδὴ ὁ πάσης ὁμοῦ τῆς κτίσεως κατὰ φύσιν ἰδίαν ἐξῃρημένος ὡς Θεὸς κεκενῶσθαι λέγεται, καὶ κατέβη πρὸς ἀνθρωπότητα, ταύτῃ τοι καὶ πολλοῖς ἀδελφοῖς συντέτακται, καὶ ὁ μόνον ἔχων τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς Υἱὸν, πολλῶν ἠξίωσε γενέσθαι Πατήρ. ἀλλ' ἐξῄρηται θεϊκῶς τοῖς ἄλλοις Χριστὸς Ἰησοῦς, εἰ καὶ ἀνθρωπίνως αὐτοῖς συντάττοιτο, οὕτω γὰρ ἔσονται "καὶ ὁ ἁγιάζων "καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες·" ἕνα γὰρ ἐσχήκαμεν σὺν αὐτῷ τὸν Πατέρα, ὃς εἰ καὶ γέγονεν ἡμῶν φιλανθρωπίᾳ τε καὶ χάριτι πατὴρ, ἀλλ' οὖν ἐστιν ἰδικῶς καὶ μόνου Πατὴρ Ἰησοῦ Χριστοῦ, τουτέστι σαρκὸς γεγονότος τοῦ Λόγου κατὰ τὰς γραφάς. ἐπειδὴ δὲ, ὡς ἔφην, ἕνα Πατέρα τὸν ἐν τοῖς οὐρανοῖς αὐτός τε καὶ ἡμεῖς ἐσχήκαμεν, "οὐκ ἐπαισχύνεται ἡμᾶς ἀδελφοὺς ἀποκαλεῖν, λέγων, "ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου·" καί τοι πῶς ἐναργὲς, ὡς εἴπερ ἦν ἀληθῶς μέχρι τῆς ἀνθρωπότητος μόνης τῆς Χριστοῦ δόξης τὸ μέτρον, οὐκ ἂν ἐπαισχύνθη καλεῖν ἀδελφοὺς, οἷς τοῦτο καὶ μόνη προὐξένησεν ἂν ἡ φύσις, καὶ οὐ διδόντος αὐτοῦ; ὡς γὰρ ὁ προφήτης φησί· "Θεὸς εἷς ἔκτισεν ἡμᾶς, καὶ Πατὴρ "εἷς πάντων ἡμῶν," ἔχοι ἂν τὸν εἰκότα λόγον τὸ ἐπαισχύνεσθαι

καλεῖν ἀδελφοὺς τοὺς ἐν μέτροις ὄντας τοῖς οἰκητικοῖς, τὸν ἐκ Θεοῦ κατὰ φύσιν ἐλεύθερον· τοὺς ἐκ γῆς, τὸν ἄνωθεν· τοὺς ἐκ τοῦ κόσμου, τὸν μὴ ὄντα ἐκ τοῦ κόσμου τούτου, κατὰ τὴν αὐτοῦ φωνήν· τοὺς ἐν ἁμαρτίαις ὄντας, τὸν ἀνιέντα πλημμελήματα· τοὺς ἁγιασμοῦ δεομένους, τὸν ἁγιάζειν ἰσχύοντα· τοὺς ὑπὸ θάνατον καὶ φθορὰν, τὸν "ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν." ἐπειδὴ δὲ κεκένωκεν ἑαυτὸν, οὐκ ἐπαισχύνεται λέγων, "ἀπαγγελῶ τὸ ὄνομά "σου τοῖς ἀδελφοῖς μου·" καὶ πάλιν· "ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ "μοι ἔδωκεν ὁ Θεός." γεγόναμεν γὰρ υἱοὶ Θεοῦ, καὶ ἐσμὲν ὑπὸ χεῖρα τοῦ πάντων ἡμῶν Σωτῆρος.

(Χρυσοστόμου.) Καὶ *ὁ μακάριος δὲ Ἰωάννης φησί· ὁρᾷς πῶς δείκνυσι πάλιν τὴν ὑπεροχήν; τὸ γὰρ εἰπεῖν "οὐκ ἐπαισχύνεται," δείκνυσιν οὐ τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς φιλοστοργίας αὐτοῦ, μὴ ἐπαισχυνομένου τὸ ταπεινὸν τῆς ταπεινοφροσύνης τῆς πολλῆς· εἰ γὰρ καὶ ἐξ ἑνὸς, ἀλλ' ὁ μὲν ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα· πάλιν δὲ τὸ μέσον, καὶ ὁ μὲν ἐκ τοῦ* Πατρὸς *ὡς* Υἱὸς *γνήσιος, τουτέστιν, ἐκ τῆς οὐσίας, ἡμεῖς δὲ ὡς κτίσμα.*

14 Ἐπεὶ *οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς,*
καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἵνα διὰ
τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ
15 *θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους*
ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν
δουλείας.

(Κυρίλλου.) Ὁ *μακάριος* Κύριλλος *φησὶν, ἀναγκαῖον οἶμαι πρό γε τῶν ἄλλων πολυπραγμονῆσαι λεπτῶς, περὶ ποίων αὐτῷ παιδίων ὁ λόγος, ἃ δὴ σαρκός τε καὶ αἵματος κεκοινωνηκέναι φησὶ, καὶ τίς ὁ παραπλησίως μετεσχηκὼς τῶν αὐτῶν· ὅτε τοίνυν ὁ μονογενὴς τοῦ Θεοῦ* Λόγος, *καί τοι Θεὸς καὶ* Κύριος *ὢν κατὰ φύσιν, καὶ σύνεδρος τῷ Θεῷ καὶ* Πατρὶ, *καθῆκεν αὐτὸν εἰς τὸ τῆς ἀνθρωπότητος μέτρον, συντέτακται δὲ διὰ τοῦτο καὶ ὡς ἀδελφὸς τοῖς κεκλημένοις διὰ πίστεως εἰς υἱοθεσίαν Θεοῦ· τότε δὴ τότε τῆς οἰκονομίας τὸ εὔτεχνὲς εὖ μάλα τετηρηκὼς, ἔφασκε περὶ ἡμῶν, ποτὲ μὲν, "ὅτι ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς*

"μου," ποτὲ δὲ, "ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ "Θεός."

Παραδέδοται γὰρ αὐτῷ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς τὰ πάντα, καὶ κλῆρος αὐτοῦ γεγόναμεν, καί τοι πάλαι μερίδες ἀλωπέκων ὄντες, καθά φησιν ὁ Δαβίδ· ὑπεκείμεθα γὰρ οὐχ ἑκόντες οἱ δείλαιοι ταῖς τῶν δαιμονίων ἀγέλαις· ἀλλ' αἵματι τῷ ἰδίῳ πάντας ἡμᾶς κατεκτήσατο καὶ κεκληρονόμηκεν ὁ Χριστός· καὶ γοῦν ἔφη πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεὸν, "οὓς δέδωκάς μοι "ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, κἀμοὶ αὐτοὺς δέδωκας, κἀγὼ τὴν δόξαν "ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς." καί τοι γὰρ Υἱὸς κατὰ φύσιν ὑπάρχων, χάριτι μεθ' ἡμῶν τῆς τοιᾶσδε δόξης μετεσχηκέναι φησὶ, διὰ τὸ ἀνθρώπινον, πλὴν μεμενηκὼς ὅπερ ἦν, δέδωκεν ἡμῖν τὴν ἑαυτοῦ δόξαν· κατεσφράγισε γὰρ τῷ ἰδίῳ πνεύματι πρὸς υἱοθεσίαν, καὶ ἐν αὐτῷ κράζομεν, ἀββᾶ ὁ πατήρ. οὐκοῦν ἡμεῖς οἱ ἐν τέκνοις ἠριθμημένοι Θεοῦ, κεκοινωνήκαμεν αἵματος καὶ σαρκὸς, τουτέστιν ἐν αἵματί τέ ἐσμεν καὶ σαρκὶ, καὶ ἐν φθαρτοῖς καὶ γηΐνοις σώμασι. ταύτης ἕνεκα τῆς αἰτίας, καὶ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ζωὴ κατὰ φύσιν ὑπάρχων, μετέσχε τῶν αὐτῶν, καὶ οὐ καθ' ἕτερον τρόπον, ἀλλὰ παραπλησίως, ἵνα καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου.

Ἐπειδὴ γὰρ οὐχ ἑτέρως ἦν δύνασθαι τὸ θανάτῳ καὶ φθορᾷ καὶ ἁμαρτίᾳ κατεσχημένον ἀνακομίζεσθαι πρὸς τὸ ἐν ἀρχαῖς πλὴν ὅτι διὰ μόνου Χριστοῦ, τῆς ἐνανθρωπήσεως τὸ μυστήριον ὡς ἐν καιρῷ καθήκοντι πληροῦσθαι λοιπὸν παρεκάλει λέγων ὁ μακάριος Δαβὶδ, "ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν "θλίψεσι;" ταύτῃ τοι Ἐμμανουὴλ κέκληται· οὐ γὰρ ἀφέστηκεν ἔτι μακρόθεν, ἀλλὰ δὴ γέγονεν ἐγγύτερον μεθ' ἡμῶν, ἄνθρωπος πεφηνὼς ὁ τοῦ Θεοῦ Λόγος. παραπλησίως γὰρ ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς, ἐπειδὴ θανάτῳ καὶ φθορᾷ κεκράτηται τὸ ἐπὶ γῆς γένος, τουτέστιν ὁ ἄνθρωπος· καὶ τῷ Θεῷ τῷ πάντων ἐδόκει διὰ πολλὴν ἡμερότητα καὶ φιλανθρωπίαν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, ἵνα λοιπὸν ἀτονήσῃ θάνατος, καὶ ὡς ἐν πρώτῳ τῷ Χριστῷ παραχωρῶν εὑρίσκηται τῷ νικᾶν τοῖς ἐπιγείοις σώμασιν.

Οὕτω γὰρ οὕτω εἰς ἅπαν ἡμῶν τὸ γένος ἡ τῆς ἀφθαρσίας δύναμις κατευρύνεται, καὶ πιστώσεται γράφων ὁ θεσπέσιος Παῦλος, "ἐπειδὴ δι' ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν." ἔδει γὰρ, ἔδει τὸ πεπονθὸς θεραπεύεσθαι καὶ διὰ τῆς τῷ θανάτῳ τυραννουμένης σαρκὸς καταργεῖσθαι θάνατον· ὥσπερ γὰρ ἐν Ἀδὰμ προσκρούσασα διὰ τὴν παράβασιν πέπτωκεν ὑπὸ θάνατον, οὕτως ἐπειδὴ γέγονεν εὐδόκιμος ἐν Χριστῷ διὰ τὴν ὑπακοὴν, τῶν τοῦ θανάτου βρόχων ἐξήρτηται καὶ τῶν ἐκείνου δειμάτων, ὡς ἐπ' αὐτοῖς ἀνασκιρτῶντας ἡμᾶς ἐκεῖνο βοᾷν, "ποῦ σοι, θάνατε, τὸ νῖκος, "ποῦ σου, ᾅδη τὸ κέντρον;" ζωὴ γὰρ ὑπάρχων οὐσιωδῶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἥνωσεν ἑαυτὸν τῇ γηΐνῃ καὶ ἀποθνησκούσῃ σαρκὶ, ἵνα καὶ αὐτῇ καθάπερ τι τῶν ἀτιθάσσων θηρίων ἐπιδραμὼν ὁ θάνατος ἀτονήσῃ λοιπὸν ἡττώμενος· οὐ γὰρ ἦν δύνασθαι παραχωρεῖν τῷ θανάτῳ τὴν ζωήν.

16 Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι.

Εἰ μὴ γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἥνωσε δὲ μᾶλλον ἑαυτοῦ τὸ ἀνθρώπου πρόσωπον, καθὰ δοκεῖ τοῖς διορίζουσι, ὡς ἐν εὐδοκίᾳ μόνῃ καὶ τῇ κατὰ θέλησιν ῥοπῇ, πῶς ὁμοίωται κατὰ πάντα τοῖς ἀδελφοῖς, μᾶλλον δὲ, πῶς ἂν ὅλως νοοῖτο καὶ ἀδελφὸς, ὁ παντὸς ἐπέκεινα γενητοῦ, καὶ ἀσυγκρίτοις ὑπεροχαῖς, ταῖς κατὰ φύσιν λέγω, τὴν κτίσιν ὑπερκείμενος; πῶς κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, εἰ μὴ γέγονεν ἴδια ταῦτα αὐτοῦ καθὰ καὶ ἡμῶν; εἷς οὖν ἄρα ἐστιν Υἱὸς καὶ Κύριος ἑνώσει τῇ καθ' ὑπόστασιν, συνενεχθέντος τοῦ Λόγου πρὸς τὸ ἀνθρώπινον σαρκός τε καὶ αἵματος κεκοινωνηκότος, ὁμοιωθέντος τε κατὰ πάντα τοῖς ἀδελφοῖς.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησίν· εἰς τὸ "ὅσοι "φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας·" ἢ τοῦτο λέγει, ὅτι ὁ τὸν θάνατον δεδοικὼς δοῦλός ἐστι, καὶ πάντα ὑφίσταται ὑπὲρ τοῦ μὴ ἀποθανεῖν· ἢ ἐκεῖνο, ὅτι δοῦλοι πάντες ἦσαν τοῦ θανάτου, καὶ τῷ μηδέ πω αὐτὸν λελύσθαι ἐκρατοῦντο· ἢ ὅτι φόβῳ διηνεκεῖ συνέζων οἱ ἄνθρωποι, ἀεὶ ἀποτεθνήξεσθαι προσδοκῶντες.

Οὐ γὰρ δή που Ἀγγέλων ἐπιλαμβάνεται.

Τὴν πολλὴν ἐνταῦθα φιλανθρωπίαν ὁ Παῦλος δεῖξαι βουλόμενος, καὶ τὴν ἀγάπην ἣν περὶ τὸ γένος ἔσχε τὸ ἀνθρώπινον, μετὰ τὸ εἰπεῖν, "ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, "καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν," ἐπεξέρχεται πλέον τούτῳ τῷ χωρίῳ· μὴ γὰρ ἁπλῶς προσχῇς τῷ ῥηθέντι, μηδὲ ψιλόν τι μόνον τοῦτο εἶναι νομίσῃς τῷ τὴν ἐξ ἡμῶν σάρκα ἀναλαβεῖν, Ἀγγέλοις τοῦτο οὐκ ἐχαρίσατο· "οὐ γὰρ δή που Ἀγγέλων," φησὶν, "ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ," οὐκ Ἀγγέλου φύσιν ἀνεδέξατο, φησὶν, ἀλλ' ἀνθρώπου. τί δέ ἐστιν "ἐπιλαμβάνεται;" οὐκ ἐκείνης, φησὶν, ἐδράξατο τῆς φύσεως τῆς τῶν Ἀγγέλων, ἀλλὰ τῆς ἡμετέρας. διὰ τί δὲ οὐκ εἶπεν ἔλαβεν, ἀλλὰ ταύτῃ τῇ λέξει ἐχρήσατο τῇ "ἐπιλαμβάνεται;" ἀπὸ μεταφορᾶς τῶν διωκόντων τοὺς ἀποστρεφομένους, καὶ πάντα ποιεῖν ὥστε καταλαβεῖν φεύγοντας καὶ ἐπιλαβέσθαι ἀποπηδώντων· φεύγουσαν γὰρ ἀπ' αὐτοῦ τὴν ἀνθρωπίνην φύσιν, καὶ πόρρω φεύγουσαν, ἦμεν γὰρ μακρὰν, καταδιώξας κατέλαβεν· ἔδειξε ὅτι φιλανθρωπίᾳ μόνῃ καὶ ἀγάπῃ καὶ κηδεμονίᾳ τοῦτο πεποίηκεν.

17 Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι.

Ἐτέχθη, φησὶν, ἐτράφη, ηὐξήθη, ἔπαθε πάντα ἅπερ ἐχρῆν, τέλος ἀπέθανε· τοῦτό ἐστι κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. ἐπειδὴ πολλὰ διελέχθη περὶ τῆς μεγαλότητος αὐτοῦ καὶ τῆς ἄνω δόξης, λοιπὸν τὸν περὶ τῆς οἰκονομίας λόγον κινεῖ, μονονουχὶ λέγων, ὁ οὕτω μέγας, ὁ ὢν ἀπαύγασμα τῆς δόξης, ὁ ὢν χαρακτὴρ τῆς ὑποστάσεως, ὁ τοὺς αἰῶνας πεποιηκὼς, ὁ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος, οὗτος ἠθέλησεν ἀδελφὸς ἡμῶν ἐν ἅπασι γενέσθαι· καὶ διὰ τοῦτο Ἀγγέλους ἀφῆκε καὶ τὰς ἄλλας δυνάμεις, καὶ πρὸς ἡμᾶς κατῆλθε καὶ ἡμῶν ἐπελάβετο, καὶ μυρία εἰργάσατο ἀγαθά· θάνατον ἔλυσε, τὸν διάβολον τῆς τυραννίδος ἐξέβαλεν, ἡμᾶς δουλείας ἀπήλλαξεν, οὐ τῇ ἀδελφότητι δὲ μόνον τετίμηκεν, ἀλλὰ καὶ ἑτέροις μυρίοις.

Ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὸ πρὸς τὸν Θεόν.

Διὰ τοῦτο γὰρ, φησὶ, τὴν σάρκα ἔλαβε τὴν ἡμετέραν, ἐπειδὴ

καὶ ἀρχιερεὺς ἡμῶν γενέσθαι ἠθέλησε πρὸς τὸν Πατέρα διὰ φιλανθρωπίαν μόνον, ἵνα ἐλεήσῃ ἡμᾶς· οὐδὲ γάρ ἐστιν ἄλλη τις αἰτία τῆς οἰκονομίας, ἢ αὕτη μόνη· εἶδε γὰρ χαμαὶ ἐρριμμένους, ἀπολλυμένους, ὑπὸ τοῦ θανάτου τυραννουμένους, καὶ ἠλέησε. τί ἐστι "πιστός;" ἀληθὴς, δυνάμενος· ἀρχιερέως γάρ ἐστι πιστοῦ, τοὺς ὧν ἐστιν ἀρχιερεὺς, δύνασθαι ἀπαλλάξαι τῶν ἁμαρτημάτων. ἵν' οὖν προσενέγκῃ θυσίαν δυναμένην ἡμᾶς καθαρίσαι, διὰ τοῦτο γέγονεν ἄνθρωπος· ἐπήγαγεν οὖν τὰ πρὸς τὸν Θεὸν, τουτέστι τῶν πρὸς Θεὸν ἕνεκεν. ἐκπεπολεμωμένοι ἦμεν, φησὶ, τῷ Θεῷ, κατεγνωσμένοι, ἠτιμωμένοι· οὐδεὶς ἦν ὁ προσοίσων ὑπὲρ ἡμῶν θυσίαν· εἶδεν ἡμᾶς ἐν τούτοις ὄντας καὶ ἠλέησεν, οὐ καταστήσας ἡμῖν ἀρχιερέα, ἀλλ' αὐτὸς γενόμενος ἀρχιερεύς· πῶς πιστὸς, ἐπήγαγεν,

18 Εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Πάλιν ταπεινὸν τοῦτο καὶ εὐτελὲς καὶ ἀνάξιον Θεοῦ· "ἐν ᾧ γὰρ "πέπονθε," φησὶν, "αὐτὸς," περὶ τοῦ σαρκωθέντος ἐνταῦθά φησι, καὶ πρὸς πληροφορίαν τῶν ἀκουόντων εἴρηται, καὶ διὰ τὴν αὐτῶν ἀσθένειαν, τουτέστι δι' αὐτῆς τῆς πείρας ὧν ἐπάθομεν ἦλθεν· οὐκ ἀγνοεῖ τὰ πάθη τὰ ἡμέτερα, οὐχ ὡς Θεὸς μόνον οἶδεν, ἀλλὰ καὶ ὡς ἄνθρωπος ἔγνω διὰ τῆς πείρας ἧς ἐπειράθη, ἔπαθε πολλὰ, οἶδε συμπάσχειν· καί τοι γε ἀπαθὴς ὁ Θεὸς ἐστίν· ἀλλὰ τὰ τῆς σαρκώσεως πάθη ἐνταῦθα διηγεῖται· ὡσανεὶ ἔλεγεν, καὶ αὐτὴ ἡ σὰρξ ἡ τοῦ Κυρίου, πολλὰ δεινὰ ἔπαθεν· οἶδε τί ἐστι πειρασμὸς τῶν παθόντων οὐχ ἧττον ἡμῶν· καὶ γὰρ καὶ αὐτὸς ἔπαθεν· τί οὖν ἐστι τὸ "δύναται τοῖς πειραζομένος βοηθῆσαι;" ὡς ἂν εἴ τις εἶπε, μετὰ πολλῆς προθυμίας ὀρέξαι χεῖρα συμπαθὴς ἔσται "εἰς" τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· καὶ διὰ τί μὴ εἶπε τῆς οἰκουμένης, ἀλλὰ "τοῦ λαοῦ;" τὰς γὰρ πάντων ἁμαρτίας ἀνήνεγκεν, ὅτι τέως περὶ αὐτῶν ἦν ὁ λόγος αὐτῷ, ἐπεὶ καὶ ὁ Ἄγγελος πρὸς τὸν Ἰωσὴφ ἔλεγεν, "αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ·" τοῦτο γὰρ καὶ πρῶτον ἔδει γενέσθαι, καὶ διὰ τοῦτο ἦλθεν, ὥστε τούτους σῶσαι, καὶ τότε διὰ τούτων ἐκείνους, εἰ καὶ τοὐναντίον γέγονε· τοῦτο γὰρ καὶ οἱ Ἀπόστολοι ἄνωθεν ἔλεγον, "ὑμῖν ἀναστήσας τὸν

“παῖδα αὐτοῦ, ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς,” καὶ πάλιν, “ὑμῖν ὁ λόγος τῆς σωτηρίας ἀπεστάλη.” τὴν εὐγένειαν δείκνυσιν ἐνταῦθα τὴν Ἰουδαϊκὴν λέγων “εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας “τοῦ λαοῦ,” τέως οὕτω φησίν· ὅτι γὰρ αὐτός ἐστιν ὁ τὰς ἁμαρτίας πάντων ἀφιεὶς, ἐδήλωσε καὶ τῷ παραλυτικῷ, εἰπὼν, “ἀφέ-“ωνταί σου αἱ ἁμαρτίαι,” καὶ ἐν τῷ βαπτίσματι, φησὶ γὰρ πρὸς τοὺς μαθητάς· “πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, “βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ “τοῦ Ἁγίου Πνεύματος.” ὅταν δὲ τῆς σαρκὸς ἐπιλάβηται ὁ Παῦλος, πάντα λοιπὸν τὰ ταπεινὰ φθέγγεται, οὐδὲν δεδοικώς.

Τριὰς, μονὰς, ἐλέησον.

Τῶν εἰς τὴν πρὸς Ἑβραίους Ἐπιστολὴν Παύλου τοῦ Ἀποστόλου ἐξηγητικῶν ἐκλογῶν τόμος α΄.

ΤΟΜΟΣ Β΄.

ΚΕΦ. Δ.

Ὅτι πιστευτέον Χριστῷ ὡς Μωσεῖ ἐπίστευσαν, καθ' ὑπεροχὴν δὲ τὴν τοῦ Θεοῦ πρὸς ἄνθρωπον.

1 Ὅθεν ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι,
κατανοήσατε τὸν Ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολο-
2 γίας ἡμῶν Ἰησοῦν Χριστὸν, πιστὸν ὄντα τῷ ποιήσαντι
αὐτὸν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησί· μέλλων αὐτὸν προτιθέναι τοῦ Μωϋσέως κατὰ σύγκρισιν, εἰς τὸν τῆς ἀρχιερωσύνης νόμον τὸν λόγον ἤγαγεν, οὐ γὰρ μικρὰν περὶ Μωϋσέως δόξαν εἶχον ἅπαντες, καὶ προκαταβάλλεται ἤδη τὰ σπέρματα τῆς ὑπεροχῆς. ἄρχεται μὲν οὖν ἀπὸ τῆς σαρκὸς, ἄνεισι δὲ εἰς τὴν θεότητα, ἔνθα οὐκέτι σύγκρισις ἦν, ἤρξατο ἀπὸ τῆς σαρκὸς

τέως τὸ ἴσον τιθέναι, καί φησιν, "ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ "αὐτοῦ," καὶ οὐ παρὰ τὴν ἀρχὴν δείκνυσι τὴν ὑπεροχὴν, ἵνα μὴ ἀποπηδήσῃ ὁ ἀκροατὴς, καὶ εὐθέως ἐμφράξῃ τὰς ἀκοάς. εἰ γὰρ καὶ πιστοὶ ἦσαν, ἀλλ᾽ ὅμως ἔτι πολὺ τὴν αἰδῶ, φησὶ, τῷ ποιήσαντι αὐτόν· τί ποιήσαντι; Ἀπόστολον καὶ ἀρχιερέα· οὐδὲν ἐνταῦθα περὶ οὐσίας φησὶν, οὐδὲ περὶ τῆς θεότητος, ἀλλὰ τέως περὶ ἀξιωμάτων ἀνθρωπίνων, "ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ," τουτέστιν ἐν τῷ λαῷ, ἐν τῷ ἱερῷ· ἐνταῦθα δὲ τὸ ἐν οἴκῳ αὐτοῦ φησιν, ὡς ἂν εἴποι τις περὶ τῶν ἐν τῇ οἰκίᾳ, καθάπερ τις ἐπίτροπος καὶ οἰκονόμος οἰκίας, οὕτως ἦν ὁ Μωϋσῆς τῷ λαῷ. ὅτι γὰρ οἶκον ἐνταῦθα τὸν λαὸν, φησὶν, ἐπήγαγεν, "οὗ ὁ οἶκός ἐσμεν ἡμεῖς." τί ἐστι "πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν;" τουτέστιν εὐνοϊκὸν προϊστάμενον τῶν αὐτοῦ, οὐκ ἐῶντα φθείρεσθαι ἁπλῶς. Ἀπόστολον δὲ αὐτὸν καλεῖ διὰ τὸ ἀπεστάλθαι, "καὶ ἀρχιερέα τῆς ὁμολογίας "ἡμῶν," τουτέστι τῆς πίστεως· καὶ αὐτὸς γὰρ λαὸν ἐγκεχείρισται, καθάπερ ἐκεῖνος προστασίαν λαοῦ, ἀλλὰ μείζονα καὶ ἐπὶ μείζοσιν.

(Κυρίλλου.) Ὁ μακάριος δὲ Κύριλλός φησι· Μωϋσῆς μὲν ὁ θεσπέσιος διὰ τύπου καὶ σκιᾶς ἐνῆκεν εἰς θεογνωσίαν τὸν Ἰσραὴλ, καὶ τῆς ἐν νόμῳ δικαιοσύνης παρέδειξε τὴν ὁδόν· ἀλλ᾽ ἦν ἰσχνόφωνος καὶ βραδύγλωσσος· διὰ τοῦτο γνωστὸς ἦν τοτηνικάδε τοῖς κατὰ μόνην τὴν Ἰουδαίαν ὁ τῶν ὅλων Θεὸς, καὶ ἀπὸ Δὰν καὶ ἕως Βιρσαβεὲ, καὶ ποταμοῦ καὶ θαλάσσης· ὅροι γὰρ οὗτοι τῆς Ἰουδαίων γῆς· μέγα τε ἦν καὶ γνωριμώτατον τὸ ὄνομα αὐτοῦ. καὶ τοῦτο ἰδὼν ὁ προφήτης Δαβὶδ, ψάλλει που καί φησι πρὸς αὐτὸν περὶ τῶν ἐξ Ἰσραὴλ, "ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες "ἔθνη καὶ κατεφύτευσας αὐτήν·" προσεπάγει δὲ τούτοις, ποταμῷ Εὐφράτῃ, καὶ μὴν καὶ θαλάσσῃ τῇ πρὸς νότον καὶ Ἰνδικῇ τερματίζων τὴν Ἰουδαίαν, "ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, "καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς." συνεσταλμένον οὖν ἄρα καὶ εἰς μόλις διῆκον ἔθνος τὸ τοῦ πανσόφου Μωσέως ὁρᾶται κήρυγμα· προσετίθει δὲ τοῖς κεκλημένοις τῆς εὐπειθείας τὰ γέρα, καὶ τῆς ἐν νόμῳ ζωῆς ἀμοιβὰς, τὰ πρόσκαιρα καὶ εὐμάραντα. γῆν δέ φημι τὴν τῆς ἐπαγγελίας ὀνομάζειν πανταχῇ. καὶ δεδικαίωκε μὲν ὁ νόμος οὐδένα· "δικαιοῦται γὰρ οὐδεὶς ἐν νόμῳ παρὰ Θεοῦ," καὶ "ἔστιν ἀδύνατον αἷμα τράγων καὶ ταύρων ἀφαιρεῖν ἁμαρτίας."

Ὁ δέ γε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐλεήμων γέγονε καὶ πιστὸς ἀρχιερεὺς εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ, καὶ ἐν ᾧ γέγονεν αὐτὸς πειρασθεὶς, βεβοήθηκε τοῖς πειραζομένοις.

Κέκληκε μὲν γὰρ ἁγίᾳ καὶ ἐπουρανίῳ κλήσει τὴν οἰκουμένην, ἐλεήμων δὲ γέγονεν ἀρχιερεὺς, ὅτι μὴ νόμου διάκονος ἦν τοῦ κατακρίνοντος, ἀμνησικάκῳ δὲ μᾶλλον χάριτι καὶ ἀγάπῃ δεδικαίωκε διὰ πίστεως, καὶ τῶν ἀρχαίων ἡμῖν πταισμάτων δεδώρηται τὴν ἀπόνιψιν. ἐλεήμων γὰρ ὢν ἀεί τε καὶ φύσει, τέθειται μεσίτης ἡμῶν καὶ Θεοῦ διὰ τῆς ἐνανθρωπήσεως ὁ μονογενὴς αὐτοῦ Λόγος· ἵν᾽ ὥσπερ ἀεὶ χρηστός τε καὶ ἐλεήμων ἦν, οὕτω δὴ πάλιν ἀρχιερεὺς ἀναδεδειγμένος κατοικτείρῃ τοὺς ἐπὶ τῆς γῆς, τὰ φίλα τε αὐτῷ καὶ συνήθη δρῶν, καὶ τῶν ἰδίων οὐκ ἐξιστάμενος ἀγαθῶν, ἵλεω δὲ καὶ αὐτὸν ἡμῖν τὸν ἐν τοῖς οὐρανοῖς ἀποφήνῃ Πατέρα. γέγονε δὲ καὶ πιστὸς κατὰ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς, ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας προσαγαγὼν, καὶ τὰς πάντων ἡμῶν ἁμαρτίας ἀνενεγκὼν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, καθὰ γέγραπται· βεβοήθηκε γὰρ οὕτω τοῖς πειραζομένοις, "ἐν ᾧ πέπον- "θεν αὐτὸς πειρασθεὶς," "τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν," κατὰ τὸ γεγραμμένον. νοείσθω δὴ οὖν ἐν τούτοις "τὸ πειρασθεὶς," ἀντὶ τοῦ πεπονθὼς, ἤτοι πειρασμὸν τὸν ἐκ τῶν σταυρωσάντων ὑπενεγκών· δοὺς γὰρ ὑπὲρ πάντων τὸ ἐν ᾧ πέπονθε σῶμα, πάντας ἡμᾶς ἠλευθέρου, καὶ θανάτου καὶ ἁμαρτίας καὶ πειρασμῶν· οὐκοῦν "βεβοήθηκε τοῖς πειραζομένοις," εἷς ὑπὲρ πάντων ἀποθανὼν, ὁ πάσης τῆς κτίσεως ἀξιώτερος, ἵν᾽ οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.

Ὅτι γὰρ ἁγίους ἡμᾶς ἀποτελῶν σαρκὶ πέπονθεν ὁ Χριστὸς, πληροφορήσει λέγων ὁ θεσπέσιος Παῦλος τοῖς ἐξ ἐθνῶν τε καὶ Ἰουδαίων, "καὶ ὑμᾶς ποτὲ ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς "τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν "ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι "ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ, "εἴ γε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι καὶ μὴ "μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε."

σοφὸν οὖν ἄρα τοῖς κεκλημένοις εἰς ἐλπίδα ζῶσαν καὶ μένουσαν εἰπεῖν.

Ὅθεν, ἀδελφοὶ, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν Ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν· πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, καθὰ καὶ Μωϋσῆς ἐν τῷ οἴκῳ αὐτοῦ.

Ἐπουράνιον δὲ καὶ μάλα εἰκότως ὀνομάζει κλῆσιν τὴν διὰ Χριστοῦ· χαριεῖται γὰρ ὁ τῶν ὅλων Θεὸς τοῖς δι' αὐτοῦ κεκλημένοις, οὐ πρόσκαιρα καὶ εὐμάραντα, καὶ ὅσα τοῖς ἀρχαιοτέροις ὁ διὰ Μωσέως ἐδίδου νόμος, ἀλλ' ὅσα τοῖς ἅπαξ ἠξιωμένοις ἑλεῖν εἰς μακραίωνα βίον συνεκτείνεται, καὶ ἀναπόβλητον ἔχει τὴν κτῆσιν. κεχρηματίκαμεν δὲ καὶ ἑτέρως ἐπουράνιοι, Χριστοῦ πρωτεύοντος, καὶ ὁδοῦ καὶ θύρας ἡμῖν γεγονότος. καὶ γοῦν ὁ Παῦλός φησι, "καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν "καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου·" καὶ πάλιν, "ὁ πρῶτος ἄνθρωπος "ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἐξ οὐρανοῦ· οἷος ὁ χοϊκὸς, τοιοῦτοι "καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι." γεγόναμεν τοίνυν ἐπουράνιοι· μορφούμεθα γὰρ εἰς Χριστὸν διὰ Πνεύματος, ὅς ἐστιν ἐξ οὐρανοῦ· διὰ τοῦτο καὶ περιπατοῦντες ἐπὶ γῆς, ἔχομεν ἐν οὐρανοῖς τὸ πολίτευμα· "οὐ γὰρ τοῖς ἀρχαίοις ἐν "ἴσῳ προσεληλύθαμεν ἡμεῖς, ψηλαφωμένῳ πυρὶ καὶ γνόφῳ καὶ "ζόφῳ καὶ θυέλλῃ καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων· "προσεληλύθαμεν δὲ μᾶλλον Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος "Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν Ἀγγέλων, πανηγύρει καὶ "ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ κριτῇ "Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθή-"κης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λα-"λοῦντι παρὰ τὸ Ἄβελ." τὸ μὲν γὰρ αἷμα τοῦ Ἄβελ κατεκεκράτει τοῦ φονευτοῦ καὶ ἀδελφοκτόνου· λαλεῖ δὲ τὰ ἐκείνου κρείττονα, τὸ τίμιον αἷμα· μόνον γὰρ οὐχὶ καὶ ἐξαιτεῖ τῷ κόσμῳ τὸν ἐκ Πατρὸς ἔλεον, καὶ ῥεραντίσμεθα δι' αὐτοῦ πρὸς δικαίωσιν.

Κατανοήσωμεν τοίνυν τὸν Ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν.

Ἀρχιερέα δηλονότι καὶ Ἀπόστολον, ὃς καὶ γέγονε πιστὸς καὶ μέχρι θανάτου καὶ σταυροῦ, καθεὶς ἑαυτὸν ἐν εὐδοκίᾳ πατρὸς, ἵνα καὶ ἡμᾶς ἑαυτοῦ καταστήσῃ μιμητὰς, οὐ δι' αὐτὸν δεδιότας ὑπομεῖναι τὸν θάνατον, εἰ προσίοι κατὰ καιροὺς δι' εὐσέβειαν καὶ ὑπακοὴν τινὸς πρὸς Θεόν.

Συλλήψεται δὲ πρὸς τοῦτο ἡμῖν καὶ ὁ μακάριος Πέτρος οὕτω λέγων, "εἰς τοῦτο γὰρ καὶ ἐκλήθητε, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ "ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς "ἴχνεσιν αὐτοῦ." καὶ αὐτὸς δέ φησιν ὁ Σωτήρ· "εἴ τις θέλει "ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν "αὐτοῦ, καὶ ἀκολουθείτω μοι." τῷ γε μὴν ὠνομᾶσθαι πιστὸν τὸν Υἱὸν, ἀδικήσειεν ἂν οὐδὲν τὴν δόξαν αὐτοῦ· θεοπρεπεστάτην γὰρ οὖσαν τὴν λέξιν κατίδοι τις ἄν· καὶ ἐπ' αὐτοῦ δὲ κειμένην τοῦ Θεοῦ καὶ Πατρός. γέγραπται γοῦν ὅτι "Θεὸς πιστὸς, καὶ οὐκ "ἔστιν ἀδικία ἐν αὐτῷ, δίκαιος καὶ ὅσιος ὁ Κύριος." ἔφη δέ τις καὶ τῶν Χριστοῦ μαθητῶν, ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, "πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν." καὶ μὴν ὁ Παῦλος "πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ "Υἱοῦ αὐτοῦ·" τί γὰρ ἕτερον ἐν τούτοις ἡμῖν σημαίνει τὸ "πιστὸς," ἢ τὸ ἀσφαλής τε καὶ βέβαιος καὶ ἀξιόχρεως εἰς πίστιν ὧν ἂν λέγοι τυχὼν, ἢ ὧν ἂν ἕλοιτο κατορθοῦν; γέγονε δὲ τοιοῦτος ὁ Υἱὸς τῷ Πατρὶ, καὶ ἐνανθρωπότητι καθιγμένος, καὶ σταυρὸν καὶ θάνατον ἀνατλὰς, ἵνα κατορθώσῃ τὸ αὐτῷ δοκοῦν.

Θεοδώρητος. Πάλιν ἀρχιερέα καὶ Ἀπόστολον αὐτὸν ὡς ἄνθρωπον κέκληκεν· εἰ γὰρ ὡς Θεὸς ἀρχιερεύς ἐστι, καὶ πρὸ τῆς ἐνανθρωπήσεως τοῦτο ἂν ἦν, ὅτι δὲ καὶ Ἀπόστολον τῆς ὁμολογίας ἡμῶν μετὰ τὴν ἐνανθρώπησιν γέγονε ἐν τῇ πρὸς Γαλάτας ἔδειξεν, "ἐξαπέστειλε γὰρ," φησὶν, "ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ "γυναικός." ἔφη γοῦν "ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ "ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός "με· τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ "δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλ' ἀναστήσω αὐτὸ τῇ "ἐσχάτῃ ἡμέρᾳ." δεδέμεθα γὰρ ὡς Σωτῆρι καὶ ζωοποιῷ τῷ Υἱῷ, καὶ τοῦτο ἦν ἔργον αὐτῷ παρὰ τοῦ Πατρός· ἐνεργεῖ γὰρ δι' Υἱοῦ, πᾶν ὅτι ἂν βούλοιτο κατορθοῦσθαι θεοπρεπῶς, ὅτι καὶ δύναμις

αὐτοῦ ἐστι καὶ σοφία. διὰ τοῦτο καὶ αὐτὸς ἔφασκεν ὁ Υἱὸς, “ ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα ἃ “ δέδωκέ μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐτὰ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, “ μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ Πατὴρ μὲ ἀπέστειλε·” ψάλλει δέ που καὶ ὁ Δαβίδ· “ ἔντειλαι, ὁ Θεὸς, τῇ δυνάμει σου, δυνάμωσον ὁ “ Θεὸς τοῦτο ὃ κατειργάσω ἐν ἡμῖν.”

Φέρε δὲ πολυπραγμονήσωμεν εἰ δοκεῖ, τίς δὴ ἄρα καὶ ἐπὶ τίσι γέγονε τῷ Υἱῷ τῆς ἱερατείας ὁ τρόπος, πότερον δουλοπρεπὴς καὶ τῆς ἑτέρου δόξης ὑπουργὸς, ἢ μᾶλλον τῷ Υἱῷ τὰ κατὰ φύσιν ἁρμοδιώτατος, καὶ τοῖς τῆς ἐνανθρωπήσεως λόγοις οὐκ ἀσύμβατος. οἱ μὲν γὰρ πάλαι κατὰ τὸν Μωσέως δοθέντα νόμον ἱερουργοῦν τῷ Θεῷ, ὡς ἐν τύπῳ καὶ σκιᾷ προσῆγον λατρείας, αὐτὸν ἱερωμένοι τῷ Πατρὶ τὸν Υἱὸν, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακομίζοντες, ὡς ἐν χιμάρῳ καὶ κριῷ καὶ μόσχῳ πλειστάκις. ἔριφος γὰρ ὑπὲρ ἁμαρτίας ἐσφάζετο, κατά γε τὴν πίστιν τῶν ἱερῶν γραμμάτων, ἀλλ᾽ ἐν ἐκείνοις μὲν ἦν τῆς ἀληθείας ἡ μόρφωσις· γέγραφε δὲ ἡμῖν ὁ σοφώτατος Παῦλος, “ Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν “ μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ “ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι᾽ αἵματος “ τράγων καὶ μόσχων· διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ “ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑρόμενος.”

Τὴν σάρκα ἐκείνην λέγει μείζονα καὶ τελειοτέραν σκηνὴν, καθ᾽ ὃ ὁ Θεὸς Λόγος, καὶ πᾶσα ἡ τοῦ Πνεύματος ἐνέργεια ἐνοικεῖ ἐν αὐτῇ· “ οὐ γὰρ ἐκ μέτρου διδῶσιν ὁ Θεὸς τὸ Πνεῦμα,” τελειοτέρας δὲ ὡσείτε καὶ ἀλήπτου οὔσης καὶ μείζονος κατορθούσης, τουτέστι, φησὶν, “ οὐ ταύτης τῆς κτίσεως·” ἰδοῦ πῶς μείζονος, οὐ γὰρ ἄνθρωπος αὐτὴν κατεσκεύασεν, οὐδὲ ταύτης τῆς κτίσεώς ἐστιν, τουτέστιν, οὐ τούτων τῶν κτισμάτων, ἀλλ᾽ ἐκ Πνεύματος Ἁγίου. ὁρᾷς πῶς σκηνὴν καὶ καταπέτασμα καὶ οὐρανὸν τὸ σῶμα καλεῖ, διὰ τῆς μείζονος σκηνῆς, διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος καὶ εἰσερχομένην εἰς τὰ ἅγια τῶν ἁγίων, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ καθ᾽ ἕτερον καὶ ἕτερον σημαινόμενον; οἷόν τι λέγω, καταπέτασμα ὁ οὐρανός· ὥσπερ γὰρ

ἀποτειχίζει τὰ ἅγια καταπέτασμα, καὶ ἡ σὰρξ κρύπτουσα τὴν θεότητα, καὶ σκηνὴν ὁμοίως ὡς ἔχουσα τὴν θεότητα.

Ἐπράττετο μὲν γὰρ δι' αἵματος ἀλλοτρίου τῆς λατρείας ἡ δύναμις τοῖς κατὰ νόμον ἱερουργοῖς· ὑποδείγματι γὰρ καὶ σκιᾷ λελατρεύκασι τῶν ἐπουρανίων· Χριστὸς δὲ οὐχ οὕτω πολλοῦ γε καὶ δεῖ. σέσωκε γὰρ τὴν ἐπουράνιον αἵματι τῷ ἰδίῳ, καὶ οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης γέγονεν ἱερεὺς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου· προσκεκόμικε γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν, ἀτονούσης εἰς δικαίωσιν τῆς ἐν τύπῳ λατρείας· "καὶ γὰρ ἦν ἀδύνατον αἷμα "ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας·" ὅθεν καὶ δευτέρας διαθήκης ἐξετέθη τύπος, οὐκ ἐχούσης ἐφ' ἑαυτῇ τῆς πρώτης τὸ ἄμεμπτον. εἰδὼς δὲ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ὁ ἐξ αὐτοῦ κατὰ φύσιν Υἱὸς, ἑαυτὸν ὑπὲρ ἡμῶν πάντων προσκομιῶν τε ἅμα καὶ ἱερουργήσων αὐτῷ, γέγονεν ἄνθρωπος ὑπὲρ ἡμῶν· καὶ τούτου μάρτυς γένοιτ' ἂν ἡμῖν οὐ ψευδοεπὴς ὁ μακάριος Παῦλος· ἔφη γὰρ πάλιν περὶ αὐτοῦ, "διὸ εἰσορχόμενος εἰς τὸν κόσμον, λέγει, "θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· "ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας, τότε εἶπον, ἰδοὺ "ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι, ὁ "Θεὸς, τὸ θέλημά σου." τίς οὖν ἄρα ἐστὶν ὁ εἰς τὸν κόσμον εἰσερχόμενος; πῶς δὲ καὶ ὅλως εἰσβεβηκέναι λέγεται; μὴ οὐχὶ δὴ πρότερον ἔξω τε ὑπάρχων αὐτοῦ καὶ οἷον ἀπῳκισμένος;

Κυρίλλου. Ἐκβέβηκε τοίνυν εἰς τόνδε τὸν κόσμον ὁ ἐκ Θεοῦ Λόγος, οὐ τυπικῶς δὲ μᾶλλον, ἀλλὰ φυσικῶς, ὅτε καὶ αὐτὸς μέρος πέφηνε τοῦ κόσμου, καταρτίσαντος αὐτῷ τὸ σῶμα τοῦ Θεοῦ καὶ Πατρός· ἵνα καὶ τῆς ἁπάντων ζωῆς ἀνάλλαγμα γένηται, τεθνεὼς σαρκὶ κατὰ τὰς γραφάς· γέγονε γὰρ διὰ τοῦτο καινῆς διαθήκης μεσίτης, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας. ὠνόμασται τοίνυν ἀρχιερεὺς καὶ ἀπόστολος τῆς ὁμολογίας ἡμῶν, εὖ μάλα πεποιημένος· προσκεκόμικε τῷ Πατρὶ καθάπερ ὀσμὴν εὐωδίας πνευματικῆς, καὶ ὡς ἤδη κεκαθαρμένους, προσίομεν γὰρ λέγοντες τῆς πίστεως ἡμῶν τὸ μάθημα. ὅτε τοίνυν τῆς ἀκραιφνοῦς πίστεως τὴν ὁμολογίαν τε καὶ

ὁμοούσιον Τριάδα ποιεῖσθαι προστετάγμεθα, πῶς οὐχ ἅπασιν ἐναργὲς, οὐχ ὡς ἑτέρῳ μᾶλλον αὐτὴν ἱερούργει καὶ προὔχοντι τε καὶ ὑπερκειμένῳ κατὰ τὴν φύσιν, ἑαυτῷ δὲ μᾶλλον μετὰ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος. Θεὸς οὖν ἄρα καὶ ἐν σαρκὶ γεγονὼς νοοῖτ' ἂν εἰκότως· δεδικαιώμεθα γὰρ ὁμολογοῦντες ὅτι καὶ γέγονε σὰρξ, καὶ μεμένηκε Λόγος, καὶ πεπάτηκεν ὑπὲρ ἡμῶν τοῦ θανάτου τὸ κράτος, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς ἐκ ζωῆς τοῦ Πατρός.

Ὅτι γάρ ἐστι Θεὸς κατὰ φύσιν, καὶ Υἱὸς ἀληθῶς ὁ Ἐμμανουὴλ, οὐδὲν ἧττον ἡμᾶς πιστώσεται λέγων ὁ μακάριος Παῦλος, "ὡς γέγονε μὲν Ἀπόστολος καὶ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν, "πιστὸς δὴ πρὸς τούτῳ τῷ ποιήσαντι αὐτὸν, καθὰ καὶ Μωϋσῆς "ἐν τῷ οἴκῳ αὐτοῦ· πλείονός γε μὴν δόξης αὐτὸς ἠξίωται παρὰ "Μωσέα, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας "αὐτόν." καί μοι πάλιν ἐν τούτοις καταθαυμάζειν ἔπεισι τὸν μυσταγωγόν· ὑποτρέχει γὰρ εὐμηχάνως τὸν Ἰσραὴλ, οὐ μετρίως ἀπονενευκότα πρὸς τὸ ἐξήνιον, καὶ πρός γε τὸ δεῖν ἀντιφέρεσθαι τῷ Χριστῷ, καὶ τῶν εἰς Μωσέα τε λόγων καὶ ἐγκωμίων ἅπτεται· πιστὸν μὲν ἀποκαλῶν, συνεισάγων δὲ τούτοις ἀστείως τῆς τοῦ Σωτῆρος ἡμῶν ὑπεροχῆς τὸ πολὺ λίαν ἀνεστηκός· ἔφη γὰρ γενέσθαι Χριστὸν Ἀπόστολον καὶ ἀρχιερέα, καὶ πρός γε τούτῳ, πιστόν· καθάπερ ἀμέλει καὶ αὐτὸς γέγονεν ὁ Μωσῆς· εὐαφόρμως δὲ λίαν παρενεγκὼν εἰς μέσον τὸ Μωσέως ὄνομα, καὶ τοὺς ἐπαίνους τοὺς ἐπ' αὐτῷ προκαταθεὶς, τῷ λόγῳ δέδειχεν εὐθὺς κατόπιν ὄντα τῆς δόξης Χριστοῦ· τετιμῆσθαι γὰρ ἔφη μειζόνως αὐτὸν, "καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν."

Ὁρᾷς ὅπως καὶ ἐν σαρκὶ γεγονότα τὸν τοῦ Θεοῦ Λόγον καὶ ἐν τῇ τοῦ δούλου μορφῇ νοούμενον οἰκονομικῶς τῶν τῆς ἀνθρωπότητος ἀνακομίζει μέτρων, καὶ τῶν τῆς δουλείας ὅρων ἐπέκεινα τιθεὶς, γενεσιουργὸν εἶναί φησι τῶν ὅλων, καὶ αὐτοῦ δὲ δηλονότι Μωσέως, στεφανοῖ δὲ διὰ τῶν τούτων τῇ τῆς κατὰ φύσιν κυριότητος δόξῃ. εἰ γὰρ ἔστιν ἀληθὲς, ὅτι τῶν ποιημάτων οὐδὲν ταὐτὸν ἔσται κατ' οὐσίαν τῷ ποιητῇ, πῶς ἂν ἐνδοιάσειέ τις, ὅτι πάντη τε καὶ πάντως ἀμείνων ἔσται κατὰ τὴν δόξαν ὁ κατασκευάσας αὐτόν; ἐπιτήρει δὲ ὅτι τὸν Ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, αὐτὸν ἔφη πιστὸν μὲν γενέσθαι τῷ ποιήσαντι αὐτὸν,

καθὰ καὶ αὐτὸς ἦν ὁ ἱεροφάντης Μωσῆς· "πλείονός γε μὴν ἠξιῶ-"σθαι δόξης παρ᾽ ἐκεῖνον, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ "κατασκευάσας αὐτόν." προσεπάγει δὲ τούτοις, Θεὸν ὄντα καταδεικνὺς τὸν Ἰησοῦν· "πᾶς δὲ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ "δὲ τὰ πάντα κατασκευάσας Θεός·" οὐκοῦν εἰ μὲν ἦν τις ἄνθρωπος εἷς τῶν καθ᾽ ἡμᾶς ὁ Χριστὸς, ἔδει κρίνεσθαι τὰ κατ᾽ αὐτὸν, ὡς ἀπὸ μόνου τοῦ χρόνου τῆς κατὰ σάρκα γενέσεως.

Ἐπειδὴ δὲ ὁ καὶ αὐτῶν αἰώνων πρεσβύτατος μονογενὴς Υἱὸς, ἐν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς γέγονεν ἄνθρωπος, κεχρημάτικέ τε οὗτος Χριστὸς Ἰησοῦς· καινὸν γὰρ ὄνομα τοῦτο αὐτῷ καὶ τοῖς τῆς οἰκονομίας καιροῖς συνεισβεβηκὸς, προσέσται πάλιν αὐτῷ, καὶ εἰ γέγονε σὰρξ, τὸ πρὸ παντὸς εἶναι χρόνου, καὶ τὸ δεῖν ὁμολογεῖσθαι πρὸς ἡμῶν, ὅτι τῶν ὅλων ἐστὶ γενεσιουργός· "εἷς γὰρ Θεὸς ὁ "Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι᾽ οὗ "τὰ πάντα," καὶ πάλιν "Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ "αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας·" πῶς οὖν αὐτὸς κατὰ τὴν χθὲς ἂν εἴη, καίτοι γεννηθεὶς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς; ὅτι τῆς τοῦ Θεοῦ Λόγου φύσεως τὸ πρεσβύτατον, ὡς ἔφην, ἀναπόβλητον αὐτῷ μεμένηκεν ἀναγκαίως, καὶ ἐν χρόνοις τῆς μετὰ σαρκὸς καὶ νεωτάτης οἰκονομίας. καὶ γοῦν ἐποιεῖτο μὲν λόγους ποτὲ περὶ τοῦ προπάτορος Ἀβραὰμ πρὸς τὸν Ἰσραὴλ, λέγων· "Ἀβραὰμ ὁ "πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ "εἶδεν καὶ ἐχάρη." οἱ δὲ κατ᾽ οὐδένα τρόπον τὸ ἐπ᾽ αὐτῷ συνιέντες μυστήριον, ἄνθρωπον δὲ καθ᾽ ἡμᾶς ἁπλῶς, καὶ πέρα τούτου μηδὲν ὑπονοοῦντες ὑπάρχειν αὐτὸν, ἀσυνέτως ἔφασκον, "πεντή-"κοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;" ὁ δὲ πρὸς αὐτούς· "Ἀμὴν, λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι." ἔστι τοίνυν αὐτοῦ τε τοῦ Ἀβραὰμ καὶ Μωσέως καὶ τῶν ὅλων τεχνίτης καὶ γενεσιουργός· ἀνάγκη δὲ πᾶσα τῶν ἰδίων ποιημάτων προυφεστάναι λέγειν τὸν ποιητήν· καὶ τῶν κατ᾽ εἰκόνα τὴν πρὸς αὐτὸν ἐκτισμένων προαναφαίνεσθαι τὸ ἀρχέτυπον κάλλος. οὐκοῦν ἀσυγκρίτως τὸ Μωσέως ὑπερβαλεῖται μέτρον, μᾶλλον δὲ καὶ παντὸς τοῦ κεκλημένου πρὸς γένεσιν, ἡ δόξα Χριστοῦ ὑπάρξει. καὶ καθ᾽ ἕτερον δὲ τρόπον πειρᾶται πληροφορεῖν ὁ θεσπέσιος Παῦλος ὅτι γέγονεν αὐτῷ σοφός τε καὶ ἀληθὴς ὁ περὶ τούτων

λόγος· "ἦν μὲν γὰρ," φησὶν, "ὁ Μωσῆς πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ "αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων, Χριστὸς "δὲ ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ ὁ οἶκος ἐσμὲν ἡμεῖς."

Ἄθρει δὴ οὖν, ὅπως τῷ μὲν μακαρίῳ Μωϋσῇ μέτρον ἀπονέμει τὸ οἰκετικὸν, τῷ γνησιότητος τρόπῳ κοσμούμενον· εἶναι γάρ φησιν ἐν τῷ οἴκῳ πιστὸν, "εἰς μαρτύριον τῶν λαληθησομένων," τουτέστιν εἰς διακονίαν τῶν παρὰ Θεοῦ λόγων· Χριστὸν δὲ οὐχ οὕτως. εἰ γὰρ ὡς ἐν οἴκῳ πιστὸν οἰκέτην, ἀλλ' ὡς Υἱὸν καὶ δεσπότην ἐπὶ τὸν οἶκον τοῦ Πατρὸς, τουτέστιν ἡμᾶς τοὺς ἐν πίστει δεδικαιωμένους καὶ ἡγιασμένους ἐν Πνεύματι. πεπαιδαγώγηκε μὲν γὰρ ὁ Μωσῆς διὰ τῆς τοῦ νόμου σκιᾶς τοὺς ἀρχαιοτέρους, καὶ τὰ τῆς οἰκετικῆς γνησιότητος ἐκομίζετο γέρα, Θεοῦ λέγοντος πρὸς αὐτόν· "σὺ δὲ "αὐτοῦ στῆθι μετ' ἐμοῦ·" πολὺ δὲ λίαν ἐν ἀμείνοσιν ἐπὶ Χριστοῦ. κεκάθικε γὰρ ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, καὶ κατῴκησεν ὡς Υἱὸς καὶ Κύριος ἐν τῷ οἴκῳ τοῦ Πατρὸς αὐτοῦ. ἐναυλίζεται γὰρ ἡμῶν ὡς Θεὸς διὰ τοῦ ἰδίου Πνεύματος, καί τοι τοῦ πανσόφου Μωσέως ἐν οὐδενὶ κατοικήσαντος, οὐ γὰρ μέτοχοι γεγόναμεν Μωσέως, ἀλλ' οὐδὲ ἑτέρου τινὸς τῶν ἁγίων· μετεσχήκαμεν δὲ τοῦ Χριστοῦ, διά τε τοῦ Πνεύματος καὶ τῆς εὐλογίας τῆς μυστικῆς. καί τοι γὰρ Θεοῦ λέγοντος δι' ἑνὸς τῶν ἁγίων προφητῶν, "ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ "ἔσομαι αὐτῶν Θεός·" ἐνεστηκότος ἤδη καιροῦ καθ' ὃν ἔδει τοῦτο πληροῦν, κατῴκηκεν ἐν ἡμῖν ὁ Χριστὸς κατὰ τὴν ἀρχαίαν ὑπόσχεσιν, ἵν' ἡμᾶς ἀποφήνῃ ναοὺς Θεοῦ ζῶντος, τουτέστιν αὐτοῦ, καὶ συνάψῃ δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρί· καὶ γοῦν ἔφη τοῖς ἁγίοις Ἀποστόλοις, "ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε, ὅτι ἐγὼ ἐν τῷ "Πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν·" "ὁ γὰρ κολλώ-"μενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι," κατὰ τὸ γεγραμμένον. παρατιθέμενος δὲ καὶ ἡμᾶς τῷ Θεῷ καὶ Πατρὶ, πάλιν οὕτω φησίν· "οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ πάντων τῶν πι-"στευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες ἓν ὦσι, "καθὼς σὺ Πατὴρ ἐν ἐμοὶ, κἀγὼ ἐν σοί· ἵνα καὶ αὐτοὶ ἐν "ἡμῖν ἓν ὦσιν· ἵνα ὁ κόσμος πιστεύῃ ὅτι σύ με ἀπέστειλας, "κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν,

“ καθὼς καὶ ἡμεῖς ἕν· ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί· ἵνα ὦσι “ τετελειωμένοι εἰς ἕν.”

Οὐκοῦν ἐν Χριστῷ τὸ τῆς ἑνώσεως ἀγαθὸν τῆς πρὸς Θεὸν καὶ Πατέρα κεκερδήκαμεν, καὶ μένει πάντως ἐν ἡμῖν, τὸ οὕτω λαμπρὸν καὶ περιφανὲς ἀγλάϊσμα τετηρηκόσι τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος, καὶ πρός γε τούτοις πιστεύουσιν, οὐχ ὅτι παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς ἕτερός ἐστιν ἰδικῶς τε καὶ ἀνὰ μέρος Υἱὸς, ὁ ἐκ τῆς ἁγίας παρθένου γεγενημένος ναός· ἀλλ᾽ ὅτι “ γέ- “ γονε” μὲν κατὰ τὰς γραφὰς “ σὰρξ ὁ Λόγος, καὶ ἐσκήνωσεν ἐν “ ἡμῖν·” οὐ πέπαυται δὲ τοῦ εἶναι Θεὸς, ἀλλ᾽ ἔστιν Υἱὸς εἷς, καὶ Κύριος εἷς, Ἰησοῦς ὁ Χριστός.

Τοῦ μακαρίου Ἀθανασίου. Ποιητὴς γὰρ ὢν καὶ δημιουργὸς, ὕστερον γεγένηται ἀρχιερεὺς, ἐνδυσάμενος σῶμα τὸ γενητὸν καὶ ποιητὸν, ὅπερ καὶ προσενεγκεῖν ὑπὲρ ἡμῶν δύναται· διὸ καὶ λέγεται πεποιῆσθαι. πότε γὰρ πεποίηται, ἢ πότε Ἀπόστολος γέγονεν, εἰ μὴ ὅτε παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός· ταύτην γὰρ προσενέγκας τὴν σάρκα δι᾽ ἑαυτοῦ, ἀρχιερεὺς ὠνομάσθη, καὶ γέγονεν ἐλεήμων καὶ πιστός· ἐλεήμων μὲν, ὅτι ὑπὲρ ἡμῶν προσενέγκας ἠλέησεν ἡμᾶς· πιστὸς δὲ, ὅτι οὐ πίστεως μετέχων, οὐδ᾽ ἔστιν[1] ἀπιστεύων ὥσπερ ἡμεῖς, ἀλλὰ πιστεύεσθαι ὀφείλων περὶ ὧν ἂν λέγῃ καὶ ποιῇ, καὶ ὅτι πιστὴν θυσίαν προσφέρει τὴν μένουσαν καὶ μὴ διαπίπτουσαν. αἱ μὲν γὰρ κατὰ νόμον προσφερόμεναι οὐκ εἶχον τὸ πιστὸν, καθ᾽ ἡμέραν παρεχόμεναι, καὶ δεόμεναι πάλιν καθαρμοῦ· ἡ δὲ τοῦ Σωτῆρος θυσία, ἅπαξ γενομένη, τετελείωκε τὸ πᾶν, καὶ πιστὴ γέγονε, μένουσα διὰ παντός· καὶ ἡ μὲν κατὰ νόμον ἱερατεία, καὶ θανάτῳ παρήμειβε τοὺς προτέρους· ὁ δὲ Κύριος καὶ ἀπαράβατον καὶ ἀδιάδοχον ἔχων τὴν ἀρχιερωσύνην, πιστὸς γέγονεν ἀρχιερεὺς, παραμένων ἀεὶ, καὶ τῇ ἐπαγγελίᾳ πιστὸς γινόμενος, εἰς τὸ ὑπακούειν καὶ μὴ πλανᾷν τοὺς προσερχομένους· καὶ ὁ μὲν Μωσῆς θεράπων, ὁ δὲ Χριστὸς Υἱός· καὶ ὁ μὲν πιστὸς εἰς τὸν οἶκον, οὗτος δὲ ἐπὶ τὸν οἶκον, ὡς αὐτὸς αὐτὸν κατασκευάσας, καὶ Κύριος αὐτοῦ καὶ δημιουργὸς τυγχάνων, καὶ ὡς Θεὸς ἁγιάζων αὐτόν. ὁ μὲν γὰρ Μωσῆς ἄνθρωπος ὢν φύσει, πιστὸς ἐγένετο, πιστεύων τῷ διὰ τοῦ λόγου λαλοῦντι αὐτῷ Θεῷ·

[1] Leg. ἔτι.

ὁ Λόγος οὐχ ὥσπερ τις τῶν γενητῶν ἦν ἐν σώματι, ἀλλὰ Θεὸς ἐν σαρκὶ καὶ δημιουργὸς, καὶ κατασκευαστὴς ἐν τῷ κατασκευασθέντι ὑπ' αὐτοῦ.

7 Διὸ καθὼς λέγει τὸ Πνεῦμα τὸ Ἅγιον, σήμερον ἐὰν
8 τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας
ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ
9 πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες
ὑμῶν, ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου τεσσαρά-
10 κοντα ἔτη· διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον,
ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς
11 ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται
εἰς τὴν κατάπαυσίν μου.

Σοφωτάτην ἐν τούτοις ποιεῖται τὴν ἐπίπληξιν τοῖς Ἑβραίων δήμοις, εἰς ἀνάμνησιν αὐτοὺς ἄγων τῶν τοῖς πατράσι συμβεβηκότων κατὰ τὴν ἔρημον. ἐκλετυτρωμένοι γὰρ τῆς Αἰγυπτίων πλεονεξίας, ὀψὲ καὶ μόλις τὸν τῆς ἀσυνήθους δουλείας ἀπολυσάμενοι ζυγὸν, κέκληνται πρὸς γῆν τὴν τοῖς πατράσιν ἐπηγγελμένην· εἶτα πλείστων τε ὅσων αὐτοῖς καὶ μὴν καὶ ἀξιαγάστων ἐπιδειχθέντων σημείων, παροτρύνοντες οὐ διαλελοίπασιν ὃν διὰ πάσης ἐπεικείας, καὶ τῆς εἰς ἅπαν ὁτιοῦν εὐπειθείας θεραπεύειν ἐχρῆν. ἐπειδὴ δὲ ἧκον πρὸς αὐτοῖς ἤδη τοῖς ὅροις τῆς ἀεὶ προσδοκηθείσης αὐτοῖς χώρας τε καὶ γῆς, προσκεκρούκασιν ἀπιστήσαντες· μὴ γὰρ μὴ δύνασθαι διασώσειν αὐτοὺς τὸν τῶν δυνάμεων Κύριον παραφρονοῦντες ἔφασκον, ἀπολεῖσθαι δὲ καὶ οὐκ εἰς μακρὰν διὰ χειρὸς τῶν κατοικούντων ἐν αὐτῇ, καὶ δὴ καθίσαντες ἔκλαιον, καὶ ὑπονοστῆσαι πάλιν εἰς τὴν τῶν πλεονεκτησάντων ἐβουλεύοντο γῆν. τί οὖν πρὸς ταῦτα Θεός; "προσώχθισα τῇ γενεᾷ ταύτῃ," φησὶ, "καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς "ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν "κατάπαυσίν μου." εὐθέως οὖν ὁ Παῦλος παρενεγκὼν εἰς παράδειγμα τὰ τοῖς ἀρχαίοις συμβεβηκότα διά γε τὸ ἀπιστεῖν ἑλέσθαι Θεῷ, "Βλέπετε," φησὶν, "ἀδελφοί· μή ποτε ἔσται ἔν τινι "ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ "ζῶντος." ἡ μὲν οὖν ἀπιστία δίκης τε ὁμοῦ καὶ ὀλέθρου προμνή-

στρια γένοιτ' ἄν· καὶ μάλα εἰκότως τοῖς ἀγαπῶσιν αὐτήν· τὸ δὲ δὴ προσήκασθαι μὲν τὴν πίστιν τὴν εἰς Χριστὸν, μὴ μὴν ἔτι καὶ ὑγιῶς τοῦτο δρᾷν, φαίην ἂν ἔγωγε, τοῖς τῆς ἀπιστίας αἰτιώμασιν, ἀδελφὴν ὥσπερ τινὰ τὴν φαυλότητα νοσεῖν.

(Ευσεβίου.) Εὐσέβιός φησιν, ἅπαξ ποτὲ, φησὶν, ἐσκληρύνατε τὰς καρδίας ὑμῶν ἀκούσαντες αὐτοῦ τῆς φωνῆς ἐπὶ τῆς ἐρήμου· ὁρᾶτε οὖν μὴ καὶ δεύτερον αὐτὸ πράξητε, ἐὰν αὖθις αὐτοῦ τῆς φωνῆς ἀκούσητε ἐν ἀνθρώποις γενομένου. τὸ δὲ "σήμερον" εἰς πάντα τὸν ἐνεστηκότα αἰῶνα ἀναφέρει· ἑκάστη γὰρ ἡμέρα τοῦ αἰῶνος σημαίνεται διὰ τοῦ σήμερον. "διὸ προσώχθισα τῇ γενεᾷ "ἐκείνῃ," τούτου, φησὶν, ἕνεκα, τὴν γενεὰν ἐκείνην ἐβδελυξάμην, τὸ κοῦφον αὐτῶν καὶ εὐρίπιστον τῆς γνώμης ἰδών.

Καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Οἱ δὲ οὐδὲ ταῖς ἀπειλαῖς προσέχειν ἠθέλησαν, οὐδὲ μεταμελείᾳ λῦσαι τὴν ἀπειλὴν ἐβουλήθησαν· οὗ δὴ χάριν τῆς τοῖς πατράσιν ἐπηγγελμένης οὐκ ἀπέλαυσαν γῆς. τὴν γὰρ γῆν ἐκείνην κατάπαυσιν αὐτοῦ προσηγόρευσε, κατὰ δὲ τοὺς ἄλλους ἑρμηνευτὰς ἀνάπαυσιν. ἐπειδὴ γὰρ ἐν τῇ ἐρήμῳ τὰς μεταβάσεις ὡς ὁδοιποροῦντες ἐποιοῦντο συχνὰς, τῆς σκηνῆς ἡγουμένης ἐν ᾗ κατοικεῖν ὁ Θεὸς ἐνομίζετο, ἐν δὲ τῇ γῇ τῆς ἐπαγγελίας καὶ αὐτοὶ τῆς ὁδοιπορίας ἐπαύσαντο, καὶ ἡ σκηνὴ τοῖς ἀφιερωθεῖσιν ἐνεπάγη χωρίοις, εἰκότως κατάπαυσιν ἐκάλεσε τῆς ἐπαγγελίας τὴν γῆν· ὁδοὺς δὲ Θεοῦ, τὰς οἰκονομίας ἐκάλεσε. τὰ αὐτὰ δὲ καὶ ἡμᾶς διαδέξεται, εἰ τῆς τοῦ Θεοῦ φωνῆς εἰσέτι καὶ νῦν κατὰ τὴν σήμερον ἡμέραν ἀνακαλουμένης ἡμᾶς ἀκούοντες σκληρύνοιμεν τὰς ἑαυτῶν καρδίας· διαλήψεται γὰρ ἡμᾶς ὀργὴ Θεοῦ, καὶ ἀποπεσούμεθα τῆς παρ' αὐτῷ καὶ σὺν αὐτῷ ἀναπαύσεως, ἥτις γενήσεται μετὰ τὴν ἔξοδον τοῦ παρόντος βίου· τότε γὰρ τὸ ἀληθινὸν σάββατον ἡμᾶς διαδέξεται, ἐν ᾧ ἀληθινῷ σαββάτῳ αὐτὸς ὁ Θεοῦ Λόγος ἀναπαύσεται ἐν ἡμῖν, τοῖς διὰ πράξεων ἀγαθῶν τὴν ἀρετὴν κατορθώσασιν.

(Χρυσοστόμου.) Ὁ δὲ μακάριος Ἰωάννης εἰς τὸ "καθὼς "λέγει τὸ Πνεῦμα τὸ Ἅγιον, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ

"ἀκούσητε," λέγει, περὶ ἐλπίδος ἣν αὐτῷ ὁ λόγος, ὅτι χρὴ ἐλπίζειν τὰ μέλλοντα, καὶ ὅτι ἔσται πάντως τοῖς ἐνταῦθα πονήσασι μισθός τις καὶ καρπὸς καὶ ἀνάπαυσις· τοῦτο οὖν ἀπὸ τοῦ προφήτου δείκνυσιν, "ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς "τὴν κατάπαυσίν μου." τρεῖς φησὶ καταπαύσεις εἶναι, μίαν τὴν τοῦ σαββάτου, ἐν ᾗ ὁ Θεὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, δευτέραν τὴν τῆς Παλαιστίνης, εἰς ἣν εἰσελθόντες οἱ Ἰουδαῖοι ἔμελλον ἀναπαύεσθαι ἀπὸ τῆς ταλαιπωρίας τῆς πολλῆς καὶ τῶν πόνων· τρίτην τὴν ὄντως ἀνάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἧς οἱ τυχόντες ἀνεπαύοντο ὄντως τῶν πόνων καὶ τῶν μόχθων. τῶν τριῶν τοίνυν ἐνταῦθα μέμνηται· καὶ τίνος ἕνεκεν περὶ τῆς μιᾶς διαλεγόμενος, τῶν τριῶν ἐμνημόνευσεν; ἵνα δείξῃ τὸν προφήτην περὶ ταύτης λέγοντα· περὶ μὲν γὰρ τῆς πρώτης οὐκ εἶπε, φησὶ, πῶς πάλαι γεγενημένης, ἀλλ' οὐδὲ περὶ τῆς δευτέρας τῆς ἐν Παλαιστίνῃ· οὐ γὰρ εἰσελεύσονται, φησὶν, εἰς τὴν κατάπαυσίν μου· εἰς δὲ τὴν Παλαιστίνην, καὶ εἰσῆλθον καὶ ἀνεπαύσαντο. λείπεται δὴ τὴν τρίτην ταύτην εἶναι λοιπόν.

12 Βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος.

Ἀπὸ γὰρ σκληρότητος ἡ ἀπιστία γίνεται· καὶ καθάπερ τὰ πεπωρωμένα τῶν σωμάτων καὶ σκληρὰ οὐκ εἴκει ταῖς τῶν ἰατρῶν χερσὶν, οὕτω καὶ αἱ ψυχαὶ αἱ σκληρυνθεῖσαι οὐκ εἴκουσι τῷ λόγῳ τοῦ Θεοῦ. εἰκὸς γὰρ ἀπιστεῖν αὐτοὺς, ὡς οὐκ ὄντων ἀληθῶν τῶν γινομένων. ἐπειδὴ γὰρ ὁ τῶν μελλόντων λόγος οὐκ ἔστιν οὕτω πιθανὸς ὡς ὁ τῶν παρελθόντων, ἀναμιμνήσκει αὐτοὺς ἱστορίας, ἐν ᾗ πίστεως ἐδεήθησαν. εἰ γὰρ οἱ πατέρες ὑμῶν, φησὶν, ἐπειδὴ οὐκ ἤλπισαν, ὥσπερ ἐχρῆν ἐλπίσαι, ταῦτα ἔπαθον, πολλῷ μᾶλλον ὑμεῖς.

13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται.

Σευηριανοῦ. Ὥσπερ μίαν ἡμέραν τὸν παρόντα αἰῶνα εἰσάγει· μέτοχοι γὰρ Χριστοῦ γεγόναμεν, ἐάν περ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν.

(Θεοδώρος.) Θεόδωρος φησιν· οὐδὲ γὰρ νῦν, φησὶ, συμβου-

λεύειν προσῆκεν ὑμῖν, ὅπως ἂν ἀποστάντες τῶν χειρόνων ἐπὶ τὸ κρεῖττον ῥέψητε διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως. πρὸς γὰρ ἤδη πεπιστευκότας ὁ λόγος μοι γίνεται, ὥστε τὰ αὐτὰ παραινεῖν ὑμῖν προσῆκεν, ὅπως ἂν ἐπιμένητε τοῖς δόξασιν ἅπαξ· τοῦτο οὖν λέγει, ὅτι οἱ πιστεύσαντες καὶ τοῦ Πνεύματος μετειληφότες, μέτοχοι τῆς ὑποστάσεως τοῦ Χριστοῦ γεγόναμεν, ὥσπερ τινὰ φυσικὴν τὴν πρὸς αὐτὸν κοινωνίαν δεξάμενοι· λείπει δὴ λοιπὸν τὸ τὴν ἀρχὴν ταύτην ἐν ἀκεραίῳ διαφυλάξαι γνώμῃ.

16 Τίνες γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες
17 οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως· τίσιν δὲ προσ-
ώχθισεν τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν; ὧν
τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ, καὶ τὰ ἑξῆς.

Θεοδώρου. Βούλεται δεῖξαι, ὅτι πάντες οἱ διὰ Μωσέως ἐξελθόντες ἀπώλοντο δι' ἀπιστίαν, ὥστε ἐκ παραλλήλου μειζόνως φοβῆσαι τούτους πρὸς οὓς ἐποιεῖτο τὸν λόγον, οὔτε τῇ ἀκολουθίᾳ τῶν ἑξῆς, τοῦ "τίσιν δὲ προσώχθισε;" καὶ "τίσι δὲ ὤμοσεν;" ἀναγινωσκομένων μὲν κατ' ἐρώτησιν, τὴν αὐτὴν δὲ ἀπαιτούντων ἀνταπόδοσιν· οὔτε ἐκεῖνο, ὅτι τινὲς δὲ ἀκούσαντες παρεπίκραναν τότε, λέγεσθαι κατ' αὐτὴν ἠδύναντο τὴν διάνοιαν, εἴπερ δὴ ὀλίγοι ἀπὸ πολλῶν τοῦτο ὑπομεμενηκότες ἦσαν· λέγομεν γὰρ ἐπὶ τῶν πραττομένων, ὅτι τίνες ἐποίησαν τόδε μέρος, ἀπὸ πλήθους ἀποτεμνόμενοι, ὅταν ἐλάττονας εἶναι τοὺς πεποιηκότας συμβαίνῃ τῶν οὐ πεποιηκότων· ἐνταῦθα δὲ δύο μόνοι, Ἰησοῦς καὶ Χαλέβ· ὥστε οὐδὲ ἀκολουθίαν εἶχε τινὰ τὸ λέγειν, τίνας εἶναι τοὺς παραπικραίνοντας, δύο μόνων ἀπὸ τοσούτου πλήθους ὄντων, οὐδὲν λυμαίνεσθαι τῇ ἀποφάσει τῶν δύο νομίσας τὸν ἀριθμόν.

ΚΕΦ. Ε.

Προτροπὴ σπουδάσαι εἰς τὴν προδηλουμένην κατάπαυσιν.

1 Φοβηθῶμεν οὖν μή ποτε καταλειπομένης ἐπαγγελίας
εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν
ὑστερηκέναι.

(Θεόδωρος.) Προσῆκεν φοβεῖσθαι, φησὶν, ὅπως ἂν μὴ αὐτοὶ

τῆς εἰς τὴν κατάπαυσιν εἰσόδου τὴν ἐπαγγελίαν δεξάμενοι ὑστερήσωμεν μοχθηρίᾳ γνώμης· μηδὲ γάρ τις οἰέσθω ἀρκεῖν αὐτῷ τὴν ἐπαγγελίαν τῶν μελλόντων, ὥσπερ οὐδὲ ἐκείνοις· οὐ γὰρ ἦσαν κατὰ τὴν πίστιν τοῖς ἐπαγγελθεῖσι συνημμένοι, ὅθεν οὕτως ἀναγνωστέον, "μὴ συγκεκερασμένους τῇ πίστει τοῖς ἀκουσθεῖσιν," ἵνα εἴπῃ ταῖς πρὸς αὐτοὺς γεγενημέναις ἐπαγγελίαις τοῦ Θεοῦ διὰ Μωσέως.

Διὸ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν.

Χρυσοστόμου. Ὁ μακάριος Ἰωάννης φησι· τουτέστιν, οἰκοδομεῖτε ἀλλήλους, ἀνορθώσατε ἑαυτοὺς, ἵνα μὴ τὰ αὐτὰ γένηται, "ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας·" ὁρᾷς ὅτι τὴν ἀπιστίαν ἡ ἁμαρτία ποιεῖ; ὥσπερ γὰρ ἡ ἀπιστία βίον τίκτει πονηρὸν, οὕτω καὶ ὅταν ψυχὴ εἰς βάθος ἔλθῃ κακῶν, καταφρονεῖ, καταφρονήσασα δὲ οὐδὲ πιστεύειν ἀνέχεται ὥστε ἀπαλλάξαι φόβου αὐτήν· "μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ·" μετέχομεν αὐτοῦ, φησὶν, ἓν ἐγενόμεθα ἡμεῖς καὶ αὐτὸς, εἴπερ αὐτὸς μὲν κεφαλὴ, σῶμα δὲ ἡμεῖς, συγκληρονόμοι καὶ σύσσωμοι, ἓν σῶμά ἐσμεν ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ· "ἐάν περ "τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχω"μεν·" "τίς ἐστιν ἀρχὴ τῆς ὑποστάσεως; τὴν πίστιν δι' ἧς "ὑπέστημεν καὶ οὐσιώμεθα καὶ γεγενήμεθα, ὡς ἄν τις εἴποι, εἶτα "ἐπάγει," ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ· καθυπέρβατόν ἐστιν ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

Φοβηθῶμεν οὖν μή ποτε καταλειπομένης ἐπαγγελίας
εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν
2 ὑστερηκέναι· καὶ γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ
κἀκεῖνοι, ἐν τῷ λέγεσθαι σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ
ἀκούσητε, τὸ γὰρ σήμερον ἀεί ἐστιν· ἀλλ' οὐκ ὠφέλησεν
ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκερασμένους τῇ
πίστει τοῖς ἀκούσασιν.

Πῶς οὐκ ὠφέλησεν; εἶτα βουλόμενος αὐτοὺς φοβῆσαι, δείκνυσι

τοῦτο αὐτὸ, δι' ὧν φησι, "τίνες γὰρ ἀκούσαντες παρεπίκραναν, " ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως· τίσιν " δὲ προσώχθισε μ' ἔτη· οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα " ἔπεσον ἐν τῇ ἐρήμῳ; τίσιν δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν " κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; καὶ βλέπομεν ὅτι " οὐκ ἠδυνήθησαν ἀνελθεῖν διὰ ἀπιστίαν." εἰπὼν πάλιν τὴν μαρτυρίαν, καὶ τὴν ἐρώτησιν ἐπάγει, ὅπερ ποιεῖ τὸν λόγον σαφῆ· " εἶπε γὰρ," φησὶ, " σήμερον ἐὰν τῆς φωνῆς ἀκούσητε, μὴ σκλη- " ρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ·" τίνων μέμνηται, φησὶ, σκληρυνθέντων, τίνων δὲ ἀπειθησάντων· οὐ τῶν Ἰουδαίων; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ἤκουσαν κἀκεῖνοι, φησὶν, ὥσπερ ἡμεῖς ἀκούομεν, ἀλλ' οὐδὲν ὄφελος αὐτοῖς γέγονε· μὴ τοίνυν νομίσητε ὅτι ἀπὸ τοῦ ἀκούειν τοῦ κηρύγματος ὠφεληθήσεσθε, ἐπεὶ κἀκεῖνοι ἤκουσαν, ἀλλ' οὐδὲν ἀπώναντο, ἐπεὶ μηδὲ ἐπίστευσαν. οἱ οὖν περὶ Χαλὲβ καὶ Ἰησοῦν ἐπειδὴ μὴ συνεφώνησαν τοῖς ἀπιστήσασι, διέφυγον τὴν κατ' ἐκείνων ἐξενεχθεῖσαν τιμωρίαν· καὶ ὅρα τί θαυμαστῶς· οὐκ εἶπεν οὐ συνήνεσαν, ἀλλ' οὐ συνεκράθησαν, τουτέστιν, ἀστασιάστως διέστησαν τῶν πάντων, μίαν καὶ τὴν αὐτὴν γνώμην ἐσχηκότων. ἐνταῦθά μοι δοκεῖ καὶ στάσιν αἰνίττεσθαι· εἰσελευσόμεθα γὰρ, φησὶν, εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες· πόθεν τοῦτο δῆλον, ἐπήγαγε, καθὼς εἴρηκεν, " ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰσελεύσονται εἰς τὴν κατά- " παυσίν μου," καὶ τοιούτων ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων· καὶ μὴν τοῦτο οὐ τοῦ ἡμᾶς εἰσελεύσεσθαι δῆλόν ἐστιν, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσεληλυθέναι. τί οὖν σπουδάζει δεῖξαι τέως; ὅτι ὥσπερ ἡ κατάπαυσις ἐκείνη οὐ κωλύει ἑτέραν κατάπαυσιν λέγεσθαι, οὕτως οὐδὲ αὕτη τὴν τῶν οὐρανῶν. τέως οὖν θέλει δεῖξαι, ὅτι οὐκ ἔτυχον ἐκεῖνοι τῆς καταπαύσεως. ὅτι γὰρ τοῦτο λέγει, φησὶν, " εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτως· " καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἀπὸ πάντων " τῶν ἔργων αὐτοῦ," καὶ ἐν τούτῳ πάλιν, " εἰσελεύσονται εἰς τὴν " κατάπαυσίν μου" ὁρᾷς πῶς οὐ κωλύει ἐκείνη ταύτην εἶναι κατάπαυσιν.

6 Ἐπεὶ οὖν ἀπολείπεται τινὰς εἰσελθεῖν εἰς αὐτὴν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐχ εἰσῆλθον δι' ἀπείθειαν·

7 *πάλιν τινὰ ὁρίζει ἡμέραν ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦ-*
τον χρόνον, καθὼς προείρηται.

Τί δέ ἐστιν ὅ φησιν; ἐπεὶ οὖν ὀφείλουσι, φησὶ, τινὲς εἰσελθεῖν, πάντως ἐκεῖνοι οὐκ εἰσῆλθον· ὅτι δὲ εἰσελθεῖν χρὴ, καὶ δεῖ τινας εἰσελθεῖν, ἀκούσωμεν, πόθεν τοῦτο δῆλον, μετὰ τοσαῦτα ἔτη φησὶ, λέγει πάλιν ὁ Δαβὶδ, "σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ "ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν· εἰ γὰρ αὐτοὺς "Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα "ἡμέρας·" δῆλον δὲ ὅτι ὡς μελλόντων τινῶν τεύξεσθαί τινος ἀμοιβῆς ταῦτά φησι.

9 *Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.*

Οὐ γὰρ ἂν εἰ μὴ ἦν σαββατισμὸς, ταῦτα παρηγγέλλοντο, οὐδὲ ἐκελεύοντο μὴ τὰ αὐτὰ ποιεῖν, ἵνα μὴ τὰ αὐτὰ πάθωσι· πῶς δὲ ἔμελλον τὰ αὐτὰ πείσεσθαι οἱ τὴν Παλαιστίνην οἰκοῦντες, εἰ μὴ ἑτέρα τις ἦν κατάπαυσις; καὶ καλῶς συνεπέρανε τὸν λόγον· οὐ γὰρ εἶπε κατάπαυσις, ἀλλὰ σαββατισμὸς, τὸ οἰκεῖον ὄνομα καὶ ᾧ ἔχαιρον καὶ ἐπέτρεχον, σαββατισμὸν τὴν βασιλείαν καλῶν· ὥσπερ γὰρ ἐν τῷ σαββατισμῷ πάντων μὲν τῶν πονηρῶν ἀπέχεσθαι κελεύει, ἐκεῖνα δὲ μόνα γίνεσθαι τὰ πρὸς λατρείαν τοῦ Θεοῦ, ἅπερ οἱ ἱερεῖς ἐπετέλουν, καὶ ὅσα ψυχὴν ὠφελεῖ, καὶ μηδὲν ἕτερον, οὕτω καὶ τότε· ἀλλ' αὐτὸς οὐχ οὕτως εἶπεν, ἀλλὰ τί; "ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυ-"σεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός·" ἐπειδὴ περὶ ἀναπαύσεως αὐτοῖς ὁ λόγος ἦν, καὶ τοῦτο ἐπεθύμουν ἀκοῦσαι πότε ἔσται, εἰς τοῦτο τὸν λόγον κατέκλεισε· τὸ δὲ σήμερον ὥστε μηδέποτε ἀπελπίζειν ἑαυτούς· "παρακαλεῖτε, φησὶν, ἑαυτοὺς "καθ' ἑκάστην ἡμέραν," τουτέστι κἂν ᾖ τις ἡμαρτηκὼς, ἕως ἂν ᾖ τὸ σήμερον ἐλπίδας ἔχει· εἶτα ἵνα μὴ νομίσῃ τις ὅτι ἁπλῶς τῆς ἀναπαύσεως ἀποστερηθήσονται μόνον, ἐπάγει καὶ κόλασιν, εἰπὼν,

12 *Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτε-*
ρος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος

ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.

Ἐνταῦθα περὶ τῆς κολάσεως διαλέγεται, εἰς τὰ κρυπτὰ αὐτὰ, φησὶ, διϊκνεῖται τῆς καρδίας τῆς ἡμετέρας, καὶ διατέμνει τὴν ψυχήν· οὐ κῶλα ἐστὶ πεσεῖν ἐνταῦθα, οὐδὲ γῆς ἀποστερηθῆναι καθάπερ ἐκεῖ, ἀλλὰ βασιλείας οὐρανῶν καὶ ἀθανάτῳ παραδοθῆναι κολάσει καὶ τιμωρίᾳ.

(Θεόδωρος.) Θεόδωρος δέ φησιν, ἀληθινῆς καταπαύσεως τοῦτο τὸ ἔργον, τὸ μὴ πάλιν ἐπὶ τὰ παλαιὰ ἀνατρέχειν, μεταβολὴν ὑπομένοντας καὶ μετάθεσιν· ὥσπερ γὰρ ὁ Θεὸς λέγεται πεπαῦσθαι τοῦ ποιεῖν τὸν κόσμον, ἅπαξ αὐτοῦ τῇ κατασκευῇ τέλος δεδωκὼς, οὕτως προσῆκε καὶ τὸν εἰς κατάπαυσιν εἰσιόντα, μὴ παλινδρομεῖν ἐπὶ τὰ παλαιὰ, πόνους ὑφορώμενον τοὺς τῆς ἀρετῆς παράβασιν νομίμων[m]· τούτοις γὰρ ἀκολουθεῖν ἀνάγκη τὴν μεταβολὴν, καὶ τὴν ἀπὸ τῆς καταστάσεως μετάστασιν· τὸ δὲ σήμερον, φησὶν, οὔτε ἀόριστόν ἐστιν, οὔτε μὴν ἐπὶ τοῦ ἐκτὸς ἡμέρας διαστήματος λέγεσθαι δύναται, ὡς ἂν ἐφ᾽ ἑκάστης ἡμέρας τοῦ σήμερον ἁρμόττοντος. τοῦτο δὲ οὐ τῆς ἀποστολικῆς σαφηνείας ἕνεκεν μόνον ἐπισημήνασθαι δίκαιον ᾠήθην, ἀλλὰ καὶ τῶν βουλομένων ἐπὶ τῆς γεννήσεως τῆς τοῦ μονογενοῦς θεότητος λαμβάνειν τὸ "ἐγὼ "σήμερον γεγέννηκά σε·" οἳ τὸ σήμερον ἀόριστον εἶναι ἀποφαίνονται, οὐδὲ τοῦτο ἐννοοῦντες, ὅτι τὸ σήμερον λέγεσθαι οὐκ ἂν δύναιτο μὴ οὔσης ἡμέρας· ὅτι γὰρ οὐδὲ ἀόριστον λέγοιτο ἂν τὸ σήμερον, σαφῶς ὁ Ἀπόστολος ἐδήλωσεν εἰπὼν, "πάλιν, τινὰ "ὁρίζει ἡμέραν ἐν Δαβὶδ λέγων, εἰ δὲ καὶ ἑτέρωθι παρακαλεῖτε "ἑαυτοὺς, ἔφη καθ᾽ ἑκάστην ἡμέραν ἄχρις οὗ τὸ σήμερον καλεῖ"ται," πρῶτον μὲν ἔδειξεν ὅτι οὐκ ἔξω τῶν ἡμερῶν τὸ σήμερον λέγοιτο, τῷ εἰπεῖν καθεκάστην ἡμέραν, καὶ οὕτως ἐπαγαγεῖν τὸ "ἄχρις οὗ τὸ σήμερον καλεῖται·" ἔπειτα οὐδὲ οὕτω φαίνεται περὶ τοῦ σήμερον ὡς ἂν ἀορίστου διαλεγόμενος, οὐ δυναμένου μὲν τοῖς παρεληλυθόσι, δυναμένου δὲ καὶ τοῖς μέλλουσιν ἁρμόττειν· τί γάρ φησι; καθ᾽ ἑκάστην ἡμέραν τὸ σήμερον λέγεσθαι πρὸς ἡμᾶς νομίσαντες, οὕτως ἐπιμελεῖσθαι τοῦ μένειν ἐπὶ τῆς πίστεως· ὡς

[m] Hæc corrupta sunt.

γὰρ τοῦ σήμερον τὴν παροῦσαν σημαίνοντος ἡμέραν, οὕτως αὐτοῖς συνεβούλευσε, καταχρησάμενος τῇ σημασίᾳ μᾶλλον πρὸς τὸ τῆς παραινέσεως ὠφέλιμον.

(Σευηριανός.) Σευηριανὸς δέ φησι, μερισμὸν ψυχῆς καὶ πνεύματος λέγει, ὅταν ἡ μὲν ψυχὴ προσπάσχει τῷ σώματι, τοῦ δὲ Ἁγίου Πνεύματος ἡ χάρις ἀνθέλκει πρὸς τὰ οὐράνια.

ΚΕΦ. ς.

Τὸ φοβερὸν τῆς κρίσεως παρὰ τῷ λόγῳ τῷ διὰ πάντων, καὶ τὸν χρηστὸν τῆς χάριτος τῆς ἱερατικῆς παρὰ τῷ ὁμοιοπαθήσαντι ἡμῖν ἀνθρωπίνως.

Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυ-
σιν, ἵνα μὴ ἐν τῷ αὐτῶν τις ὑποδείγματι πέσῃ τῆς ἀπι-
13 στίας,—(ἕως)—πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα
τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

Χρυσοστόμου. Ὁ μακάριος Ἰωάννης φησι, δεῖ τοίνυν ἡμῖν πολλῆς σπουδῆς, ἵνα μὴ ὁμοίως ἐκπέσωμεν· ὅτι γὰρ ἐκπεσούμεθα, τὸ ὑπόδειγμα δηλοῖ, καὶ ἵνα μὴ ἀκούων ἐν τῷ αὐτῷ τὴν αὐτὴν εἶναι νομίσῃς τιμωρίαν, ἄκουσον τί ἐπάγει· "ζῶν γὰρ ὁ λόγος τοῦ "Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστο-"μον" καὶ τὰ ἑξῆς· δείκνυσιν ἐνταῦθα, ὅτι κἀκεῖνα αὐτὸς εἰργάσατο ὁ τοῦ Θεοῦ Λογος, καὶ ζῇ, καὶ οὐκ ἐσβέσθη· μὴ τοίνυν ἐπειδὴ λόγον ἤκουσας ἁπλῶς νομίσῃς· μαχαίρας γάρ ἐστι τομώτερος· ὅρα τὴν συγκατάβασιν, καὶ ἐντεῦθεν σκόπει τίνος ἕνεκεν ἐδεήθησαν οἱ προφῆται εἰπεῖν, μάχαιραν καὶ ῥομφαίαν καὶ τόξον· "ἐὰν μὴ "ἐπιστραφῆτε, φησὶ, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον "αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό·" εἰ γὰρ νῦν μετὰ τοσοῦτον χρόνον καὶ τελείωσιν, οὐ δύναται τῷ τοῦ λόγου ὀνόματι καταπλῆξαι μόνον, ἀλλὰ δεῖται τούτων τῶν ῥημάτων ἵνα δείξῃ τὴν ὑπεροχὴν τὴν ἐκ τῆς συγκρίσεως, πολλῷ μᾶλλον τότε, "διϊκνού-"μενος," φησὶν, "ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος." τί ἐστὶ τοῦτο; φοβερόν τι ἠνίξατο, ἢ ὅτι τὸ πνεῦμα διαιρεῖ ἀπὸ τῆς ψυχῆς, ἢ ὅτι καὶ αὐτῶν τῶν ἀσωμάτων διϊκνεῖται, οὐ καθὼς ἡ μάχαιρα μόνον τῶν σωμάτων. δείκνυσιν ἐνταῦθα ὅτι καὶ ψυχὴ κολά-

ζεται, καὶ ὅτι τὰ ἐνδότατα διερευνᾶται καὶ τὰ ἐγκάρδια κρίνει· ἐκεῖ γὰρ διαβαίνει καὶ κολάζων καὶ ἐξετάζων, καὶ τί λέγω περὶ ἀνθρώπων, φησὶ, κἂν γὰρ Ἀγγέλους εἴπῃς, κἂν Ἀρχαγγέλους, κἂν τὰ Χερουβὶμ, κἂν τὰ Σεραφὶμ, κἂν οἱανδήποτε κτίσιν, πάντα ἐκκαλύπτεται τῷ ὀφθαλμῷ ἐκείνῳ· πάντα δῆλά ἐστι καὶ φανερά· "πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς "ὃν ἡμῖν ὁ λόγος." τί ἐστι τετραχηλισμένα; ἀπὸ μεταφορᾶς τῶν δερμάτων τῶν ἀπὸ τῶν ἱερείων ἐξελκομένων. ὥσπερ ἐκεῖνα, ἐπειδὰν σφάξας τις ἀπὸ τῆς σαρκὸς καθελκύσῃ τὸ δέρμα, πάντα τὰ ἔνδον ἐκκαλύπτεται, καὶ δῆλα ποιεῖ τοῖς ἡμετέροις ὀφθαλμοῖς, οὕτω καὶ τῷ Θεῷ δῆλα πρόκειται πάντα." τί ἐστιν ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας; ὡς ἄν τις εἴποι, διά τι οὐκ ἴδιον ἐκεῖνος τὴν γῆν ἔλαβεν ἀρραβῶνα τῆς τοῦ Θεοῦ δυνάμεως; δέον πιστεῦσαι, τῷ φόβῳ πλέον ἐνδόντες, καὶ μηδὲν μέγα περὶ τοῦ Θεοῦ φαντασθέντες, ἢ καὶ ὀλιγοψυχήσαντες, οὕτως ἀπώλοντο. ἔστι δὲ καὶ ἕτερόν τι εἰπεῖν, οἷον ὅτι πλέον ἀνύσαντες τῆς ὁδοῦ, ὅτε πρὸς αὐταῖς ταῖς θύραις ἐγένοντο, πρὸς αὐτῷ τῷ λιμένι κατεποντίσθησαν· τοῦτο δὲ καὶ περὶ ὑμῶν δέδοικα, φησὶν, ὅτι γὰρ καὶ οὗτοι πολλὰ ἔπαθον, ὕστερον αὐτοῖς μαρτυρεῖ λέγων, "ἀναμνή-"σθητε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν "ὑπεμείνατε παθημάτων·" μηδεὶς οὖν πρὸς τὸ τέλος ἀπαγορεύων καταπιπτέτω· ἱκανοὶ γὰρ, φησὶν, οἱ πρόγονοι παιδεῦσαι ἡμᾶς, μὴ τοῖς αὐτοῖς περιπεσεῖν, μὴ τὰ αὐτὰ παθεῖν, ἅπερ ἔπαθον· τοῦτό ἐστιν, "ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας," ὃ καὶ πρὸς τῷ τέλει λέγει, "τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γό-"νατα ἀνωρθώσατε·" εἶτα, ἵνα μὴ ἀκούσας ἐν τῷ αὐτῷ ὑποδείγματι, τὸν αὐτὸν θάνατον ὑπολάβῃς, ὅνπερ κἀκεῖνοι ὑπέμειναν, ὅρα τί φησι, "ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώ-"τερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον·" πάσης γὰρ μαχαίρας χαλεπώτερον εἰς τὰς τούτων ἐμπίπτει ψυχὰς ὁ λόγος, πληγὰς ἐργαζόμενος χαλεπάς· καὶ καιρίας δίδωσι στομάς. εἶτα περὶ Υἱοῦ διαλέγεται, "πρὸς ὃν ἡμῖν ὁ λόγος·" αὐτῷ, φησὶν, ἔχομεν εὐθύνας δοῦναι τῶν πεπραγμένων· πῶς οὖν ἵνα μὴ πέσωμεν, μηδὲ ὀλιγοψυχήσωμεν, ἱκανὰ μὲν κἀκεῖνά φησι παιδεῦσαι.

14 Ἔχομεν δὲ ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς· Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ· κρατῶμεν τῆς ὁμολογίας.

Ὅτι γὰρ διὰ τοῦτο προσέθηκεν, ἐπήγαγεν, "οὐ γὰρ ἔχομεν "ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν·" διὰ τοῦτο ἀνωτέρω ἔλεγεν, "ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται "τοῖς πειραζομένοις βοηθῆσαι·" πάντων γὰρ ἔλαβε τῶν ἀνθρωπίνων πεῖραν· εἶπεν ἐκεῖ, οὐκ ἔστι κτίσις ἀφανὴς, τὴν θεότητα αἰνιττόμενος· εἶτα ἐπειδὴ τῆς θεότητος ἐπελάβετο, συγκαταβατικώτερον πάλιν διαλέγεται λέγων· "ἔχοντες οὖν ἀρχιερέα μέ"γαν διεληλυθότα τοὺς οὐρανοὺς," καὶ μείζονα δείκνυσι τὴν κηδεμονίαν, καὶ ὅτι ὡς ὑπὲρ οἰκείων προΐσταται, καὶ οὐ θέλει αὐτοὺς ἐκπεσεῖν· Μωϋσῆς μὲν γὰρ, φησὶν, οὐκ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν, αὐτὸς δὲ εἰσῆλθεν· ἀλλ' οὐ τὸ πᾶν τῷ ἱερεῖ δίδωσι, ἀλλὰ καὶ τὰ παρ' ἡμῶν ζητεῖ, λέγω δὴ τὴν ὁμολογίαν· ποίαν; ὅτι ἀνάστασίς ἐστιν, ὅτι ἀντίδοσις, ὅτι μυρία ἀγαθὰ, ὅτι ὁ Χριστὸς Θεός ἐστιν, ὅτι ἡ πίστις ὀρθή· ταῦτα ὁμολογήσωμεν, ταῦτα κατέχωμεν. ὅτι γὰρ ταῦτα ἀληθῆ, δῆλον ἐκ τοῦ τὸν ἱερέα ἔνδον εἶναι, συμπαθῆσαι δυνάμενον ταῖς ἀσθενείαις ἡμῶν· οὐκέτι, φησὶν, ἀγνοῶν τὰ ἡμέτερα, ὡς πολλοὶ τῶν ἀρχιερέων, οἳ τοὺς ἐν θλίψεσιν οὐκ ἴσασιν, οὐδὲ ὅτι ποτέ ἐστι θλίψις· ἐπὶ γὰρ ἀνθρώπων ἀδύνατον εἰδέναι τὴν κάκωσιν τοῦ κακουμένου, τὸν μὴ πεῖραν λαβόντα, καὶ διὰ τῶν αἰσθητῶν ἐλθόντα· πάντα ὑπέστη ὁ ἀρχιερεὺς ὁ ἡμέτερος, ἵνα δύνηται συμπαθεῖν.

15 Πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας.

Τουτέστιν, ἐδιώχθη, ἐνεπτύσθη, κατηγορήθη, ἐσκώφθη, ἐσυκοφαντήθη, ἀπηλάθη, τὸ τέλος ἐσταυρώθη "καθ' ὁμοιότητα χωρὶς "ἁμαρτίας." ἐνταῦθα καὶ ἄλλο αἰνίττεται, ὅτι δυνατὸν χωρὶς ἁμαρτίας καὶ ἐν θλίψεσιν ὄντα διενεγκεῖν, ὥστε καὶ ὅταν λέγῃ, "ἐν ὁμοιώματι σαρκὸς," οὐ τοῦτό φησιν, ὅτι ὁμοίωμα σαρκὸς, ἀλλ' ὅτι σάρκα ἀνέλαβε. διὰ τί οὖν εἶπεν ὁμοιώματι; ὅτι περὶ ἁμαρτωλοῦ σαρκὸς ἔλεγεν· ὁμοία γὰρ ἦν τῇ σαρκὶ τῇ ἡμετέρᾳ,

τῇ μὲν γὰρ φύσει ἡ αὐτὴ ἦν ἡμῖν· τῇ δὲ ἁμαρτίᾳ οὐκέτι ἡ αὐτή.

16 Προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος αὐτοῦ, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

Θρόνον φησὶ τὸν βασιλικὸν, περὶ οὗ φησιν, "εἶπεν ὁ Κύριος "τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου." τί ἐστι "προσερχόμεθα "μετὰ παρρησίας;" ὅτι ἀναμάρτητον ἔχομεν ἱερέα καταγωνιζόμενον τὴν οἰκουμένην· εἰ καὶ ἡμεῖς ὑπὸ ἁμαρτίας ἐσμὲν, ἀλλ' αὐτὸς ἀναμάρτητος. πῶς προσερχόμεθα μετὰ παρρησίας; θρόνος γὰρ χάριτός ἐστιν, οὐ θρόνος κρίσεως, νῦν διὰ τοῦτο "μετὰ παρ-"ρησίας, ἵνα λάβωμεν ἔλεον," καὶ οἷον ζητοῦμεν· φιλοτιμία γὰρ τὸ πρᾶγμα, δωρεὰ βασιλική· καὶ "χάριν εὕρωμεν εἰς εὔκαιρον "βοήθειαν·" ἂν μὲν γὰρ νῦν προσέλθῃ, φησὶ, λήψῃ χάριν καὶ ἔλεον· εὐκαίρως γὰρ προσέρχῃ, ἂν δὲ τότε προσέλθῃς, οὐκέτι· οὐ γὰρ ἔστι τότε θρόνος χάριτος, ἕως ὅτε κάθηται χαριζόμενος ὁ βασιλεύς· ὅταν δὲ ἡ συντέλεια, τότε ἐγείρεται εἰς κρίσιν· "προσερ-"χώμεθα δὲ μετὰ παρρησίας," πάλιν μὴ ἔχοντες συνειδὸς πονηρὸν, μὴ διστάζοντες· οὐ γὰρ δύναται μετὰ παρρησίας ὁ τοιοῦτος προσελθεῖν· διὰ τοῦτο λέγει, "καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ "ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι·" ἵνα δὲ μὴ ἀκούων ἀρχιερέα, νομίσῃς αὐτὸν ἑστάναι, εὐθέως αὐτὸν ἐπὶ τὸν θρόνον ἀνάγει, ὁ δὲ ἱερεὺς οὐ κάθηται, ἀλλ' ἕστηκεν. ὁρᾷς ὅτι τὸ γενέσθαι ἀρχιερέα οὐχὶ φύσεώς ἐστιν, ἀλλὰ συγκαταβάσεως καὶ κενώσεως.

1 Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ
ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν· ἵνα προσ-
2 φέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν
δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐ-
3 τὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς
περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ
ἁμαρτιῶν.

Θέλει δεῖξαι λοιπὸν, ὅτι πολλῷ βελτίων ἡ διαθήκη αὕτη τῆς παλαιᾶς· ποιεῖ οὖν τοῦτο, πόρρωθεν προκαταβάλλων τοὺς λο-

γισμούς. ἐπειδὴ γὰρ οὐδὲν ἦν σωματικὸν, οὐδὲ φανταστικὸν, οἷον, οὐ ναὸς, οὐχ ἅγια ἁγίων, οὐχ ἱερεὺς τοσαύτην ἔχων σκευήν· οὐ γὰρ παρατηρήσεις νομικά, ἀλλ' ὑψηλότερα καὶ τελειότερα πάντα, καὶ τὸ πᾶν ἐν τοῖς πνευματικοῖς· οὐχ οὕτω δὲ τὰ πνευματικὰ τοὺς ἀσθενεστέρους ὑπήγετο ὡς τὰ σωματικὰ, τοῦτον ὅλον ἀνακινεῖ τὸν λόγον· καὶ θέα τὴν σύνεσιν, ἀπὸ τοῦ ἱερέως πρώτου ποιεῖται τὴν ἀρχὴν, καὶ ἀπ' αὐτοῦ πρώτου δείκνυσι τὴν διαφοράν. διὰ τοῦτο ὁρίζεται πρῶτον τί ἐστιν ἱερεὺς, καὶ δείκνυσιν εἴ τινα ἔχει ἱερέως, καὶ εἰ τὰ σύμβολα ταῦτα σύμβολα δείκνυται ἱερωσύνης· ἀντέπιπτε δὲ αὐτῷ, ὅτι οὔτε εὐγενὴς ἦν, οὔτε ἐκ φυλῆς ἱερατικῆς, οὔτε ἐπὶ τῆς γῆς ἱερεύς· πῶς οὖν ἱερεύς φησι; καὶ πρῶτον ἀπὸ τῶν παρόντων αὐτὸ βεβαιοῦται. ἔδει μὲν γὰρ ἀπὸ τῶν οὐρανίων τὰ ἐπίγεια πιστεύεσθαι· ἀλλ' ὅταν ἀσθενεῖς ὦσιν οἱ ἀκούοντες, τὸ ἐναντίον γίνεται· καὶ τέως ἃ κοινά ἐστι, τίθησι πρῶτα, καὶ τότε δείκνυσιν ὅτι ὑπερέχει. ἡ γὰρ κατὰ σύγκρισιν ὑπεροχὴ οὕτω γίνεται, ὅταν ἐν μὲν τοῖς κοινωνῇ, ἐν δὲ τοῖς ὑπερέχῃ· "πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος" τοῦτο κοινὸν τῷ Χριστῷ ὑπὲρ ἀνθρώπων καθίσταται, καὶ τοῦτο, "ἵνα "προσφέρῃ δῶρα καὶ θυσίας ὑπὲρ τοῦ λαοῦ·" καὶ τοῦτο οὐχ ὅλον, τὰ δὲ λειπόμενα οὐκέτι.

Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις.

Ἐνταῦθα λοιπὸν ἡ ὑπεροχὴ, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν, καὶ διὰ ταύτην ὀφείλει καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν· εἶτα καὶ ἄλλο ὑφ' ἕτερον, φησὶ, γίνεται, καὶ οὐκ αὐτὸς ἐπιπηδᾷ· καὶ τοῦτο κοινὸν, "καὶ οὐχ "ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ "καθάπερ καὶ Ἀαρών·" ἐνταῦθα ἕτερόν τι πάλιν θεραπεύει, ὅτι ἀπὸ Θεοῦ ἀπέσταλται, ὃ καὶ ἄνω καὶ κάτω Ἰουδαίοις διαλεγόμενος ἔλεγεν ὁ Χριστὸς, "ὅτι ἀπ' ἐμοῦ οὐκ ἐλήλυθα·" ἐνταῦθα δέ μοι δοκεῖ καὶ τοὺς Ἰουδαίων αἰνίττεσθαι ἱερέας ὡς οὐκέτι ὄντας ἱερέας τοὺς ἐπιπηδῶντας, καὶ τὸν νόμον τῆς ἱερωσύνης παραφθείροντας· οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γεννηθῆναι ἀρχιερέα. ποῦ οὖν ἐχειροτονήθη, φησὶν, ὁ γὰρ Ἀαρὼν ἐχειροτονήθη

πολλάκις, ὡς ἐπὶ τῆς ῥάβδου, καὶ ὅτε πῦρ κατῆλθε καὶ ἠφάνισε τοὺς ἐπιπηδῆσαι βουλομένους τῇ ἱερωσύνῃ, ἐνταῦθα δὲ τοὐναντίον, οὐ μόνον οὐδὲν ἔπαθον, ἀλλὰ καὶ εὐδοκιμοῦσιν· πόθεν οὖν; ἀπὸ προφητείας τοῦτο δείκνυσιν, οὐδὲν ἔχει αἰσθητὸν, οὐδὲν ὁρατόν· διὰ τοῦτο ἀπὸ προφητείας, ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται, " ἀλλ' ὁ " λαλήσας," φησὶ, " πρὸς αὐτὸν, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον " γεγέννηκά σε." τί πρὸς τὸν υἱὸν τοῦτο; ναὶ, φησὶ, προκατασκευή ἐστι τοῦ ὑπὸ Θεοῦ χειροτονηθῆναι, καθὼς καὶ ἐν ἑτέρῳ λέγει· " σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ;" οὐδεὶς ἕτερος, πάντες γὰρ ὑπὸ νόμον ἦσαν, πάντες ἐσαββάτιζον, πάντες περιετέμνοντο, οὐδένα ἂν ἔχοιεν ἕτερον δεῖξαι.

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ
ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου,
μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ
8 εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς, ἔμαθεν
ἀφ' ὧν ἔπαθεν τὴν ὑπακοήν.

Ὁρᾷς ὅτι οὐδὲν ἄλλο ποιεῖ, ἢ τὸ κηδεμονικὸν παρίστησι, καὶ τῆς ἀγάπης τὴν ὑπερβολήν· τί γὰρ βούλεται τὸ " μετὰ κραυγῆς " ἰσχυρᾶς;" οὐδαμοῦ τοῦτο τὸ εὐαγγέλιόν φησιν, οὐδὲ ὅτι ἐδάκρυσεν εὐχόμενος, οὐδὲ ὅτι κραυγὴν ἐποιήσατο. ὁρᾷς ὅτι συγκατάβασις ἦν; οὐ γὰρ ἐνῆν εἰπεῖν ὅτι ηὔξατο, ἀλλὰ καὶ " μετὰ " κραυγῆς ἰσχυρᾶς."

Εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς,
9 ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, καὶ τελειωθεὶς
ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας
10 αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ
τὴν τάξιν Μελχισεδέκ.

Τί *λέγεις; αἰσχυνέσθωσαν οἱ αἱρετικοί.*

Γενναδίου. *Ἀντὶ τοῦ τῷ πάθει τὸ μάθημα τῆς ὑπακοῆς ἔχων ἐντελέστατον, ἐπεδείξατο, καὶ ταῦτα τυγχάνων Υἱός. οὕτω δὲ καὶ ἡμεῖς λέγειν εἰώθαμεν· πολλάκις γοῦν ἄριστα λόγον διεξεληλυθότος τινὸς, φαμὲν ὅτι οὗτος ἀληθῶς ἔμαθεν ἀφ' ὧν εἴρηκε λόγους, τουτέστι τῇ ἀγγελίᾳ καὶ τῇ φράσει βεβαίως ἔδειξεν κατωρθωκέναι τῶν λόγων τὴν μάθησιν.*

Ὁ υἱὸς τοῦ Θεοῦ ἀπὸ εὐλαβείας ἠκούετο· καὶ τί περὶ τῶν προφητῶ νπλέον ἂν εἴποι τις; ποία δὲ καὶ ἀκολουθία εἰπεῖν "εἰσα-"κουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς, ἔμαθεν ἀφ' ὧν "ἔπαθε τὴν ὑπακοήν;" ταῦτα περὶ Θεοῦ ἄν τις εἴποι; καὶ τίς οὕτως μέμηνε; τίς δὲ παραπαίων ταῦτα ἐφθέγξατο; ποίαν ὑπακοὴν ὁ μέχρι θανάτου πρὸ τούτου ὑπακούσας ὡς πατρὶ υἱός; πῶς ὕστερον ἔμαθεν; ὁρᾷς ὅτι περὶ τῆς σαρκώσεως εἴρηται; εἰπὲ δή μοι, τοῦ πατρὸς ἐδεῖτο ἵνα σωθῇ ἀπὸ τοῦ θανάτου, καὶ διὰ τοῦτο περίλυπος ἦν, καὶ ἔλεγεν, "εἰ δυνατὸν παρελθέτω ἀπ' ἐμοῦ τὸ "ποτήριον τοῦτο;" οὐδαμοῦ δὲ περὶ ἀναστάσεως ἐδεήθη τοῦ πατρὸς, ἀλλὰ τοὐναντίον αὐτὸς ἀποφαίνεται λέγων· "λύσατε τὸν "ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν," καὶ "ἐξουσίαν "ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν "αὐτὴν, οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· ἐγὼ τίθημι αὐτὴν ἀπ' "ἐμαυτοῦ·" τί οὖν ἐστι; τίνος ἕνεκεν ἐδεῖτο; ἢ περὶ τίνος ἐδεῖτο τῶν πιστευσάντων εἰς αὐτόν; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰσακούεται εἰκότως· ἐπειδὴ γὰρ οὐδέπω περὶ αὐτοῦ δόξαν εἶχον τὸν προσήκουσαν, εἶπεν ὅτι εἰσηκούσθη, ὥσπερ καὶ αὐτὸς τοὺς μαθητὰς παραμυθούμενος ἔλεγεν, "εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι "πρὸς τὸν Πατέρα πορεύομαι· καὶ γὰρ ὁ Πατήρ μου μείζων μου "ἐστι·" πῶς δὲ οὐχ ἑαυτὸν ἐδόξασεν ὁ ἑαυτὸν κενώσας, ὁ παραδοὺς ἑαυτόν; "παρέδωκε γὰρ," φησὶν, "ἑαυτὸν ὑπὲρ τῶν ἁμαρ-"τιῶν ἡμῶν·" καὶ πάλιν, "δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων "ἡμῶν·" τί οὖν ἐστιν; ὁρᾷς ὅτι διὰ τὴν σάρκα ταπεινὰ φθέγγεται περὶ αὐτοῦ; οὕτω καὶ ἐνταῦθα, "καίπερ ὢν υἱὸς, ἀπὸ τῆς "εὐλαβείας εἰσηκούσθη," φησί· βούλεται δεῖξαι αὐτοῦ τὸ κατόρθωμα ὂν μᾶλλον ἢ τῆς χάριτος τοῦ Θεοῦ· τοσαύτη, φησὶν, ἦν αὐτοῦ ἡ εὐλάβεια, ὡς καὶ ἀπὸ τούτου αἰδεῖσθαι αὐτὸν τὸν Θεὸν, ἔμαθεν ὑπακούειν τῷ Θεῷ, φησὶν, ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας. εἰ δὲ ἐκεῖνος Υἱὸς ὢν ἐκέρδανεν ἀπὸ τῶν παθημάτων τὸ ὑπακούειν, πολλῷ μᾶλλον ἡμεῖς. ὁρᾷς πόσα περὶ ὑπακοῆς διαλέγεται, ὥστε πείθεσθαι αὐτούς; δοκοῦσι γὰρ ἀφηνιάζειν.

Καὶ τελειωθεὶς διὰ τῶν παθημάτων.

Τοῦτό ἐστιν ἄρα τελείωσις, καὶ διὰ τούτου ἐλθεῖν εἰς τελείωσιν

χρή· οὐ μόνον γὰρ αὐτὸς ἐσώθη, ἀλλὰ καὶ ἑτέροις τοῦτο γέγονε περιουσία σωτηρίας, τελειωθεὶς γὰρ ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας.

Προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν
11 τάξιν Μελχισεδέκ· περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν.

Μέλλων καθιέναι εἰς τὴν διαφορὰν τῆς ἱερωσύνης, πρότερον αὐτοὺς ἐπιτιμᾷ, δεικνὺς ὅτι καὶ ἡ τοσαύτη συγκατάβασις γάλα ἦν, καὶ διὰ τὸ νηπίους αὐτοὺς εἶναι, πλέον ἐνδιέτριβε τῷ ταπεινῷ λόγῳ τῷ κατὰ σάρκα, καὶ ὡς περί τινος δικαίου οὐ διαλέγεται· καὶ θέα, οὔτε ἀπεσιώπησε τὸν λόγον πάντη, οὔτε εἶπε, τὸ μὲν γὰρ ἵνα ἀναγάγῃ αὐτῶν τὴν διάνοιαν καὶ πείσῃ τελείους εἶναι, καὶ μὴ ἀποστερεῖσθαι τῶν μεγάλων δογμάτων πεποίηκε, τὸ δὲ ἵνα μὴ καταχώσῃ αὐτῶν τὸν νοῦν.

ΚΕΦ. Ζ.

Ἐπιτίμησις τοῖς δεομένοις τῆς στοιχειώδους εἰσαγωγῆς.

Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς.

Ἐπειδὴ ἐκεῖνοι οὐκ ἀκούουσι, διὰ τοῦτο δυσερμήνευτος ὁ λόγος· ὅταν γάρ τις πρὸς ἀνθρώπους ἔχῃ μὴ παρακολουθοῦντας, μηδὲ τὰ λεγόμενα διανοοῦντας, ἑρμηνεῦσαι οὐ δύναται καλῶς αὐτοῖς.

12 Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι, διὰ τὸν χρόνον.

Δείκνυσιν ἐνταῦθα, πρὸ πολλοῦ χρόνου πεπιστευκότας αὐτούς· δείκνυσιν ὅτι καὶ λαϊκοὶ ὀφείλουσι κατηχεῖν· ὅρα γοῦν αὐτὸν ὠδίνοντα συνεχῶς τὸν περὶ τοῦ ἀρχιερέως εἰσαγαγεῖν λόγον, καὶ ἀεὶ ἀναβαλλόμενον· ἄκουε γὰρ ὅπως ἤρξατο, "ἔχοντες ἀρχιερέα μέ-"γαν διεληλυθότα τοὺς οὐρανούς·" καὶ παρεὶς εἰπεῖν πῶς μέγαν, πάλιν φησὶ, "πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, "ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν·" καὶ πάλιν, "οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γεννηθῆναι ἀρχιερέα·" καὶ πάλιν εἰπὼν, "σὺ εἶ ἱερεὺς κατὰ τὴν τάξιν Μελχισέδεκ·"

πάλιν ἀναβάλλεται λέγων, "ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς "αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας προσενέγκας." ἐπεὶ οὖν τοσαυτάκις ἐξεκρούσθη, ὡσανεὶ ἀπολογούμενος, φησὶν, ἡ αἰτία παρ' ὑμῖν· βαβαὶ πόση διαφορὰ, ὀφείλοντες ἄλλους διδάσκειν, οὐδὲ ἁπλῶς μαθηταί εἰσιν, ἀλλὰ μαθηταὶ ἔσχατοι· "καὶ γὰρ ὀφεί-"λοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ "διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ "Θεοῦ." ἐνταῦθα τὴν ἀνθρωπότητα φησίν· ὥσπερ γὰρ ἐπὶ τῶν ἔξωθεν γραμμάτων πρῶτα τὰ στοιχεῖα δεῖ μαθεῖν, οὕτω καὶ ἐνταῦθα πρῶτα τὰ περὶ τῆς ἀνθρωπότητος ἐδιδάσκοντο. ὁρᾷς τίς ἡ αἰτία τοῦ τὰ ταπεινὰ φθέγγεσθαι; οὕτω καὶ Ἀθηναίοις ἐποίησε διαλεγόμενος ὁ Παῦλος καὶ λέγων, "τοὺς μὲν οὖν χρόνους τῆς "ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις "πᾶσι πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει "κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισεν, πί-"στιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν." διὰ τοῦτο εἰ μέν τι ὑψηλὸν λέγοι, ἐν βραχεῖ τοῦτό φησι· τὰ δὲ ταπεινὰ πολλαχοῦ διέσπαρται τῆς Ἐπιστολῆς, καὶ οὕτω δὲ τὸ ὑψηλὸν δείκνυται· τὸ γὰρ σφόδρα ταπεινὸν οὐκ ἀφίησι περὶ τῆς θεότητος ταῦτα ὑποπτεύεσθαι· τὸ δὲ εἰπεῖν, "ἐπεὶ νωθροὶ γεγόνατε ταῖς "ἀκοαῖς," ἐδήλωσεν ὅτι πάλαι ὑγίαινον καὶ ἦσαν ἰσχυροὶ, τῇ προθυμίᾳ ζέοντες· ἀπὸ δὲ τῶν συνεχῶν θλίψεων γεγόνασι νωθροί.

Καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς.

Ἀεὶ γάλα τὸν ταπεινὸν λόγον καλεῖ, διὰ τὸ τοῖς ἀφελεστέροις ἁρμόζειν· τοῦτο δὲ ἐναντίον τοῖς τελείοις, καὶ βλαβερὸν τὸ ἐν τούτοις διατρίβειν, ὥστε οὐκέτι τὰ νομικὰ ἐπεισφέρεσθαι νῦν, οὐδὲ ἀπὸ τούτων τὴν σύγκρισιν γίνεσθαι, ὅτι ἀρχιερεὺς καὶ ἔθυσε, καὶ ἐδεήθη κραυγῆς καὶ ἱκετηρίας. ὅρα γοῦν πῶς ἡμῖν ταῦτα προσίσταται; ἀλλ' ἐκείνους τότε ἔτρεφεν οὐδαμοῦ προσιστάμενα αὐτοῖς· ἄρα οὖν τροφὴ ἀληθὴς τὰ λόγια τοῦ Θεοῦ· "δώσω γὰρ "αὐτοῖς," φησὶν, "οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν "τοῦ ἀκοῦσαι λόγον Κυρίου," "γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα·" οὐκ εἶπεν ἔθρεψα, δεικνὺς ὅτι οὐκ ἔστι τὸ τοιοῦτο τροφὴ, ἀλλ'

ὥσπερ ἐπὶ τῶν παιδίων τῶν μικρῶν τῶν οὐ δυναμένων ἄρτῳ τρέφεσθαι· τὰ γὰρ τοιαῦτα οὐ ποτίζεται, ἀλλ' ἡ τροφὴ αὐτοῖς ἀντὶ ποτοῦ δίδοται· καὶ οὐκ εἶπεν, χρείαν ἔχετε, ἀλλὰ "γεγόνατε "χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς," τουτέστιν, ὑμεῖς ἠθελήσατε, ὑμεῖς ἑαυτοὺς εἰς τοῦτο κατεστήσατε.

13 Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης.

Τίς ἐστι λόγος τῆς δικαιοσύνης; ἐνταῦθά μοι δοκεῖ καὶ βίον αἰνίττεσθαι, ὅπερ καὶ ὁ Χριστὸς ἔλεγεν, "ἐὰν μὴ περισσεύῃ ἡ "δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων," τοῦτο καὶ αὐτός φησιν ὁ "ἄπειρος λόγου δικαιοσύνης," τουτέστι, τῆς ἄνω φιλοσοφίας ἄπειρος, οὐ δύναται παραδέξασθαι βίον ἄκρον καὶ ἠκριβωμένον· ἢ δικαιοσύνην ἐνταῦθα τὸν Χριστόν φησι καὶ τὸν ὑψηλὸν περὶ αὐτοῦ λόγον. ὅτι μὲν οὖν νωθροὶ γεγόνασιν, εἶπεν, πόθεν δὲ, οὐκέτι προσέθηκεν, αὐτοῖς ἀφιεὶς εἰδέναι, καὶ μὴ βουλόμενος ἐπαχθῆ τὸν λόγον ἐργάσασθαι.

14 Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

Οὐκ εἶχον τὰ αἰσθητήρια ἐκεῖνοι γεγυμνασμένα, οὐδὲ ᾔδεσαν καλὸν καὶ ἀγαθόν· νῦν οὐ περὶ βίου αὐτῷ ὁ λόγος, ὅταν λέγῃ "πρὸς "διάκρισιν καλοῦ καὶ κακοῦ·" τοῦτο γὰρ παντὶ ἀνθρώπῳ δυνατὸν εἰδέναι καὶ εὔκολον, ἀλλὰ περὶ δογμάτων ὑγιῶν καὶ ὑψηλῶν καὶ διεφθαρμένων καὶ ταπεινῶν· τὸ παιδίον οὐκ οἶδε τὴν φαύλην καὶ τὴν δόκιμον τροφὴν διαιρεῖν, ἀλλ' οὐ τὸ τέλειον· τοιοῦτοί εἰσιν οἱ πᾶσι προσέχοντες, ἁπλῶς καὶ ἀδιακρίτως τὰς ἀκοὰς διδόντες· ὃ δοκεῖ μοι καὶ τούτους αἰτιᾶσθαι ὡς ἁπλῶς περιφερομένους, καὶ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις διδόντας ἑαυτούς· ὃ καὶ πρὸς τῷ τέλει ᾐνίξατο λέγων, "διδαχαῖς ποικίλαις καὶ ξέναις, μὴ παραφέρεσθε·" τοῦτό ἐστι "πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ·" λάρυγξ σῖτα γεύεται, ψυχὴ δὲ δοκιμάζει λόγους.

1 Δι' ὅπερ ἀφεντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα.

Τίς ἐστιν ἡ ἀρχὴ τοῦ λόγου αὐτὸς ἐφεξῆς τίθησι λέγων "μὴ

"πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων καὶ "πίστεως ἐπὶ Θεόν· βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, "ἀναστάσεώς τε νεκρῶν καὶ κρίματος αἰωνίου·" εἰ δὲ τοῦτο ἀρχὴ, τί ἄλλο ἐστὶ τὸ δόγμα τὸ ἡμέτερον, ἢ τὸ μετανοῆσαι ἀπὸ νεκρῶν ἔργων καὶ διὰ τοῦ Πνεύματος λαβεῖν τὴν πίστιν εἰς ἀνάστασιν νεκρῶν, καὶ κρίματος αἰωνίου; τί δέ ἐστιν ἀρχή; οὐδὲν ἄλλο ἢ τοῦτο· ἀρχὴν δέ φησιν, ὅταν μὴ βίος καθαρὸς παρῇ· καθάπερ γὰρ τὸν εἰς τὴν μάθησιν τῶν γραμμάτων εἰσερχόμενον, τὰ στοιχεῖα δεῖ πρῶτον ἀκοῦσαι, οὕτω καὶ τὸν Χριστιανὸν ταῦτα εἰδέναι ἀκριβῶς, καὶ μηδὲν ἀμφιβάλλειν ὑπὲρ αὐτῶν· εἰ δὲ δέοιτο πάλιν διδασκαλίας, οὔπω τὸν θεμέλιον ἔχει· τὸν γὰρ ἑδραῖον πεπηγέναι χρὴ καὶ ἑστάναι, καὶ μὴ μετακινεῖσθαι· ὅτι γὰρ ἡ πίστις θεμέλιος, τὸ δὲ λοιπὸν οἰκοδομὴ, ἄκουε αὐτοῦ λέγοντος, "ἐγὼ θεμέλιον τέθεικα, καὶ ἄλλος ἐποικοδομεῖ, εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσὸν, "ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην." "μὴ πάλιν," φησὶ, "θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων·" τί δέ ἐστιν "ἐπὶ τὴν τελειότητα φερώμεθα;" πρὸς αὐτὴν χωρῶμεν λοιπὸν τὴν ὀροφὴν, τουτέστι βίον ἄριστον ἔχωμεν· ὥσπερ γὰρ ὁ θεμέλιος συνέχει τὴν πᾶσαν οἰκοδομὴν, οὕτω καὶ τοῦ βίου τὴν καθαρότητα, ἡ περὶ τὴν πίστιν πληροφορία. ἐὰν δέ τις πίστιν μὲν ἔχῃ, πράττῃ δὲ πονηρὰ, καὶ περὶ αὐτῆς ταύτης ἀμφιβάλλῃ καὶ ὑβρίζῃ τὴν διδασκαλίαν, εἰκότως αὐτὸν φήσομεν νήπιον, ἐπὶ τὴν ἀρχὴν ἀναδραμόντα· τούτοις δὲ μετὰ τοῦ βίου καὶ ἄλλο ἐγκαλεῖ ὡς παρασαλευθεῖσι καὶ δεομένοις "θεμέλιον καταβάλλειν "μετανοίας, ἀπὸ νεκρῶν ἔργων·" τὸν γὰρ ἀπό τινος εἰς ἕτερον μετατιθέμενον καὶ τὸ μὲν ἀφιέντα, τὸ δὲ αἱρούμενον, πρότερον αὐτοῦ καταγνῶναι χρὴ, καὶ ἀποστῆναι τῇ διαθέσει, καὶ τότε ἐλθεῖν ἐφ' ἕτερον· εἰ δὲ τοῦ προτέρου πάλιν ἔχεσθαι μέλλοι, πῶς τοῦ δευτέρου ἅψαιτο; ὁ γὰρ μέλλων ἐπ' ἀρετὴν ἰέναι, πρότερον τῆς κακίας καταγνῶναι ὀφείλει, καὶ τότε ταύτην μετελθεῖν· οὐ γὰρ ἴσχυεν ἡ μετάνοια καθαροὺς αὐτοὺς δεῖξαι· διὰ τοῦτο εὐθέως ἐβαπτίζοντο, ἵν' ὅπερ ἀδυνάτως εἶχον ἐργάσασθαι δι' ἑαυτῶν, τοῦτο διὰ τῆς τοῦ Θεοῦ γίνεται χάριτος· ἐπὶ γοῦν τὸ βάπτισμα ἔρχεσθαι δεῖ, πρότερον καταγνόντα τῶν ἡμαρτημένων αὐτῷ καὶ καταψηφισάμενον. τί δέ ἐστι "βαπτισμῶν διδαχῆς;" οὐχ ὡς πολλῶν

ὄντων τῶν βαπτισμῶν, ἀλλ' ἑνός· τί οὖν αὐτὸ πληθυντικῶς εἶπεν; διὰ τὸ εἰπεῖν, "μὴ πάλιν θεμέλιον καταβαλλόμενοι·" εἰ γὰρ πάλιν αὐτοὺς ἐβάπτιζε, καὶ ἄνωθεν κατήχησε, διδασκόμενοι τὰ πρακτέα καὶ τὰ μὴ πρακτέα, διηνεκῶς ἔμελλον ἀδιόρθωτοι μένειν.

(Σετηριανός.) Σευηριανὸς δέ φησιν· ἐπειδὴ ἡ ἀρχὴ τοῦ Χριστοῦ ἀπὸ τοῦ Ἰουδαϊσμοῦ, κατὰ νόμον γὰρ ἐπολιτεύσατο, διὰ τοῦτο λέγει, τοῦτ' ἀφέντες, ἐπὶ τὴν τελειότητα φερώμεθα, εἰδότες ὅτι κατὰ τὴν τάξιν Μελχισεδὲκ δεῖ εἶναι τοῦ ἀνευ νόμου[n] μέλλοντος ἱερέως εἶναι, "ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ "Θεὸν, βαπτισμῶν." τοῖς Χριστιανοῖς, νεκρά ἐστι τὰ γήϊνα· ἄτοπον οὖν ἐστι, φησὶν, ἀποστάντας τῆς διαγωγῆς ταύτης, εἴ τε τῆς κατὰ πίστιν, εἴ τε ἀπὸ τοῦ νενεκρῶσθαι τοῖς πᾶσιν, ἐλθεῖν πάλιν ἐπὶ τοὺς κατὰ νόμον βαπτισμούς· ὁ Κύριος ἐλθὼν, μετάνοιαν ἐκήρυξε, λέγων "μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν "οὐρανῶν·" μετάνοιαν δὲ ἀπὸ νεκρῶν ἔργων· οὕτως οὖν ἀναγνωστέον, μετανοίας ἀπὸ νεκρῶν ἔργων, ἀντὶ τοῦ τῆς ἀπὸ τῶν νεκρῶν ἔργων μετανοίας· ὃ οὖν λέγει, τοιοῦτόν ἐστιν. οὐ δεῖ ἀφέντας τὴν μετάνοιαν τὴν ἀπὸ τῶν νεκρῶν ἔργων καὶ τὴν πίστιν τὴν εἰς Θεὸν, καὶ τὸ βάπτισμα, ὃ πληθυντικῶς ὠνόμασε διὰ τὸ πλῆθος τῶν καταξιουμένων, εἴρηκε δὲ βαπτισμῶν, καὶ τὴν διδαχὴν, καὶ τὴν ἐπίθεσιν τῶν χειρῶν, δι' ἧς αἱ χειροτονίαι, καὶ τῆς ἀναστάσεως τὴν ἐλπίδα, καὶ τὰ ἑξῆς. ἀνατρέχει ἐπὶ τὸν νόμον· τοῦτο δὲ προκατασκευάζει, ἐπειδὴ οἱ ἐν νόμοι ἱερεῖς νόμον ἐξεδίκουν. ὁ δὲ Μελχισεδὲκ ἐκτὸς ἦν νόμου, ὁ δὲ ἐλθὼν κατὰ τὴν τάξιν Μελχισεδὲκ ἦν. οὐ δεῖ, φησὶν, ἀφέντας τὸν κατὰ τὴν τάξιν Μελχισεδὲκ ἐκδικεῖν τὴν ἐν νόμῳ ἱερατείαν, ἵνα τὰ ἐν νόμῳ ᾖ ἑστῶτα. θεμέλιον δὲ εἶπεν τὰ ἐν νόμῳ, ἐπειδὴ προοίμιον εὐσεβείας γεγένηται τοῖς ἀνθρώποις.

Ἐπιθέσεώς τε χειρῶν.

(Χρτσοστόμοτ.) Ὁ μακάριος Ἰωάννης φησίν· οὕτω γὰρ τὸ πνεῦμα ἐλάμβανον, ἐπιθέντας αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας.

Ἀναστάσεώς τε νεκρῶν.

Τοῦτο γὰρ ἔν τε τῷ βαπτίσματι γίνεται, καὶ ἐν τῇ ὁμολογίᾳ βεβαιοῦται.

[n] Cod. ἂν εὐνόμου.

Καὶ κρίματος αἰωνίου.

Διὰ τί δὲ ταῦτά φησιν; ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἢ παρασαλεύεσθαι ἤδη πεπιστευκότας, ἢ κακῶς βιοῦν καὶ ῥᾳθύμως, λέγει, νήψατε, οὐκ ἔνι εἰπεῖν, ναὶ ῥᾳθύμως ζήσωμεν· πάλιν βαπτισθησόμεθα, πάλιν κατηχηθησόμεθα, πάλιν ληψόμεθα πνεῦμα· σφάλλεσθε, φησὶ, ταῦτα νομίζοντες.

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους
τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γεννηθέντας
5 Πνεύματος Ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα,
6 δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν
ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν
Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας.

Ὅρα πῶς ἐντρεπτικῶς καὶ ἀπαγορευτικῶς ἄρχεται· "ἀδύνατον," φησί· μηκέτι προσδόκα τὸ μὴ δυνατόν· εἰ ὅλως ἐφωτίσθητε ἅπαξ· εἶτα ἐπάγει, "γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου," τουτέστι τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, "καὶ μετόχους γεννηθέντας "Πνεύματος Ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα," τὴν διδασκαλίαν ἐνταῦθα λέγει· "καὶ μετόχους γεννηθέντας Πνεύ-"ματος Ἁγίου· δυνάμεις τε μέλλοντος αἰῶνος," ἢ τὸ τὰ θαύματα ἐπιτελεῖν, φησὶν, ἢ τὸν ἀρραβῶνα τοῦ Πνεύματος· "καὶ "παραπεσόντας πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας "ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας·" ἀνακαινίζειν, φησὶν, εἰς μετάνοιαν, τουτέστι διὰ μετανοίας· τί οὖν; ἐκβέβληται ἡ μετάνοια; οὐχ ἡ μετάνοια, μὴ γένοιτο, ἀλλ' ὁ διὰ λουτροῦ πάλιν ἀνακαινισμός· οὐ γὰρ εἶπεν, ἀδύνατον ἀνακαινισθῆναι εἰς μετάνοιαν, καὶ ἐσίγησεν, ἀλλὰ πῶς ἀδύνατον ἐπήγαγεν, ἀνασταυροῦντας ἀνακαινισθῆναι, τουτέστιν, καινὸν γενέσθαι· τὸ γὰρ καινοὺς ποιῆσαι, τοῦ λουτροῦ μόνου ἐστὶ, τῆς δὲ μετανοίας ἐστὶ τὸ καινοὺς γενομένους, εἶτα παλαιωθέντας ὑπὸ τῶν ἁμαρτημάτων, ἀπαλλάξαι τῆς παλαιότητος, καὶ στερροὺς ἐργάσασθαι· εἰς ἐκείνην μέντοι τὴν λαμπρότητα ἀγαγεῖν οὐκ ἔνι, ἐκεῖ γὰρ τὸ ὅλον ἡ χάρις ἦν· "ἀνασταυροῦντας," φησὶν, "ἑαυτοῖς τὸν Υἱὸν "τοῦ Θεοῦ, καὶ παραδειγματίζοντας·" τὸ βάπτισμα σταυρός ἐστιν, ᾧ καὶ συνεσταυρώθη ὁ παλαιὸς ἡμῶν ἄνθρωπος· "σύμμορ-

“φοι γὰρ γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ,” καὶ πάλιν, “συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν “θάνατον·” ὥσπερ οὖν οὐκ ἔνι δεύτερον σταυρωθῆναι τὸν Χριστὸν, τοῦτο γὰρ παραδειγματίσαι αὐτόν ἐστιν· εἰ γὰρ θάνατος αὐτοῦ οὐκέτι κυριεύει, εἰ ἀνέστη, τῇ ἀναστάσει κρείττων γενόμενος τοῦ θανάτου, εἶτα πάλιν σταυροῦται, μῦθος πάντα ἐκεῖνα καὶ παραδειγματισμός. τί δέ ἐστιν ἀνασταυροῦντας; ἄνωθεν πάλιν σταυροῦντας· ὥσπερ γὰρ ἀπέθανεν ὁ Χριστὸς ἐν τῷ σταυρῷ, οὕτως ἡμεῖς ἐν τῷ βαπτίσματι, οὐ τῇ σαρκὶ, ἀλλὰ τῇ ἁμαρτίᾳ· ἐκεῖνος ἀπέθανε τῇ σαρκὶ, ἡμῶν ὁ παλαιὸς ἄνθρωπος ἐτάφη καὶ ἀνέστη ὁ καινὸς, ὁ σύμμορφος γενόμενος τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. εἰ τοίνυν ἀνάγκη βαπτισθῆναι πάλιν, ἀνάγκη πάλιν τὸν αὐτὸν ἀποθανεῖν τοῦτον· τὸ γὰρ βάπτισμα οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀναίρεσις τοῦ βαπτιζομένου καὶ ἔγερσις ἐκείνου. καὶ καλῶς εἶπεν “ἑαυτοῖς ἀνασταυροῦντας·” ὁ γὰρ τοῦτο ποιῶν ὡς τῆς προτέρας χάριτος ἐπιλανθανόμενος, καὶ ῥᾳθύμως τὸν ἑαυτοῦ βίον οἰκονομῶν, ὡς ὄντος ἑτέρου βαπτίσματος, οὕτω πάντα διαπράττεται· κατηξιώθητε οὖν, φησὶ, τοσαύτης ἀφέσεως. ὁ γὰρ ἐν σκότῳ καθήμενος ἐχθρὸς ὁ πολέμιος, ὁ ἀπηλλοτριωμένος, ὁ ἀπολλύμενος, οὗτος ἐξαίφνης φωτισθεὶς, Πνεύματος ἀξιωθεὶς, δωρεᾶς ἐπουρανίου, υἱοθεσίας, βασιλείας οὐρανῶν, τῶν ἄλλων ἀγαθῶν, μυστηρίων ἀπορρήτων, καὶ οὐδὲ οὕτω βελτίων γενόμενος, ἀλλ᾽ ἄξιος μὲν ὢν ἀπωλείας, τυχὼν δὲ σωτηρίας καὶ τιμῆς, ὡς τὰ μεγάλα κατωρθωκὼς, πῶς ἂν δύναιτο βαπτισθῆναι πάλιν; “δυνάμεις τε μέλλοντος “αἰῶνος·” τὸ γὰρ ζῆν ὡς Ἀγγέλους, τὸ μηδενὸς δεῖσθαι τῶν ἐνταῦθα, τὸ εἰδέναι ὅτι τῆς τῶν μελλόντων αἰώνων ἀπολαύσεως πρόξενον ἡμῖν γίνεται, διὰ τοῦ Πνεύματος ἔστι τοῦτο μαθεῖν· τί ἐστι δυνάμεις μέλλοντος αἰῶνος; ἡ ζωὴ ἡ αἰώνιος, ἡ ἀγγελικὴ διαγωγή.

(Σευηριανοῦ.) Σευηριανὸς φησί· νεκροὺς ἤγειραν οἱ Ἀπόστολοι· αὕτη δὲ ἡ δύναμις τῆς ἀναστάσεως ἦν. “παραδειγματί“ζοντας” εἶπεν, ὅτι εἰ μυστήριον τὸ βάπτισμα, τὸ ἅπαξ ἀρκεῖ· ἐὰν δὲ δεύτερον γίνηται τὸ πρᾶγμα, καταφρόνησις καὶ παραδειγματισμός.

7 Γῆ γὰρ ἡ πιοῦσα ἐπ᾽ αὐτῆς πολλάκις ἐρχόμενον

ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ
8 *γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ· ἐκ-*
φέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατά-
ρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὑετὸν, τὴν διδασκαλίαν, καὶ ὅπερ ἀνωτέρω ἔλεγεν, "ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον," τοῦτο καὶ ἐνταῦθά φησι· καὶ πολλαχοῦ ἔλεγεν ἡ γραφὴ, "ἐντελοῦμαι "ταῖς νεφέλαις τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετὸν," περὶ τοῦ ἀμπελῶνος λέγουσα, ὃ ἀλλαχοῦ λιμὸν ἄρτου καὶ δίψαν ὕδατος καλεῖ, καὶ πάλιν, "ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων·" "ἡ γὰρ γῆ "πιοῦσα," φησὶ, "τὸν ἐπ' αὐτῆς ἐρχόμενον ὑετὸν," ἐνταῦθα δηλοῖ, ὅτι καὶ ἐδέξαντο καὶ συνέπιον τὸν λόγον, καὶ πολλάκις τούτου ὕστερον, καὶ οὐδὲ οὕτως ἀπώναντο· εἰ γὰρ μὴ ἐγεωργήθης, φησὶν, εἰ μὴ ἀπέλαυσας ὑετῶν, οὐκ ἦν τοσοῦτο τὸ κακόν· εἰ δὲ πολλάκις ἔπιες καὶ ἐδέξω, τίνος ἕνεκεν ἀντὶ καρπῶν ἕτερα ἐξήγαγες; "ἔμεινε γὰρ," φησὶν, "ἵνα ποιήσῃ σταφυλὴν, ἐποίησε δὲ "ἀκάνθας·" ὁρᾷς ὅτι πανταχοῦ ἡ γραφὴ ἀκάνθας τὰ ἁμαρτήματα καλεῖ; καὶ γὰρ ὁ Δαβὶδ φησίν· "ἐστράφην εἰς ταλαιπω- "ρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν·" "καὶ τίκτουσα βοτάνην "εὔθετον," ὡς βίος ἄριστος καὶ καθαρός· "καὶ τίκτουσα βοτάνην "εὔθετον ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας "ἀπὸ Θεοῦ·" ἐνταῦθα τὸν Θεόν φησιν αἴτιον ἁπάντων, πλήττων ἠρέμα τοὺς Ἕλληνας, τοὺς τῇ δυνάμει τῆς γῆς τῶν καρπῶν τὴν γένεσιν ἐπιγράφοντας· οὐδὲ γὰρ αἱ γεωργικαὶ χεῖρες, φησὶν, εἰσὶν αἱ τὴν γῆν πρὸς τὴν τῶν καρπῶν φορὰν διεγείρουσαι, ἀλλὰ τὸ παρὰ Θεοῦ πρόσταγμα· "διὰ τοῦτο," φησὶ, "μεταλαμβάνει τῆς εὐλο- "γίας ἀπὸ τοῦ Θεοῦ·" καὶ ὅρα πῶς ἐπὶ τῶν ἀκανθῶν τοῦτο οὐκ εἶπεν, ἀλλὰ τί, "ἐκφέρουσα ἀκάνθας," ὡς ἂν εἴποι τις, ἐκβράσσουσα, ἐκβάλλουσα, "ἀδόκιμος," φησὶ, "καὶ κατάρας ἐγγύς·" βαβαὶ, πόσην ἔχει παραμυθίαν ὁ λόγος· κατάρας γὰρ εἶπεν ἐγγὺς, οὐ κατάρα, ὁ δὲ μή πω εἰς τὴν κατάραν ἐμπεσὼν, ἀλλ' ἐγγὺς γενόμενος, καὶ μακρὰν γενέσθαι δυνήσεται· καὶ οὐ τούτῳ μόνῳ παρεμυθήσατο, ἀλλὰ καὶ τῷ ἑξῆς· οὐ γὰρ εἶπεν, ἥτις καήσεται, ἀλλὰ

τί; "ἧς τὸ τέλος εἰς καῦσιν·" ἐὰν μέχρι τέλους ἐπιμείνῃ, φησί.

(Σευηριανου.) *Σευηριανὸς δέ φησιν, ὑπόδειγμα ἔλαβεν, οὐκ εἰς τὸ βάπτισμα, πῶς γάρ; δεύτερον βάπτισμα ἐκώλυεν· ἀλλὰ τὴν τοῦ Ἁγίου Πνεύματος δύναμιν, πολλάκις εὐεργετοῦσαν, τὰ δὲ ἄλλα ὁμοίως.*

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν.

(Χρυσοστόμου.) *Ὁ μακάριος Ἰωάννης φησί· καθαψάμενος αὐτῶν ἱκανῶς, καὶ φοβήσας, θεραπεύει πάλιν, ὥστε μὴ πλέον καταβαλεῖν καὶ ὑπτίους ἐργάσασθαι· τὸν γὰρ νωθρὸν ὁ πλήττων, νωθρότερον ἐργάζεται· τί γὰρ, φησίν; οὐχ ὡς κατεγνωκότες ὑμῶν ταῦτα λέγομεν, οὐδὲ ὡς νομίζοντες ὑμᾶς ἀκανθῶν πλήρεις, ἀλλὰ δεδοικότες μὴ τοῦτο γένηται· βέλτιον γὰρ νῦν τοῖς ῥήμασιν ὑμᾶς φοβεῖσθαι, ἵνα μὴ τοῖς πράγμασιν ἀλγήσητε· καὶ ἐπειδὴ ἀπὸ τῶν παρόντων τοσαῦτα εἶχεν εἰπεῖν, ἀπὸ τῶν παρελθόντων κατασκευάζει τὴν παραμυθίαν, καί φησιν, "οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ "ἔργου ὑμῶν καὶ τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, "διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες." βαβαὶ, πῶς αὐτῶν ἀνεκτήσατο τὴν ψυχὴν καὶ ἀνέρρωσε, τῶν παλαιῶν ἀναμνήσας πραγμάτων, καὶ εἰς ἀνάγκην καταστήσας, τοῦ μὴ προσδοκᾷν ἐπιλελῆσθαι τὸν Θεὸν, ἀνάγκη γὰρ ἐκεῖνον ἁμαρτάνειν τὸν μὴ πεπληροφορημένον περὶ τῆς ἐλπίδος, καὶ λέγειν ὅτι ἄδικος ὁ Θεός· τὸν γὰρ ἀπεγνωκότα ἀπὸ τῶν παρόντων καὶ ἀπαγορεύσαντα ἀπὸ τῶν μελλόντων ἀναρρῶσαι δυνήσεται ἴσως, καὶ αὐτὸς Γαλάταις γράφων ἔλεγεν, "ἔτρεχε καλῶς," καὶ πάλιν, "τοσαῦτα ἐπάθετε "εἰκῆ, εἴ γε καὶ εἰκῆ·" ὥσπερ δὲ ἐνταῦθα μετ' ἐπιπλήξεως τίθησι τὸ ἐγκώμιον, λέγων, "ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον," οὕτω καὶ ἐκεῖ, "θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε·" περὶ γὰρ μεγάλων ὅταν ἐκπέσωσι, θαυμάζομεν· τίνος οὖν, φησὶν, ἕνεκεν ταῦτα εἴπομεν;*

11 Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος, ἄχρι

12 τέλους, ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ
πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγ-
γελίας.

Οὐκ ἄρα σπουδάζομεν μόνον, οὐδὲ μέχρι ῥημάτων τοῦτο βουλόμεθα, ἀλλ' ἐπιθυμοῦμεν τῆς ἀρετῆς ὑμᾶς ἔχεσθαι, οὐχ ἕνα, ἀλλὰ πάντας ὁμοίως, οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, φησὶν, ἀλλ' ὑπὲρ τῶν μελλόντων δεδοικότες. ὡς ἂν εἴποι τις, θέλω σε σπουδάζειν ἀεὶ, καὶ οἷος ἧς πρότερον, τοιοῦτον εἶναι καὶ νῦν εἰς τὸ μέλλον· τοῦτο γὰρ τὸν ἔλεγχον προσηνέστερον καὶ εὐπαράδεκτον εἰργάζετο. "πρὸς πληροφορίαν τῆς ἐλπίδος," ἡ ἐλπὶς, φησὶ, διαβαστάζει· αὕτη ἀνακτᾶται πάλιν· μὴ ἐκλυθῆτε, μὴ ἀπελπίσητε, ἵνα μὴ περιττὴ ὑμῶν ἡ ἐλπίς· "μιμηταὶ δὲ," φησὶ, "τῶν διὰ πίστεως κληρονομούντων τὰς ἐπαγγελίας·" καὶ τίνες εἰσὶν οὗτοι, ἑξῆς λέγει· καὶ ἀνάγει αὐτοὺς ἐπὶ τὸν πατριάρχην, οἴκοθεν αὐτοῖς φέρων τὸ ὑπόδειγμα· ἵνα μὴ νομίσωσιν ὅτι ὡς οὐδενὸς ἄξιοι λόγου καταφρονηθέντες ἐγκατελείφθησαν, ἀλλ' εἰδέναι ἔχωσιν, ὅτι τῶν μάλιστα γενναίων ἀνδρῶν τοῦτό ἐστι, τὸ διὰ πειρασμῶν ὁδεύειν τὸν βίον, καὶ ὅτι τοῖς θαυμαστοῖς καὶ μεγάλοις ἀνδράσιν οὕτω κέχρηται ὁ Θεός. δεῖ δὲ, φησὶ, μετὰ μακροθυμίας ἅπαντα φέρειν· τοῦτο γάρ ἐστι τὸ πιστεῦσαι.

ΚΕΦ. Η.

Ὅτι βεβαία ἡ ἐπαγγελία τοῦ Θεοῦ, καὶ ταῦτα σὺν ὅρκῳ.

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ'
οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέ-
14 γων, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πλη-
15 θυνῶ σε, καὶ οὕτως μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγ-
γελίας.

Πῶς οὖν ἐπέτυχεν; οὐ περὶ τῶν αὐτῶν, φησὶν, ἐνταῦθα κἀκεῖ, ἀλλὰ διπλῆν ποιεῖται τὴν παράκλησιν· ἐπηγγείλατο τῷ Ἀβραάμ· καὶ τὰ μὲν ἐνθάδε, μετὰ μακρὸν χρόνον ἔδωκε, τὰ δὲ ἐκεῖ οὐδέπω· "καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας." ὁρᾷς ὅτι οὐχ ἡ ἐπαγγελία μόνον τὸ πᾶν εἰργάσατο, ἀλλὰ καὶ ἡ μακρο-

θυμία; ἐνταῦθα φοβεῖ αὐτοὺς, δεικνὺς, ὅτι πολλάκις ἐκκόπτεται ἐπαγγελία δι᾽ ὀλιγοψυχίαν· καὶ τοῦτο ἔδειξε μὲν διὰ τοῦ λαοῦ· ἐπειδὴ γὰρ ὀλιγοψύχησαν, διὰ τοῦτο τῆς ἐπαγγελίας οὐκ ἔτυχον· τὸ δὲ ἐναντίον δείκνυσι διὰ τοῦ Ἀβραάμ· εἶτα πρὸς τῷ τέλει καὶ πλέον τι ποιεῖ, ὅτι καὶ μακροθυμήσαντες οὐκ ἔτυχον, καὶ οὐδὲ οὕτως ἀσχάλλουσιν.

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

"Ὁ δὲ Θεὸς ἐπεὶ κατ᾽ οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε "καθ᾽ ἑαυτοῦ." καλῶς· τίς οὖν ἐστιν ὁ ὀμόσας τῷ Ἀβραάμ; οὐχ ὁ υἱὸς ὂν, φησί; μάλιστα μὲν αὐτὸς, πλὴν οὐκ ἀμφισβητῶ· ὅταν οὖν αὐτὸς ὀμνύῃ, "ἀμὴν, ἀμὴν, λέγω ὑμῖν" τὸν αὐτὸν ὅρκον, οὐ δῆλον ὅτι ἐκ τοῦ μὴ ἔχειν κατὰ μείζονος ὀμόσαι; ὥσπερ γὰρ ὁ Πατὴρ ὄμνυσι, οὕτω καὶ ὁ Υἱὸς ὀμνύει καθ᾽ ἑαυτοῦ, λέγων, "ἀμὴν, "ἀμὴν, λέγω ὑμῖν·" ἐνταῦθα αὐτοὺς ἀναμιμνήσκει, καὶ τῶν ὅρκων τῶν τοῦ Χριστοῦ, ὧν συνεχῶς ἔλεγεν, "ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὁ "πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα·" τί ἐστι, "καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὅρκος;" ἀντὶ τοῦ, ἐκ τούτου λύεται πάσης ἀντιλογίας ἀμφισβήτησις.

(Σευηριανοῦ.) Σευηριανὸς δέ φησιν· ἀνωτέρω εἰπὼν "τὴν πλη-"ροφορίαν τῆς ἐλπίδος," ἐδήλωσεν ὅτι ὁ Θεὸς παρέσχε τῷ Ἀβραὰμ πληροφορίαν, οὐ τὴν δι᾽ ἔργων τὴν τῇ πολιτείᾳ προσήκουσαν, ἀλλὰ τὴν δι᾽ ὁρκομοσίας.

17 Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησίν· ἐνταῦθα καὶ τοὺς πιστοὺς περιλαμβάνει, διὰ τοῦτο καὶ ταύτης μέμνηται τῆς ἐπαγγελίας τῆς πρὸς ἡμᾶς κοινῶς γινομένης· "ἐμεσίτευσε," φησὶν, "ὅρκῳ·" πάλιν ἐνταῦθα τὸν Υἱόν φησι μεταξὺ ἀνθρώπων καὶ Θεοῦ μεσίτην γεγονέναι,

18 Ἵνα διὰ δύο πραγμάτων ἀμεταθετων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν.

Ποίου καὶ ποίου; διὰ τοῦτο καὶ αὐτὸ προσέθεικεν. ὁρᾷς ὅτι οὐ

τὴν ἀξίαν τὴν ἑαυτοῦ σκοπεῖ, ἀλλ' ὅπως τοὺς ἀνθρώπους πείσῃ, καὶ ἀνάξια περὶ ἑαυτοῦ ἀνέχεται λέγεσθαι, τουτέστι, πληροφορῆσαι θέλων· καὶ ἐπὶ μὲν τοῦ Ἀβραὰμ δείκνυσι τοῦ Θεοῦ ὂν τὸ πᾶν, οὐ τῆς μακροθυμίας ἐκείνου, εἴ γε καὶ ὅρκον ἠνέσχετο προσθεῖναι, εἰ καθῶς ὀμνύουσιν οἱ ἄνθρωποι καὶ ὁ Θεὸς κατ' αὐτοῦ ὤμοσε, τουτέστι καθ' ἑαυτοῦ· ἀλλ' ἐκεῖνοι μὲν ὡς μείζονος, οὗτος δὲ οὐχ ὡς μείζονος, καὶ ὁμοίως ἐποίησεν· οὐ γὰρ ἴσον ἄνθρωπον καθ' ἑαυτοῦ ὀμόσαι καὶ Θεόν· ὁ γὰρ ἄνθρωπος ἑαυτοῦ ἐξουσίαν οὐκ ἔχει· ὁρᾷς τοίνυν ὅτι οὐ πρὸς τὸν Ἀβραὰμ μᾶλλον ἢ πρὸς ἡμᾶς τοῦτο εἴρηται;

(Σευηριανοῦ.) *Σευηριανὸς δέ φησιν· ἀδύνατον ὀμόσαντα τὸν Θεὸν μετατεθῆναι. ἀδύνατον ἦν μετατεθῆναι τὴν τῆς ἐπαγγελίας δύναμιν.*

Θεόδωρος *δὲ οὕτω φησί, τὸ "διὰ δύο ἀμεταθέτων," τῷ τε Θεὸν εἶναι τὸν ἐπαγγειλάμενον, οὐδαμῶς οἷόν τε ψεύσασθαι, καὶ τῷ μεθ' ὅρκου ποιήσασθαι τὴν ἐπαγγελίαν.*

18 Ἰσχυροτέραν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες, κρατῆσαι τῆς προκειμένης ἐλπίδος.

(Χρυσοστόμου.) *Ὁ μακάριος Ἰωάννης φησί· καὶ οὐκ εἶπεν, ἐπειδὴ ὤμοσεν· ὅρκος δὲ τί ἐστιν ἐδήλωσεν εἰπών, τὸ κατὰ τοῦ μείζονος ὀμόσαι· ἀλλ' ἐπειδὴ ἄπιστόν ἐστι τὸ τῶν ἀνθρώπων γένος, συγκάτεισιν εἰς τὰ αὐτὰ ἡμῖν· ὥσπερ οὖν ὄμνυσι δι' ἡμᾶς, καίτοι ἀνάξιον αὐτοῦ τὸ μὴ πιστεύεσθαι, οὕτω καὶ τὸ "ἔμαθεν ἐξ ὧν "ἔπαθεν" εἴρηται· ἐπειδὴ οἱ ἄνθρωποι τοῦτο νομίζουσι μᾶλλον εἶναι ἀξιοπιστότερον τὸ διὰ τῆς πείρας ἐλθεῖν. τί ἐστι "τῆς προ-"κειμένης ἐλπίδος;" ἀπὸ τούτων τὰ μέλλοντα, φησί, στοχαζόμεθα· εἰ γὰρ ταῦτα μετὰ τοσοῦτον ἐξέβη χρόνον, πάντως κἀκεῖνα· ὥστε τὰ μετὰ τὸν Ἀβραὰμ γεγενημένα πιστοῦται ἡμᾶς καὶ περὶ τῶν μελλόντων.*

19 Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ
βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπε-
20 τάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς,
κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν
αἰῶνα.

Ἐν τῷ κόσμῳ ἔτι ὄντας, καὶ οὐδέπω μεταστάντας τοῦ βίου, δείκνυσιν ἤδη ὄντας ἐν τοῖς ἐπηγγελμένοις, διὰ γὰρ τῆς ἐλπίδος ἤδη ἐν τῷ οὐρανῷ ἐσμεν, εἶπεν· ἀναμείνατε· πάντως γὰρ ἔσται· εἶτα πληροφορῶν, λέγει, μᾶλλον δὲ τῇ ἐλπίδι· ἀλλ' οὐκ εἶπεν, ἡμεῖς ἐσμεν ἔνδον, ἀλλ' αὐτὴ εἰσῆλθεν ἔνδον, ὅπερ ἀληθέστερον ἦν καὶ πιθανώτερον. ὥσπερ γὰρ ἡ ἄγκυρα ἐξαρτηθεῖσα τοῦ πλοίου οὐκ ἀφίησιν αὐτὸ περιφέρεσθαι, κἂν μύριοι παρασαλευθῶσιν ἄνεμοι, ἀλλ' ἐξαρτηθεῖσα ἑδραῖον ποιεῖ, οὕτω καὶ ἡ ἐλπίς. καὶ ὅρα τί σφόδρα ἁρμόδιον εὗρεν εἰκόνα· οὐ γὰρ εἶπε, θεμέλιον, ὅπερ ἀπῆδεν, ἀλλ' ἄγκυραν· τὸ γὰρ ἐν σάλῳ ὂν, καὶ οὐ σφόδρα δοκοῦν ἡδρᾶσθαι, ἐπὶ τῆς ὑγρᾶς ὡς ἐπὶ γῆς ἕστηκε, καὶ σαλεύεται καὶ οὐ σαλεύεται· ἐπὶ μὲν γὰρ τῶν σφόδρα στερρῶν καὶ φιλοσόφων εἰκότως ἐκεῖνο τέθεικεν ὁ Χριστὸς, λέγων, "ὅστις ᾠκοδόμησε τὴν "οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν." ἐπὶ δὲ τῶν ἀπαγορευόντων καὶ ὀφειλόντων διὰ τῆς ἐλπίδος διαβαστάζεσθαι, οἰκείως τοῦτο τέθεικεν ὁ Παῦλος· ἡ μὲν γὰρ ζάλη καὶ ὁ πολὺς χειμὼν σαλεύει τὸ σκάφος, ἡ δὲ ἐλπὶς οὐκ ἀφίησι περιφέρεσθαι· ὥστε εἴ γε μὴ ταύτην εἴχομεν, πάλαι ἂν κατεποντίσθημεν. "εἰσερχομένην εἰς τὸ "ἐσώτερον τοῦ καταπετάσματος," ἀντὶ τοῦ διϊκνουμένην εἰς τὸν οὐρανόν. εἶτα καὶ τὴν πίστιν ἐπήγαγεν, ἵνα μὴ μόνον ἐλπὶς ᾖ, ἀλλὰ καὶ ἀληθὴς σφόδρα· μετὰ γὰρ τὸν ὅρκον καὶ ἕτερον τίθησι, τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν, ὅτι "πρόδρομος ὑπὲρ ἡμῶν "εἰσῆλθεν Ἰησοῦς·" ὁ δὲ πρόδρομος τινῶν ἐστι πρόδρομος, ὥσπερ Ἰωάννης τοῦ Χριστοῦ. καὶ οὐκ εἶπεν ἁπλῶς, εἰσῆλθεν, ἀλλ' "ὅπου "πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν," ὡς καὶ ἡμῶν ὀφειλόντων καταλαβεῖν· "κατὰ τὴν τάξιν," φησὶ, "Μελχισεδὲκ ἀρχιερεὺς γενό- "μενος εἰς τὸν αἰῶνα."

Ἰδοὺ καὶ ἄλλη παράκλησις, εἴγε ἄνω ὁ ἀρχιερεὺς ἡμῶν, καὶ πολλῷ βελτίων τοῦ παρὰ Ἰουδαίοις, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῷ τόπῳ, καὶ τῇ σκηνῇ, καὶ τῇ διαθήκῃ καὶ τῷ προσώπῳ· καὶ τοῦτο εἰς τὸ κατὰ σάρκα εἴρηται. χρὴ τοίνυν καὶ τοὺς ὧν ἐστιν ἱερεὺς, σφόδρα εἶναι βελτίους, καὶ ὥσπερ τὸ μέσον Ἀαρὼν καὶ τοῦ Χριστοῦ, τοσοῦτον ἡμῶν καὶ Ἰουδαίων τὸ μέσον· ὅρα γάρ· ἄνω ἔχομεν τὸ ἱερεῖον, ἄνω τὸν ἱερέα, ἄνω τὴν θυσίαν.

(Σευηριανοῦ.) Σευηριανὸς δέ φησιν· οὐχ ἁπλῶς μέμνηται

ὅπως συνήντησεν ὁ Μελχισεδὲκ τῷ Ἀβραὰμ, περιγεγονότι τῶν Ἀσσυρίων, καὶ ἔδωκεν αὐτῷ δεκάτας ἀπὸ πάντων, ἀλλὰ δεικνὺς ὅτι ὁ προπάτωρ τῆς Λευϊτικῆς φυλῆς ἱερεῖ ἐχρήσατο τῷ Μελχισεδέκ· κρείσσων ἄρα ἡ ἱερωσύνη ἡ ἄνευ νόμου [m] τῆς ἱερωσύνης τῆς ἐν νόμῳ.

(Θεοδώρου.) Θεόδωρος δέ φησιν, ὁμοίως τῷ μακαρίῳ Ἰωάννῃ, προσθεὶς ὅτι αἰώνιος ἡμῖν γέγονεν ἀρχιερεὺς ὁ Χριστὸς, τῷ πάντας τοὺς καθ᾽ ἑκάστην γενεὰν πιστεύοντας δι᾽ ἑαυτοῦ προσάγειν τῷ Θεῷ, ἐπὶ τῇ τῆς ἀναστάσεως ἐλπίδι· οὗτος γὰρ ὁ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου.

ΚΕΦ. Θ.

Περὶ τοῦ Μελχισεδὲκ τοῦ εἰς Χριστὸν τύπου κατὰ τὸ ὄνομα καὶ τὴν πόλιν, καὶ τὴν ζωὴν καὶ τὴν ἱερωσύνην.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησί· βουλόμενος ὁ Παῦλος τὸ διάφορον δεῖξαι τῆς καινῆς καὶ τῆς παλαιᾶς, πολλαχοῦ αὐτὸ διασπείρει καὶ ἀκροβολίζεται, καὶ προγυμνάζει τὰς ἀκοὰς τῶν ἀκροατῶν· εὐθέως γὰρ καὶ ἀπὸ τοῦ προοιμίου τοῦτο κατεβάλετο εἰπὼν, ὅτι ἐκείνοις μὲν ἐλάλησεν ἐν προφήταις, ἡμῖν δὲ ἐν Υἱῷ, κἀκείνοις μὲν πολυμερῶς καὶ πολυτρόπως, ἡμῖν δὲ διὰ τοῦ Υἱοῦ· εἶτα περὶ τοῦ Υἱοῦ διαλεχθεὶς, τίς εἴη καὶ τί ἐργασάμενος, καὶ παραινέσας αὐτῷ πείθεσθαι, ἵνα μὴ τὰ αὐτὰ πάθωμεν τοῖς Ἰουδαίοις, καὶ εἰπὼν ὅτι ἀρχιερεύς ἐστι κατὰ τὸν Μελχισεδὲκ, καὶ πολλάκις εἰς τὴν διαφορὰν ταύτην ἐμβῆναι βουληθεὶς, καὶ πολλὰ προοικονομήσας καὶ ἐπιτιμήσας αὐτοῖς ὡς ἀσθενέσιν, καὶ πάλιν θεραπεύσας καὶ ἀνακτησάμενος ὥστε θαρρεῖν, τότε λοιπὸν εἰσάγει τὸν τῆς διαφορᾶς λόγον, ἀκμαζούσαις ταῖς ἀκοαῖς· ὁ γὰρ ἀναπεπτωκὼς οὐκ ἂν εὐκόλως ἀκούσειεν· καὶ ἵνα μάθῃς, ἄκουε τῆς γραφῆς λεγούσης, "καὶ οὐκ ἤκουσαν Μωϋσῆ διὰ τὴν "ὀλιγοψυχίαν," διὰ τοῦτο πρότερον κενώσας αὐτῶν τὴν ἀθυμίαν διὰ πολλῶν, τότε λοιπὸν κάτεισιν εἰς τὸν περὶ τῆς διαφορᾶς λόγον· καὶ τὸ δὴ θαυμαστὸν ἐν τῷ τύπῳ δείκνυσι πολλὴν οὖσαν τὴν διαφοράν· ὅπερ γὰρ εἶπον, ἀπὸ τοῦ τύπου ἀεὶ πιστοῦται τὴν ἀλήθειαν ἀπὸ τῶν παρελθόντων, διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν.

[m] ἂν εὐνόμου Cod.

1 *Οὗτος γὰρ ὁ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ, ἱερεὺς
τοῦ Θεοῦ τοῦ ὑψίστου, ὃς συναντήσας Ἀβραὰμ ὑπο-
στρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας
2 αὐτὸν, ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ·
πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης.*

Σεδὲκ γὰρ δικαιοσύνη λέγεται, μελχὰ δὲ, βασιλεὺς, Μελχισεδὲκ βασιλεὺς δικαιοσύνης. ὁρᾷς καὶ ἐν τοῖς ὀνόμασι τὴν ἀκρίβειαν; τίς ἐστι βασιλεὺς δικαιοσύνης, ἀλλ' ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός; ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ ἀπὸ τῆς πόλεως, τουτέστι, βασιλεὺς εἰρήνης, ὃ πάλιν ἐστὶ τοῦ Χριστοῦ· οὗτος γὰρ ἡμᾶς δικαίους ἐποίησε, καὶ εἰρηνοποίησεν τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς· εἶτα καὶ ἑτέραν διαφορὰν ἐπάγει,

3 *Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμε-
ρῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ Υἱῷ
τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές.*

Ἐπειδὴ τοίνυν ἀντέπιπτεν αὐτῷ τὸ "σὺ εἶ ἱερεὺς εἰς τὸν "αἰῶνα," ὅρα πῶς αὐτὸ τεθεώρηκε, καὶ τίς τοῦτο εἴποι ἂν περὶ ἀνθρώπου; οὐ τῷ πράγματι, φησὶ, λέγω, τουτέστιν, οὐκ ἴσμεν ποτὲ, τινὰ πατέρα ἔσχεν, οὔτε τίνα μητέρα, οὐ πότε ἐδέξατο τὴν ἀρχὴν, οὐ πότε ἐτελεύτησε· πῶς; τοῦ μὴ ἐμφέρεσθαι· καὶ τί τοῦτο; ὅτι ὥσπερ οὗτος τῷ μὴ γενεαλογεῖσθαι, οὕτω καὶ ὁ Χριστὸς αὐτῇ τῇ φύσει τοῦ πράγματος· ἰδοὺ τὸ ἄναρχον, ἰδοὺ τὸ ἀτελεύτητον· ὥσπερ τούτου οὐκ ἴσμεν, οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος διὰ τὸ μὴ γεγράφθαι, οὕτως οὐκ ἴσμεν τοῦ Υἱοῦ, οὐ διὰ τὸ μὴ γεγράφθαι, ἀλλὰ διὰ τὸ μὴ εἶναι. ἐκεῖνο μὲν γὰρ τύπος, καὶ διὰ τοῦτο, ἀπὸ τοῦ μὴ γεγράφθαι· τοῦτο δὲ ἀλήθεια, καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ εἶναι· ὥσπερ γὰρ καὶ ἐν τοῖς ὀνόμασιν, ἐνταῦθα μὲν προσηγορίαι ἦσαν, βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια· ὁρᾷς ἄναρχον τὸν Υἱὸν, οὐ κατὰ τὸ μὴ ἔχειν αἴτιον, τοῦτο γὰρ ἀδύνατον, ἔχει γὰρ Πατέρα, ἐπεὶ πῶς Υἱὸς, ἀλλὰ κατὰ τὸ μὴ ἔχειν ἀρχὴν ζωῆς μήτε τέλος· "ἀφωμοιωμένος "δὲ τῷ Υἱῷ τοῦ Θεοῦ," ποῦ ἡ ὁμοιότης; ὅτι και τούτου κἀκείνου τὸ τέλος ἀγνοοῦμεν καὶ τὴν ἀρχήν· ἀλλὰ τούτου μὲν παρὰ τὸ μὴ γεγράφθαι, ἐκείνου δὲ παρὰ τὸ μὴ εἶναι· ἐνταῦθα ἡ ὁμοιότης· εἰ

δὲ πανταχοῦ ἔμελλεν ἡ ὁμοιότης εἶναι, οὐκέτι τύπος ἦν καὶ ἀλήθεια, ἀλλὰ τύπος τὰ ἀμφότερα.

(Σευηριανοῦ.) Σευηριανὸς δέ φησιν, "Ἀπάτωρ, ἀμήτωρ, "ἀγενεαλόγητος" κατὰ τὸν τῆς ἱερωσύνης λόγον· ἐπειδὴ γὰρ ἐν τῇ φυλῇ τῇ Λευϊτικῇ ἐφαίνετο τίς τίνος ἦν ἱερέως, ἢ γυναικὸς ἱερείας· ἦσαν δὲ χρόνοι τῆς ἱερωσύνης, καὶ οἱ μὲν ἐφημερίας εἶχον ἐνιαυσίους, οἱ δὲ δι' ὅλης τῆς ζωῆς ἱεράτευον, καὶ ταῦτα εὑρίσκεται ἑκάτερα παρὰ τοῖς ἱερεῦσι τοῖς ἐν νόμῳ, εἰ καὶ μὴ κατὰ τοὺς αὐτοὺς χρόνους, ἀπάτορα λέγει τὸν Μελχισεδὲκ καὶ ἀμήτορα, καὶ ἀγενεαλόγητον, μήτε ἀρχὴν ἔχοντα ἡμερῶν, μήτε ζωῆς τέλος κατὰ τὸν τῆς ἱερατείας λόγον. οὔτε γὰρ γένος ἱερατικὸν ἔσχεν, οὔτε ποθὲν ἤρξατο ὡς ἄλλον διαδεξάμενος, οὔτε ἐξ ἐφημερίας ἕτερον, οὔτε ὡς νόμον ἔχων δι' ὅλης τῆς ζωῆς εἶναι ἱερεύς· καὶ ὅλως πάντα τὰ λεγόμενα, κατὰ παρεξέτασιν τῶν ἐν νόμῳ ἱερέων. εἴρηται δὲ περὶ τοῦ Μελχισεδὲκ, "ἀφομοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, "μένει ἱερεὺς εἰς διηνεκές·" καὶ πῶς ὁ Μελχισεδὲκ μένει ἱερεὺς, ζήτημα τὸ λεγόμενον· ἔστι δὲ ἡ λύσις αὕτη. ὥσπερ Μωϋσέα καλεῖ τὸν νόμον, οὕτω κἀνταῦθα Μελχισεδὲκ, πῆ μὲν τὸν ἄνθρωπον λέγει, πῆ δὲ αὐτὴν τὴν ἱερατείαν· εἰ τοίνυν ἀφωμοίωται ὁ Μελχισεδὲκ διὰ τῆς ἱερατείας τῆς κατὰ Χριστὸν, μένει διηνεκῶς, οὐχ ὁ ἄνθρωπος, θνητὸς γὰρ, ἀλλὰ τὸ ἀξίωμα τῆς ἱερατείας.

(Θεόδωρος.) Θεοδωρός φησι, τὰ εἰρημένα τῷ πρὸ αὐτοῦ μὴ ἀποδεξάμενος, ταῦτα ἐπάγει, διηγεῖτο ὕστερον ὅπως ὁ ναὸς κατεσκεύαστο, καὶ λέγει δύο εἶναι τὰς σκηνὰς, ἀλλ' εἰς μὲν τὴν πρώτην διὰ παντὸς τοὺς ἱερεῖς εἰσιόντας τὰ νενομισμένα ἐπιτελεῖν, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ τὸν ἀρχιερέα μόνον· καὶ δὴ τὸ ἀπὸ τούτων σημαινόμενον διδάσκειν βουλόμενος, ἐπάγει, τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ Ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδόν. ὥσπερ τοίνυν οὐχ ἡ τοῦ τόπου φύσις ἦν ἄβατος, ἐφ' οὗ δεῖ τὸν ἐνδότερον οἶκον κατεσκευάσθαι συνέβαινεν, ἀλλ' ἡ κατασκευὴ καὶ τὸ νόμιμον, καὶ ἡ τοῦτό που ἀφιέρωσις ἄβατον ἐποίει τὸν τόπον, ὅμως σύμβολον ἔφη εἶναι τοῦτο τῶν οὐρανῶν, οὕτω κἀνταῦθα βουλόμενος τὸν Χριστὸν ἀρχιερέα δεῖξαι κατὰ τὴν τάξιν Μελχισεδέκ, λέγει τὰ κατ' ἐκεῖνον, οὐ τὴν φύσιν ἐξηγούμενος,

ἀλλὰ τὴν κατ' αὐτὸν διήγησιν ἀπὸ τῆς θείας τιθεὶς γραφῆς, καὶ ἀπ' ἐκείνης ἐμφαίνων τὸ ὅμοιον. ἀπάτορα τοίνυν καὶ ἀμήτορα καλεῖ, ὡς τῆς θείας γραφῆς γονέας αὐτοῦ μὴ διηγουμένης· ὅθεν ἐπήγαγε τὸ "ἀγενεαλόγητος," δεικνὺς ὅτι οὐ φύσιν λέγει τοῦ ἀνδρὸς, ἀλλὰ τῆς θείας γραφῆς διήγησιν· εἶτ' ἐπισυνάπτει, "μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων," οὐκ ἐν τῇ φύσει, ἀλλ' ἐν τῇ θείᾳ γραφῇ· καὶ ἐπειδὴ ταῦτα ἀδύνατον ἦν καὶ ἐπ' ἄλλου λέγεσθαι, ἐμνημόνευσε γὰρ ἡ θεία γραφὴ πολλῶν, οὔτε τοὺς γονέας εἰποῦσα, οὔτε τὴν γενεαλογίαν ἐκθεμένη, καὶ μάλιστα ὅσους ἔξω τοῦ Ἰσραηλιτικοῦ γένους γεγονότας μεμαθήκαμεν, καλῶς ἐπήγαγε τὸ "ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς "εἰς τὸ διηνεκὲς," οὐκέτι γὰρ καὶ τοῦτο μετὰ τῶν λοιπῶν ἦν ἐπ' ἄλλου, ἐμφαίνει δὲ ἀπὸ τῆς κατὰ τὴν γραφὴν διηγήσεως, ὅπως αὐτῷ καὶ τὰ λοιπὰ προσῆν, ἃ δὴ καὶ τοῦτο. καὶ γὰρ ὁ Χριστὸς ἦν μὲν ἀπάτωρ, γεννήσει τῆς ἀνθρωπείας φύσεως, ἀμήτωρ δὲ τῇ γεννήσει τῆς θείας ὑπάρξεως, ἀλλὰ μὴν καὶ ἀγενεαλόγητος· τίς γὰρ ἂν γενεαλογία τοῦ ἐκ Πατρὸς ὄντος μόνου; ὅτι δὲ οὔτε ἀρχὴν ἡμερῶν ἔχει, οὔτε ζωῆς τέλος, καὶ τοῦτο δῆλον, ἀλλ' ἐνταῦθα μὲν ἐπὶ τῶν πραγμάτων, ἐκεῖ δὲ ἐπὶ τῆς διηγήσεως· τὸ μὲν ἱερέα μένειν εἰς τὸ διηνεκὲς, ἀπὸ τῆς θείας ἔλαβε γραφῆς, τῷ εἰπεῖν, "σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ," ὡς ἂν εἰ κἀκείνου διηνεκῶς ἱερατεύοντος. διηνεκῆ δὲ αὐτὸν ἱερέα ἐκάλεσεν, ὡς ἄνω παραπέμψαντα τὴν ἱερατείαν εἰς διαδόχους, ὅπερ ἐν νόμῳ συνέβαινε γίνεσθαι· ὅθεν καὶ εἶπεν, "ἀφωμοιωμένος δὲ τῷ "υἱῷ τοῦ Θεοῦ·" καί τοι γε τὸ ἀκόλουθον ἦν, τοῦτον ἀφωμοιῶσθαι λέγειν ἐκεῖνον· οὐ γὰρ ὁ πρῶτος ἀφομοιοῦται τῷ δευτέρῳ, ἀλλ' ἐπειδὴ παρὰ τούτῳ μέν ἐστιν ἡ ἀλήθεια τῶν πραγμάτων, ἐκείνῳ δὲ πρόσεστιν οὐδὲν τοιούτων, τῷ δὲ ἔδει τῆς διηγήσεως, καλῶς ἀφωμοιῶσθαι ἐκεῖνον ἔφη, ὡς ἂν τῆς θείας γραφῆς ἐπὶ τῆς διηγήσεως ὁμοίωμα τοῦ ἐσομένου δεῖξαι βουληθείσης ἡμῖν.

(Κυρίλλος.) Καὶ ὁ μακάριος Κύριλλος ἐν τοῖς εἰς τὴν γένεσιν ὧδέ φησι. δέχεται ὁ μακάριος Παῦλος τὸν Μελχισεδὲκ, εἰς ὁμοίωσίν τε καὶ ὑποτύπωσιν τοῦ Χριστοῦ, διά τοι τὸ λέγεσθαι βασιλέα δικαιοσύνης, καὶ μὴν καὶ εἰρήνης· πρέποι γὰρ ἂν ταυτὶ

δὴ μόνῳ κατὰ τὸν λόγον τὸν μυστικὸν τῷ Ἐμμανουήλ· δικαιοσύνης γὰρ καὶ εἰρήνης πρύτανις ἀνεδέχθη τοῖς ἐπὶ τῆς γῆς, καὶ δεδικαιώμεθα μὲν ἐν αὐτῷ, τὸ τῆς ἁμαρτίας ἄχθος ἀποπεμψάμενοι· ἐσχήκαμεν δὲ καὶ εἰρήνην τὴν πρὸς τὸν Πατέρα καὶ Θεόν· δέχεται δὲ τῆς ὑπὲρ νόμον ἱερωσύνης σύμβολον, τὸ καὶ εὐλογῆσαι τὸν Ἀβραὰμ, οἶνόν τε καὶ ἄρτους αὐτῷ παρασχεῖν· εὐλογούμεθα γὰρ οὐχ ἑτέρως παρὰ Χριστοῦ, τοῦ μεγάλου κατὰ τὸ ἀληθὲς ἱερέως· εὐλογούμεθα δὲ κατὰ τὸν θεσπέσιον Ἀβραὰμ εὐσθενέστατα καταγωνισάμενοι τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου, καὶ τῆς τῶν πολεμίων χειρὸς ἀμείνους ἀναδεικνύμενοι, καὶ μηδενὸς τῶν ἐν κόσμῳ δεδεημένοι, πλοῦτον δὲ μᾶλλον ἡγούμενοι νοητὸν τὰ παρὰ Θεοῦ. ἐννόει γὰρ ὅτι νενικηκότα τὸν Ἀβραὰμ καὶ ὑποστρέφοντα μὲν ἐκ τῆς κοπῆς τῶν βασιλέων, οὐκ ἀξιώσαντα δέ τι παρὰ τοῦ Σοδόμων ἄρχοντος εἰς ἰδίαν κτῆσιν ἑλεῖν, ηὐλόγηκε ὁ Μελχισεδέκ. οὐκοῦν ἐκ τῆς τῶν ὀνομάτων ἑρμηνείας, ἁρπάζει τὸ χρήσιμον εἰς ὑποτύπωσιν τοῦ Χριστοῦ, καὶ αὐτὸν δὲ τῆς ἱερωσύνης τὸν τρόπον· ὅτι δὲ ἀπάτωρ ἢ ἀμήτωρ, ἤγουν ἀγενεαλόγητος, ἢ ἀρχὴν ἡμερῶν, ἢ τέλος ζωῆς οὐκ ἔχων ὁ Μελχισεδὲκ, οὐδαμοῦ μεμήνυκε τὸ γράμμα τὸ ἱερόν· δέχεται δὲ ὁ μυσταγωγὸς, τεχνίτης δὴ ὢν ἄγαν, εἰς τύπον τῆς δόξης τοῦ Ἐμμανουὴλ, καὶ τὴν ἐπὶ τούτοις αὐτοῖς οἰκονομικὴν ἀποσίγησιν. ὑποπλάττεται γὰρ οἱονεί πως τὸ διηνεκὲς καὶ ἄναρχον τοῦ Χριστοῦ καθὸ νοεῖται Θεός· ἄναρχον δέ φημι τὴν ὡς ἐν ποσότητι δηλονότι τὴν κατὰ χρόνον, ὑπεμφαίνει δὲ πρὸς τούτῳ καὶ τὸ ἀκατάληκτον τῆς ἱερωσύνης. ἔοικε δὲ καὶ ἕτερόν τι σοφὸν βεβουλεῦσθαι πάλιν· καὶ τί δὴ τοῦτό ἐστι διειπεῖν πειράσομαι. ἀντέπραττον Ἰουδαῖοι τοῖς περὶ Χριστοῦ κηρύγμασι, δύο ταῦτα προτείνοντες, ἓν μὲν ὡς εἴη τῶν ἀμηχάνων τὴν τοῖς πατράσι διωριζομένην διὰ φωνῆς τοῦ πανσόφου Μωϋσέως ἀπρακτεῖν ἐντολὴν καὶ ἀθετεῖσθαι τὸν νόμον, πολιτείας ἑτέρας τῆς οὐδὲν τῶν πάλαι διεγνωσμένης ἀδοκήτως εἰσκρινομένης· ἕτερον δ' αὖ, μὴ γὰρ δὴ χρῆναι διϊσχυρίζοντες τῆς ἱερωσύνης τὴν δόξαν ἔξω τῆς ἀπολέκτου φέρεσθαι φυλῆς, τουτέστι τῆς Λευΐ. ἀγωνίζεται τοίνυν νομομαθὴς ὢν ὁ Παῦλος, καὶ πειρᾶται πληροφορεῖν ἀπό τε τοῦ εἰκότος, καὶ μέντοι καὶ ἐξ αὐτῆς τῆς θεοπνεύστου γραφῆς, ὅτι καὶ

νόμου καινότης, καὶ ἱερωσύνης αὐτῆς προαναφωνεῖτο μετάθεσις, καὶ προανέλαβεν ἐν τύποις ἡ ἑκατέρου δήλωσις.

4 *Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.*

(Χρυσοστόμου.) Ὁ *μακάριος* Ἰ*ωάννης φησί· τέως ἥρμοσε τὸν τύπον θαρρῶν, λοιπὸν δείκνυσιν αὐτὸν τῶν ἀληθῶν γραμμάτων τῶν παρὰ* Ἰ*ουδαίοις λαμπρότερον. εἰ ὁ τύπον ἔχων τοῦ* Χ*ριστοῦ τοσοῦτον, οὐ τῶν ἱερέων, ἀλλὰ καὶ αὐτοῦ τοῦ προπάτορος τῶν ἱερέων βελτίων, τί ἂν τις εἴποι περὶ τῆς ἀληθείας; ὁρᾷς ἐξ ὅλης περιουσίας δείκνυσι τὴν ὑπεροχήν; ἀκροθίνια δὲ τὰ λάφυρα λέγεται, καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ὡς μετέχοντι τοῦ πολέμου ἔδωκεν· διὰ γὰρ τοῦτο εἶπεν "ὑπήντησεν ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν "βασιλέων·" οἴκοι γὰρ ἐκάθητο, φησὶ, καὶ τῶν αὐτῷ πεπονημένων τὰς ἀπαρχὰς ἔδωκεν.*

5 *Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευῒ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ.*

Τ*οσαύτη, φησὶν, ἱερωσύνης ἡ ὑπερβολὴ, ὡς τοὺς ὁμοτίμους ἀπὸ προγόνων, καὶ τὸν αὐτὸν ἔχοντας προπάτορα, πολλῷ βελτίους εἶναι τῶν ἄλλων. δεκάτας γὰρ παρ' ἐκείνοις λαμβάνουσιν· ὅταν οὖν εὑρεθείη τις παρ' αὐτῶν τούτων δεκάτας λαβὼν, ἆρ' οὐχ οὗτοι μὲν ἐν τάξει λαϊκῶν, ἐκεῖνος δὲ ἐν ἱερεῦσι; καὶ οὐ τοῦτο μόνον, ἀλλ' οὐδὲ ὁμότιμος αὐτοῖς ἦν, ἀλλ' ἐξ ἑτέρου γένους, ὥστε οὐκ ἂν ἔδωκεν ἀλλοφύλῳ δεκάτας, εἰ μὴ πολλὴ ἦν ἡ τιμή. πῶς οὖν ἔδειξεν ὅτι* Λ*ευῒ δεκάτας ἔδωκεν; ὁ* Ἀ*βραὰμ, φησὶν, ἔδωκε· καὶ τί πρὸς ἡμᾶς τοῦτο; μάλιστα μὲν πρὸς ὑμᾶς· οὐ γὰρ δὴ φιλονεικήσετε τοὺς* Λ*ευΐτας βελτίονας εἶναι τοῦ* Ἀ*βραὰμ, "ὁ δὲ μὴ "γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν* Ἀ*βραάμ·" εἶτα καὶ οὐχ ἁπλῶς παρῆλθεν, ἀλλὰ προσέθηκεν, "καὶ τὸν ἔχοντα ἐπαγ"γελίας εὐλόγηκεν." ἐπειδὴ ἄνω καὶ κάτω τοῦτο ἦν τὸ σεμνὸν, δείκνυσιν ἐκείνου ὄντα σεμνότερον ἐκεῖνον, ἀπὸ τῆς κοινῆς κρίσεως ἁπάντων· "χωρὶς δὲ πάσης ἀντιλογίας," φησὶ, τουτέστιν, πᾶσιν*

δοκεῖ, "τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· οὐκοῦν κρείττων ὁ τύπος τοῦ Χριστοῦ, καὶ αὐτοῦ τοῦ τὰς ἐπαγγελίας ἔχοντος.

8 Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ.

Ἀλλ' ἵνα μὴ εἴπωμεν, τί ἄνω ἀπέρχῃ; εἰπὲ ἡμῖν, φησὶ, καὶ ὡς ἔπος εἰπεῖν, καλῶς αὐτὸς ἐκόλασε, διὰ Ἀβραὰμ καὶ Λευῒ, ὁ δεκάτας λαμβάνων δεδεκάτωται· πῶς; ἔτι ἐν τῇ ὀσφύϊ ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδὲκ, τουτέστιν ἐν αὐτῷ ἦν ὁ Λευῒ, εἰ καὶ μηδέπω ἐτέχθη· καὶ οὐκ εἶπεν οἱ Λευῖται, ἀλλ' ὁ Λευΐ. εἶδες ὑπερβολήν; εἶδες τὸ μέσον τοῦ Ἀβραὰμ καὶ τοῦ Μελχισεδὲκ τοῦ τὸν τύπον φέροντος τοῦ ἀρχιερέως τοῦ ἡμετέρου; ἡ μὲν οὖν τελείωσις ἦν, φησίν· ἔδειξεν ὅτι πολὺ τοῦ Λευῒ καὶ τοῦ Ἀβραὰμ βελτίων ὁ Μελχισεδὲκ, ἐν τάξει ἱερέως αὐτοῖς γενόμενος, ἐξ ἑτέρου πάλιν ἐπιχειρεῖ. τίνος ἕνεκεν, φησὶν, οὐκ εἶπεν, κατὰ τὴν τάξιν Ἀαρών; καὶ θέα μοι τὴν ὑπερβολήν· ἀφ' οὗ γὰρ εἰκὸς ἦν αὐτὸν ἐκκαλεῖν τὴν ἱερωσύνην, ἐπειδὴ μὴ κατὰ τὴν τάξιν ἦν Ἀαρὼν, ἀπὸ τούτου τοῦτον μὲν ἵστησιν, ἐκβάλλει δὲ ἐκείνους· αὐτὸ γὰρ τοῦτο λέγω, φησί· τίνος ἕνεκεν οὐ κατὰ τὴν τάξιν Ἀαρὼν γεγονεν, καὶ τὸ τίς ἐστι χρεία, πολλὴν ἔμφασιν ἔχει· εἰ γὰρ ἦν ὁ Χριστὸς κατὰ σάρκα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἔπειτα ὁ νόμος γέγονε, καὶ τὰ κατὰ Ἀαρὼν, εἰκότως ἄν τις εἴποι, ἅτε ὄντα τελειότερα ἐκεῖνα καταλύειν, ἅτε ἐπεισελθόντα· εἰ δὲ ὁ Χριστὸς ὕστερος, καὶ ἕτερον λαμβάνει τύπον τὸν τῆς ἱερωσύνης, δηλονότι ὡς ἀτελεστέρων ὄντων ἐκείνων· τίνος γὰρ ἕνεκεν ἀφεὶς τὸν Ἀαρὼν, ἑτέραν εἰσήνεγκε τὴν τοῦ Μελχισεδέκ;

ΚΕΦ. I.

Ὅτι παύσεται ἡ τοῦ Ἀαρὼν ἱερωσύνη ἐπὶ γῆς οὖσα, ἵσταται δὲ ἡ οὐράνιος ἡ Χριστοῦ ἐξ ἑτέρου γένους, οὐ κατὰ σάρκα, οὐ διὰ νόμου σαρκίνου.

11 Διὰ τῆς Λευϊτικῆς ἱερωσύνης, ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα.

Εἰ μὲν οὖν τελείωσις τουτέστι τῆς τῶν πραγμάτων, τῆς τῶν δογμάτων, τοῦ βίου ἡ τελείωσις, διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, εἰπὼν ὅτι κατὰ τὴν τάξιν Μελχισεδὲκ, δεικνὺς ὅτι βελτίων αὕτη ἐκείνης, λοιπὸν καὶ ἀπὸ τοῦ χρόνου τοῦτο δείκνυσιν, ὅτι μετὰ Ἀαρὼν, δηλονότι ὡς ἀμείνων· καὶ τί βούλεται τὸ ἑξῆς; "ὁ λαὸς "γὰρ ἐπ' αὐτῇ, φησὶ, νενομοθέτηται," τί ἐστιν "ἐπ' αὐτῇ;" αὐτῇ στοιχεῖ, δι' αὐτῆς ἅπαντα πράττει, αὐτῇ κέχρηται καὶ ἐχρήσατο. τίς οὖν ἑτέρας ἱερωσύνης ἦν χρεία· "μετατιθεμένης "γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται·" εἰ δὲ ἕτερον δεῖ ἱερέα εἶναι μᾶλλον, ἑτέραν ἱερωσύνην, ἀνάγκη καὶ νόμον ἕτερον εἶναι, τοῦτο πρὸς τοὺς λέγοντας, τί ἔδει καινῆς διαθήκης; εἰ τοίνυν ἱερωσύνη εἰσῆκται, ἄλλην δεῖ διαθήκην εἶναι· οὔτε γὰρ ἐστὶν ἱερέα διαθήκης χωρὶς εἶναι καὶ νόμων, καὶ προσταγμάτων, οὔτε ἑτέραν λαβόντα ἱερωσύνην ἐκείνῃ κεχρῆσθαι· εἶτα ὅπερ ἀντιθέσεως ἦν, πῶς ἱερεὺς ἂν εἴη, μὴ ὢν Λευΐτης; τοῦτο διὰ τὸν ἄνω προκαταβαλὼν οὐδὲ λῦσαι ἀξιοῖ, ἀλλ' ἐν παραδρομῇ εἰσάγει αὐτό· εἶπεν, φησὶν, ὅτι μετετέθη ἡ ἱερωσύνη, οὐκοῦν καὶ ἡ διαθήκη· μετετέθη δὲ οὐ τῷ τρόπῳ μόνον, οὐδὲ τοῖς προστάγμασιν, ἀλλὰ καὶ τῇ φυλῇ· μετατιθεμένης γὰρ τῆς ἱερωσύνης ἀπὸ φυλῆς εἰς φυλὴν, ἀπὸ τῆς ἱερατικῆς ἐπὶ τὴν βασιλικὴν, ἵνα ἡ αὐτὴ καὶ βασιλικὴ εἴη καὶ ἱερατική· βασιλεὺς γὰρ ὢν, ἀρχιερεὺς γέγονεν, ὅτε τὴν σάρκα ἀνέλαβε καὶ τὴν θυσίαν προσήγαγε· καὶ ἅπερ ἀντιθέσεως ἦν, ταῦτα ὡς τῆς τῶν πραγμάτων ἀκολουθίας ἀπαιτούσης εἰσάγει· "ἐφ' ὃν γὰρ λέγεται," φησὶ, "ταῦτα, "φυλῆς ἑτέρας μετέσχηκε·" κἀγώ φημι καὶ οἶδα, ὅτι οὐδὲν ἱερωσύνης εἶχεν, μετάθεσις γάρ ἐστιν· ἐγὼ δὲ καὶ ἄλλην δείκνυμι,

διαφορὰν, οὐ μόνον ἀπὸ τῆς φυλῆς, οὐδὲ μόνον ἀπὸ τοῦ προσώπου, οὐδὲ ἀπὸ τοῦ τρόπου, οὐδὲ ἀπὸ τῆς διαθήκης, ἀλλὰ καὶ ἀπ' αὐτοῦ τοῦ τύπου.

16 Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

Γέγονε, φησὶν, ἱερεὺς, "οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς," ὁ γὰρ νόμος ἐκεῖνος, τὰ πολλὰ ἄνομος ἦν· τί ἐστιν "ἐντολῆς σαρκικῆς;" περίτεμε, φησὶ, τὴν σάρκα· χρῖσον τὴν σάρκα, λοῦσον τὴν σάρκα, καθάρισον τὴν σάρκα, ἄργησον τῇ σαρκί· καὶ τὴν ἐπαγγελίαν δὲ τῶν μισθῶν σωματικὴν, γῆν ῥέουσαν μέλι καὶ γάλα, εἰρήνην καὶ τρυφὴν σαρκικήν· ἀπὸ τούτου τοῦ νόμου τὴν ἱερωσύνην ἔλαβεν Ἀαρών· ὁ μέντοι Μελχισεδὲκ οὐχ οὕτως.

Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος.

Τί δέ ἐστι "κατάδηλον;" τὸ μέσον τῆς ἱερωσύνης ἑκατέρας τὸ διάφορον, ὅσον κρεῖττον, "ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς "γέγονεν·" τίς; ὁ Μελχισεδέκ; οὔ· ἀλλ' ὁ Χριστός· "ἀλλὰ κατὰ "δύναμιν ζωῆς ἀκαταλύτου·" μαρτυρεῖ γὰρ ὅτι "σὺ εἶ ἱερεὺς εἰς "τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ·" τουτέστιν, οὐ πρὸς καιρὸν, οὐδὲ πέρας ἔχων, ἀλλὰ κατὰ δύναμιν, τουτέστι, διὰ ζωῆς ἀκαταλύτου· καί τοι ἀκόλουθον ἦν εἰπεῖν, ἀλλὰ κατὰ πνευματικὴν, ἀλλὰ διὰ τοῦ σαρκικοῦ τὸ πρόσκαιρον ἔδειξεν, ὥσπερ καὶ ἀλλαχοῦ λέγει, "μέχρι καιροῦ διορθώσεως ἐπικείμενα τὰ δικαιώ-"ματα τῆς σαρκὸς, κατὰ δύναμιν ζωῆς," τουτέστιν οἰκείᾳ δυνάμει ζῇ, εἶπεν ὅτι καὶ νόμου μετάθεσις γίνεται, καὶ ἔδειξε, ζητεῖ λοιπὸν τὴν αἰτίαν καὶ τὸν λόγον, καθ' ὃν τοῦτο γίνεται, ὃ μάλιστα πληροφορεῖ τὰς ἀνθρώπων ψυχὰς, τὸ τὴν αἰτίαν πάντων εἰδέναι· "ἀθέτησις μὲν γὰρ γίνεται," φησὶ, "προαγούσης ἐντολῆς διὰ τὸ "αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές·" ἐνταῦθα οἱ αἱρετικοὶ ἐπιφύονται, ἀλλ' ἄκουε ἀκριβῶς· οὐκ εἶπε διὰ τὸ πονηρὸν, οὐδὲ διὰ τὸ μοχθηρὸν, ἀλλὰ "διὰ τὸ ἀσθενὲς καὶ ἀνωφελές·" καὶ ἀλλαχοῦ δείκνυσι τὸ ἀσθενὲς, ὡς ὅταν λέγῃ, "ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός·" οὐκ ἄρα αὐτὴ ἀσθενὴς, ἀλλ' ἡμεῖς, "οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος," ἀντὶ τοῦ οὐδένα τέλειον εἰργάσατο παρακουόμενος· ἄλλως δὲ, οὐδὲ εἰ

εἰσηκούσθη, τέλειον ἐποίησεν ἂν καὶ ἐνάρετον· τέως δὲ οὐ τοῦτό φησιν ἐνταῦθα, ἀλλ' ὅτι οὐδὲν ἴσχυσεν· καὶ εἰκότως· γράμματα γὰρ ἦν κείμενα ὑποτιθέμενα μονονουχὶ καὶ δύναμιν ἐντιθέντα. ἀθέτησις τί ἐστιν; ἐκβολὴ, ἡ ἀθέτησις τῶν κρατούντων ἐστὶν ἀθέτησις, ἐπειδὴ μηδὲν ὤνησεν· οὐδὲν οὖν ὠφέλησεν ὁ νόμος; καὶ σφόδρα, ἀλλὰ πρὸς τὸ ποιῆσαι τελείους, οὐκ ὠφέλησε· κατὰ τοῦτο λέγει, πάντα τύποι ἦσαν, πάντα σκιά· οὐκ ἴσχυσεν διαβῆναι εἰς τὴν ψυχήν· διὰ τοῦτο παραχωρεῖ καὶ ὑπεξίσταται.

19 Ἐπ' εἰσαγωγῇ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζο-
20 μεν τῷ Θεῷ. καὶ καθόσον οὐ χωρὶς ὁρκομοσίας.

Ὁρᾷς ὅτι ἀναγκαῖον αὐτῷ γέγονε τὸ τοῦ νόμου ἐνταῦθα; ὥστε διὰ τοῦτο πολλὰ ἄνω ἐφιλοσόφησεν, ὅτι ὤμοσεν ὁ Θεὸς ὑπὲρ πλείονος πληροφορίας· εἶχε μὲν γὰρ κἀκεῖνα ἐλπίδα, ἀλλ' οὐ τοιαύτην· ἤλπιζον γὰρ εὐαρεστήσαντες ἕξειν τὴν γῆν, μηδὲν πείσεσθαι δεινόν· ἐνταῦθα δὲ ἐλπίζομεν εὐαρεστήσαντες καθείξειν τὸν οὐρανὸν, μᾶλλον δὲ ὃ πολλῷ τούτου κρεῖττόν ἐστιν, ἐγγὺς γενέσθαι τοῦ Θεοῦ, παρ' αὐτὸν ἥκειν τὸν θρόνον τὸν πατρικὸν, λειτουργήσειν αὐτῷ μετ' Ἀγγέλων. τί ἐστι "καὶ καθόσον οὐ χωρὶς "ὁρκομοσίας;" τουτέστιν, ἰδοὺ καὶ ἄλλη διαφορά· καὶ οὐδὲ ἁπλῶς ταῦτα ἐπήγγελται, φησίν.

Οἱ μὲν γὰρ χωρὶς ὁρκομοσίας εἰσὶν ἱερεῖς γεγονότες,
21 ὁ δὲ μεθ' ὁρκομοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτὸν,
ὤμοσε Κύριος, οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν
22 αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ· κατὰ τοσοῦτον
κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

Δύο τίθησι διαφοράς· ὅτι οὐκ ἔχει τέλος ὥσπερ ἡ νομική· τοῦτο δ' ἐποίει ἀπὸ τοῦ Χριστοῦ τοῦ μετιόντος· κατὰ δύναμιν γὰρ, φησὶ, ζωῆς ἀκαταλύτου. ποιεῖ δὲ αὐτὸ ἀπὸ τοῦ ὅρκου, ὅτι ὤμοσε· καὶ ἀπὸ τοῦ πράγματος· εἰ γὰρ ἐπειδὴ ἀσθενὲς ἦν ἐκείνη, ἐξεβλήθη, αὕτη, ἐπειδὴ δυνατή ἐστιν, ἕστηκεν· ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ἱερέως· πῶς; ὅτι εἷς ἐστιν· οὐκ ἂν εἷς ἦν, εἰ μὴ ἀθάνατος ἦν· ὥσπερ γὰρ πολλοὶ ἱερεῖς διὰ τὸ θνητοὶ εἶναι, οὕτω εἷς διὰ τὸ ἀθάνατος εἶναι.

(Θεόδωρος.) Θεόδωρος δέ φησι· δείκνυται, φησὶ, τούτου πρὸς

ἐκεῖνον τὸ διάφορον, ἀπὸ τοῦ μεθ' ὅρκου λαβεῖν τὴν ἱερατείαν· οἱ μὲν γὰρ ἄνευ ὅρκων ἐγίνοντο, διὰ τὸ δεῖν αὐτοὺς καὶ παύεσθαί ποτε τῆς ἱερατείας, οὗτοσὶ δὲ μεθ' ὅρκων, ἐπειδὴ μένειν ἔμελλεν ἐπὶ τῆς ἀξίας. οὕτω μείζονα πολλῷ τῶν ἐν νόμῳ τὴν ἀξίαν ἐδέξατο, ἐπειδὴ μείζονα καὶ παρέχειν τοῖς προσιοῦσιν ἔμελλε· τὸ γὰρ "ἔγγυος" οὕτω λέγει, ὡς ἂν τὸ καταστῆναι ἐγγυωμένου ἡμῖν τὸ κέρδος, ἐπεὶ καὶ οὕτως ἔχει· τὸ γὰρ ἀναστῆναι πρῶτος, καθὰ καὶ ἀρχιερέα αὐτὸν καλεῖ, ἐγγυᾶται ἡμῖν τὴν τῆς ἀναστάσεως ὁμοιότητα.

25 Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

Ὁ μακάριος Ἰωάννης φησίν· ὁρᾷς ὅτι εἰς τὸ κατὰ σάρκα ταῦτα φησίν· ὅταν γὰρ ὡς ἱερεὺς, τότε καὶ ἐντυγχάνει· ὥστε καὶ ὅταν λέγῃ Παῦλος, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, τὸ αὐτὸ αἰνίττεται· ὡς ἀρχιερεὺς ἐντυγχάνει, ἐπεὶ ὁ ἐγείρων τοὺς νεκροὺς ὡς θέλει καὶ ζωοποιεῖ, καὶ οὕτως ὡς καὶ ὁ Πατὴρ, πῶς ἔνθα σῶσαι δεῖ, ἐντυγχάνει, ὁ πᾶσαν τὴν κρίσιν ἔχων; πῶς ἐντυγχάνει ὁ ἀποστέλλων τοὺς Ἀγγέλους, ὥστε τοὺς μὲν εἰς κάμινον ἐμβαλεῖν, τοὺς δὲ σῶσαι; "ὅθεν," φησὶ, "καὶ σώζειν δύναται·" διὰ τοῦτο οὖν σώζει, ἐπειδὴ οὐκ ἀποθνήσκει, ἐπειδὴ ἀεὶ ζῇ, οὐκ ἔχει διάδοχον, φησίν· εἰ δὲ οὐκ ἔχει διάδοχον, οὐ δύναται πάντων προΐστασθαι· ἐνταῦθα μὲν γὰρ ὁ ἀρχιερεὺς καὶ θαυμαστὸς ἦν μέχρι τοῦ καιροῦ ἐκείνου, ἐν ᾧ ἦν, οἷον ὁ Σαμουὴλ, καὶ ὅσοι τοιοῦτοι, μετὰ δὲ ταῦτα οὐκέτι, ἐτεθνήκεσαν γάρ· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ "σώζει εἰς τὸ παντελές·" τί ἐστιν "εἰς τὸ παντελές;" μυστήριόν τι αἰνίττεται, οὐκ ἐνταῦθα μόνον, φησὶν, ἀλλὰ καὶ ἐκεῖ σώζει "τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ," πῶς σώζει; πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν, ἀντὶ τοῦ οὐ πρὸς καιρὸν μόνον, ἀλλὰ καὶ ἐκεῖ ἐν τῇ μελλούσῃ ζωῇ· ἀεὶ οὖν δεῖται τοῦ εὔχεσθαι; καὶ πῶς ἂν ἔχοι λόγον; καὶ ἄνθρωποι μὲν πολλάκις δίκαιοι ἐκ μιᾶς αἰτήσεως τὸ πᾶν ἤνυσαν, οὗτος δὲ ἀεὶ δεῖται; τίνος οὖν ἕνεκεν συγκάθηται; ὁρᾷς ὅτι συγκατάβασίς ἐστι, τουτέστι μὴ

δείσητε, μὴ εἴπητε, ναὶ φιλεῖ μὲν ἡμᾶς, καὶ παρρησίαν ἔχει πρὸς τὸν Πατέρα, ἀλλ' οὐκ ἀεὶ δύναται ζῇν· ἀεὶ γὰρ ζῇ.

26 Τοιοῦτος γὰρ ἡμῖν καὶ ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν.

Ὁρᾷς ὅτι περὶ τῆς ἀνθρωπότητος τὸ πᾶν εἴρηται; ὅταν δὲ εἴπω ἀνθρωπότητα, θεότητα ἐχούσης λέγω· οὐ διαιρῶν, ἀλλ' ἀφεὶς τὰ πρέποντα ὑποπτεύειν, εἶπε τὴν διαφορὰν τοῦ ἀρχιερέως· ἀνεκεφαλαιώσατο τὰ λεχθέντα· "ἄκακος" τί ἐστιν; ἀπόνηρος· ὃ λέγει ἕτερος προφήτης, "δόλος οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ·" τουτέστιν, οὐχ ὕπουλος· τοῦτο οὐκ ἄν τις περὶ Θεοῦ εἴποι, ὅτι οὐκ ἔστιν ὕπουλος· περὶ μέντοι τοῦ κατὰ σάρκα ἔχοι ἂν λόγον· "ἀμίαντος," καὶ τοῦτο οὐ περὶ Θεοῦ εἴποι τις ἄν· ἔχει γὰρ φύσιν μὴ μιαίνεσθαι· "κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν·" τοῦτο οὖν μόνον δείκνυσι τὸ διάφορον, ἢ καὶ αὐτὴ ἡ θυσία, πῶς;

27 Οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ ὁ ἀρχιερεὺς ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ ἀναφέρειν θυσίας· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας.

Τοῦτο ποῖον; ἐνταῦθα προανακρούεται λοιπὸν τῆς πνευματικῆς θυσίας τὴν ὑπερβολήν· μὴ τοίνυν αὐτὸν ἱερέα ἀκούσας ἀεὶ ἱερᾶσθαι νόμιζε, ἅπαξ γὰρ ἱεράσατο, καὶ λοιπὸν ἐκάθισεν, ἵνα μὴ νομίσῃς ἄνω ἑστάναι αὐτὸν, καὶ λειτουργὸν εἶναι, δείκνυσιν ὅτι οἰκονομίας τὸ πρᾶγμά ἐστιν· ὥσπερ γὰρ δοῦλος ἐγένετο, οὕτως καὶ ἱερεὺς καὶ λειτουργός· ἀλλ' ὥσπερ δοῦλος γενόμενος, οὐκ ἔμεινε δοῦλος, οὕτως καὶ λειτουργὸς γενόμενος οὐκ ἔμεινε λειτουργός· οὐ γὰρ λειτουργοῦ τὸ καθῆσθαι, ἀλλὰ τὸ ἑστάναι· τοῦτο οὖν αἰνίττεται ἐνταῦθα· καὶ τῆς θυσίας τὸ μεγαλεῖον, ἣ ἤρκεσεν μία οὖσα καὶ ἅπαξ προσενεχθεῖσα τοσοῦτον, ὅσον καὶ πᾶσαι οὐκ ἴσχυσαν· ἀλλ' οὔπω περὶ τούτων· τοῦτο γὰρ ἐποίησε, φησὶ, τοῦτο ποῖον; "ἀναγκαῖον γὰρ ἔχειν," φησὶ, "τί καὶ τοῦτον, ὃ προσε-" "νέγκῃ," οὐ τὸ ὑπὲρ ἑαυτοῦ, πῶς γὰρ ὑπὲρ ἑαυτοῦ προσέφερεν; ἀλλ' ὑπὲρ τοῦ λαοῦ· τί λέγεις, καὶ ἰσχύει τοῦτο; ναὶ, φησὶν, "ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν·" καὶ οὐ δεῖται τοῦ προσφέρειν ὑπὲρ ἑαυτοῦ; οὐ, φησὶν, ἵνα μὴ

τοῦτο νομίσῃς τὸ "ἐποίησεν ἐφάπαξ" καὶ οὐ περὶ αὐτοῦ εἰρῆσθαι, ἄκουσον τί φησιν· "ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, "ἔχοντας ἀσθένειαν·" διὰ τοῦτο καὶ ἀεὶ, καὶ ὑπὲρ ἑαυτῶν προσφέρουσιν· ὁ μέντοι δυνατὸς, ὁ μὴ ἔχων ἁμαρτίαν, τίνος ἕνεκεν ἢ περὶ ἑαυτοῦ προσφέρει, ἢ περὶ τῶν ἄλλων πολλάκις;

28 Ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς κατὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

Εἰπὼν "ἔχοντας ἀσθένειαν," οὐκ εἶπεν, υἱὸν δυνατὸν, ἀλλὰ "τετελειωμένον," τουτέστι δυνατὸν, ὡς ἂν εἴποι τις· ὁρᾷς ὅτι τὸ υἱὸς ὄνομα πρὸς ἀντιδιαστολὴν τοῦ δούλου εἴρηται; ἀσθένειαν δὲ ἢ ἁμαρτίαν φησὶν ἢ θάνατον· τί ἐστιν "εἰς τὸν αἰῶνα;" οὐ νῦν μόνον ἀναμάρτητον, ἀλλ' ἀεί· εἰ τοίνυν τέλος ἐστὶν, εἰ μηδέποτε ἁμαρτάνῃ, εἰ ἀεὶ ζῇ, τίνος ἕνεκεν προσοίσει πολλὰς ὑπὲρ ἡμῶν θυσίας; ἀλλὰ τέως μὲν ὑπὲρ τούτου οὐκ ἰσχυρίζεται, ὑπὲρ δὲ τοῦ μὴ προσφέρειν αὐτὸν ὑπὲρ ἑαυτοῦ τοῦτο ἰσχυρίζεται.

1 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον γὰρ ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

Ἀναμίγνυσι τὰ ταπεινὰ τοῖς ὑψηλοῖς, ὁ ἀεὶ τὸν διδάσκαλον μιμούμενος τὸν αὐτοῦ, ὥστε τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁδὸν γενέσθαι, καὶ διὰ τούτων ἐπ' ἐκεῖνα χειραγωγηθῆναι, καὶ γενομένους ἐν τοῖς μεγάλοις, μανθάνειν ὅτι ταῦτα συγκαταβάσεως ἦν. τοῦτο γοῦν καὶ ἐνταῦθα ποιεῖ, εἰπὼν ὅτι ἀνήνεγκεν ἑαυτὸν, καὶ ἀρχιερέα δείξας, τί φησι; "κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, "τοιοῦτον ἔχομεν γὰρ ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης," καί τοι τοῦτο οὐχ ἱερέως, ἀλλὰ τούτου, ᾧ ἱερᾶσθαι ἐκεῖνον χρὴ, "τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς ἣν "ἔπηξεν ὁ Κύριος, οὐκ ἄνθρωπος·" ὁρᾷς τὴν συγκατάβασιν; οὐχὶ πρὸ μικροῦ διέστειλε λέγων, "οὐχὶ πάντες εἰσὶ λειτουργικὰ "πνεύματα;" καὶ διὰ τοῦτο, φησὶν, οὐκ ἀκούουσι, κάθου ἐκ δεξιῶν μου, ὡς τοῦ καθημένου οὐκ ὄντος λειτουργικοῦ; πῶς οὖν λειτουργὸς ἐνταῦθα εἴρηται; καὶ λειτουργὸς τῶν ἁγίων· τὴν γὰρ σκηνὴν

ἐνταυθά φησιν· ἐπειδὴ γὰρ εἰκὸς ἦν τοὺς ἐξ Ἰουδαίων φαντάζεσθαι ὅτι σκηνὴν οὐκ ἔχομεν τοιαύτην, ἰδοὺ, φησὶν, ὁ ἱερεὺς καὶ μέγας, καὶ πολὺ μείζων ἐκείνου· καὶ θυσίαν θαυμασιωτέραν προσήνεγκε, καὶ ἦν μὲν αὕτη δήλη ἡ διαφορά· αὐτὸς δὲ καὶ ἑτέραν ἐπινοεῖ, καὶ φησὶν, " ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος·" ποῦ εἰσιν οἱ λέγοντες δινεῖσθαι τὸν οὐρανόν; ποῦ εἰσιν οἱ σφαιροειδῆ αὐτὸν εἶναι ἀποφαινόμενοι; ἀμφότερα γὰρ ταῦτα, ἀνῄρηται ἐνταῦθα. " κεφά-" λαιον δὲ ἐπὶ τοῖς λεγομένοις," τὸ κεφάλαιον ἀεὶ τὸ μέγιστον λέγεται· πάλιν κατάγει τὸν λόγον, εἰπὼν τὸ ὑψηλόν· εἶτα ἵνα μάθῃς ὅτι λειτουργὸς περὶ τῆς ἀνθρωπότητος φησίν· ὅρα πῶς πάλιν ἐπισημαίνεται.

3 *Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται, ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον, ὃ προσενέγκῃ.*

Μὴ ἐπειδὴ ἀκούεις ὅτι κάθηται, ὕθλον εἶναι νομίσῃς τὸ ἀρχιερέα αὐτὸν εἰρῆσθαι· ἐκεῖνο μὲν γὰρ τῆς ἀξίας τοῦ Θεοῦ τὸ καθῆσθαι, τοῦτο δὲ τῆς φιλανθρωπίας τῆς πολλῆς καὶ τῆς εἰς ἡμᾶς κηδεμονίας.

4 *Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς οὐδ' ἂν ἦν ἱερεὺς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα.*

Εἰ τοίνυν ἐστὶν ἱερεὺς, ὥσπερ οὖν καί ἐστι, δεῖ αὐτῷ τόπον ζητῆσαι ἕτερον· ἐπὶ γῆς μὲν γὰρ ὢν, οὐκ ἂν ἦν ἱερεύς· πῶς γάρ; οὐ προσήνεγκεν, οὐχὶ ἱεράσατο· καὶ εἰκότως, ἦσαν γὰρ οἱ ἱερεῖς· δείκνυσιν ὅτι οὐδὲ δυνατὸν ἐπὶ γῆς εἶναι ἱερέα· πῶς γὰρ οὐκ ἐπανάστασις ἦν, φησίν; ἐνταῦθα ἀναγκαῖον παραπέμψαι τὸν νοῦν καὶ συνιδεῖν τὴν ἀποστολικὴν σύνεσιν· πάλιν γὰρ τὴν διαφορὰν δείκνυσι τῆς ἱερωσύνης.

5 *Οἵ τινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων.*

Τίνα λέγει ἐνταῦθα ἐπουράνια; τὰ πνευματικά· εἰ γὰρ καὶ ἐπὶ γῆν τελεῖται, ἀλλ' ὅμως τῶν οὐρανίων ἐστὶν ἄξια· ὅταν γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κεῖται ἐσφαγμένος, ὅταν Πνεῦμα παραγίνηται, ὅταν ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς ἐνταῦθα ᾖ, ὅταν υἱοὶ γινώμεθα διὰ τοῦ λουτροῦ, ὅταν πολῖται ὦσι τῶν ἐν

οὐρανοῖς, πῶς οὐκ ἐπουράνια πάντα τυγχάνει; ἀλλὰ τί; οἱ ὕμνοι οὐκ οὐράνιοι; οὐχ ἅπερ ἄνω ᾄδουσιν οἱ θεῖοι χοροὶ τῶν ἀσωμάτων δυνάμεων, ταῦτα καὶ ἡμεῖς οἱ κάτω συνῳδὰ ἐκείνοις φθεγγόμενοι; οὐχὶ καὶ τὸ θυσιαστήριον ἐπουράνιον; πῶς οὐ πάντα πνευματικὰ γίνεται τὰ προκείμενα; πῶς δὲ οὐκ οὐράνια τὰ τελούμενα; ὅταν γὰρ λέγῃ, "ἄν τινων κρατήσωσι τὰς ἁμαρτίας, κεκράτηνται, ἄν "τινων ἀφήσωσιν, ἀφίενται·" καὶ τὰς κλεῖς ἔχουσι τοῦ οὐρανοῦ· πῶς οὐκ οὐράνια πάντα;

Καθὼς κεχρημάτισται Μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν· ὅρα γὰρ, φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.

Ἐπειδὴ ἡ ἀκοὴ ἡμῶν ἀμαθεστέρα τῆς ὄψεώς ἐστιν. οὐ γὰρ οὕτως ἅπερ ἂν ἀκούσωμεν τῇ ψυχῇ παρακατατιθέμεθα, ὡς ἅπερ ἂν ἴδωμεν αὐταῖς ὄψεσιν· ἔδειξεν αὐτῷ πάντα· ἤτοι οὖν τοῦτο λέγει ὑποδείγματι καὶ σκιᾷ, ἢ περὶ τοῦ ναοῦ· ἐπήγαγε γὰρ, "ὅρα, ποιήσεις, φησὶ, κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ "ὄρει·" ἄρα περὶ τῆς κατασκευῆς τοῦ ναοῦ μόνου, ἢ καὶ περὶ τῶν θυσιῶν εἶδεν καὶ τῶν ἄλλων ἁπάντων· μᾶλλον δὲ οὐκ ἄν τις ἁμάρτοι καὶ τοῦτο εἰπών· οὐδὲν γὰρ ἄλλο ἐστὶν ἢ ἐκκλησία, ἢ οὐρανός.

6 Νυνὶ δὲ διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονος ἐστὶ διαθήκης μεσίτης.

Ὁρᾷς, φησὶν, ὅσῳ βελτίων ἡ λειτουργία τῆς λειτουργίας, εἴγε ἐκείνη μὲν ὑπόδειγμα καὶ τύπος, αὕτη δὲ ἀλήθεια; ἀλλ' οὐδὲν τοῦτο ὠφελεῖ τοὺς ἀκούοντας, οὐδὲ ηὔφραινε· διά τοι τοῦτο ὃ μάλιστα αὐτοὺς ηὔφραινεν, λέγει.

Ἥτις ἐν κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

Πόθεν τοῦτο δῆλον; ἐξ ὧν αὕτη μὲν ἐξεβλήθη, ἐκείνη δὲ ἀντεισήχθη· διὰ γὰρ τοῦτο κρατεῖ, ὅτι βελτίων· ὥσπερ γὰρ λέγει, ὅτι εἰ τελείως δι' αὐτῆς ἦν, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα; οὕτως καὶ ἐνταῦθα τῷ αὐτῷ συλλογισμῷ κέχρηται λέγων.

ΚΕΦ. ΙΑ.

Ὑπεροχὴ τῆς δευτέρας διαθήκης ὑπὲρ τὴν προτέραν ἐν ἱλασμῷ καὶ ἁγιασμῷ.

7 *Εἰ γὰρ ἡ πρώτη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος.*

Τουτέστιν, ἀεὶ ἀμέμπτους ἐποίει· ὅτι γὰρ περὶ τούτου φησὶν, οὐκ εἶπε, μεμφόμενος δὲ αὐτὴν, ἀλλὰ μεμφόμενος δὲ αὐτοὺς λέγει, "ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν "οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα, καὶ διαθήκην καινὴν, "οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν "ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ "γῆς Αἰγύπτου, οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα "αὐτῶν λέγει Κύριος." καὶ πόθεν δῆλον ὅτι τέλος ἔλαβεν; ἔδειξε μὲν καὶ ἀπὸ τοῦ ἱερέως, δείκνυσι δὲ τρανότερον νῦν αὐτολεξὶ, ὅτι ἐκβέβληται· πῶς δὲ, "ἐπὶ κρείττοσιν ἐπαγγελίαις;" ποῦ γὰρ ἴσον, εἰπέ μοι, γῆ καὶ οὐρανός; σὺ δὲ θεώρει πῶς κἀκεῖ ἐπαγγελίας φησίν· ἵνα μὴ ταύτης τοῦτο κατηγορεῖς, καὶ γὰρ ἐκεῖ δι' ἧς ἐγγίζομεν τῷ Θεῷ ἐλπίδος, φησὶ, κρείττονος, δεικνὺς ὅτι κἀκεῖ ἐλπὶς καὶ ἐνταῦθα ἐπαγγελίας κρείττονος, αἰνιττόμενος ὅτι καὶ ἐκεῖ ἐπηγγείλατο· ἐπειδὴ δὲ ἐνεκάλουν ἀεὶ, "ἰδοὺ ἡμέραι ἔρχον-"ται," φησὶ, "λέγει Κύριος· καὶ συντελέσω ἐπὶ τὸν οἶκον "Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα, διαθήκην καινὴν, οὐ παλαιάν·" τίνα διαθήκην φησίν; ἵνα γὰρ μὴ τοῦτο λέγωσι, καὶ τὸν χρόνον ὥρισεν· οὐ γὰρ εἶπεν ἁπλῶς κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἵνα μὴ τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην εἴπῃς ἢ τὴν πρὸς τὸν Νῶε· ἀλλὰ ποίαν φησίν; ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν τοῖς ἐν τῇ ἐξόδῳ· διὸ καὶ ἐπήγαγεν· "ἐν ἡμέρᾳ ἐπιλα-"βομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύ-"πτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέ-"λησα αὐτῶν, λέγει Κύριος." οὗτοι, φησὶ, πρῶτοι οὐκ ἐνέμειναν, καὶ παρ' ἡμῶν ἡ ἀμέλεια· τὰ δὲ ἀγαθὰ παρ' αὐτοῦ, τὰ τῆς εὐεργεσίας λέγω· ἐνταῦθα ὥσπερ ἀπολογίαν τίθησι, τὴν αἰτίαν δεικνὺς δι' ἣν ἐγκαταλιμπάνει αὐτούς· "ὅτι αὕτη ἡ διαθήκη μου," φησὶν,

" ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει " Κύριος, διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας " αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ " αὐτοὶ ἔσονταί μοι εἰς λαόν." οὕτω περὶ τῆς καινῆς ταῦτά φησιν; ὅτι λέγει, " οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην·" ποία δὲ ἄλλη ἐστὶ διαφορά; αὕτη. εἰ δὲ τὸ διάφορον λέγοι τις, οὐ κατὰ τοῦτο, ἀλλὰ κατὰ τὸ δοθῆναι εἰς τὰς καρδίας αὐτῶν, οὐ προσταγμάτων εἰσάγει διαφορὰν, ἀλλὰ τὸν τρόπον τῆς δόσεως δείκνυσιν· οὐκέτι γὰρ ἐν γράμμασι, φησὶν, ἔσται ἡ διαθήκη, ἀλλ' ἐν καρδίαις. δειξάτω τοίνυν τοῦτο ποτὲ γενόμενον ὁ Ἰουδαῖος, ἀλλ' οὐκ ἂν εὕροι· πάλιν γὰρ ἐν γράμμασιν ἐγένετο μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος· ἐγὼ δὲ δείκνυμι τοὺς Ἀποστόλους, μηδὲν παραλαβόντας γραπτὸν, ἀλλ' ἐν ταῖς καρδίαις δεξαμένους διὰ Πνεύματος Ἁγίου· διὸ καὶ ἔλεγεν ὁ Χριστός· " ἐκεῖνος ἐλθὼν ἀναμνήσει ὑμᾶς πάντα, " καὶ διδάξει ὑμᾶς·" " καὶ οὐ μὴ διδάξωσι," φησὶν, " ἕκαστος " τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστον τὸν ἀδελφὸν αὐτοῦ, λέγων· " γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως " μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν " ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι." πότε δὲ τοῦτο γέγονεν ἢ νῦν; δῆλον γὰρ τὸ ἡμέτερον, τὸ δὲ ἐκείνων, οὐ δῆλον, ἀλλ' ἀπεκέκλειστο εἰς γωνίαν· καινὴ τότε λέγεται, ὅταν ἑτέρα ᾖ, καὶ δεικνύει εἴ τι τῆς παλαιᾶς πλέον ἔχει. Ἰδοὺ, φησὶ, καὶ αὐτὴ καινὴ τυγχάνει, ὅταν αὐτῆς τὰ μὲν περιαιρεθῇ, τὰ δὲ μή· οἷον εἴ τις οἰκίαν παλαιὰν μέλλουσαν καταπίπτειν, ἀφεὶς τὸ πᾶν, τὸν θεμέλιον ὑπέρραψεν, εὐθέως λέγομεν, ἐποίησεν αὐτὴν καινήν· ὅταν τὰ μὲν ἐξέλῃ, τὰ δὲ ἀντεισάγῃ· καὶ γὰρ καὶ οὐρανὸς καινὸς λέγεται οὕτως, ὅταν μηκέτι χαλκοῦς ᾖ, ἀλλ' ὑετὸν διδῷ, ὅταν μὴ ἄκαρπος, οὐχ ὅταν μεταβληθῇ, οὐχ ὅταν τὰ μὲν αὐτοῦ ἐξαιρεθῇ, τὰ δὲ μένῃ· ὥστε φησὶ, " καὶ διαθήκην " καινὴν" καλῶς εἶπεν. ἐὰν οὖν δείξω ὅτι παλαιοτέρα γέγονεν ἡ διαθήκη ἐκείνη κατὰ τοῦτο τὸ μὴ δοῦναι καρπόν· καὶ ἵνα μάθῃς ἀκριβῶς, ἀνάγνωθι τί φησιν Ἀγγαῖος, τί Ζαχαρίας, τί ἄγγελος, οὔπω οὐδὲ τῆς ἐπανόδου πλήρης[p] γεγενημένης· τί Ἔσδρας ἐγκαλεῖ; πῶς συνέλαβον αὐτόν; πῶς δὲ οὐδεὶς ἐρωτᾷ Κύριον; ὅπου γε

[p] Sic.

καὶ αὐτοὶ παρέβησαν, καὶ οὐδὲ αὐτοὶ ᾔδεσαν. ὁρᾷς πῶς βεβίασται τοσόν; ἐγὼ δὲ τὸ ἐμὸν τίθημι, ὅτι καινὴ κυρίως αὕτη ἂν λέγοιτο, ἄλλως δὲ οὐδὲ ἐκεῖνο συγχωρῶ περὶ τούτου εἰρῆσθαι τὸ "ἔσται καινὸς ὁ οὐρανός." διατί γὰρ μὴ λέγων ἐν τῷ Δευτερονομίῳ ὅτι ἔσται χαλκοῦς ὁ οὐρανὸς, τοῦτο ἔθηκεν ἐν τῇ διαστολῇ; ἐὰν δὲ εἰσακούσητε, ἔσται καινός· καὶ μὴν διὰ τοῦτο φησὶν ἑτέραν διαθήκην δίδωσιν, ἐπειδὴ τῇ προτέρᾳ οὐκ ἐνέμειναν· τοῦτο ἐγὼ δείκνυμι, δι' ὧν, φησὶ, "τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ "τῆς σαρκὸς," καὶ πάλιν, "τί πειράζετε ἐπιθεῖναι ζυγὸν ἐπὶ "τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς "ἰσχύσαμεν βαστάσαι." "ἀλλ' ἐκεῖνοι μὲν οὐκ ἐνέμειναν," φησίν· ἐνταῦθα δείκνυσιν ὅτι μειζόνων ἡμᾶς ἀξιοῖ καὶ πνευματικῶν· "εἰς "πᾶσαν γὰρ τὴν γῆν," φησὶν, "ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ "εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν·" τουτέστιν, "οὐ μὴ εἴπωσιν ἕκαστος τῷ πλησίον αὐτοῦ, γνῶθι τὸν Κύριον· καὶ πάλιν, "πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον ὡς ὕδωρ "πολὺ κατακαλύψαι θαλάσσας. ἐν τῷ λέγειν καινὴν," φησὶ, "πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον "ἐγγὺς ἀφανισμοῦ·" ὅρα τὸ κρυπτόμενον, πῶς ἐξεκάλυψεν αὐτὴν τοῦ προφήτου τὴν διάνοιαν· ἐτίμησε τὸν νόμον, καὶ οὐκ ἠθέλησεν αὐτὸν εἰπεῖν παλαιὸν ὀνομαστί· πλὴν μέντοι τὸ αὐτὸ εἶπεν· εἰ γὰρ ἐκεῖνο καινὸν ἦν, οὐκ ἂν καὶ τοῦτο μετὰ ταῦτα καινὸν ἐκάλεσεν, ὥστε πλέον τι διδοὺς καὶ ἕτερον· ἐπαλαιώθη, φησὶν, οὐκοῦν καταλύεται καὶ ἀπόλλυται, καὶ οὐκέτι ἐστίν· οὐχ ἁπλῶς δὲ κατέπαυσεν ἡ καινὴ τὴν παλαιὰν, ἀλλ' ὡς γεγηρακυῖαν, ὡς οὐ χρήσιμον· διὰ τοῦτο ἔλεγεν διὰ τὸ ἀσθενὲς καὶ ἀνωφελὲς, καὶ οὐδὲν ἐτελείωσεν ὁ νόμος· καὶ ὅτι "εἰ ἡ πρώτη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας "ἐζητεῖτο τόπος·" "ἄμεμπτος" δὲ, τουτέστι, χρήσιμος, οὐχ ὡς ἐγκλημάτων ὑπεύθυνος, ἀλλ' οὐχ ὡς ἀρκοῦσα, ἰδιωτικώτερον ἐφθέγξατο, ὡς ἄν τις εἴποι, οὐκ ἔστιν ἄμεμπτος ἡ οἰκία, τουτέστιν, ἔχει ἐλαττώματα, σαθρά ἐστιν.

Τῶν εἰς τὴν πρὸς Ἑβραίους Ἐπιστολὴν ἐξηγητικῶν ἐκλογῶν τόμος Β.

ΤΟΜΟΣ Γ'.

1 Εἶχε μὲν οὖν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησίν· ἔδειξεν ἀπὸ τοῦ ἱερέως, ἀπὸ τῆς ἱερωσύνης, ἀπὸ τῆς διαθήκης, ὅτι τέλος ἤμελλεν ἔχειν ἐκείνη· δείκνυσι λοιπὸν, καὶ ἀπ' αὐτοῦ τῆς σκηνῆς τοῦ σχήματος, καί φησιν, εἶχε μὲν οὖν ἐκείνη, τίς; ἡ πρώτη διαθήκη δικαιώματα λατρείας· τί ἐστι "δικαιώματα;" σύμβολα ἢ θεσμούς· τότε ὡσανεὶ νῦν, φησὶν, οὐκ ἔχει, ἢ δείκνυσιν αὐτὴν ἐκκεχωρηκυῖαν· τότε γὰρ εἶχε, φησὶν, ὥστε νῦν, εἰ καὶ ἕστηκεν, οὐκ ἔστιν· τό τε ἅγιον κοσμικόν· ἐπειδὴ πᾶσιν ἠφεῖτο ἐπιβαίνειν, καὶ δῆλος ἦν ὁ τόπος, ἐν τῷ αὐτῷ οἴκῳ, ἔνθα οἱ ἱερεῖς εἱστήκεισαν, ἔνθα οἱ Ἰουδαῖοι, οἱ προσήλυτοι, οἱ Ἕλληνες, οἱ Ναζηραῖοι· ἐπεὶ οὖν καὶ Ἕλλησι βατὸν ἦν, κοσμικὸν αὐτὸ καλεῖ· οὐ γὰρ οἱ Ἰουδαῖοι ὁ κόσμος ἦσαν.

2 Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἥτις λέγεται ἁγία, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων.

Ταῦτα σύμβολα τοῦ κόσμου "μετὰ δὲ τὸ δεύτερον καταπέτασμα·" ἄρα οὐκ ἦν καταπέτασμα ἕν, ἀλλὰ καὶ ἔξω καταπέτασμα ἦν· "σκηνὴ ἥτις λέγεται ἁγία ἁγίων" ὅρα πῶς πανταχοῦ σκηνὴν καλεῖ.

4 Χρυσοῦν ἔχουσα θυσιαστήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσατα.

Πάντα ταῦτα σεμνὰ ἦν καὶ λαμπρὰ, τῆς Ἰουδαϊκῆς ἀγνωμοσύνης ὑπομνήματα· "καὶ αἱ πλάκες τῆς διαθήκης," κατέαξεν γὰρ αὐτάς· καὶ τὸ μάννα, ἐπειδὴ ἐγόγγυσαν· διὰ τοῦτο εἰς ἐγγόνους παραπέμπων τὴν μνήμην, προσέταξεν εἰς τὴν στάμνον τὴν χρυσῆν ἀποτεθῆναι αὐτό.

5 Καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα· ὑπὲρ ἄνω δὲ αὐτῆς Χερουβὶμ δόξης.

Τί ἐστι Χερουβὶμ δόξης; ἤ τοι τὰ ἔνδοξα, ἤτοι τὰ ὑποκάτω τοῦ Θεοῦ, φησί· "κατασκιάζοντα τὸ ἱλαστήριον·" ἄλλως δὲ, καὶ ἐπαίρει ταῦτα τῷ λόγῳ, ἵνα δείξῃ μείζονα ὄντα τὰ μετὰ ταῦτα· "περὶ ὧν οὐκ ἔστι," φησὶ, "νῦν λέγειν κατὰ μέρος." ἐνταῦθα ᾐνίξατο, ὅτι οὐ ταῦτα ἦν μόνα τὰ ὁρώμενα, ἀλλ' αἰνίγματά τινα ἦν, "περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν·" ἴσως ὡς μακροῦ δεόμενα λόγου.

Θεόδωρος δέ φησιν· ἄρχεται ἐντεῦθεν λέγειν, ὅπως τὰ ἐν νόμῳ σύμβολα καὶ τύποι τῶν ἐν τῇ χάριτι, καὶ ὅπως ἐν ἐκείνοις ταῦτα προθεωρούμενα διϊδεῖν δυνατόν· ὁμοῦ τῇ παραθέσει καὶ τὴν ὑπεροχὴν τούτων δεικνὺς, ὅση τίς ἐστιν, ἐν ἀφηγήσει δὲ τῆς διδασκαλίας ποιεῖται τὴν καταρχήν. λέγει οὖν, ὅτι καὶ ἡ πρώτη διαθήκη εἶχεν ὅρους καὶ προστάγματα λειτουργίας, τῆς Θεῷ ἀποδίδοσθαι ὀφειλούσης· δικαιώματα γὰρ λατρείας τὰ περὶ τούτων λέγει προστάγματα· "τό τε ἅγιον κοσμικόν·" ἅγιον ἐνταῦθα καλεῖ τὸν ναόν· εἰκότως, ἐν ᾧ τὴν λειτουργίαν ἀποδίδοσθαι τῷ Θεῷ συνέβαινεν· εἴ τε καὶ τὴν σκηνὴν, ἐπειδὴ ταύτην ἐν τάξει τοῦ ναοῦ πρότερον εἶχον· ὁμοίως γὰρ ἐκείνην τε ναὸν ἐκάλουν, ὡς ἂν ἐν αὐτῇ τοῦ Θεοῦ τυγχάνοντος, καὶ τὸν παρὰ τοῦ Σολομῶντος ὕστερον· καὶ τοῦτο μαθεῖν ἀπὸ τῆς πρώτης τῶν βασιλειῶν ἔνεστι σαφῶς λεγούσης· "καὶ Σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ τοῦ Κυρίου·" οὗ ἦν ἡ κιβωτὸς τοῦ Θεοῦ, μή πω τοῦ ναοῦ ὑπὸ Σολομῶντος οἰκοδομηθέντος· ὥσπερ δὲ σύμβολον τοῦ κόσμου κατασκευάσαι κατά τινα τύπον τὴν σκηνὴν τῷ Μωσεῖ κελεύων ὁ Θεὸς, προσέταξεν αὐτῷ περίβολον ποιῆσαι ἀπὸ τῶν καταπετασμάτων, μέσῳ διειλημμένον ἑτέρῳ· οὕτω δὲ καὶ ὁ ναὸς κατὰ τὸν αὐτὸν ὕστερον ἐγένετο τύπον.

6 Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησί· τουτέστιν, ἣν μὲν

ταῦτα, οὐκ ἀπέλαυον δὲ αὐτῶν οἱ Ἰουδαῖοι, οὐχ ἑώρων αὐτά· ὥστε οὐκ ἐκείνοις μᾶλλον ἦν ἢ οἷς προεφητεύετο.

7 Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ, μόνος ὁ ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ὁρᾷς ἤδη τοὺς τύπους προκαταβεβλημένους; ἵνα γὰρ μὴ λέγωσι, πῶς μία θυσία; δείκνυσιν αὐτὸ ἄνωθεν ὄν· εἴ γε ἁγιωτέρα μία ἦν καὶ φρικτή· καὶ πῶς ὁ ἀρχιερεὺς ἅπαξ προσέφερεν· οὕτως εἰθίζοντο ἄνωθεν. καὶ γὰρ τότε ὁ ἀρχιερεὺς ἅπαξ, φησὶ, προσέφερε· καὶ καλῶς εἶπεν, "οὐ χωρὶς αἵματος· οὐ χωρὶς μὲν αἵματος· οὐ γὰρ τοσαύτη ἦν ἡ πραγματεία· δείκνυσιν ὅτι ἔσται θυσία, οὐ πυρὶ ἀναλουμένη, ἀλλ' ἀπὸ αἵματος μᾶλλον δεικνυμένη· ἐπειδὴ γὰρ θυσίαν ἐκάλεσε τὸν σταυρὸν, οὔτε πῦρ ἔχοντα οὔτε ξύλα, οὔτε πολλάκις προσφερόμενον, ἀλλ' ἅπαξ ἐν αἵματι προσενεχθέντα· δείκνυσιν ὅτι καὶ ἡ παλαιὰ θυσία τοιαύτη ἦν· ἅπαξ προσεφέρετο ἐν αἵματι, "ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ "ἀγνοημάτων·" οὐκ εἶπεν, ἁμαρτημάτων, ἀλλ' "ἀγνοημάτων·" ἵνα μὴ μεγαφρονῶσιν· εἰ γὰρ καὶ μὴ ἑκὼν ἥμαρτες, ἀλλ' ἄκων ἠγνόηκες· καὶ τούτου οὐδείς ἐστι καθαρὸς, καὶ πανταχοῦ τὸ ἑαυτοῦ δεικνὺς, ὅτι ὁ Χριστὸς πολλῷ μείζων ἐστὶν ἀρχιερεύς· εἰ γὰρ κεχώρισται τῶν ἁμαρτιῶν ἡμῶν, πῶς ὑπὲρ ἑαυτοῦ προσήνεγκεν· τί οὖν ταῦτα εἶπεν, φησί· τοῦτο γὰρ κρείττονός ἐστιν, οὐδαμοῦ ἐνταῦθα θεωρία· λοιπὸν δὲ θεωρεῖ, καὶ φησὶ,

8 Τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ Ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν.

Διὰ τοῦτο, φησὶ, ταῦτα οὕτω κατεσκεύασται, ἵνα μάθωμεν ὅτι τὰ ἅγια τῶν ἁγίων, τουτέστιν ὁ οὐρανὸς, ἔτι ἐστὶν ἄβατος· μὴ οὖν ἐπειδὴ μὴ ἐπιβαίνομεν αὐτῶν, φησὶ, νομίζωμεν αὐτὰ μηδὲν εἶναι, ἐπεὶ οὐδὲ τῶν ἁγίων ἐπέβημεν.

9 Ἥ τις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα.

Κατὰ ποῖον; φησί· τὸν πρὸ τῆς Χριστοῦ παρουσίας· μετὰ γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ οὐκέτι καιρός ἐστιν ἐνεστώς· πῶς γὰρ ἐπιγενόμενος καὶ τέλος ἔχων· καὶ ἕτερον δὲ ἐμφαίνων τοῦτό

φησιν, " ἥ τις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα," τουτέστιν, οὗ τύπος γέγονεν.

Καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα.

Ἴδε τί ἐστιν· οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος· καὶ εἰ ἡ πρώτη ἦν ἄμεμπτος, πῶς " κατὰ συνείδησιν;" αἱ γὰρ θυσίαι οὐ τὸν ἀπὸ τῆς ψυχῆς ῥύπον ἠφίεσαν, ἀλλ' ἔτι περὶ σῶμα ἦσαν, " κατὰ νόμον " ἐντολῆς σαρκικῆς·" οὐ γὰρ δὴ μοιχείαν, οὐδὲ φόνον, οὐδὲ ἱεροσυλίαν ἀφεῖναι ἠδύναντο.

10 Μόνον ἐπὶ βρώμασι καὶ πόμασι καὶ διαφόροις βαπτισμοῖς.

Ὁρᾷς; τὸ δὲ, ἔφαγες, τὸ δὲ, οὐκ ἔφαγες, ἅπερ ἐστὶν ἀδιάφορα· τὸ δὲ ἔπιες, φησὶ, καί τοι περὶ ποτοῦ οὐδὲν ἦν διατεταγμένον· ἀλλ' ἐξευτελίζων ταῦτα φησί· " καὶ διαφόροις βα- " πτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως " ἐπικείμενα·" αὕτη γὰρ ἡ δικαιοσύνη τῆς σαρκός· ἐνταῦθα καταβάλλει τὰς θυσίας, δεικνὺς, ὅτι οὐδεμίαν εἶχον ἰσχὺν, καὶ ὅτι μέχρι καιροῦ διορθώσεως ἦσαν· τουτέστιν, ἔμεινον τὸν καιρὸν τὸν διορθοῦντα πάντα.

ΚΕΦ. ΙΒ.

Περὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐν ᾧ ἦν ἡ νέα διαθήκη, ὅτι τοῦτο ἀληθὲς καθάρσιον εἰσάγει, οὐ τὰ ἐν αἵμασι ζώων πολλάκις προσφερόμενα.

11 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου.

Τὴν σάρκα λέγει ἐνταῦθα· καλῶς καὶ μείζονα καὶ τελειοτέραν εἶπεν. εἴ γε καὶ ὁ Θεὸς Λόγος, καὶ πᾶσα ἡ τοῦ Πνεύματος ἐνέργεια ἐνοικεῖ ἐν αὐτῇ· " οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ " Πνεῦμα·" " τελειοτέρας" δὲ, φησὶν, ὥστε καὶ ἀλήπτου οὔσης καὶ μείζονα κατορθούσης.

Σετηριανὸς *δέ φησιν· ὥσπερ ἡ σκηνὴ κατεσκευάσθη ἐπὶ Μωσέως, ὥστε τὰς λατρείας γίνεσθαι, οὕτως μείζων ἡ σκηνὴ*

αὕτη· τῆς χάριτος ἡ σύστασις τὸ σῶμα τοῦ Χριστοῦ, κεφαλὴν ἔχον τὸν Χριστόν.

Τουτέστιν, οὐ ταύτης τῆς κτίσεως.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησίν· ἰδοὺ πῶς μείζονος· οὐ γὰρ ἄνευ Πνεύματος αὐτὴν κατεσκεύασεν, οὐδὲ "ταύτης τῆς κτί-" σεως" ἐστὶν, τουτέστιν, οὐ τούτων τῶν κτισμάτων, ἀλλὰ πνευματικὴ, ἐκ Πνεύματος Ἁγίου. ὁρᾷς πῶς καὶ σκηνὴν καὶ καταπέτασμα καὶ οὐρανὸν τὸ σῶμα καλεῖ; τίνος οὖν ἕνεκα τοῦτο ποιεῖ καθ' ἕτερον καὶ ἕτερον σημαινόμενον; οἷόν τι λέγω, καταπέτασμα ὁ οὐρανός· ὥσπερ γὰρ ἀποτειχίζει τὰ ἅγια, καταπέτασμα ἡ σὰρξ, κρύπτουσα τὴν θεότητα, καὶ σκηνὴν ὁμοίως ἔχουσα τὴν θεότητα· σκηνὴ πάλιν ὁ οὐρανός· ἐκεῖ γάρ ἐστιν ἔνδον ὁ ἱερεύς. "Χριστὸς δὲ," φησὶ, "παραγενόμενος·" οὐκ εἶπε γενόμενος, ἀλλὰ "παραγενόμενος," τουτέστιν, εἰς αὐτὸ τοῦτο ἐλθών· οὐχ ἕτερον διαδεξάμενος· οὐ πρότερον παρεγένετο καὶ τότε ἐγένετο, ἀλλ' ἅμα ἦλθεν· καὶ οὐκ εἶπεν παραγενόμενος ἀρχιερεὺς τῶν θυομένων, ἀλλὰ "τῶν γενομένων "ἀγαθῶν," ὡς οὐκ ἰσχύοντος τοῦ λόγου παραστῆσαι τὸ πᾶν· "οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων" φησὶ, "πάντα ἐξηλ- "λαγμένα· διὰ δὲ τοῦ ἰδίου αἵματος," φησὶν, "εἰσῆλθεν ἐφάπαξ "εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑρόμενος·" καὶ τὸ "εὑρόμενος" σφόδρα τῶν ἀπόρων ἦν, καὶ τῶν παρὰ προσδοκίαν· πῶς διὰ μιᾶς εἰσόδου αἰώνιον λύτρωσιν εὕρετο, εἶτα τὸ πιθανόν.

13 Εἰ γὰρ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμά-
λεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν
14 τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ
Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν
ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ
νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

Εἰ γὰρ σάρκα, φησὶ, δύναται καθάραι τὸ αἷμα τῶν ταύρων, πολλῷ μᾶλλον τῆς ψυχῆς τὸν ῥύπον ἀποσμήξει τὸ αἷμα τοῦ Χριστοῦ· ἵνα γὰρ μὴ ἀκούσας "ἁγιάζει," μέγα τι νομίσῃς, ἐπισημαίνεται καὶ δείκνυσιν ἑκατέρου τοῦ καθαρμοῦ τὸ μέσον· καὶ πῶς οὗτος μὲν ὑψηλὸς, ἐκεῖνος δὲ ταπεινὸς, καὶ λέγει ὅτι εἰκότως, εἴγε ἐκεῖνο μὲν τὸ αἷμα ἦν ταύρων, τοῦτο δὲ τοῦ Χριστοῦ· καὶ οὐκ

ἠρκέσθη τῷ ὀνόματι, ἀλλὰ καὶ τὸν τρόπον τίθησι τῆς προσφορᾶς, "ὃς διὰ Πνεύματος αἰωνίου," φησὶν, "ἑαυτὸν προσήνεγκεν ἄμω- "μον τῷ Θεῷ," τουτέστιν τὸ ἱερεῖον ἄμωμον ἦν, ἁμαρτιῶν καθαρόν· τοῦτο γάρ ἐστι "διὰ Πνεύματος αἰωνίου," οὐ διὰ πυρὸς, οὐ δι' ἄλλων τινῶν· "καθαριεῖ τὴν συνείδησιν ὑμῶν," φησὶν, "ἀπὸ νεκρῶν ἔργων·" καλῶς εἶπεν, "ἀπὸ νεκρῶν ἔργων·" εἴ τις ἅψαιτο νεκροῦ, ἐμιαίνετο, καὶ ἐνταῦθα, εἴ τις ἅψαιτο νεκροῦ ἔργου, μολύνεται διὰ τῆς συνειδήσεως· "εἰς τὸ λατρεύειν Θεῷ ζῶντι," φησίν· ἐνταῦθα ἐμφαίνει, ὅτι νεκρὰ ἔργα ἔχοντα οὐκ ἔνι δουλεύειν τῷ ἀληθινῷ καὶ ζῶντι Θεῷ· ἐκεῖνα γὰρ καὶ νεκρά ἐστι καὶ ψευδῆ· καὶ εἰκότως.

15 Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστὶν, ὅπως
θανάτου γενομένου, εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ
διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κε-
16 κλημένοι τῆς αἰωνίου κληρονομίας· ὅπου γὰρ διαθήκη,
17 θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου· διαθήκη γὰρ
ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μήποτε οὐκ ἰσχύει ὅτε ζῇ ὁ δια-
18 θέμενος· ὅθεν οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.

Εἰκὸς ἦν πολλοὺς τῶν ἀσθενέστερον διακειμένων, καὶ ἀπὸ τοῦ τετελευτηκέναι τὸν Χριστὸν, μάλιστα ἀπιστεῖν ταῖς ἐπαγγελίαις αὐτοῦ. ὁ τοίνυν Παῦλος ἐκ περιουσίας τοῦτο τίθησι τὸ ὑπόδειγμα, ἀπὸ τῆς κοινῆς συνηθείας λαβών· ποῖον δὴ τοῦτο; δι' αὐτὸ μὲν οὖν τοῦτο χρὴ θαρρεῖν, φησί· διὰ τί; ὅτι οὐ ζώντων τῶν διαθεμένων, ἀλλὰ ἀποθανόντων, τότε βέβαιαί εἰσιν αἱ διαθῆκαι καὶ τὴν ἰσχὺν λαμβάνουσι· καὶ διὰ τοῦτο, φησὶ, καινῆς διαθήκης μεσίτης ἐστίν· ἡ διαθήκη πρὸς τῇ ἐσχάτῃ ἡμέρᾳ γίνεται τῆς τελευτῆς· τοιαύτη δέ ἐστιν ἡ διαθήκη, τοὺς μὲν κληρονόμους ἔχει, τοὺς δὲ ἀποκληρονόμους· οὕτω καὶ ἐνταῦθα· "θέλω, ὅπου ἐγώ εἰμι," φησὶν ὁ Χριστὸς, "καὶ οὗτοι ὦσιν·" καὶ πάλιν περὶ τῶν κληρονόμων ἄκουε αὐτοῦ λέγοντος· "οὐ περὶ πάντων ἐρωτῶ, ἀλλὰ περὶ τῶν "πιστευόντων διὰ τοῦ λογου αὐτῶν εἰς ἐμέ." ἡ διαθήκη πάλιν, τὰ μὲν τοῦ διαθεμένου ἔχει, τὰ δὲ τῶν δεχομένων, ὥστε τὰ μὲν αὐτοὺς λαβεῖν, τὰ δὲ ποιῆσαι· οὕτω καὶ ἐνταῦθα· μετὰ γὰρ τὸ ἐπαγγείλασθαι μυρία, ἀπαιτεῖ καὶ παρ' αὐτῶν, λέγων· "ἐντολὴν

“ καινὴν δίδωμι ὑμῖν·” πάλιν μάρτυρας ἔχειν ὀφείλει ἡ διαθήκη· ἄκουε αὐτοῦ πάλιν λέγοντος, “ ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, “ καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με·” καὶ πάλιν, “ ἐκεῖνος “ μαρτυρήσει περὶ ἐμοῦ,” περὶ τοῦ Παρακλήτου λέγων· καὶ τοὺς δώδεκα Ἀποστόλους ἀπέστειλε λέγων, διαμαρτύρεσθαι ἐνώπιον τοῦ Θεοῦ. “ καὶ διὰ τοῦτο,” φησὶ, “ διαθήκης καινῆς μεσίτης “ ἐστίν·” τί ἐστι μεσίτης; οὐκέτι κύριος τοῦ πράγματος, οὗ ἐστι μεσίτης· ἀλλ᾽ ἕτερον μὲν τὸ πρᾶγμα, ἕτερον δὲ ὁ μεσίτης· οἷον, μεσίτης γάμου γίνεται οὐχ ὁ γαμῶν, ἀλλὰ τῷ μέλλοντι ἄγεσθαι συμπράττων· οὕτω δὴ καὶ ἐνταῦθα μεσίτης ὁ Υἱὸς ἐγένετο τοῦ Πατρὸς καὶ ἡμῶν· οὐκ ἠθέλησεν ἡμῖν ἀφεῖναι ὁ Πατὴρ τὴν κληρονομίαν ταύτην, ἀλλ᾽ ὠργίζετο πρὸς ἡμᾶς, καὶ ἐχαλέπαινεν ὡς ἀπηλλοτριωμένους· μεσίτης τοίνυν ἐγένετο ἡμῶν καὶ αὐτοῦ, καὶ ἔπεισεν αὐτόν· καὶ ὅρα πῶς μεσίτης ἐγένετο, λόγους ἀπήγαγεν, καὶ ἤγαγε τὰ παρὰ τοῦ Πατρὸς ἡμῖν διαπορθμεύων καὶ τὸν θάνατον προστιθείς· προσκεκρουκότες ἦμεν, ἀποθανεῖν ὠφείλαμεν· ἀπέθανεν ὑπὲρ ἡμῶν· καὶ ἐποίησεν ἡμᾶς ἀξίους τῆς διαθήκης ταύτης· ταύτῃ βεβαία ἐστὶν ἡ διαθήκη, ᾗ οὐκ εἰς ἀναξίους λοιπὸν γέγονεν· παρὰ μὲν οὖν τὴν ἀρχὴν, ἅτε ὡς πατὴρ εἰς υἱοὺς διέθετο· ἐπειδὴ δὲ ἀνάξιοι γεγόναμεν, οὐκέτι διαθήκης, ἀλλὰ τιμωρίας ἔδει· τί τοίνυν μέγα φρονεῖς ἐπὶ τῷ νόμῳ; εἰς τοσαύτην γὰρ ἡμᾶς κατέστησεν ἁμαρτίαν, ὡς μὴ ἂν σωθῆναί ποτε, εἰ μὴ ὁ δεσπότης ἡμῖν ὑπὲρ ἡμῶν ἀπέθανεν· οὐκ ἂν ἴσχυσεν ὁ νόμος· ἔστι γὰρ ἀσθενής· οὐκέτι δὲ αὐτὸ ἀπὸ τῆς κοινῆς συνηθείας βεβαιοῖ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐν τῇ παλαιᾷ συμβεβηκότων, ὃ μάλιστα αὐτοῖς ἐπηγάγετο. οὐδεὶς ἦν ὁ τετελευτηκὼς ἐκεῖ· πῶς οὖν ἐκείνη βεβαία; διὰ τοῦ αὐτοῦ τρόπου, φησί· πῶς; καὶ γὰρ ἐκεῖ αἷμα, ὥσπερ ἐνταῦθα αἷμα· εἰ δὲ μὴ τὸ τοῦ Χριστοῦ αἷμα, μὴ θαυμάσῃς· τύπος γὰρ ἦν· ὅθεν φησὶν, “ οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται·” τί ἐστιν ἐγκεκαίνισται; βεβαία γέγονεν, ἐκυρώθη τὸ ὅθεν· διὰ τοῦτο φησίν· ἔδει τῆς διαθήκης τὸ σύμβολον εἶναι καὶ τῆς τελευτῆς· τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ῥαντίζεται τῆς διαθήκης; φησὶ γάρ,

19 Λαληθείσης πάσης τῆς ἐντολῆς κατὰ τὸν νόμον ὑπὸ

Μωϋσέως παντὶ τῷ λαῷ· λαβὼν τὸ αἷμα τῶν μόσχων
μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ
20 βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντισε λέγων, τοῦτο τὸ
αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός.

Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ῥαντίζεται τῆς διαθήκης, καὶ ὁ λαός; τοῦ τιμίου αἵματος ἄνωθεν σχηματιζομένου· διὰ τί τῷ ὑσσώπῳ; πυκνόν ἐστι τοῦτο καὶ κρατητι . . τί δαὶ τὸ ὕδωρ; δείκνυσι καὶ τὴν δι᾽ ὕδατος κάθαρσιν· τί δαὶ τὸ ἔριον; καὶ τοῦτο, ὥστε κατέχεσθαι τὸ αἷμα· δείκνυσιν ἐνταῦθα ... αὐτὸ καὶ αἷμα καὶ ὕδωρ· τὸ γὰρ βάπτισμα αὐτοῦ τὸ πάθος ἐστίν.

21 Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουρ-
22 γίας, τῷ αἵματι ὁμοίως ἐρράντισε· καὶ σχεδὸν ἐν αἵματι
πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱμα-
τεκχυσίας οὐ γίνεται ἄφεσις.

Διὰ τί τὸ "σχεδόν;" διὰ τί αὐτὸ ἐκόλασεν; ἐπειδὴ ἐκεῖνα οὐκ ἦν καθαρμὸς τέλειος, οὐδὲ ἄφεσις τελεία, ἀλλ᾽ ἡμιτελὴς καὶ ἐν ἐλαχίστῳ μέρει, ἐνταῦθα δὲ τοῦτο τὸ αἷμα, φησὶ, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ποῦ τοίνυν τὸ βίβλιον ἐκάθαρεν τὰς διανοίας αὐτῶν; αὐτοὶ ἄρα ἦσαν βιβλία τῆς καινῆς διαθήκης· ποῦ δὲ τὰ σκεύη τῆς λειτουργίας; αὐτοί εἰσιν· ποῦ δὲ ἡ σκηνή; αὐτοί εἰσι πάλιν· "ἐνοικήσω γὰρ ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω," φησίν· ἀλλ᾽ οὐκ ἐν ἐρίῳ κοκκίνῳ οὐδὲ ὑσσώπῳ ἐραντίζοντο· τί δή ποτε; οὐ γὰρ σωματικὸς ὁ καθαρμὸς ἦν, ἀλλὰ πνευματικός· καὶ τὸ αἷμα πνευματικόν· πῶς; οὐκ ἀπὸ σώματος ῥεῖ ἀλόγων, ἀλλὰ σώματος ἀπὸ πνεύματος κατασκευασθέντος, τούτῳ ἡμᾶς οὐ Μωϋσῆς, ἀλλ᾽ ὁ Χριστὸς ἐρράντισε τῷ αἵματι, διὰ τοῦ λόγου τοῦ λεχθέντος, "τοῦτο τὸ αἷμα τῆς καινῆς διαθήκης εἰς ἄφεσιν ἁμαρ-"τιῶν·" οὗτος ὁ λόγος ἀντὶ ὑσσώπου τῷ αἵματι ἐμβαφεὶς πάντας περιραίνει· κἀκεῖ μὲν τὸ σῶμα ἔξωθεν ἐκαθαίρετο· σωματικὸς γὰρ ὁ καθαρμὸς ἦν· ἐνταῦθα δὲ ἐπειδὴ πνευματικός ἐστιν ὁ καθαρμὸς, εἰς τὴν ψυχὴν εἰσέρχεται καὶ καθαίρει, οὐχ ἁπλῶς περιραινόμενος, ἀλλὰ πηγάζων ἐν ταῖς ἡμετέραις ψυχαῖς· καὶ αὐτῇ τῇ οὐσίᾳ

ἀναμιγνύμενος, καὶ ῥωμαλέας αὐτὰς ποιῶν καὶ ἁγνάς· δείκνυσι δὴ λοιπὸν τὸν θάνατον οὐ μόνον βεβαιώσεως, ἀλλὰ καὶ καθαρμοῦ αἴτιον· ἐπειδὴ γὰρ ἡ τελευτὴ μιαρὸν πρᾶγμα ἐδόκει εἶναι, καὶ μάλιστα ἡ διὰ τοῦ σταυροῦ, λέγει ὅτι τοῦτο ἐκάθαιρεν, καὶ τιμίαν κάθαρσιν καὶ ἐπὶ μείζοσιν· διὰ τοῦτο αἱ θυσίαι προὔλαβον· διὰ τὸ αἷμα τοῦτο, διὰ τοῦτο ἀμνοί· ἅπαντα διὰ τοῦτο ἐγένετο.

23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν οὐρανοῖς,
τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι
θυσίαις παρὰ ταύτας.

Καὶ πῶς ἐστιν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς; τίνα δὲ καλεῖ τὰ ἐν τοῖς οὐρανοῖς νῦν, ἄρα τὸν οὐρανόν; ἀλλὰ τοὺς ἀγγέλους; οὐδὲν τούτων, ἀλλὰ τὰ ἡμέτερα· ἄρα ἐν τοῖς οὐρανοῖς τὰ ἡμέτερα, καὶ ἐπουρανία τὰ ἡμέτερα, κἂν ἐν τῇ γῇ ἐπιτελῆται· ἐπεὶ καὶ Ἄγγελοι ἐν τῇ γῇ εἰσιν, ἀλλ' ἐπουράνιοι λέγονται· καὶ τὰ Χερουβὶμ ἐπὶ τῆς γῆς ἐφάνη, ἀλλ' ἐπουράνιά ἐστι· καὶ τί λέγω ἐφάνη, ἐπὶ τῆς γῆς μὲν οὐ διάγει, ὥσπερ οὖν ἐν τῷ παραδείσῳ, ἀλλ' οὐδὲν τοῦτο· ἐπουράνια γάρ ἐστι, "καὶ ἡμῶν τὸ "πολίτευμά ἐστιν ἐν οὐρανοῖς·" καίτοι ἐνταῦθα πολιτευόμεθα· αὐτὰ δὲ τὰ ἐπουράνια, τουτέστιν τὴν φιλοσοφίαν τὴν παρ' ἡμῖν· τοὺς ἐκεῖ κεκλημένους "κρείττοσι θυσίαις παρὰ ταύτας," τὸ κρεῖττον καλοῦ τινός ἐστι κρεῖττον· ἄρα καλαὶ γεγόνασι καὶ ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, οὐκ ἂν ταῦτα ὑποδείγματα πονηρὰ ἦν, ἐπεὶ κἀκεῖνα ἂν ἔχῃ πονηρά, ὧν ἐστι τὰ ὑποδείγματα.

24 Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς
ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν
25 ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· οὐδ'
ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσ-
έρχεται εἰς τὰ ἅγια τῶν ἁγίων κατ' ἐνιαυτὸν ἐν αἵματι
26 ἀλλοτρίῳ, ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ κατα-
βολῆς κόσμου. νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων,
εἰς ἀθέτησιν τῆς ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφα-
νέρωται.

Μέγα ἐφρόνουν οἱ Ἰουδαῖοι ἐπὶ τῷ ναῷ καὶ τῇ σκηνῇ· διὸ

ἔλεγε, ναὸς Κυρίου, ναὸς Κυρίου, ναὸς Κυρίου· οὐδὲ γὰρ ἀλλαχοῦ γῆς κατεσκευάσθη τοιοῦτος ναός· οὐ πολιτείας ἕνεκεν, οὐ κάλλους, οὐχ ἑτέρου τινός· οὐ γὰρ διαταξάμενος Θεὸς ἐκάλεσεν αὐτὸν μετὰ φιλοτιμίας γενέσθαι πολλῆς, ἐπειδὴ κἀκεῖνοι τοῖς σωματικοῖς μᾶλλον ἐφείλκοντο καὶ ἐπεσπῶντο· ἡ δὲ δευτέρα λαμπροτέρα γέγονεν οἰκονομία, καὶ κάλλους ἕνεκεν καὶ τῶν ἄλλων ἁπάντων· καὶ οὐ τούτῳ μόνῳ σεμνὸς ἦν, ἀλλὰ καὶ τῷ εἶναι εἷς. οἱ γὰρ ἀπὸ τῶν περάτων τῆς γῆς ἐκεῖ ἤρχοντο, ὥς φησιν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν· "ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες "εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν·" τί οὖν ὁ Παῦλος ποιεῖ; ὅπερ ἐπὶ τῶν θυσιῶν, τοῦτο καὶ ἐνταῦθα ποιεῖ· ὥσπερ γὰρ ἐκεῖ τὸν θάνατον ἀνέστησε τοῦ Χριστοῦ, οὕτω καὶ ἐνταῦθα τὸν οὐρανὸν ὅλον ἀνθίστησι τῷ ναῷ· καὶ οὐ τούτῳ μόνον τὸ διάφορον ἔδειξεν, ἀλλὰ καὶ τῷ προσθεῖναι τὸν ἱερέα ἐγγύτερον γενόμενον τοῦ Θεοῦ· "ἐμφανισθῆναι" γάρ φησι "τῷ προσώπῳ τοῦ "Θεοῦ," ὥστε οὐ τῷ οὐρανῷ μόνον καὶ τῇ εἰσόδῳ τὸ πρᾶγμα σεμνὸν ἐποίησεν· οὐ γὰρ ἁπλῶς ὥσπερ ἐνταῦθα διὰ συμβόλων, ἀλλ' αὐτὸν ὁρᾷ τὸν Θεὸν ἐκεῖ· ὁρᾷς ὅτι συγκαταβάσεως ἕνεκεν πανταχοῦ τὰ ταπεινὰ εἴρηται; τί δὴ θαυμάζεις λοιπὸν εἰ ἐντυγχάνει ὅπου γε αὐτὸν ἵστησιν ὡς ἀρχιερέα;

"Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν ὥσπερ ὁ ἀρχιερεύς·" "οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθε," φησὶ "Χριστὸς ἀν-"τίτυπα τῶν ἀληθινῶν·" ἄρα ἐκεῖνά ἐστιν ἀληθινὰ, ταῦτα δὲ τύποι· καὶ γὰρ ὁ ναὸς οὕτω κατεσκεύασται ὥσπερ ὁ οὐρανὸς τοῦ οὐρανοῦ· τί λέγεις; ἂν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανὸν οὐκ ἐμφανίζεται ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; ὁρᾷς ὅτι τῆς σαρκός ἐστι ταῦτα πάντα; "ἐμφανισθῆναι," φησὶ, "τῷ προσώπῳ "τοῦ Θεοῦ ὑπὲρ ἡμῶν·" τί ἐστιν "ὑπὲρ ἡμῶν;" μετὰ θυσίας ἀνῆλθε, φησὶ, δυναμένης ἐξιλεώσασθαι τὸν Πατέρα· τί γὰρ, εἰπέ μοι, αὐτὸς ἦν ἐχθρός; οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, αὐτὸς οὐκ ἦν ἐχθρός· ὅτι γὰρ οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, ἄκουσον τί φησιν· "εἰρηνοποιήσας τὰ ἐπὶ τῆς γῆς καὶ τὰ ἐν τοῖς οὐρανοῖς." ὥστε "καὶ αὐτὸς εἰσῆλθεν εἰς τὸν οὐρανὸν νῦν ἐμφανισθῆναι τῷ προσώπῳ "τοῦ Θεοῦ ὑπὲρ ἡμῶν·" νῦν ἐμφανίζεται, ἀλλ' ὑπὲρ ἡμῶν. "οὐδ' "ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται

"εἰς τὰ ἅγια τῶν ἁγίων κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ·" ὅρα πόσαι αἱ διαφοραί· τὸ πόλλακις τοῦ ἅπαξ, τὸ ἐν αἵματι ἀλλοτρίῳ τοῦ ἐν ἰδίῳ, πολὺ τὸ μέσον· αὐτὸς οὖν καὶ ἱερεὺς καὶ ἱερεῖον, καὶ θυσία· εἰ γὰρ μὴ τοῦτο ἦν, πολλὰς ἔδει θυσίας προσενεγκεῖν, πολλάκις ἔδει σταυρωθῆναι. "ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν, ἀπὸ καταβολῆς κόσμου." ἐνταῦθα καὶ παρεκάλυψε· "νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων," μετὰ τὰ πολλὰ ἁμαρτήματα· εἰ μὲν οὖν παρὰ τὴν ἀρχὴν ἐγένετο, εἶτα οὐδεὶς ἐπίστευσεν· οὐκ ἔδει δεύτερον ἀποθανεῖν, ἀνόνητα ἦν ἅπαντα· ἐπειδὴ δὲ ὕστερον πολλὰ ἦν τὰ ἁμαρτήματα, εἰκότως τότε ἐφάνη, ὃ καὶ ἀλλαχοῦ λέγει, "ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις·" "νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, εἰς ἀθέτησιν τῆς ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται." καὶ "καθόσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις·" εἶτα λεγει καὶ διὰ τί ἅπαξ ἀπέθανεν, ὅτι ἑνὸς θανάτου ἀντίλυτρον ἐγένετο· ἀπέκειτο, φησὶ, τοῖς ἀνθρώποις ἀποθανεῖν· τοῦτο οὖν τὸ "ἅπαξ ἀπέθανεν ὑπὲρ ἁπάντων·" τί οὖν οὐκέτι ἀποθνήσκομεν; τὸν θάνατον ἐκεῖνον ἀποθνήσκομεν μὲν, ἀλλ' οὐ μένομεν ἐν αὐτῷ· ὅπερ οὐδὲ ἀποθανεῖν ἐστιν· θανάτου γὰρ τυραννὶς, καὶ θάνατος ὄντως ἐκεῖνός ἐστιν, ὅταν μηκέτι συγχωρηθῇ ὁ ἀποθανὼν εἰς ζωὴν ἐπανελθεῖν· ὅταν δὲ μετὰ τὸ ἀποθανεῖν ζῆσαι ᾖ, καὶ ζωὴν βελτίονα, οὐ θάνατος τοῦτό ἐστιν, ἀλλὰ κοίμησις· ἐπεὶ οὖν ἤμελλεν πάντας κατέχειν ὁ θάνατος, διὰ τοῦτο ἀπέθανεν, ἵνα ἡμᾶς ἀπαλλάξῃ, "οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς," ὑπὸ τίνος προσενεχθείς; ὑφ' ἑαυτοῦ δηλονότι· ἐνταῦθα οὐδὲ ἱερέα αὐτόν φησι μόνον, ἀλλὰ καὶ θῦμα καὶ ἱερεῖον· διὰ τοῦτο προσενεχθεὶς, "εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας." διὰ τί "πολλῶν" καὶ μὴ πάντων; ἐπειδὴ μὴ πάντες ἐπίστευσαν, ὑπὲρ ἁπάντων μὲν ἀπέθανεν, τουτέστι τὸ αὐτοῦ μέρος, ἀντίρροπος ἦν ὁ θάνατος ἐκεῖνος τῆς ἁπάντων ἀπωλείας. οὐ πάντων δὲ τὰς ἁμαρτίας ἀνήνεγκεν, διὰ τὸ μὴ θελῆσαι αὐτούς· τί δέ ἐστιν ἀνήνεγκεν ἁμαρτίας· ὥσπερ ἐπὶ τῆς προσφορᾶς ἀναφέρομεν τὰ ἁμαρτήματα καὶ λέγομεν, εἴτε ἑκόντες εἴτε ἄκοντες ἡμάρτομεν, συγχώρησον, τουτέστι μεμνήμεθα αὐτῶν πρῶτον, καὶ τότε τὴν συγχώρησιν αἰτοῦμεν· οὕτω δὴ καὶ ἐνταῦθα γέγονε· ποῦ τοῦτο πεποίηκεν ὁ Χριστός; ἄκουσον αὐτοῦ λέγοντος, "καὶ ὑπὲρ αὐτῶν

“ἐγὼ ἁγιάζω ἐμαυτόν·” ἰδοὺ ἀνήνεγκε τὰ ἁμαρτήματα, ἦρεν αὐτὰ ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀνήνεγκεν τῷ πατρί· οὐχ ἵνα τί ὁρίσῃ κατ᾽ αὐτῶν, ἀλλ᾽ ἵνα αὐτὰ ἀφῇ· “ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθή-“σεται,” φησὶ, “τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.” τί ἐστι “χωρὶς ἁμαρτίας;” οἷον οὐχ ἁμαρτάνει· οὐδὲ γὰρ ὀφείλων ἀποθανεῖν ἀπέθανεν, οὐδὲ δι᾽ ἁμαρτίας. ἀλλὰ πῶς ὀφθήσεται; κολάζων φησὶν, ἀλλ᾽ οὐκ εἶπεν τοῦτο, ἀλλὰ τὸ φαιδρὸν, “χωρὶς “ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν,” ὡς μηκέτι λοιπὸν θυσίας δεηθῆναι, ὥστε σῶσαι αὐτοὺς, ἀλλ᾽ ἀπὸ ἔργων τοῦτο ποιεῖν.

Θεόδωρος δέ φησι· νῦν, φησὶν, ὀφθεὶς, ὅτε τὴν ἁμαρτίαν κρατεῖν συνέβαινεν, ἀναγκαίως τὸν διὰ τὴν ἁμαρτίαν κρατοῦντα θάνατον ἐδέξατο· τότε δὲ τῆς ἁμαρτίας ὡς εἰκὸς λελυμένης, ἀνάγκη καὶ αὐτὸν ἀπαθῶς ὀφθῆναι· τὸ γὰρ “χωρὶς ἁμαρτίας” τοῦτο λέγει, ὅτι μὴ κρατούσης ἔτι τῆς ἁμαρτίας, οὕτω καὶ αὐτὸς ἔξω παντὸς ἀνθρωπίνου πάθους ὀφθήσεται τότε.

1 Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ
αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησί· τουτέστιν, οὐκ αὐτὴν τὴν ἀλήθειαν· ἕως μὲν γὰρ ἂν ὡς ἐν γραφῇ περιάγῃ τις τὰ χρώματα, σκιά τίς ἐστιν· ὅταν δὲ τὸ ἄνθος ἐπαλείψῃ τις καὶ ἐπιχρίσῃ τὰ χρώματα, τότε εἰκὼν γίνεται. τοιοῦτόν τι καὶ ὁ νόμος ἦν, τουτέστι τῆς θυσίας τῆς ἀφέσεως.

ΚΕΦ. ΙΓ.

Μαρτυρία περὶ τῆς μόνης καθάρσεως καὶ προσαγωγῆς πρὸς Θεόν.

Κατ᾽ ἐνιαυτὸν ταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ
διηνεκὲς, οὐδέποτε δύνανται τοὺς προσερχομένους τε-
2 λειῶσαι. ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ
μηδεμίαν συνείδησιν ἔχειν ἁμαρτιῶν τοὺς λατρεύοντας
3 ἅπαξ κεκαθαρμένους· ἀλλ᾽ ἐν αὐταῖς ἀνάμνησις ἁμαρ-
4 τιῶν κατ᾽ ἐνιαυτόν· ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τρά-
5 γων ἀφαιρεῖν ἁμαρτίας· διὸ εἰσερχόμενος εἰς τὸν κόσμον

λέγει, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ
6 κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ
7 εὐδόκησας, τότε εἶπον, ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου
γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι ὁ Θεὸς τὸ θέλημά
8 σου. ἀνωτέρω λέγων ὅτι θυσίαν καὶ προσφορὰν καὶ
ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας οὐδὲ
9 εὐδόκησας, αἵτινες κατὰ νόμον προσφέρονται, τότε εἶπεν,
ἰδοὺ ἥκω, τοῦ ποιῆσαι ὁ Θεὸς τὸ θέλημά σου· ἀναιρεῖ τὸ
πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ.

Ὁρᾷς πάλιν τὴν περιουσίαν; μία, φησὶν, αὕτη ἡ θυσία, ἐκεῖναι δὲ πολλαί· διὰ γὰρ τοῦτο οὐκ ἰσχυραὶ, ἐπειδὴ πολλαί. τί γὰρ ἔδει πολλῶν, εἰπέ μοι, τῆς μιᾶς ἀρκούσης; ὥστε αἱ πολλαὶ καὶ τὸ ἀεὶ προσφέρεσθαι, τὸ μηδέποτε αὐτοὺς καθαίρεσθαι δείκνυσιν· ὥσπερ γὰρ φάρμακον ὅταν ᾖ ἰσχυρὸν καὶ ὑγιείας ποιητικὸν καὶ δυνατὸν πᾶσαν ἀπαλλάξαι τὴν νόσον, ἅπαξ ἐπιτεθὲν, τὸ πᾶν ἐργάσηται, δείκνυσιν αὐτοῦ τὴν ἰσχὺν τῷ μηκέτι ἐπιτίθεσθαι· καὶ τοῦτο αὐτοῦ ἐστιν ἔργον τὸ μηκέτι ἐπιτίθεσθαι· ἂν δὲ ἀεὶ ἐπιτίθεται, δηλονότι τοῦ μηδὲν ἰσχυκέναι ἔστι σημεῖον· φαρμάκου γὰρ ἀρετὴ τὸ ἅπαξ ἐπιτεθῆναι καὶ μὴ πολλάκις· οὕτω δὴ καὶ ἐνταῦθα· τί γὰρ δήποτε ταῖς αὐταῖς θυσίαις ἀεὶ θεραπεύονται; εἰ γὰρ πάντων ἦσαν ἀπηλλαγμένοι τῶν ἁμαρτημάτων, οὐκ ἂν καθ' ἑκάστην ἡμέραν προσεφέροντο αἱ θυσίαι· καὶ γὰρ ἦσαν ὡρισμέναι, ὥστε ἀεὶ προσφέρεσθαι ὑπὲρ τοῦ λαοῦ παντὸς, καὶ ἐν ἑσπέρᾳ καὶ ἐν ἡμέρᾳ, ὥστε κατηγορία ἁμαρτημάτων, οὐ λύσις ἁμαρτημάτων ἦν τὸ γινόμενον, κατηγορία ἀσθενείας, οὐκ ἰσχύος ἐπίδειξις· τῷ μὲν οὖν προσφέρεσθαι, ἔλεγχος ἁμαρτημάτων, τὸ δὲ ἀεὶ, ἔλεγχος ἀσθενείας· ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον, ἅπαξ προσηνέχθη· τὰ ἀντίτυπα ἄρα τύπον ἔχει μόνον, οὐχὶ τὴν ἰσχὺν, ὥσπερ ἐπὶ τῶν εἰκόνων, τύπον ἔχει τοῦ ἀνθρώπου ἡ εἰκὼν, οὐχὶ τὴν ἰσχὺν, ὥστε τὸ ἀληθὲς καὶ ὁ τύπος κοινωνοῦσιν ἀλλήλοις· ὁ γὰρ τύπος ἴσος, ἡ δὲ ἰσχὺς οὐκέτι· οὕτω δὴ καὶ ἐπὶ τοῦ οὐρανοῦ καὶ τῆς σκηνῆς· ὁ μὲν γὰρ τύπος ἴσος ἦν, ἁγία γὰρ ἦν, ἡ δὲ δύναμις καὶ τὰ ἄλλα οὐ τὰ αὐτά· τί ἐστιν "εἰς ἀθέτησιν τῆς ἁμαρτίας διὰ τῆς θυσίας "αὐτοῦ πεφανέρωται;" τί ἐστιν ἀθέτησις; τουτέστιν, καταφρό-

νησις· οὐκέτι παρρησίαν ἔχει, ἠθετήθη γὰρ ἁμαρτία, ὀφείλουσα μὲν ἀπολαβεῖν κόλασιν, οὐκ ἀπολαβοῦσα δὲ, τουτέστιν βίαν ἔπαθεν, ὅτε προσεδόκησεν πάντας ἑλεῖν, τότε ἀνηρέθη. διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται, τουτέστιν, ἐφανερώθη τῷ Θεῷ, καὶ προσῆλθεν· μὴ γὰρ ἐπειδὴ ὁ ἱερεὺς πολλάκις τοῦτο ἐποίει τοῦ ἐνιαυτοῦ, ὥστε εἰκῆ λοιπὸν γίνεται τοῦτο, εἰ καὶ γίνεται· τί γὰρ ἔδει φαρμάκων, οὐκ ὄντων τραυμάτων; τί οὖν ἡμεῖς; καθ' ἑκάστην ἡμέραν οὐ προσφέρομεν; προσφέρομεν μὲν, ἀλλ' ἀνάμνησιν ποιούμεθα τοῦ θανάτου αὐτοῦ, καὶ μία ἐστὶν αὕτη, οὐ πολλαί· ἐπειδὴ ἅπαξ προσηνέχθη ἐκείνη, εἰσηνέχθη εἰς τὰ ἅγια τῶν ἁγίων· τοῦτο ἐκείνης τύπος ἐστὶν, καὶ αὕτη ἐκείνης· τὸν γὰρ αὐτὸν ἀεὶ προσφέρομεν, οὐ νῦν μὲν ἕτερον πρόβατον, αὔριον δὲ ἕτερον, ἀλλ' ἀεὶ τὸ αὐτὸ, ὥστε μία ἐστὶν ἡ θυσία ἐπὶ τῷ λόγῳ τούτῳ· ἐπειδὴ δὲ πολλαχοῦ προσφέρεται, πολλοὶ Χριστοί; οὐδαμῶς, ἀλλ' εἷς πανταχοῦ ὁ Χριστός· καὶ ἐνταῦθα πλήρης ὢν, καὶ ἐκεῖ πλήρης· εἰ γὰρ σῶμα, ὥσπερ οὖν πολλαχοῦ προσφερόμενον, ἓν σῶμά ἐστι, καὶ οὐ πολλὰ σώματα, οὕτω καὶ μία θυσία· ὁ ἀρχιερεὺς ἡμῶν ἐκεῖνός ἐστιν, ὁ τὴν θυσίαν τὴν καθαίρουσαν ἡμᾶς προσενεγκὼν, ἐκείνην προσφέρομεν καὶ νῦν, τὴν τότε προσενεχθεῖσαν, τὴν ἀνάλωτον· τοῦτο εἰς ἀνάμνησιν γίνεται τοῦ τότε γενομένου· "τοῦτο "γὰρ ποιεῖτε," φησὶν, "εἰς ἐμὴν ἀνάμνησιν."

(Θεόδωρος.) Θεόδωρος δέ φησιν· εἰς τὸ "θυσίαν καὶ προσ"φορὰν οὐκ ἠθέλησας," κ. τ. λ. Ταῦτα μὲν εἴρηται τοῖς ἐν Βαβυλῶνι πρὸς τὸν Θεὸν, βουλομένοις εἰπεῖν, ὅτι θυσίας με οὐκ ἀπήτησας, ἀλλὰ μόνον τὸ ὑπακούειν σου καὶ τὸ θέλημά σου ποιεῖν· καὶ εὔθυμοι τὰ τῆς ἐπανόδου λοιπὸν ἀναμφίβολα ἦν· μεταλλάξας οὖν αὐτὴν ὡς ἐκ προσώπου τοῦ Χριστοῦ· ταύτῃ, φησὶν, ἀντὶ τοῦ "ὠτία," "σῶμα," εἰπὼν, "κατηρτίσω μοι."

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησί· περὶ τίνος τοῦτο εἴρηται; περὶ οὐδενὸς, ἀλλ' ἢ περὶ τοῦ Χριστοῦ. ἐνταῦθα οὐδὲν αἰτιᾶται τοὺς προσφέροντας, δεικνὺς, ὅτι οὐ διὰ τὰς πονηρίας αὐτῶν οὐ δέχεται, καθάπερ ἑτέρωθί φησιν, ἀλλὰ διὰ τὸ λοιπὸν ἐληλέγχθαι τὸ πρᾶγμα καὶ πεφωρᾶσθαι οὐδεμίαν ἔχον ἰσχὺν, οὐδὲ καιρόν τινα προσήκοντα· τί οὖν τοῦτο πρὸς τὸ πολλάκις προσφέρεσθαι τὰς θυσίας; οὐκ ἀπὸ τοῦ πολλάκις μόνον δῆλον,

φησὶν, ὅτι ἀσθενεῖς εἰσιν, καὶ ὅτι οὐδὲν ἤνυσαν, ἀλλὰ καὶ ἀπὸ τοῦ μὴ προσίεσθαι αὐτὰς τὸν Θεὸν ὡς ἀνοήτους καὶ ἀνωφελεῖς, καὶ ἀλλαχοῦ φησιν, ὅτι “εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν·” ἄρα καὶ διὰ τούτου δηλοῖ, ὅτι οὐ θέλει· ἄρα οὖν οὐχὶ θυσία τὸ θέλημα τοῦ Θεοῦ, ἀλλ᾽ ἡ τῶν θυσιῶν ἀναίρεσις· τί ἐστι “τοῦ ποιῆσαι τὸ θέλημά σου;” τοῦ ἐμαυτὸν, φησὶν, ἐκδοῦναι, τοῦτο τοῦ Θεοῦ θέλημα.

10 Ἐν *ᾧ θελήματι ἡγιασμένοι ἐσμέν.*

Ἢ *καὶ ἄλλως φησὶν, ὅτι οὐχ αἱ θυσίαι τοὺς ἀνθρώπους καθαίρουσιν, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ· ἄρα οὖν τὸ θύειν οὐ θέλημα τοῦ Θεοῦ· καὶ τί θαυμάζεις εἰ νῦν οὐ θέλημα τοῦ Θεοῦ, ὅπου οὐδὲ ἐξ ἀρχῆς θέλημα ἦν· “τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;” πῶς οὖν αὐτὸς ἐπέταξε; συγκαταβαίνων, ὥσπερ οὖν ὁ* Παῦλός *φησι· “θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν, ἐν ἐγκρατείᾳ·” καὶ πάλιν φησὶ, “βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν,” καὶ δύο θελήματα τίθησιν, ἀλλ᾽ οὐ τὰ δύο αὐτοῦ ἐστιν, εἰ καὶ ἐπιτάττει, ἀλλὰ τοῦτο μὲν αὐτοῦ· διὸ καὶ χωρὶς αὐτὸ αἰτίας τίθησιν· ἐκεῖνο δὲ οὐκ αὐτοῦ, εἰ καὶ βούλεται· διὸ καὶ μετὰ αἰτίας πρόσκειται· πρότερον γὰρ κατηγορήσας αὐτῶν ὅτι κατεστρηνίασαν τοῦ* Χριστοῦ, *τότε φησὶ, “βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν,” οὕτω δὴ καὶ ἐνταῦθα· οὐκ αὐτοῦ θέλημα ἦν προηγούμενον τὸ τὰς θυσίας γίνεσθαι· ὥσπερ γὰρ, φησὶν, “οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν,” καὶ ἀλλαχοῦ λέγει, ὅτι οὐ μόνον ἐβουλήθη, ἀλλὰ καὶ ἐπεθύμησεν τοῦτο· καίτοι ἐναντία ἡ ἐπιτεταγμένη βούλησίς ἐστιν· πῶς οὖν οὐ θέλεις; πῶς ἀλλαχοῦ ἐπιθυμεῖς, ὃ σφόδρα τοῦ θέλειν ἐστὶ σημεῖον; οὕτω δὴ καὶ ἐνταῦθα· “ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν,” φησί· πῶς ἡγιασμένοι; διὰ τῆς προσφορᾶς* Ἰησοῦ Χριστοῦ *ἐφάπαξ.*

11 Καὶ *πᾶς μὲν ἱερεὺς ἕστηκε καθ᾽ ἡμέραν λειτουργῶν καὶ προσφέρων θυσίας.*

Ἄρα *τὸ ἑστάναι τοῦ λειτουργεῖν ἐστι σημεῖον· οὐκοῦν τὸ καθῆσθαι τοῦ λειτουργεῖσθαι.*

12 Οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν,
13 εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν
ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον
14 τῶν ποδῶν αὐτοῦ· μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς
τὸ διηνεκὲς τοὺς ἁγιαζομένους· μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ
Πνεῦμα τὸ Ἅγιον.

Εἶπεν ὅτι ἐκεῖναι οὐ προσφέρονται, συνελογίσατο ἀπὸ τῶν ἐγγράφων, ἀπὸ τῶν ἀγράφων· ἄλλως δὲ, καὶ ῥητὸν παρέστησεν προφητικὸν, λέγων, "ὅτι θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας·" εἶπεν ὅτι ἀφῆκεν τὰς ἁμαρτίας, πάλιν καὶ τοῦτο ἀπὸ ἐγγράφων μαρτυρίας πιστοῦται· "μαρτυρεῖ γὰρ," φησὶν, "ἡμῖν, καὶ τὸ "Πνεῦμα τὸ Ἅγιον·" μετὰ γὰρ τὸ εἰρηκέναι· "αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς, μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει "Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν "διανοιῶν αὐτῶν ἐπιγράψω αὐτοὺς, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ "τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι· ὅπου δὲ ἄφεσις τούτων, "οὐκέτι προσφορὰ περὶ ἁμαρτίας·" οὐκοῦν ἀφῆκεν τὰς ἁμαρτίας, ὅτε τὴν διαθήκην ἔδωκεν· εἰ τοίνυν ἀφῆκεν τὰς ἁμαρτίας διὰ τῆς μιᾶς θυσίας, οὐκέτι χρεία δευτέρας· "ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος·" τίνος ἕνεκεν ἡ ἀναβολή; "ἵνα "τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ· μιᾷ γὰρ προσ-"φορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους." ἀλλ' ἴσως εἴποι τις ἂν, τίνος ἕνεκεν οὐκ εὐθέως τέθεικεν; διὰ τοὺς πιστοὺς τοὺς μέλλοντας τίκτεσθαι καὶ γεννᾶσθαι· πόθεν οὖν ὅτι τεθήσονται; διὰ τοῦ εἰπεῖν ὅτι ἐκάθισεν· ἀνέμνησε πάλιν τῆς μαρτυρίας ἐκείνης τῆς λεγομένης, "ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον "τῶν ποδῶν σου·" οἱ δὲ ἐχθροὶ αὐτοῦ οἱ Ἰουδαῖοί εἰσιν· εἶτα ἐπειδὴ εἶπεν, "ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ," σφόδρα δὲ ἠπείγοντο· τούτου χάριν πάντα τὰ μετὰ ταῦτα τίθησιν, ὅσα περὶ πίστεως διαλέγεται· τίνες δὲ οἱ ἐχθροί; οἱ ἄπιστοι πάντες, οἱ δαίμονες· καὶ τὸ πολὺ δὲ τῆς ὑποταγῆς αἰνιττόμενος, οὐκ εἶπεν, ὑπαταγῶσιν, ἀλλὰ τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ.

19 Ἔχοντες οὖν, αδελφοὶ, παρρησίαν εἰς τὴν εἴσοδον

τῶν ἁγίων, ἐν τῷ αἵματι τοῦ Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν.

Δείξας τὸ μέσον τοῦ ἀρχιερέως καὶ τῶν θυσιῶν καὶ τῆς σκηνῆς καὶ τῆς διαθήκης, καὶ τῆς ἐπαγγελίας, καὶ πολὺ τὸ μέσον, εἴ γε πάντα ἐκεῖνα ἐλάττω, ταῦτα δὲ μείζω, φησὶν, ὥσπερ αἰσχύνην ποιεῖ τὰ ἁμαρτήματα, οὕτω παρρησίαν τὸ πάντα ἀφεθῆναι ἡμῖν, καὶ συγκληρονόμους γενέσθαι, καὶ τοσαύτης ἀπολαῦσαι ἀγάπης, εἰς τὴν εἴσοδον ἐνταῦθα τὸν οὐρανὸν, καὶ τὴν πρόσοδον τὴν εἰς τὰ πνευματικὰ, "ἣν ἐνεκαίνισε," τουτέστιν, ἣν κατεσκεύασεν, καὶ ἧς ἤρξατο, ἐγκαινισμὸς γὰρ λέγεται ἀρχὴ χρήσεως, λοιπὸν ἣν κατεσκεύασεν, φησὶ, καὶ δι' ἧς αὐτὸς ἐβάδισεν "ὁδὸν πρόσφατον καὶ "ζῶσαν." ἐνταῦθα τὴν πληροφορίαν τῆς ἐλπίδος ἐμφαίνει, "πρόσφατον," φησὶ, βιάζεται δεῖξαι πάντα μείζονα ἐσχηκότας, εἴ γε νῦν ἀνεῴχθησαν αἱ πύλαι τῶν οὐρανῶν, ὃ μήτε ἐπὶ Ἀβραὰμ ἐγένετο· "ὁδὸν πρόσφατον," φησὶ, "καὶ ζῶσαν·" ἡ γὰρ πρώτη ὁδὸς θανάτου ἦν ἐπὶ τὸν ᾅδην ἄγουσα, αὕτη δὲ ζωῆς, ἀλλὰ ζῶσαν αὐτὴν ἐκάλεσεν, τουτέστιν τὰ προστάγματα τὴν μένουσαν· "διὰ "τοῦ καταπετάσματος," φησὶ, "τῆς σαρκὸς αὐτοῦ·" ἡ γὰρ σὰρξ αὕτη ἔτεμεν πρώτη τὴν ὁδὸν ἐκείνην· τοῦτο αὐτὴν ἐνεκαίνισεν ᾗ ἐβάδισεν· καταπέτασμα δὲ εἰκότως ἐκάλεσεν· ὅτε γὰρ ἤρθη εἰς ὕψος, τότε ἐφάνη τὰ ἐν τοῖς οὐρανοῖς.

22 Προσερχόμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ *πίστεως.*

Τίνι προσερχόμεθα; τοῖς ἁγίοις, τῇ πίστει, τῇ πνευματικῇ λατρείᾳ, "μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως," ἐπειδὴ οὐδέν ἐστιν ὁρατὸν, οὔτε ὁ ἱερεὺς λοιπὸν οὔτε ἡ θυσία, οὔτε τὸ θυσιαστήριον, καίτοιγε οὐδὲ ἐκεῖνος ὁ ἱερεὺς ὁρατὸς ἦν, ἀλλ' ἔνδον αὐτὸς εἱστήκει, ἐκεῖνοι δὲ ἔξω πάντες· ἐνταῦθα δὲ . . . . τοῦτο γέγονεν, ὅτι ὁ ἱερεὺς εἰσῆλθεν εἰς τὰ ἅγια, ἀλλ' ὅτι καὶ ἡμεῖς εἰσερχόμεθα· διὰ τοῦτό φησιν "ἐν πληροφορίᾳ πίστεως·" ἔστι γὰρ καὶ πιστεύειν ἁπλῶς διστάζοντα, οἷοι πολλοί εἰσι· καὶ νῦν λέγοντες ὅτι ἐνίων ἐστιν ἀνάστασις, ἐνίων οὔ· τοῦτο οὐκέτι πίστις· ἐν πληροφορίᾳ, φησὶ, πίστεως· οὕτω δεῖ πιστεύειν ὥσπερ ὁρωμένων, καὶ πολλῷ πλέον· ἐνταῦθα μὲν γὰρ σφαλῆναι ἐστὶν ἐν ὁρωμένοις, ἐκεῖ δὲ οὔ· ἐνταῦθα μὲν τῇ αἰσθήσει ἐπιτρέπομεν, ἐκεῖ δὲ "τῷ πνεύ-

"ματι· ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς·" δείκνυσιν ὅτι οὐ πίστις μόνον, ἀλλὰ καὶ βίος ἐνάρετος ἐζητεῦται καὶ τὸ μηδὲν ἑαυτοῖς συνειδέναι πονηρόν· οὐ γὰρ δέχεται μετὰ πληροφορίας τὰ ἅγια τοὺς μὴ οὕτω διακειμένους· ἅγια γάρ ἐστι, καὶ ἅγια ἁγίων· ἐνταῦθα δὲ ἄνθρωπος οὐδεὶς βέβηλος εἴσεισιν· ἐκεῖνοι τὸ σῶμα ἐρραντίζοντο, ἡμεῖς τὴν συνείδησιν, ὥστε ἔνεστι καὶ νῦν περιρραντίζεσθαι αὐτῇ τῇ ἀρετῇ,

23 Καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ.

Τὸ λουτρὸν φησὶν ἐνταῦθα οὐκέτι σωμάτων καθάρσιον, ἀλλὰ ψυχῆς· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος, ὅτι δεῖ ἀπελθεῖν ἐκεῖ, καὶ εἰσελθεῖν εἰς τὴν βασιλείαν· μηδὲν τοίνυν περιεργάζου, μηδὲ λογισμοὺς ἀπαίτει, πίστεως δεῖται τὰ ἡμέτερα.

ΚΕΦ. ΙΔ.

Προτροπὴ σπουδῆς κατὰ φόβον τῆς μελλούσης κρίσεως.

24 Καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης
25 καὶ καλῶν ἔργων, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισὶν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.

Καὶ πάλιν ἑτέρωθι, "ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε· νῦν "γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ὁ καιρὸς συνεσταλμένος ἐστὶ "τὸ λοιπόν·" τί ἐστι "μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν "ἑαυτῶν;" οἶδεν ἀπὸ τῆς συνουσίας καὶ τῆς ἐπισυναγωγῆς πολλὴν οὖσαν τὴν ἰσχὺν, "ὅπου γάρ εἰσι δύο ἢ τρεῖς," φησὶ, "συνηγμένοι "εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν," καὶ πάλιν, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς· καὶ "πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ "μία·" οὐ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ καὶ τὰ τῆς ἀγάπην αὔξεται διὰ τῆς ἐπισυναγωγῆς, τῆς δὲ ἀγάπης αὐξομένης, ἀνάγκη καὶ τὰ τοῦ Θεοῦ ἕπεσθαι· ἀλλὰ μὴ εἰς ζῆλον, φησὶν, ἀλλ' "εἰς "παροξυσμὸν ἀγάπης," εἰς τὸ μᾶλλον ἀγαπᾶν καὶ ἀγαπᾶσθαι· καὶ καλῶν ἔργων, ὥστε ζῆλον λαβεῖν· εἰ γὰρ τὸ ποιεῖν τοῦ λέγειν μείζονα τὴν ἰσχὺν ἔχει πρὸς διδασκαλίαν, πολλοὺς ἔχετε καὶ

ὑμεῖς διδασκάλους ἐν τῷ πλήθει διὰ τῶν ἔργων τοῦτο ποιοῦντας· τί ἐστι "προσερχόμεθα μετὰ ἀληθινῆς καρδίας;" τουτέστι χωρὶς ὑποκρίσεως, μηδὲ ὀλιγοψυχῶμεν· τοῦτο γὰρ ἀληθινῆς καρδίας· ἀπὸ γὰρ τοῦ μὴ πιστεύειν τὸ ὀλιγοψυχεῖν γίνεται· πῶς δὲ ἔσται τοῦτο; ἐὰν πληροφορῶμεν ἑαυτοὺς διὰ τῆς πίστεως ὡς ἐρραντισμένοι τὰς καρδίας· διὰ τί μὴ εἶπε, κεκαθαρμένοι; τὴν διαφορὰν τῶν περιρραντηρίων δεῖξαι βουλόμενος, καὶ τὸ μὲν τοῦ Θεοῦ φησι, τὸ δὲ ἡμέτερον· τὸ μὲν γὰρ λοῦσαι καὶ περιρράναι τὴν συνείδησιν, τοῦ Θεοῦ, τὸ δὲ μετὰ ἀληθείας προσελθεῖν, καὶ ἐν πληροφορίᾳ πίστεως, ἡμέτερον· εἶτα καὶ τῇ πίστει δίδωσιν ἰσχὺν ἀπὸ τῆς ἀληθείας τοῦ ἐπαγγειλαμένου· τί ἐστι "καὶ λελουμένοι τὸ σῶμα "ὕδατι καθαρῷ;" τῷ καθαροὺς ποιοῦντι, ἢ τῷ μὴ ἔχοντι αἷμα· εἶτα προστίθησι τὸ τέλειον, τὴν ἀγάπην· "μὴ ἐγκαταλείποντες τὴν "ἐπισυναγωγὴν ἑαυτῶν," ὅπερ τινὲς, φησὶ, ποιοῦσι, καὶ τὰς συνόδους διατέμνουσιν· ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά· ἀλλὰ "κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγά"πης·" τί ἐστι "κατανοῶμεν ἀλλήλους;" οἷον εἴ τις ἐνάρετος, τοῦτον μιμώμεθα, βλέπωμεν εἰς αὐτὸν, ὥστε ἀγαπᾶν καὶ ἀγαπᾶσθαι· ἀπὸ γὰρ τῆς ἀγάπης τὰ καλὰ ἔργα γίνεται· μέγα γὰρ ἀγαθὸν ἡ σύνοδος· αὐτὴ γὰρ αὐτὴν θερμοτέραν ἐργάζεται, καὶ ἐξ αὐτῆς πάντα τίκτεται τὰ ἀγαθά.

26 Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν, μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία.

Ἐκαθαρίσθης, ἀπηλλάγης ἐγκλημάτων, γέγονας υἱός· ἂν τοίνυν ἐπὶ τὸν πρότερον ἔμετον ὑποστρέψῃς, πάλιν ἀποκήρυξις μένει, καὶ πῦρ, καὶ ὅσα τοιαῦτα· οὐ γάρ ἐστι θυσία δευτέρα. πάλιν ἐνταῦθα ἡμῖν ἐπιφύονται οἱ τὴν μετάνοιαν ἀναιροῦντες, καὶ ὅσοι πρὸς τὸ βάπτισμα ὀκνοῦσιν ἐλθεῖν· ἐκεῖνοι μὲν λέγοντες ὅτι οὐκ ἀσφαλὲς αὐτοὺς τῷ βαπτίσματι προσελθεῖν, εἴγε οὐκ ἔστιν ἄφεσις δευτέρα· οὗτοι δὲ φάσκοντες οὐκ ἀσφαλὲς εἶναι μεταδοῦναι μυστηρίων τοῖς ἡμαρτηκόσιν, εἴ γε μὴ ἔστιν ἄφεσις δευτέρα. τί οὖν πρὸς ἀμφοτέρους ἐροῦμεν; ὅτι οὐ τὴν μετάνοιαν ἐνταῦθα ἀναι-

ρεῖ, οὐδὲ τὸν μετὰ μετανοίας ἐξιλασμόν· οὐδὲ ὠθεῖ καὶ καταβάλλει διὰ τῆς ἀπογνώσεως τὸν ἐπταικότα· οὐχ οὕτως ἐχθρός ἐστι τῆς σωτηρίας τῆς ἡμετέρας, ἀλλὰ τὸ δεύτερον ἀναιρεῖ λουτρόν· οὐ γὰρ εἶπεν, οὐκέτι ἐστὶ μετάνοια, οὐδὲ οὐκέτι ἐστιν ἄφεσις, ἀλλὰ θυσία οὐκέτι ἐστί· τουτέστι σταυρὸς δεύτερος οὐκέτι ἐστί· θυσίαν γὰρ τοῦτο καλεῖ.

(Θεόδωρος.) Θεόδωρος δέ φησιν, ἀνάγκη τοὺς ἐνταῦθα πρὸς τὰ χείρω μεταστάντας ἀπὸ τῶν κρειττόνων, ἀναστάντας τῇ κολάσει παραδοθῆναι λοιπὸν; οὐκ ἐπιδεχομένους τότε μετάνοιαν· οὐδὲ γὰρ ἐπὶ τοῦ παρόντος βίου τὴν μετάνοιαν ἀναιρεῖ, ἀλλὰ τὸ μὴ εἶναι τότε συγχώρησιν λαβεῖν, τὸν ἐπὶ τοῦ πταίειν ἐνταῦθα μεμενηκότα, καὶ μηδεμίαν ἐπὶ τὸ πταίειν δεξάμενον αἴσθησιν, ἀλογίᾳ τινὶ μετὰ πολλῆς ἡδονῆς ἅπαν ἐπιτελῶν ἁμάρτημα.

27 Φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.

Μιᾷ γὰρ θυσίᾳ, φησὶ, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους, οὐχ ὥσπερ τὰ Ἰουδαϊκά· διὰ γὰρ τοῦτο τοσαῦτα ἄνω καὶ κάτω διελέχθη περὶ τῆς θυσίας ὅτι μία· ἢ τοῦτο μόνον βουλόμενος δεῖξαι, ὅτι διενήνοχε τῶν Ἰουδαϊκῶν τοῦτο, ἀλλὰ καὶ ἀσφαλεστέρους ποιῆσαι, ὥστε μηκέτι προσδοκᾶν κατὰ τὸν Ἰουδαϊκὸν νόμον ἄλλην θυσίαν· "ἑκουσίως γὰρ," φησὶν, "ἁμαρτανόντων "ἡμῶν·" ὅρα πῶς συγγνωμονικός ἐστιν· ἑκουσίως, φησὶν, ἁμαρτανόντων ἡμῶν, ὥστε τῶν ἀκουσίων ἐστὶ συγγνώμη, μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, ἤ τοι τοῦ Χριστοῦ, φησὶν, ἤ τοι τῶν δογμάτων ἁπάντων· οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, ἀλλὰ τί; "φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος, "ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους." ὑπεναντίους οὐ τοὺς ἀπίστους φησὶν, ἀλλὰ καὶ τοὺς ἐναντία πράττοντας τῇ ἀρετῇ· ἢ ὅτι καὶ τοὺς οἰκείους τὸ αὐτὸ δήξεται πῦρ, ὅπερ καὶ τοὺς ὑπεναντίους· εἶτα τὸ διαβρωτικὸν αὐτοῦ δηλῶν, ὥσπερ ἐψύχωσεν αὐτὸ, καθάπερ θηρίον παραξυνόμενον καὶ σφόδρα χαλεπὸν καὶ ἐξηγριωμένον, οὐκ ἂν παύσοιτο, ἕως ἂν λάβοι τινὰ καὶ καταφάγοι, οὕτω καὶ τὸ πῦρ ἐκεῖνο, καθάπερ τις ὑπὸ ζήλου κεντούμενος, ὃν ἂν ἐπιλάβηται οὐκ ἀφίησιν, ἀλλὰ τρώγει καὶ διασπᾷ· εἶτα καὶ τὸν

λόγον ἐπάγει τῆς ἀπειλῆς, εἰκότως, ὅτι δικαίως, ὅπερ εἰς πίστιν ἐστὶ συμβαλλόμενον· ὅταν δείξωμεν ὅτι δικαίως γίνηται.

28 Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν, ἐπὶ δυσὶν ἢ τρισὶν μάρτυσιν ἀποθνήσκει.

Ὥστε οὐδεμία συγγνώμη, οὐδεὶς ἔλεος ἐκεῖ· καίτοι γε Μωϋσέως ὁ νόμος ἐστί· τὰ γὰρ πόλλα αὐτὸς διετάξατο· τί ἐστιν ἐπὶ δυσὶν ἢ τρισίν; ἂν δύο καὶ τρεῖς μαρτυρήσωσι, φησὶν, εὐθέως τὴν δίκην ἔδοσαν· εἰ τοίνυν ἐπὶ τῆς παλαιᾶς, ἔνθα ὁ Μωσέως ἀθετεῖται νόμος, τοσαύτη τιμωρία,

29 Πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας.

Καὶ πῶς καταπατεῖ τις τὸν υἱὸν τοῦ Θεοῦ; ὅταν γὰρ αὐτοῦ μετέχων ἐν τοῖς μυστηρίοις ἁμαρτίαν ἐργάσηται, φησὶν, οὐχὶ κατεπάτησεν αὐτόν; οὐχὶ κατεφρόνησεν αὐτοῦ; "καὶ τὸ αἷμα "κοινὸν," φησὶν, "ἡγησάμενος," τουτέστιν, ἀκάθαρτον, ἢ τῷ μηδὲν πλέον ἔχειν τῶν λοιπῶν· "καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας·" ὁ γὰρ τὴν εὐεργεσίαν μὴ παραδεχόμενος, ὕβρισε τὸν εὐεργετήσαντα· ἐνταῦθά μοι δοκεῖ καὶ περὶ τῶν μυστηρίων αἰνίττεσθαι· εἶτα καὶ μαρτυρίαν ἐπάγει λέγων,

31 Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· γέγραπται γὰρ, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, καὶ πάλιν· Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ.

Ἐμπεσούμεθα, φησὶν, εἰς χεῖρας Θεοῦ, καὶ μὴ εἰς χεῖρας ἀνθρώπων· ἀλλ' ἐὰν μὴ μετανοήσητε, εἰς χεῖρας Θεοῦ ἐμπεσεῖσθε· ἐκεῖνο φοβερὸν, τοῦτο οὐδέν ἐστι, τὸ εἰς χεῖρας ἀνθρώπων ἐμπεσεῖν· κατὰ γὰρ τὸ ἔλεος αὐτοῦ ἡ ὀργὴ αὐτοῦ, καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ· ἅμα καὶ ἕτερον αἰνίττεται ἐνταῦθα· ἐμοὶ γὰρ ἐκδίκησις, φησὶν, ἐγὼ ἀνταποδώσω· ἐπὶ τῶν ἐχθρῶν τοῦτο εἴρηται τῶν κακῶς πασχόντων· ἐνταῦθα καὶ παραμυθεῖται αὐτοὺς, μονονουχὶ λέγων· μένει διὰ παντὸς ὁ Θεὸς καὶ ζῇ, ὥστε κἂν μὴ νῦν ἀπολάβωσιν, ὕστερον ἀπολήψονται, ἐκείνους δεῖ στε-

νάζειν, οὐχ ἡμᾶς· ἡμεῖς μὲν γὰρ εἰς τὰς ἐκείνων ἐμπεσούμεθα χεῖρας, ἐκεῖνοι δὲ εἰς τὰς τοῦ Θεοῦ.

ΚΕΦ. ΙΕ.

Περὶ τοῦ καλὴν ἀρχὴν εἰς καλὸν τέλος προαγαγεῖν.

32 Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων.

Κατασείσας αὐτῶν τὰς ψυχὰς τῇ μνήμῃ τῆς γεέννης, καὶ πιστωσάμενος αὐτοὺς, ὥστε πάντως δεῖ ἀπολέσθαι τὸν ἐνυβρίσαντα εἰς τὴν τοῦ Θεοῦ χάριν, καὶ τοῦτο ἀπὸ τῶν Μωϋσέως δείξας νόμων, ὅτι καὶ ἀπολοῦνται, καὶ μειζόνως, καὶ μαρτυρίαις ἑτέραις ἐπισφραγίσας, ὥστε μὴ τῷ πολλῷ φόβῳ ἀπαγορεύσασαν τὴν ψυχὴν καταποθῆναι τῇ λύπῃ, παραμυθεῖται αὐτοὺς διὰ τῶν ἐγκωμίων καὶ τῆς παρακλήσεως, καὶ τὸν ζῆλον οἴκοθεν αὐτοῖς προσφέρει· ὡσανεὶ ἔλεγεν, ὅτε ἐνήγεσθε, ὅτε ἐν τάξει μαθητῶν ἦτε, τοσαύτην προθυμίαν ἐπεδείξασθε, τοσαύτην γενναιότητα, νῦν δὲ οὐκέτι· καὶ ὁ παρακαλῶν οὕτω μάλιστα παρακαλεῖ ἀπὸ τῶν οἰκείων· καὶ οὐχ ἁπλῶς εἶπεν ἄθλησιν ὑπεμείνατε, ἀλλὰ πολλήν· καὶ οὐκ εἶπε πειρασμοὺς, ἀλλ' ἄθλησιν, ὅπερ ἐστὶν ἐγκωμίου ὄνομα, καὶ ἐπαίνων μεγίστων· εἶτα καὶ καταλέγει, κατὰ μέρος πλατύνων τὸν λόγον, καὶ τοὺς ἐπαίνους πολλοὺς ποιῶν· πῶς; "τοῦτο μὲν ὀνειδισμοῖς," φησὶ, "καὶ θλίψει θεατριζόμενοι·" μέγα γὰρ ὀνειδεισμὸς καὶ ἱκανὸν διαστρέψαι ψυχὴν καὶ σκοτῶσαι λογισμόν· ἄκουε γὰρ, τί φησιν ὁ προφήτης, "ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου;" καὶ πάλιν "ὅτι "εἰ ἐχθρὸς ὠνείδισέν με, ὑπήνεγκα ἄν·" καὶ οὐχ ἁπλῶς εἶπεν ὀνειδισμὸν, ἀλλὰ καὶ αὐτὸ μετ' ἐπιτάσεως πολλῆς, "θεατριζό-"μενοι·" ὅταν μὲν γάρ τις ὀνειδίζηται, καθ' ἑαυτὸν λυπηρὸν μὲν, πολλῷ δὲ πλέον ὅταν ἐπὶ πάντων· εἰπὲ γάρ μοι, ὅσον ἦν κακὸν, ἀποστάντας τῆς Ἰουδαϊκῆς ταπεινότητος καὶ ὡς ἐπὶ ἄριστον βίον μετελθόντας, καὶ τῶν πατρῴων καταφρονήσαντας, ὑπ' αὐτῶν τῶν οἰκείων πάσχειν κακῶς, καὶ μηδεμίαν ἔχειν ἀντίληψιν· οὐκ ἔχω, φησὶν, εἰπεῖν, ὅτι ταῦτα ἐπάθετε μὲν, οὐκ ἠλγεῖτε δὲ, ἀλλὰ καὶ

σφόδρα ἐχαίρετε· καὶ τοῦτο ἐδήλωσεν εἰπὼν, "κοινωνοὶ τῶν οὕτως "πασχόντων γενηθέντες·" οὐ μόνον, φησὶν, ἐπὶ τοῖς οἰκείοις οὐκ ᾐσχύνεσθε, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐκοινωνεῖτε τοῖς ταῦτα παθοῦσιν· τοῦτο καὶ παρακαλοῦντος αὐτούς ἐστιν· οὐκ εἶπε, φέρετε τὰς θλίψεις τὰς ἐμὰς, ἀλλὰ τὰς ὑμετέρας αἰδέσθητε· "καὶ γὰρ τοῖς "δεσμοῖς μου συνεπαθήσατε·" ὁρᾷς ὅτι περὶ ἑαυτοῦ φησι, καὶ τῶν ἄλλων τῶν δεδεμένων; οὕτως οὐχ ἡγήσασθε δεσμὰ εἶναι τὰ δεσμὰ, ἀλλ' ὥσπερ ἀθληταὶ γενναῖοι οὕτως ἕστητε, ὅτι οὐ μόνον ἐν τοῖς ὑμετέροις οὐκ ἐδέεσθε παρακλήσεως, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐγίνεσθε παράκλησις· "καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων μετὰ "χαρᾶς προσεδέξασθε·" βαβαὶ πόση πληροφορία πίστεως; εἶτα καὶ τὴν αἰτίαν τίθησιν, οὐ μόνον πρὸς ἄθλους αὐτοὺς παρακαλῶν, ἀλλὰ καὶ πρὸς τὸ μὴ διασαλευθῆναι τῆς πίστεως· τὸν ὑμέτερον πλοῦτον, φησὶν, ἁρπαζόμενον ὁρῶντες, ἠνέγκατε, καὶ ὃ πολλῷ τούτου μεῖζόν ἐστιν ἐποιήσατε, τὸ καὶ μετὰ χαρᾶς τὰ τοιαῦτα φέρειν.

34 Γινώσκοντες ἔχειν ἑαυτοῖς κρείσσονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν.

Ἀντὶ τοῦ βεβαίαν, οὐχ οὕτως ἀπολλυμένην ὥσπερ ταύτην· εἶτα ἐπαινέσας αὐτοὺς, φησί· "μὴ ἀποβάλητε οὖν τὴν παρρησίαν μεγάλην·" οὐκ εἶπεν ὅτι ἀπεβάλητε καὶ ἀνακτήσασθε, ἀλλ' ὃ μᾶλλον ἐποίει αὐτοὺς ῥωσθῆναι, ὅτι ἔχετε αὐτὴν, φησί· τὸ μὲν γὰρ ἀποβληθὲν ἀνακτήσασθαι πάλιν, καμάτου δεῖται πλείονος· τὸ δὲ κατεχόμενον μὴ ἀπολέσαι, οὐχ οὕτως· "μὴ ἀποβάλητε "οὖν," φησὶ, "τὴν παρρησίαν ὑμῶν·" ὥστε ἐν παρρησίᾳ ἦσαν πολλῇ πρὸς τὸν Θεόν· "ἥ τις ἔχει μισθαποδοσίαν μεγάλην·" καὶ πότε αὐτὰ ληψόμεθα, φησί· εἰ ἐν οὐρανοῖς γινώσκητε, φησὶν, ἔχειν ὕπαρξιν κρείττονα, μηδὲν ἐνταῦθα ζητεῖτε, "ὑπομονῆς γὰρ ἔχετε "χρείαν," οὐχὶ προσθήκης, ἵνα ἐν τοῖς αὐτοῖς μείνητε, ἵνα μὴ ῥίψητε τὸ ἐγχειρηθέν· ἵνα πρὸς τὸ τέλος ἐλθόντες "κομίσησθε τὴν "ἐπαγγελίαν."

37 Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.

Ἵνα γὰρ μὴ λέγωσι καὶ πότε ἥξει, ἀπὸ τῆς γραφῆς αὐτοὺς παρακαλεῖ, ὥστε καὶ τὸ ἀναμένειν μισθός ἐστιν οὐ μικρός.

38 Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται, καὶ ἐὰν ὑποστεί-
λητται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ.

Μεγάλη αὕτη παράκλησις, ὅταν δεικνύῃ τις τὸ πᾶν κατορθωκότας καὶ διὰ μικρὰς ῥᾳθυμίας ἀπολλύντας αὐτό.

ΚΕΦ. ΙϚ.

Περὶ πίστεως τῆς καὶ τοὺς παλαιοὺς δοξασάσης.

39 Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ
1 πίστεως εἰς περιποίησιν ψυχῆς· ἔστι δὲ πίστις ἐλπι-
ζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.

Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι· ἔλεγχος γάρ ἐστιν ἐπὶ τῶν λίαν δήλων· καὶ εἰς τὴν αὐτὴν τοῖς ὁρωμένοις φέρει πληροφορίαν τὰ μὴ ὁρώμενα· οὔτε οὖν ἐν τοῖς ὁρωμένοις ἀπιστῆσαί ἐστιν, οὔτε πάλιν ἂν μὴ τῶν ὁρωμένων σαφέστερον περὶ τῶν ἀοράτων πληροφορῆταί τις, πίστις εἶναι δύναται· ἐπειδὴ γὰρ τὰ ἐν ἐλπίδι ἀνυπόστατα εἶναι δοκεῖ, ἡ πίστις ὑπόστασιν αὐτοῖς χαρίζεται, μᾶλλον δὲ οὐ χαρίζεται, ἀλλ' αὐτό ἐστιν οὐσία αὐτῶν· οἷον ἡ ἀνάστασις οὐ παραγέγονεν, οὐδὲ ἐστὶν ἐν ὑποστάσει, ἀλλ' ἡ ἐλπὶς ὑφίστησιν αὐτὴν ἐν τῇ ἡμετέρᾳ ψυχῇ, τοῦτό ἐστιν "ὑπόστασις πραγμάτων." εἰ τοίνυν ἔλεγχός ἐστιν οὐ βλεπομένων, τί δὴ βούλεσθε αὐτὰ ἰδεῖν, ἵνα ἐκπέσητε τῆς πίστεως; οὐ τῷ δίκαιοι εἶναι, εἴ γε ἐκ πίστεως ὁ δίκαιος ζήσεται, ὑμεῖς δὲ εἰ βούλεσθε αὐτὰ ἰδεῖν, οὐκέτι ἐστὲ πιστοί.

(Θεόδωρος.) Θεόδωρος δέ φησι· τὸ περὶ τῆς πίστεως ζητούμενον παρὰ Ἰουδαίοις, μάλιστα εἰδὼς ἀπό τινος ἀκολουθίας, πολλαῖς ταῖς περὶ αὐτοῦ κέχρηται ἀποδείξεσιν· ἐκεῖνοι μὲν γὰρ προεβάλοντο τὸν νόμον, καὶ τὴν ἐκ τῶν ἔργων αὐτοῦ δικαίωσιν, οὗτοι δὲ τὴν πίστιν, τοῦτο λέγοντες, ὅτι κἂν μυρίοις τις ἐνέχηται κακοῖς, πιστεύσας μόνον Χριστῷ, σύντομον ἁπάντων δέχεται τὴν

ἀπαλλαγὴν, τῆς παρ' αὐτοῦ δικαιώσεως ἀξιούμενος· ὅθεν ὁρισάμενος αὐτὴν, ὁμοῦ μὲν ὥστε οἰκειῶσαι τοῖς προειρημένοις, ὁμοῦ δὲ ὥστε μᾶλλον αὐτὴν δυνηθῆναι δεῖξαι παρὰ πᾶσι φαινομένην τοῖς ἐναρέτοις καὶ παλαιοῖς ἀνδράσιν, ἐπάγει, "ἐν ταύτῃ γὰρ ἐμαρ- "τυρήθησαν οἱ πρεσβύτεροι."

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησί· τὸ τῆς πίστεως γενναίας καὶ νεανικῆς δεῖται ψυχῆς καὶ πάντα ὑπερβαινούσης τὰ αἰσθητὰ, καὶ τὴν ἀσθένειαν τῶν λογισμῶν τῶν ἀνθρωπίνων παρερχομένης· οὐ γάρ ἐστιν ἑτέρως γενέσθαι πιστὸν, ἂν μή τις ἑαυτὸν τῆς συνηθείας ὑπεραναγάγῃ τῆς κοινῆς. ἐπεὶ οὖν αἱ τῶν Ἑβραίων ἦσαν ἐξησθενημέναι ψυχαὶ, καὶ ἀπὸ πίστεως μὲν ἤρξαντο, ὑπὸ δὲ τῶν πραγμάτων, λέγω δὴ τῶν παθῶν, τῶν θλίψεων ὀλιγοψύχουν λοιπὸν καὶ παρεσαλεύοντο, πρῶτον μὲν αὐτοὺς ἀπὸ τῶν αὐτῶν παρεκάλεσεν εἰπὼν, "μνήσθητε τὰς προτέρας ἡμέρας·" ἔπειτα ἀπὸ τῆς γραφῆς λεγούσης, "ὁ δὲ δίκαιος ἐκ πίστεως ζή- "σεται," ἔπειτα ἀπὸ λογισμῶν, εἰπών· "ἔστι δὲ πίστις ἐλπιζο- "μένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων·" νῦν δὲ πάλιν ἀπὸ τῶν προπατόρων τῶν μεγάλων ἀνδρῶν καὶ θαυμαστῶν ἐκείνων, μονονουχὶ λέγων· εἰ ἔνθα παρὰ πόδας τὰ ἀγαθὰ πάντες πίστει ἐσώθησαν, πολλῷ μᾶλλον ἡμεῖς· καὶ δείκνυσιν ὅτι τὰ μέγιστα διὰ πίστεως, καὶ οὐ διὰ λογισμῶν κατορθοῦνται· δῆλον γὰρ, φησὶν, ἐστὶν, ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν ὁ Θεὸς, ἐκ τῶν μὴ φαινομένων τὰ φαινόμενα, ἐκ τῶν οὐχ ὑφεστώτων τὰ ὑφεστῶτα· πόθεν; ὅτι καὶ ῥήματι τοῦτο ἐποίησεν· ὁ μὲν γὰρ λογισμὸς οὐδὲν ὑποβάλλει τοιοῦτον, ἀλλὰ τοὐναντίον, ὡς ἐκ φαινομένων τὰ φαινόμενα εἶναι, πίστεως δὲ δηλονότι ἔργον.

3 Πίστει γὰρ νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας.

Διὰ τί πίστει; "ὅτι μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γέ- "γονεν·" εἰπὼν δὴ τὸ κοινὸν, λοιπὸν ἐπὶ προσώπῳ αὐτὸ γυμνάζει· καὶ γὰρ τῆς οἰκουμένης ἐστὶν ἀντάξιος, ἔνδοξος ἀνήρ· τοῦτο γοῦν καὶ ὕστερον ᾐνίξατο· ἐπειδὴ γὰρ ἐπὶ προσώπων αὐτὸ ἑκατὸν ἢ διακοσίων ἀντέστησεν· εἶτα εἶδε τὸν ἀριθμὸν ὀλίγον τῇ ποσότητι, λοιπὸν, φησίν· "ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος·" καὶ θέα τίνα πρῶτον τίθησιν· τὸν παθόντα κακῶς, καὶ παρὰ ἀδελφοῦ· οἰκεῖον τὸ πάθος· καὶ γὰρ ὑμεῖς ταῦτα, φησὶν, ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυ-

λετῶν, καὶ ὑπὸ ἀδελφοῦ οὐδὲν ἠδικημένου, ἀλλὰ διὰ Θεὸν φθονηθέντος, δεικνὺς ὅτι καὶ αὐτοὶ βασκαίνονται καὶ φθονοῦνται, ἐτίμησεν ἐκεῖνος τὸν Θεὸν, καὶ ἀπέθανεν ἀνθ' ὧν ἐτίμησεν· θυσίαν δὲ ἐνταῦθα τὴν ἐντιμοτέραν λέγει, τὴν λαμπροτέραν, τὴν ἀναγκαιοτέραν· καὶ οὐκ ἔχομεν, φησὶν, εἰπεῖν ὅτι οὐκ ἀπεδέχθη, ἀπεδέξατο καὶ εἶπεν πρὸς τὸν Κάϊν, οὐκ ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς; οὐκοῦν ὁ Ἄβελ καὶ ὀρθῶς προσήνεγκε καὶ ὀρθῶς διεῖλεν, ἀλλ' ὅμως ἀντὶ τούτων τίνα τὴν ἀμοιβὴν ἔλαβεν; ἐσφάγη παρὰ τῆς ἀδελφικῆς χειρός· καὶ τὴν καταδίκην ἣν ὁ πατὴρ ὑπέμεινεν διὰ τὴν ἁμαρτίαν, ταύτην πρῶτος ἐδέξατο ὁ κατορθώσας· καὶ τοσούτῳ χαλεπὰ ἔπαθεν, ᾧ καὶ παρὰ ἀδελφοῦ καὶ πρῶτος, καὶ ταῦτα κατόρθωσεν εἰς οὐδένα ἰδών· εἰς τίνα γὰρ εἶδεν καὶ . . . ἐτίμησε τὸν Θεόν· εἰς τὸν πατέρα καὶ τὴν μητέρα; ἀλλ' ἐκεῖνοι ὕβρισαν αὐτὸν ἀντὶ τῶν εὐεργεσιῶν· ἀλλ' εἰς τὸν ἀδελφόν; ἀλλὰ καὶ οὗτος ἠτίμασεν, ὥστε παρ' ἑαυτ . . . ἀγαθὸν ἐξεῦρε, καὶ ὁ τοσαύτης τιμῆς ἄξιος, ἐσφάγη· πῶς δὲ καὶ ἄλλως ἐμαρτυρήθη εἶναι δίκαιος; λέγεται πῦρ κατελθὸν ἀναλαβεῖν τὰς θυσίας· ἀντὶ γὰρ τοῦ "ἐπὶ Ἄβελ ἐπέβλεψεν, καὶ ἐπὶ τὰς θυσίας "αὐτοῦ ὁ Κύριος, καὶ ἐνεπύρισεν," εἶπεν· ὁ τοίνυν καὶ διὰ λόγων καὶ δι' ἔργων μαρτυρήσας τῷ δικαίῳ, καὶ δι' αὐτὸν ὁρῶν ἀναιρούμενον, οὐκ ἤμυνεν, ἀλλ' εἴασεν· τὸ δὲ ὑμέτερον, οὐ τοιοῦτον· πῶς γὰρ οἱ καὶ προφήτας καὶ παραδείγματα ἔχοντες, καὶ παρακλήσεις μυρίας, καὶ σημεῖα καὶ θαύματα γενόμενα, ὥστε ἐκεῖνο ὄντως πίστις ἦν, καὶ ἀπὸ πίστεως τὴν ἀρετὴν εἵλετο· τί ἐστι "καὶ δι' "αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ;" ἵνα μὴ εἰς πολλὴν ἀπόγνωσιν αὐτοὺς ἐμβάλῃ, δείκνυσιν αὐτὸν ἐν μέρει ἀπολαύσαντα ἀμοιβῆς· πῶς; ἡ ἐπισκοπὴ ἡ παρ' αὐτοῦ, φησὶ, πολλὴ ἐστί· "καὶ ἔτι "λαλεῖ," τουτέστιν ἀνεῖλεν αὐτὸν, ἀλλ' οὐ συνανεῖλεν αὐτοῦ τὴν δόξαν καὶ τὴν μνήμην· τοῦτο δὲ καὶ τοῦ ζῆν σημεῖόν ἐστιν· ὁ γὰρ παραινῶν τοῖς ἄλλοις δικαίους εἶναι, λαλεῖ· οὐ τοσοῦτον γὰρ ἀνύει λόγος, ὅσον τὸ πάθος τοῦ ἐκείνου.

5 Πίστει, Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸς ὁ Θεός.

Οὗτος μείζονα πίστιν τοῦ Ἄβελ ἐπεδείξατο· τὰ γὰρ εἰς ἐκεῖ-

νον γενόμενα ἱκανὰ ἦν αὐτὸν ἀποτρέψαι, ἀλλ᾽ ἐκεῖνα ὑπερβὰς, ἔγνω ὅτι εἰ Θεὸς ἐστὶ, πάντως καὶ ἀνταποδότης ἐστίν· καίτοι οὐδὲν οὔπω περὶ ἀναστάσεως ᾔδεσαν· καὶ ὅμως εἰ οἱ τοῦτο μὴ εἰδότες καὶ ἐνταῦθα τἀναντία ὁρῶντες οὕτως εὐηρέστησαν, πόσῳ μᾶλλον ἡμεῖς; κἂν ὑμεῖς οὖν, φησὶν, ὁρᾶτε μηδὲν ἐνταῦθα ἀπολαμβάνοντας ὑμᾶς, μὴ θορυβεῖσθε· πῶς πίστει μετετέθη Ἐνώχ; ὅτι τῆς μεταθέσεως ἡ εὐαρέστησις αἰτία, τῆς δὲ εὐαρεστήσεως ἡ πίστις· εἰ γὰρ μὴ ᾔδει ὅτι λήψεται ἀμοιβὰς, πῶς εὐηρέστει;

6 Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι.

Πῶς; ἂν γάρ τις πιστεύσῃ εἶναι Θεὸν καὶ ἀντίδοσιν, ἕξει τὰς ἀμοιβάς. πόθεν οὖν ἡ εὐαρέστησις; "πιστεῦσαι γὰρ," φησὶ, "δεῖ τὸν προσερχόμενον Θεῷ ὅτι ἔστιν," οὐ τὸ τί ἐστιν· τοῦτο γὰρ λογισμῷ καταλαβεῖν ἀδύνατον· εἰ ὅτι μισθαποδότης ἐστιν πίστεως χρείαν ἔχει καὶ οὐ λογισμῶν, πῶς τὰ τῆς οὐσίας λογισμῷ περιλαβεῖν ἔνι; πολλοὶ δὲ ζητοῦσι, ποῦ μετετέθη ὁ Ἐνὼχ, καὶ διὰ τί μετετέθη, καὶ διὰ τί οὐκ ἀπέθανεν, οὔτε αὐτὸς οὔτε ὁ Ἡλίας, καὶ εἰ ἔτι ζῶσι, καὶ πῶς ζῶσι, καὶ ἐν ποίῳ σχήματι· ἀλλὰ περιττὸν ταῦτα ζητεῖν· οὐ γὰρ προσέθηκε ταῦτα ἡ γραφή· τοῦτο μὲν γὰρ γέγονε τὸ τῆς μεταθέσεως· ἐκ προοιμίων εὐθέως τῆς ἀνθρωπίνης ψυχῆς λαμβανούσης ἐλπίδα τῆς καταλύσεως τοῦ θανάτου· μετετέθη γὰρ οὐ νεκρὸς, ἀλλὰ τοῦ μὴ ἰδεῖν θάνατον· διὰ τοῦτο προσέθηκε, ζῶν μετετέθη, ὅτι εὐηρέστησεν.

7 Πίστει, χρηματισθεὶς Νῶε.

Τὸ μὲν ὑπόδειγμα τοῦ Ἐνὼχ πίστεως ἦν ὑπόδειγμα μόνον, τὸ δὲ τοῦ Νῶε καὶ ἀπιστίας· αὕτη δέ ἐστιν ἀπηρτισμένη παράκλησις καὶ προτροπή· ὅταν μὴ μόνον οἱ πιστεύοντες εὑρίσκωνται εὐδοκιμοῦντες, ἀλλὰ καὶ οἱ ἀπιστοῦντες τἀναντία πάσχοντες· τί δέ ἐστι "χρηματισθείς;" τουτέστι, πρόρρησιν λαβών· χρηματισμὸς δὲ τίνος ἕνεκεν λέγεται; καὶ γὰρ ἀλλαχοῦ φησιν· "ἦν "αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος·" καὶ πάλιν· "καὶ τί φησιν ὁ χρηματισμός;" ὁρᾷς τοῦ Πνεύματος τὸ ἰσότιμον; ὥσπερ γὰρ Θεὸς χαρὰ, οὕτω καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· τίνος δὲ ἕνεκεν οὕτως εἶπεν; ἡ προφητεία λέγεται χρηματισμός· "περὶ "τῶν μὴ βλεπομένων," φησὶ, τουτέστι, τοῦ ὑετοῦ "εὐλαβηθεὶς

“κατεσκεύασε κιβωτόν·” ὁ μὲν λογισμὸς οὐδὲν τοιοῦτον ὑπέβαλεν· ἐγάμουν γὰρ καὶ ἐγαμίσκοντο· ἀὴρ ἦν καθαρὸς, σημεῖα οὐκ ἦν, ἀλλ᾽ ὅμως ἐφοβήθη ἐκεῖνος, καὶ κατεσκεύασε κιβωτόν· “εἰς “σωτηρίαν τοῦ οἴκου αὐτοῦ·” πῶς; “δι᾽ ἧς κατέκρινε τὸν “κόσμον,” ἔδειξεν αὐτοὺς ἀξίους ὄντας κολάσεως· οἵ γε οὐδὲ διὰ τῆς κατασκευῆς ἐσωφρονίζοντο.

Καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.

Τουτέστιν, ἀπὸ τούτου δίκαιος ἐφάνη, ἀπὸ τοῦ πιστεῦσαι τῷ Θεῷ· τοῦτο γὰρ ψυχῆς ἐστι γνησίως πρὸς αὐτὸν διακειμένης, καὶ μηδὲν πιστότερον τῶν αὐτοῦ ῥημάτων εἶναι κρινούσης.

8 Πίστει, καλούμενος Ἀβραὰμ, ὑπήκουσεν ἐξελθεῖν εἰς
τὸν τόπον ὃν ἔμελλε λαμβάνειν εἰς κληρονομίαν, ἐξῆλ-
9 θεν μὴ ἐπιστάμενος που ἔρχεται· πίστει, παρῴκησεν
τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κα-
τοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων
τῆς ἐπαγγελίας τῆς αὐτῆς.

Τίνα γὰρ εἶδεν, εἰπέ μοι, ἵνα ζηλώσῃ; πατέρα Ἕλληνα εἶχεν καὶ εἰδωλολάτρην· προφητῶν οὐκ ἀκηκόει· οὐκ ᾔδει ποῦ ἤρχετο· ἐπειδὴ γὰρ εἰς τούτους ἑώρων οἱ ἐξ Ἑβραίων πεπιστευκότες, ὡς μυρίων ἀπολαύσαντας ἀγαθῶν, δείκνυσιν ὅτι οὐδεὶς οὐδέπω οὐδὲν ἐκομίσατο· τῆς πατρίδος ἐκεῖνος καὶ τῆς οἰκίας ἐξέπεσε, καὶ ἐξῆλθεν οὐκ εἰδὼς ποῦ ἔρχεται· καὶ τί θαυμαστὸν εἰ αὐτὸς ὅπου γε καὶ τὸ σπέρμα αὐτοῦ οὕτως κατῴκησεν· ὁρῶν γοῦν ἐλεγχομένην τὴν ἐπαγγελίαν· εἶπεν γὰρ “σοὶ δώσω τὴν γῆν ταύ“την καὶ τῷ σπέρματί σου·” εἶδε τὸν υἱὸν ἐκεῖ κατοικοῦντα· καὶ ὁ ἔγγονος πάλιν εἶδεν ἑαυτὸν ἐν ἀλλοτρίᾳ κατοικοῦντα, καὶ οὐδὲν ἐθορυβήθη· τὸ μὲν γὰρ τοῦ Ἀβραὰμ εἰκότως ἐγεγόνει, ἅτε μετὰ ταῦτα μελλούσης τῆς ἐπαγγελίας εἰς ἔργον ἐκ . . σθαι, καίτοι καὶ πρὸς . . . . ηται ὅτι σοὶ καὶ . . . τί σου, οὐ διὰ τοῦ σπερμ . . . σοὶ, ἀλλὰ “σοὶ καὶ τῷ σπέρματί σου·” καὶ οὔτε αὐτὸς . . . . σαὰκ, οὔτε ὁ Ἰακὼβ . . . σαν τῆς ὑποσχέσεως ὁ . . γὰρ μισθῷ ἐδούλευσεν, ὁ δὲ . . . νετο· οὗτος δὲ καὶ ἐξ ἐπι . . δεδωκὼς, καὶ τὰ μὲν εἰ . . τὰ δὲ εἰ μὴ τῆς τοῦ Θεοῦ ῥοπῆς ἔτυχεν, ἀπώλετο

ἄν· διὰ τοῦτό φησιν, ὅτι μετὰ τῶν κληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς.

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας.

Δύο ἐνταῦθα ζητῆσαι ἄξιον· πῶς εἰπὼν ὅτι μετέθηκε τὸν Ἐνὼχ, καὶ οὐχ εὑρίσκετο τοῦ μὴ ἰδεῖν θάνατον, λέγει, "κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες," καὶ πάλιν, "μὴ κομισάμενοι τὰς ἐπαγγελίας," τὸν Νῶε εἰληφέναι φησὶν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, καὶ τὸν Ἄβελ ἔτι λαλεῖν, καὶ τὸν Ἀβραὰμ ἐπειλῆφθαι τῆς γῆς, καὶ, φησὶ, "κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας." τί οὖν ἐστιν; ἀναγκαῖον τὸ πρῶτον λῦσαι, εἶτα τὸ δεύτερον· "κατὰ πίστιν ἀπέθανον," ἀλλ' ἐπειδὴ ἐξῃρημένου ἐκείνου ἀπέθανον οὗτοι πάντες, οὓς ἴσμεν τεθνηκότας· τὸ δὲ "μὴ κομισάμενοι τὰς ἐπαγγελίας," ἀληθὲς τυγχάνει· οὐ γὰρ τοῦτο ἤμελλεν εἶναι ἡ ἐπαγγελία τῷ Νῶε· ποίας δὲ καὶ ἐπαγγελίας φησίν; ὁ μὲν γὰρ Ἰσαὰκ καὶ Ἰακὼβ ἔλαβον τὰς ἐπαγγελίας τῆς γῆς, οἱ δὲ περὶ Νῶε καὶ Ἄβελ καὶ Ἐνὼχ ποίας ἐπαγγελίας ἔλαβον; ἢ τοίνυν περὶ τῶν τριῶν φησι τούτων, ἢ εἰ καὶ περὶ ἐκείνων, οὐ τοῦτο ἦν ἡ ἐπαγγελία, τὸ θαυμασθῆναι τὸν Ἄβελ, οὐδὲ τὸ μετατεθῆναι τὸν Ἐνὼχ, οὐδὲ τὸ διασωθῆναι τὸν Νῶε· ἀλλὰ καὶ ταῦτα μὲν αὐτοῖς διὰ τὴν ἀρετὴν ἐγένετο· γεύματα δέ τινα ἦν τῶν μελλόντων· δίδωσι γὰρ καὶ ἐνταῦθα.

Ἀλλὰ πόρρωθεν αὐτὰς εἰδότες καὶ ἀσπασάμενοι.

Ἐνταῦθά τι μυστικὸν αἰνίττεται, ὅτι πάντα προέλαβον τὰ περὶ τῶν μελλόντων εἰρημένα· περὶ ἀναστάσεως, περὶ βασιλείας οὐρανῶν, περὶ τῶν ἄλλων, ὧν ἐλθὼν ὁ Χριστὸς ἐκήρυξεν· τὰς γὰρ ἐπαγγελίας ταύτας, φησίν· ἢ τοῦτό φησιν, ἢ ὅτι οὐκ ἔλαβον μὲν αὐτάς· θαρρήσαντες δὲ ὑπὲρ αὐτῶν ἀπῆλθον τῇ πίστει μόνῃ, πόρρωθεν αὐτὰς ἰδόντες, πρὸ τεσσάρων γενεῶν· μετὰ γὰρ τοσαύτας ἀπῆλθον ἐξ Αἰγύπτου· καὶ ἀσπασάμενοι, φησὶν, καὶ ἡσθέντες· οὕτως πεπεισμένοι ἦσαν περὶ αὐτῶν.

10 Ἐξεδέχοντο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

Ὁρᾷς ὅτι τούτῳ ἔλαβον, τῷ ἤδη δέξασθαι καὶ θαρρῆσαι ὑπὲρ

αὐτῶν; εἰ τοίνυν τὸ θαρρῆσαι λαβεῖν ἐστιν, ἔνεστι καὶ ὑμῖν λαβεῖν· τί ἐστι "τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν;" οὗτοι γὰρ οὐκ εἰσὶ θεμέλιοι; πρὸς σύγκρισιν ἐκείνων, οὐκ εἰσίν· "πίστει, "φησὶ, καὶ αὐτὴ Σάρρα·" ἐντρεπτικῶς ἐνταῦθα ἤρξατο, εἴ γε γυναικὸς ὀλιγοψυχότεροι φανεῖεν· ἀλλ' εἴποι ἄν τις, πῶς πιστὴ ἡ γελάσασα; ὁ μὲν οὖν γέλως ἐξ ἀπιστίας, ὁ δὲ φόβος ἀπὸ πίστεως γέγονεν· τὸ γὰρ εἰπεῖν "οὐκ ἐγέλασα," ἀπὸ πίστεως γέγονε· τοιγαροῦν διὰ τοῦτο κενωθείσης τῆς ἀπιστίας, ἐπεισῆλθεν ἡ πίστις.

11 Πίστει, καὶ αὐτὴ Σάρρα, δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβεν, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν.

Τί ἐστιν εἰς καταβολὴν σπέρματος; εἰς τὸ κατασχεῖν τὸ σπέρμα δύναμιν ἔλαβεν· ἦν νενεκρωμένη, ἦν στεῖρα· διπλῆ γὰρ ἦν ἡ πήρωσις· ὅθεν καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ πάντες, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ἡ ἀναρίθμητος. ὅθεν, φησὶ, "καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ "πάντες·" οὐ τοῦτο μόνον λέγει ὅτι ἐγέννησεν, ἀλλ' ὅτι καὶ τοσούτων ἐγένετο μήτηρ, ὅσων οὐδὲ αἱ εὔφοροι γαστέρες· ὡς τὰ ἄστρα, φησίν· πῶς οὖν αὐτοὺς ἀριθμεῖ; ἤτοι τὴν ὑπερβολήν φησιν, ἤτοι τοὺς ἀεὶ γενομένους.

13 Καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοι εἰσὶν ἐπὶ τῆς γῆς.

Ξένοι, φησὶν, ἦσαν τῆς οἰκουμένης, καὶ πατρίδα ἐζήτουν· ποίαν δὴ ταύτην; ἄρα ἣν εἴασαν; οὐδαμῶς· τί γὰρ ἐκώλυσεν αὐτοὺς, εἴ γε ἐβούλοντο, ὑποστρέψαι πάλιν καὶ γενέσθαι πολίτας; ἀλλ' ἐκείνην ἐζήτουν τὴν ἐν τοῖς οὐρανοῖς· οὕτως καὶ πρὸς τὴν ἀποδημίαν τὴν ἐνθένδε ἔσπευδον, καὶ οὕτως ἤρεσκον Θεῷ.

16 Ὅτι οὐκ ἐπαισχύνεται ὁ Θεὸς, Θεὸς καλεῖσθαι αὐτῶν.

Τί λέγεις; Θεὸς τῆς γῆς καλεῖται, καὶ Θεὸς τοῦ οὐρανοῦ, καὶ ὡς μέγα τι τέθεικας τὸ οὐκ ἐπαισχύνεται Θεὸς καλεῖσθαι αὐτῶν; μέγα καὶ ὄντως μέγα καὶ πολλῆς μακαριότητος τοῦτο τεκμήριον· πῶς; ὅτι γῆς μὲν καὶ οὐρανοῦ οὕτω καλεῖται Θεὸς, ὡς καὶ Ἑλλήνων Θεὸς, ᾗ ἔκτισεν καὶ ἐδημιούργησεν αὐτά· τῶν δὲ ἁγίων ἐκείνων, οὐχ οὕτως, ἀλλ' ὡς φίλος τις γνήσιος· ἐννόησον ὅσον

ἐστὶ τὸ μέγεθος· ὁ τῆς οἰκουμένης καλούμενος Θεὸς οὐκ ἐπαισχύνεται τριῶν καλεῖσθαι Θεὸς, εἰκότως· οὐ γὰρ τῆς οἰκουμένης, ἀλλὰ μυρίων τοσούτων εἰσὶν ἀντίρροποι οἱ ἅγιοι.

17 Πίστει, προσενήνοχεν τὸν Ἰσαὰκ πειραζόμενος, καὶ
τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας δεξάμενος,
18 πρὸς ὃν ἐλαλήθη, ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα·
19 λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός·
ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.

Ἐνταῦθα οὐ τοὺς ἀνθρωπίνους ὑπερβῆναι μόνον λογισμοὺς ἐχρῆν, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιδείξασθαι· τὰ γὰρ τοῦ Θεοῦ ἐδόκει τοῖς τοῦ Θεοῦ μάχεσθαι, καὶ πίστις ἐμάχετο πίστει, καὶ πρόσταγμα ἐπαγγελίᾳ, οἷόν τι λέγω, εἶπεν, "ἔξελθε ἐκ τῆς γῆς σου, "καὶ ἐκ τῆς συγγενείας σου, καὶ δώσω σοι τὴν γῆν ταύτην, καὶ οὐκ "ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός·" ὁρᾷς πῶς τὰ γινόμενα τῇ ἐπαγγελίᾳ ἐμάχετο; πάλιν φησίν· "ἐν Ἰσαὰκ "κληθήσεταί σοι σπέρμα, καὶ ἐπίστευσεν," καὶ πάλιν λέγει, ὅτι θῦσόν μοι τοῦτον τὸν μέλλοντα τὴν οἰκουμένην ἅπασαν ἐκ τοῦ σπέρματος αὐτοῦ πληροῦν· εἶδες μάχην προσταγμάτων καὶ ἐπαγγελίας ἐναντίας ταῖς ἐπαγγελίαις; καὶ οὐδὲ οὕτως ἐθορυβήθη οὐδὲ ἠπατῆσθαι ἐνόμισεν· ὑμεῖς δὲ οὐδὲν ἔξω τῆς ἐπαγγελίας ὑπομένετε· εἶπε γὰρ ὅτι ἐν τῷ κόσμῳ θλίψιν ἔχετε, καὶ ὅσα τοιαῦτα· ἐκεῖνος ἐναντία ὧν ἐπηγγείλατο ἤκουσε παρὰ τοῦ αὐτοῦ, καὶ οὐκ ἐθορυβεῖτο, ἀλλ' ὡς σύμφωνα ἔπραττε· καὶ γὰρ ἦν σύμφωνα· ἐναντία μὲν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, σύμφωνα δὲ ἀπὸ τῆς πίστεως· καὶ πῶς, αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ Ἀπόστολος εἰπὼν, "λογισάμενος, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός·" ἀπὸ τῆς αὐτῆς πίστεως, φησὶν, ἧς ἐπίστευσεν, ὅτι οὐκ ὄντα ἐχαρίσατο, καὶ νεκρὸν ἤγειρεν ἀπὸ τῆς αὐτῆς, καὶ ὅτι σφαγιασθέντα ἀναστήσει ἐπέπειστο· ὁμοίως γὰρ ἄπορον ἦν ἀνθρωπινῷ λογισμῷ, καὶ ἐκ μήτρας νεκρᾶς καὶ γεγηρακυίας καὶ ἀχρήστου ἤδη γεγενημένης πρὸς παιδοποιΐαν δοῦναι παιδίον, καὶ σφαγιασθὲν ἀναστῆσαι· ἀλλὰ προωδοποίει ἡ πίστις ἡ παρελθοῦσα τοῖς μέλλουσι· καὶ ὅρα τὰ μὲν χρηστὰ πρῶτα, τὰ δὲ δυσχερῆ ὕστερα πρὸς τῷ

γήρᾳ· ὑμῖν δὲ τοὐναντίον φησί· τὰ μὲν σκυθρωπὰ πρῶτα, τὰ δὲ χρηστὰ τελευταῖα· εἰ δὲ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεὸς, πάντως πάντα ἀποσώσει· καὶ ἕτερον δὲ δείκνυσι διὰ τοῦ εἰπεῖν "ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ·" τί οὖν; οὐκ ᾔδει ὁ Θεὸς ὅτι γενναῖος ἦν; τίνος οὖν ἕνεκεν ἐπείραζεν αὐτόν; οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοῖς ἄλλοις δείξῃ, καὶ κατάδηλον αὐτοῦ τὴν ἀνδρείαν ἅπασι καταστήσῃ· εἶτα ἐπεξέρχεται τῷ νοήματι· οὐκ εἶχεν, φησὶ, τὶς εἰπεῖν, ὅτι ἄλλον εἶχεν υἱὸν, καὶ ἐξ ἐκείνου προσεδόκα τὴν ἐπαγγελίαν πληρωθήσεσθαι, καὶ διὰ τοῦτο θαρρῶν τοῦτον προσήνεγκε καὶ τὸν μονογενῆ προσέφερε, φησὶν, ὁ τὰς ἐπαγγελίας δεξάμενος· τί οὖν ὁ Ἰσμαὴλ, πόθεν ἦν; μονογενῆ λέγω, φησὶν, ὅσον κατὰ τὸν τῆς ἐπαγγελίας λόγον· διὰ γὰρ τοῦτο προσέθηκεν εἰπὼν "μονογενῆ·" "ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα," τουτέστιν, ἐξ αὐτοῦ· εἶτα, ἵνα μή τις νομίσῃ ὅτι ἀπογνοὺς τοῦτο ποιεῖ, καὶ διὰ τοῦ προστάγματος τούτου τὴν πίστιν ἐκείνην ἐξέβαλεν, ἀλλὰ μάθῃ ὅτι καὶ τοῦτο πίστεως ἦν, φησὶν, ὅτι κἀκείνην εἶχε τὴν πίστιν, καίτοιγε δοκοῦσαν ταύτῃ μάχεσθαι· ἀλλ' οὐκ ἐμάχετο· οὐ γὰρ λογισμὸς ἀνθρώπινος ἐμέτρει τοῦ Θεοῦ τὴν δύναμιν, ἀλλὰ τῇ πίστει πάντα ἐπέτρεψεν, "ὅτι καὶ ἐκ νεκρῶν ἐγεί- "ρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο," τουτέστιν, ἐν ὑποδείγματι, ἐν τῷ κριῷ, φησὶν, πῶς· τοῦ γὰρ κριοῦ σφαγιασθέντος οὕτως ἐσώθη, ὥστε διὰ τοῦ κριοῦ αὐτὸν ἔλαβεν, ἀντ' ἐκείνου σφάξας ἐκεῖνον· ταῦτα δὲ τύποι τινὲς ἦσαν· ἐνταῦθα γὰρ ὁ Υἱὸς τοῦ Θεοῦ ἐστι σφαγιαζόμενος· καὶ θέα μοι τὴν φιλανθρωπίαν ὅση· ἐπειδὴ γὰρ μεγάλη τις ἔμελλε δίδοσθαι χάρις τοῖς ἀνθρώποις, βουλόμενος μὴ χάριτι αὐτὸ ποιῆσαι, ἀλλ' ὡς ὀφειλέτης, παρασκευάζει πρῶτον ἄνθρωπον τὸν υἱὸν τὸν ἑαυτοῦ ἐπιδοῦναι ὑπὲρ τοῦ πράγματος τοῦ Θεοῦ, ἵνα μηδὲν δόξῃ μέγα ποιεῖν, τὸν ἑαυτοῦ ἐπιδοὺς υἱὸν, εἴ γε ἄνθρωπος, πρὸ αὐτοῦ τοῦτο ἐποίησεν, ἵνα μὴ χάριτι νομισθῇ τοῦτο μόνον ποιεῖν, ἀλλ' ὀφειλῇ.

(Θεόδωρος.) Θεόδωρος δὲ *φησίν· εἰς τὸ "ἐν παραβολῇ ἐκο- "μίσατο," τοῦτο λέγει, ὅτι ἀκολούθως ἔτυχεν τῇ ἑαυτοῦ πίστει· τῇ γὰρ ἀναστάσει πιστεύσας, διὰ συμβόλων τινῶν ἀποθανόντα αὐτὸν ἐκομίσατο· τὸ γὰρ ἐν πολλῇ τοῦ θανάτου προσδοκίᾳ γενό-*

μενον μηδὲν παθεῖν, τοῦ ἀληθῶς ἀναστησομένου σύμβολον ἦν, ὅσον τοῦ θανάτου πρὸς βραχὺ γευσάμενος, ἀνέστη μηδὲν ὑπὸ τοῦ θανάτου παθών· τὸ γοῦν "ἐν παραβολῇ" ἀντὶ τοῦ ἐν συμβόλοις.

(Σευηριανοῦ.) Σευηριανὸς δὲ ὁμοίως τῷ μακαρίῳ Ἰωάννῃ, πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ· πρότερον ἔθηκεν τὸν Ἰακὼβ, εἶτα τὸν Ἠσαῦ, οὐ κατὰ τὴν τῆς γενέσεως ἀκολουθίαν, ἀλλὰ κατὰ τὴν τῆς εὐλογίας τάξιν.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησί· "πολλοὶ," φησὶ, "προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ "οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν." ἆρα πάντα τὰ μέλλοντα ᾔδεσαν οἱ δίκαιοι; καὶ σφόδρα· εἰ γὰρ διὰ τοῦτο οὐκ ἀπεκαλύπτετο ὁ υἱὸς, διὰ τὴν ἀσθένειαν τῶν μὴ δυναμένων αὐτὸν δέξασθαι, τοῖς ἐν ἀρετῇ διαλάμπουσιν εἰκότως ἀπεκαλύπτετο· τοῦτο καὶ ὁ Παῦλός φησιν, ὅτι τὰ μέλλοντα ᾔδεσαν, τουτέστι τὴν ἀνάστασιν τοῦ Χριστοῦ· ἢ οὐ τοῦτο, φησὶν, ἀλλὰ πίστει περὶ μελλόντων· οὐ τοῦ μέλλοντος αἰῶνος, ἀλλὰ περὶ μελλόντων τῶν ἐνταῦθα· πῶς γὰρ ἄνθρωπος καθήμενος ἐν ξένῃ τοιαύτας εὐλογίας ἐδίδου; ἀλλὰ πάλιν ἐπέτυχεν εὐλογίας, καὶ οὐκ ἔλαβεν αὐτήν. ὁρᾷς ὅτι ὅπερ ἔφην, ἐπὶ μὲν τοῦ Ἀβραὰμ καὶ ἐπὶ τοῦ Ἰακὼβ ἔστιν εἰπεῖν, ὅτι οὐκ ἀπώναντο τῆς εὐλογίας, ἀλλ' εἰς ἐγγόνους ἐξῆλθε τὰ τῶν εὐλογιῶν, αὐτὸς δὲ τῶν μελλόντων ἔτυχεν· εὑρίσκομεν γὰρ τὸν ἀδελφὸν μᾶλλον ἀπολελαυκότα· ὁ μὲν γὰρ ἐν δουλείᾳ καὶ θητείᾳ καὶ κινδύνοις καὶ ἐπιβουλαῖς καὶ ἀπάταις καὶ φόβοις τὸν ἅπαντα διεγένετο χρόνον· ἐρωτώμενός τε παρὰ τοῦ Φαραὼ, φησίν· "μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου γεγόνασιν," ἐκεῖνος δὲ ἐν αὐθεντείᾳ καὶ ἀδείᾳ πολλῇ, καὶ μετὰ ταῦτα ἦν αὐτῷ φοβερός· ποῦ οὖν ἐξεβλήθησαν αἱ εὐλογίαι, ἀλλ' ἢ ἐν τῷ μέλλοντι; ὁρᾷς ὅτι ἄνωθεν οἱ πονηροὶ τῶν ἐνταῦθα ἀπέλαυον, οἱ δὲ δίκαιοι τοὐναντίον; οὐ μὴν πάντες. ἰδοὺ γὰρ ὁ Ἀβραὰμ δίκαιος ἦν, καὶ ἀπέλαυσεν καὶ τῶν ἐνταῦθα, πλὴν μετὰ θλίψεως καὶ πειρασμῶν· εἰ δὲ τότε ἐν θλίψει οἱ δίκαιοι, πολλῷ μᾶλλον νῦν· προτίθησι δὲ τὸν Ἰακὼβ τοῦ Ἠσαῦ, ἀπὸ τῆς ἀρετῆς.

21 Πίστει, Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ

εὐλόγησεν, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

Ἐνταῦθα χρὴ θεῖναι τὰς εὐλογίας ὅλας, ἵνα καὶ ἡ πίστις καὶ ἡ προφητεία αὐτοῦ κατάδηλος γένηται· "καὶ προσεκύνησεν," φησὶν, "ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ·" ἐνταῦθα, φησὶν, οὐ μόνον εἶπεν, ἀλλὰ καὶ ἐθάρρει τοῖς λεγομένοις· ἐπειδὴ γὰρ ἔμελλεν ἀπὸ τοῦ Ἐφραὶμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διὰ τοῦτο, φησὶ, "καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ," τουτέστιν καὶ γέρων ὢν ἤδη προσκυνεῖ τῷ Ἰωσὴφ, τὴν παντὸς τοῦ λαοῦ προσκύνησιν δηλῶν τὴν ἐσομένην αὐτῷ· καὶ διὰ τοῦτο ἐξέβη μὲν ἤδη, ὅτε αὐτῷ οἱ ἀδελφοὶ προσεκύνησαν· ἐκβήσεσθαι δὲ ἔμελλεν ὕστερον διὰ τῶν δέκα φυλῶν· πίστεως οὖν ἐστι μόνης τὰ κατὰ τὸν Ἰακώβ· καὶ ὁ Ἰωσὴφ δὲ τούτων ἀκούσας, καὶ τῆς ὑποσχέσεως τοῦ Θεοῦ τῆς πρὸς τὸν Ἀβραὰμ, "σοὶ δώσω καὶ τῷ σπέρματί "σου τὴν γῆν ταύτην," ἐν ἀλλοτρίᾳ ὢν καὶ οὐδέπω ὁρῶν ἐκβεβηκυῖαν τὴν ὑπόσχεσιν, οὕτως ἐπίστευσεν, ὡς καὶ περὶ τῆς ἐξόδου εἰπεῖν, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐντείλασθαι, καὶ τοὺς ἄλλους ἐνάγων εἰς πίστιν, ὥστε προσδοκᾷν τὴν ἐπάνοδον.

23 Πίστει, Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ.

Πάλιν αὔξει τὴν παράκλησιν, εἰς πρόσωπα εὐτελῆ κατάγων τὸ πρᾶγμα· καὶ ἄρχεται ἀπὸ τῶν γονέων τοῦ Μωϋσέως, ἀσήμων τινῶν ἀνδρῶν, καὶ οὐδὲν τοσοῦτον ἐχόντων ὅσον ὁ παῖς· διὰ τοῦτο καὶ προϊὼν αὔξει τὴν ἀτοπίαν, καὶ πόρνας γυναῖκας καὶ χήρας καταλέγων, "πίστει, Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθή- "σασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης."

Καὶ οὐ μόνον τῆς πίστεως, ἀλλὰ καὶ τῆς ἀπιστίας τίθησι τὰ ἐπίχειρα, ὡς ἐπὶ τοῦ Νῶε· τέως δὲ περὶ τῶν γονέων τοῦ Μωϋσέως ἀναγκαῖον εἰπεῖν· πόθεν οὗτοι προσεδόκησαν σῶσαι τὸ παιδίον; ἀπὸ πίστεως· εἶδον γὰρ, φησὶν, ἀστεῖον τὸ παιδίον, αὐτὴ ἡ ὄψις αὐτοὺς πρὸς τὴν πίστιν ἐπεσπάσατο· οὕτως ἄνωθεν καὶ ἐξ αὐτῶν σπαργάνων πολλὴ τῷ δικαίῳ χάρις ἐπεκέχυτο, οὐ τῆς φύσεως τοῦτο ἐργαζομένης, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ, ἣ καὶ τὴν βάρ-

βαρον ἐκείνην τὴν Αἰγυπτίαν διήγειρε καὶ ἀνέρρωσεν, καὶ εἷλεν καὶ ἐπεσπάσατο· καί τοι γε ἡ πίστις οὐχὶ καινὴν εἶχεν ἐπὶ τούτων τὴν ὑπόθεσιν· τί γὰρ ἦν ἀπὸ τῆς ὄψεως πιστεῦσαι; ἀλλ' ὑμεῖς, φησὶν, ἀπὸ πραγμάτων πιστεύετε, καὶ πολλὰ τῆς πίστεως ἐνέχυρα ἔχοντες· τὸ γὰρ μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων προσδέξασθαι, καὶ ὅσα τοιαῦτα, πίστεως ἦν καὶ ὑπομονῆς.

Καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως.

Καί τοιγε ἐκεῖνος ἐνήργει· τοῦτο δὲ ἁπλῶς ψιλή τις ἦν προσδοκία.

24 Πίστει, Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι
25 υἱὸς θυγατρὸς Φαραώ· μᾶλλον ἑλόμενος συγκακουχεῖ-
σθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας
26 ἀπόλαυσιν, μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου
θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ
εἰς τὴν μισθαποδοσίαν.

Ὡσανεὶ ἔλεγε πρὸς αὐτοὺς, οὐδεὶς ὑμῶν ἀφῆκεν βασίλεια, καὶ βασίλεια λαμπρὰ, οὐδὲ θησαυροὺς τοσούτους, οὐδὲ ἐξὸν εἶναι βασιλέως υἱὸν κατεφρόνησε τούτου, καθὼς ὁ Μωϋσῆς ἐποίησεν· οὐ γὰρ ἁπλῶς εἶπεν ἀφῆκεν, ἀλλ' "ἠρνήσατο," τουτέστιν, ἐμίσησεν, ἀπεστράφη· καὶ οὐκ εἶπεν "μείζονα πλοῦτον ἡγησάμενος τῶν "Αἰγύπτου θησαυρῶν," τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς, ἀλλὰ τί; "τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ·" τὸ γὰρ διὰ Χριστὸν ὀνειδίζεσθαι βέλτιον ἡγήσατο τοῦ μὴ ἀνίεσθαι· οὕτω καὶ τοῦτο αὐτὸ καθ' ἑαυτὸ μισθὸς ἦν· "μᾶλλον ἑλόμενος," φησὶν, "συγκακου-"χεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ·" ὑμεῖς μὲν γὰρ ὑπὲρ ὑμῶν αὐτῶν πάσχετε, ἐκεῖνος δὲ ὑπὲρ ἄλλων εἵλετο, καὶ ἑκὼν ἑαυτὸν ἔρριψεν εἰς τοσούτους κινδύνους, ἐξὸν αὐτῷ καὶ εὐσεβεῖν καὶ ἀπολαύειν τῶν ἀγαθῶν· ἢ πρόσκαιρον, φησὶν, "ἔχειν ἁμαρτίας ἀπόλαυσιν·" ἁμαρτίαν εἶπεν, τὸ μὴ θελῆσαι τοῖς ἄλλοις συγκακουχηθῆναι, μέγα ἀγαθὸν τὴν κακουχίαν ἡγούμενος· τί ἐστι "τὸν ὀνειδισμὸν "τοῦ Χριστοῦ;" τουτέστι τὸ ὀνειδίζεσθαι τοιαῦτα οἷα ὑμεῖς, τὸν ὀνειδισμὸν ὃν ὁ Χριστὸς ὑπέμεινεν· ὥσπερ αὐτὸς ὠνειδίζετο καὶ ἤκουεν, "εἰ υἱὸς εἶ τοῦ Θεοῦ" ὑπὸ τούτων, ὑπὲρ ὧν ἐσταυροῦτο· ὅταν τις παρ' ὧν εὐεργετῇ ὀνειδίζεται· ἐνταῦθα αὐτοὺς ἀνέ-

στησεν, δεικνὺς ὅτι καὶ ὁ Χριστὸς ταῦτα ἔπαθεν, καὶ ὁ Μωϋσῆς παρὰ τῶν ἰδίων, παρ' ὧν καὶ ὑμεῖς.

27 Πίστει, κατέλιπεν Αἴγυπτον μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησεν.

Καὶ μὴν ἡ γραφὴ τοὐτό φησιν, ὅτι ἀκούσας ἐφοβήθη, καὶ διὰ τοῦτο φυγῇ τὴν σωτηρίαν ἐπορίσατο· πρόσεχε δὲ καὶ τῷ εἰρημένῳ, τὸ "μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως·" φοβουμένου γὰρ ἦν, μὴ ἅψασθαι τῆς προστασίας· τὸ μέντοι ἅψασθαι πάλιν, τῷ Θεῷ τὸ πᾶν ἐπιτρέποντος ἦν· οὐ γὰρ εἶπεν ὅτι ζητεῖ με καὶ περιεργάζεται, καὶ οὐκ ἀνέχομαι πάλιν τῶν αὐτῶν ἅψασθαι, ὥστε καὶ τὸ φυγεῖν πίστεως ἦν, ὥστε μὴ εἰς προὖπτον ἑαυτὸν κίνδυνον ἐμβαλεῖν· τοῦτο γὰρ λοιπὸν πειράζοντος ἦν, τὸ ἅλλεσθαι εἰς μέσους κινδύνους καὶ λέγειν, ἴδωμεν εἰ σώζει με ὁ Θεός· ταῦτα δὲ πάντα γέγονεν, ὅτι τὸν ἀόρατον ὡς ὁρῶν ἐκαρτέρει.

28 Πίστει, πεποίηκε τὸ πάσχα, καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν.

Τί ἐστιν "ἡ πρόσχυσις τοῦ αἵματος;" ἀρνειὸς ἐθύετο κατ' οἰκίαν, καὶ τὸ αἷμα ἐπεχρίετο ταῖς φλιαῖς, καὶ τοῦτο ἦν ἀποτείχισις τῆς ἀπωλείας τῆς Αἰγυπτίας· εἰ τοίνυν αἷμα ἀρνειοῦ ἐν μέσοις Αἰγυπτίοις, καὶ ἐπ' ὀλέθρῳ τοσούτῳ ἀσινεῖς ἐφύλαττε τοὺς Ἰουδαίους, πολλῷ μᾶλλον ἡμᾶς διασώσει οὐκ ἐπὶ φλιῶν, ἀλλ' ἐν ταῖς ψυχαῖς τὸ αἷμα ἐπιχριομένους τοῦ Χριστοῦ. ἐφοβήθη τὸ αἷμα ὁ Ἄγγελος· ᾔδει γὰρ τίνος ἦν τύπος· ἔφριξε τὸν δεσποτικὸν θάνατον ἐννοήσας, ὑμεῖς δὲ αὐτοῦ τοῦ Χριστοῦ ἔχοντες τὸ αἷμα, οὐ θαρρεῖτε;

29 Πίστει, διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς γῆς.

Πάλιν λαὸν ὁλόκληρον παραβάλλει λαῷ, ἵνα μὴ λέγωσιν ὅτι οὐ δυνάμεθα κατὰ τοὺς ἁγίους γενέσθαι.

Ἧς πεῖραν λαβόντες Αἰγύπτιοι κατεπόθησαν.

Πῶς; πίστει· ὅτι ἤλπισαν διὰ τῆς θαλάττης διαβήσεσθαι· καὶ διὰ τοῦτο ηὔχοντο, μᾶλλον δὲ Μωϋσῆς ἦν ὁ εὐχόμενος, καὶ ἡ αὐτὴ τοῖς μὲν ὑπεστρώννυτο καθάπερ γῆ, τοὺς δὲ κατεπόντιζε

καθάπερ θάλασσα· ἐκεῖ μὲν τῆς φύσεως ἐπελανθάνετο, ἐνταῦθα δὲ καὶ ὡπλίζετο κατ᾽ αὐτῶν.

30 Πίστει, τὰ τείχη Ἱεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.

Οὐ γὰρ δὴ σαλπίγγων ἠχὴ λίθους οἷά τε καταβάλλειν ἐστὶ, κἂν μυρία τις ἔτη σαλπίζῃ, ἀλλ᾽ ἡ πίστις πάντα δύναται. ὁρᾷς πανταχοῦ οὐχὶ ἀκολουθίᾳ φύσεως νόμῳ μεταβαλλομένην αὐτὴν ἀλλὰ παρὰ προσδοκίαν ἅπαντα γενόμενα; οὐκοῦν καὶ ἐνταῦθα παρὰ προσδοκίαν ἅπαντα γίνεται· ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγεν ὅτι δεῖ πιστεύειν ταῖς ἐλπίσι ταῖς μελλούσαις, εἰκότως τοῦτον ἅπαντα λόγον ἐκίνησεν, δεικνὺς, ὅτι οὐ νῦν ἀλλὰ καὶ ἐξ ἀρχῆς πάντα τὰ θαύματα διὰ ταύτης ἤνυσται καὶ κατώρθωται.

31 Πίστει, Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ᾽ εἰρήνης.

Οὐκοῦν αἰσχρὸν εἰ καὶ πόρνης ἀπιστότεροι φανείητε; καίτοι γε ἐκείνη τῶν ἀνδρῶν ἤκουεν ἀπαγγελλόντων, καὶ εὐθέως ἐπίστευσε· τοιγαροῦν καὶ τὸ τέλος ἐπηκολούθησεν· πάντων γὰρ ἀπολωλότων μόνη διεσώθη.

32 Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος.

Τελευτήσας εἰς τὴν πόρνην καὶ ἐντρέψας διὰ τῆς τοῦ προσώπου ποιότητος, οὐκέτι πλατύνει τὰς ἱστορίας, ἵνα μὴ δόξῃ μακρηγορεῖν· οὐ μὴν αὐτὰς ἀφίησιν, ἀλλ᾽ ἐπιτρέχει σφόδρα συνετῶς ἀμφότερα, καὶ τὸν κόρον φεύγων, καὶ τὴν πυκνότητα οὐ λυμαινόμενος· ὅταν γάρ τι ἰσχυρῶς ἀγωνίζηται, ἂν ἐπιμένῃ ἀγωνιζόμενος, ἀποκναίει τὸν ἀκροατήν.

Περὶ Γεδεὼν, Βαράχ τε καὶ Σαμψὼν καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν.

Ἐγκαλοῦσι τῷ Παύλῳ τινὲς, εἰ τὸν Βαρὰχ καὶ τὸν Σαμψὼν καὶ τὸν Ἰεφθάε ἐν τούτοις τίθησι τοῖς τόποις· τί λέγεις; ὁ τὴν πόρνην θεὶς, τούτους οὐ θήσει; μὴ γάρ μοι τὸν ἄλλον αὐτῶν βίον εἴπῃς, ἀλλ᾽ εἰ μὴ ἐπίστευσαν καὶ ἔλαμψαν ἐν τῇ πίστει.

33 Καὶ τῶν προφητῶν· οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας.

Οἱ περὶ Γεδεών.

Εἰργάσαντο δικαιοσύνην.

Ἐνταῦθα περὶ τοῦ Δαβὶδ οἶμαι αὐτὸν λέγειν.

Ἐπέτυχον ἐπαγγελιῶν.

Ὧν ἔλεγεν, ὅτι τὸ σπέρμα αὐτοῦ καθίσει ἐπὶ τὸν θρόνον αὐτοῦ.

34 Ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας.

Ὁρᾷς πῶς ἐν αὐτῷ τῷ θανάτῳ ἦσαν, ὁ Δανιὴλ καλούμενος, ὑπὸ τῶν λεόντων, οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ διατρίβοντες, οἱ Ἰσραηλῖται, ὁ Ἀβραὰμ, ὁ Ἰσαὰκ, ὁ Ἰακὼβ ἐν διαφόροις πειρασμοῖς, καὶ οὐδὲ οὕτως ἀπέγνωσαν· τοῦτο γὰρ πίστις, ὅταν τὰ πράγματα πρὸς τὸ ἐναντίον ἐκβαίνῃ, τότε δεῖ πιστεύειν, ὅτι οὐδὲν ἐναντίον γέγονεν, ἀλλὰ πάντα ἀκόλουθα· "ἔφυγον στόματα μαχαίρας·" περὶ τῶν τριῶν πάλιν οἶμαι παίδων λέγειν αὐτόν.

Ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας.

Τὰ κατὰ τὴν ἐπάνοδον τὴν ἀπὸ Βαβυλῶνος ἐνταῦθα αἰνίττεται· "ἀπὸ ἀσθενείας" γὰρ, τουτέστιν ἀπὸ αἰχμαλωσίας· τίς γὰρ ἂν ἤλπισεν ἀπὸ Βαβυλῶνος ἐπανήκειν αὐτοὺς, καὶ ἰσχυροὺς γενήσεσθαι καὶ ἐκκλίναι παρεμβόλας ἀλλοτρίων; ἀλλ' ἡμῖν οὐδὲν τοιοῦτο συνέβη, φησὶν, ἀλλὰ ταῦτα τύποι τῶν μελλόντων εἰσίν.

35 Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν.

Τὰ κατὰ τοὺς προφήτας ἐνταῦθα λέγει, τὸν Ἐλισσαῖον, τὸν Ἠλίαν, νεκροὺς γὰρ ἀνέστησαν.

Ἕτεροι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν.

Διὰ τί γὰρ, εἰπέ μοι, παρὸν ζῆσαι, οὐκ ἐβουλήθησαν; οὐκ ἄρα κρείττονα προσεδόκων ζωήν; καὶ οἱ τοὺς ἄλλους ἀναστήσαντες αὐτοὶ εἵλοντο ἀποθανεῖν, ὥστε κρείττονος ἀναστάσεως τυχεῖν, οὐ τοιαύτης οἵας τὰ παιδία τῶν γυναικῶν· ἐνταῦθά μοι δοκεῖ καὶ τὸν Ἰωάννην αἰνίττεσθαι καὶ τὸν Ἰάκωβον· ἀποτυμπανισμὸς γὰρ τοῦτο λέγεται, ὁ ἀποκεφαλισμός.

36 Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων καὶ φυλακῆς.

Ἐν τούτοις τελευτᾷ, ἐν οἰκειοτέροις· μάλιστα γὰρ ταῦτα φέρει τὴν παράκλησιν, ὅταν τῆς αὐτῆς ὑποθέσεως ἡ λύπη ᾖ, μὴ ᾖ δὲ

ἐκ τῆς αὐτῆς ὑποθέσεως ταχθεῖσα· διὰ τοῦτο εἰς τοῦτο τὸν λογον ἐτέλεσεν, δεσμὰ λέγων, φυλακὰς, μάστιγας, λιθασμοὺς, τὰ κατὰ Στέφανον, τὰ κατὰ τὸν Ζαχαρίαν αἰνιττόμενος· διὸ ἐπήγαγεν,

37 Ἐν φόνῳ μαχαίρας ἀπέθανον.

Τί ἐστι; ποῖον ἐπαινεῖς; ποῖον θαυμάζεις; τοῦτον ἢ ἐκεῖνον; διό φησι, τοῦτο μὲν ὑμῖν οἰκεῖον, ἐκεῖνο δὲ ὅτι καὶ πρὸς αὐτὴν τὴν τελευτὴν ἴσχυεν ἡ πίστις, καὶ τύπος τῶν μελλόντων ἐστίν· εἰπὼν δὲ τὰ κατὰ τοὺς Ἀποστόλους ὅτι "ἐν φόνῳ μαχαίρας ἀπέθανον," ἐλιθάσθησαν, ἄνεισι πάλιν ἐπὶ τὸν Ἠλίαν, τὸν τὰ αὐτὰ πάθοντα τούτοις· ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς οὐδέπω περὶ τῶν Ἀποστόλων δόξαν ἔχειν τοσαύτην, ἀπὸ τοῦ ἀναληφθέντος καὶ μάλιστα θαυμασθέντος φέρει τὴν παράκλησιν καὶ τὴν παραμυθίαν.

Περιῆλθον γὰρ ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν,
38 ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἄξιος
ἦν ὁ κόσμος.

Οὕτως οὐδὲ ἱμάτιον εἶχον, φησὶν, ὑπερβολῇ θλίψεως· οὐ πόλιν, οὐκ οἰκίαν, οὐ καταγώγιον, οὐ στάσιν· οὐδὲ γὰρ τὴν ἐρημίαν καταλαβόντες ἡσυχίαν ἦγον, ἀλλὰ καὶ ἐκεῖθεν ἔφευγον, καὶ ἐκεῖθεν ἠλαύνοντο.

Ἐπ' ἐρημίαις γὰρ πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

Καθάπερ ἐπὶ τοῖς αἰσχίστοις ἑαλωκότες, καὶ οὐδὲ τὸν ἥλιον ὁρᾷν ἄξιοι· ἀλλ' ἔδει φεύγειν ἀεὶ καὶ καταδύσεις ἐπιζητεῖν· τίς οὖν ὁ μισθὸς τῆς τοσαύτης ἀμοιβῆς; οὐδέπω ἀπέλαβον, ἀλλ' ἔτι μένουσιν· ὑμεῖς δὲ ἐν τῷ ἀγῶνι ὄντες ἀσχάλλετε, ἐνοήσατε καὶ ὑμεῖς τί ἐστι καὶ ὅσον ἐστὶν τὸν Ἀβραὰμ καθῆσθαι καὶ τὸν Ἀπόστολον Παῦλον, περιμένοντας πότε σὺ τελειωθῇς, ἵνα δυνηθῶσι τότε λαβεῖν τὸν μισθόν· ὁρᾷς ὅτι ἡμεῖς πλεονεκτοῦμεν αὐτῶν· περὶ ἡμῶν γὰρ, φησὶν, ὅτι κρεῖττόν τι προσβλέψατο ὁ Θεὸς, ἵνα μὴ δοκῶσι πλεονεκτεῖν ἡμῶν τῷ πρῶτοι στεφανοῦσθαι, ἵνα ὥρισε πᾶσι τῶν στεφάνων τὸν καιρόν· καὶ οὐκ εἶπεν ἵνα μὴ χωρὶς ἡμῶν στεφανωθῶσιν, ἀλλ' "ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι," προέλαβον κατὰ τοὺς ἀγῶνας, ἀλλ' οὐ προλαμβάνουσι κατὰ τοὺς στεφάνους, οὐκ ἐκείνους ἠδίκησεν, ἀλλ' ἡμᾶς ἐτίμησεν.

ΚΕΦ. ΙΖ.

Περὶ ὑπομονῆς ἐν ἀκολουθήσει Χριστοῦ.

1 Τοιγαροῦν ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων.

Πολλαχοῦ ἡ γραφὴ τὴν παραμυθίαν λαμβάνει τὴν ἐν τοῖς κακοῖς, ἀπὸ τῶν συμβαινόντων πραγμάτων, ὡς ὅταν λέγῃ ὁ προφήτης, ἀπὸ καύματος καὶ ἀπὸ σκληρότητος, καὶ ἀπὸ ὑετοῦ· τοῦτο γοῦν καὶ ἐνταῦθα λέγει, ὅτι ἡ μνήμη τῶν ἁγίων ἐκείνων ὥσπερ νέφος φλεγόμενον ὑπὸ ἀκτῖνος θερμοτέρας, οὕτως τὴν ὑπὸ τῶν κακῶν καταπονουμένην ἀνίστησι καὶ ἀνακτᾶται ψυχήν· καὶ οὐκ εἶπεν, ὑπεραιωρούμενον, ἀλλὰ "περικείμενον ἡμῖν," ὃ ἐκείνου πλέον, ὥστε ἐν μείζονι εἶναι ἀδείᾳ. ποῖον νέφος μαρτύρων; εἰκότως μάρτυρας οὐκ ἐν τῇ καινῇ λέγει μόνον, ἀλλὰ καὶ τοὺς ἐν τῇ παλαιᾷ· καὶ γὰρ καὶ οὗτοι ἐμαρτύρησαν τῇ τοῦ Θεοῦ μεγαλειότητι.

(Σευηριανοῦ.) Σευηριανὸς δέ φησιν εἰς τὸ "ὧν οὐκ ἦν ἄξιος "ὁ κόσμος·" οὐ περὶ πάντων λέγει τοῦτο, ἀλλὰ περὶ τούτων τῶν τελευταίων, οὓς καὶ μάρτυρας οἶδεν, ἐπιμέμνηται τῶν κλινάντων παρεμβολὰς, καὶ διὰ τὸ χρήσιμον τοῦ λαοῦ εἰληφότων χάριν.

(Θεόδωρος.) Θεόδωρος δέ φησιν· οὐχ ἁπλῶς εἶπεν ὅτι εἷς πᾶσι τῆς ἀνταποδόσεως καιρός· οὐ γὰρ τοῦτο ἦν αὐτῷ προκείμενον· ἀλλ' ἵνα δείξῃ ὅτι καὶ τοσαῦτα μὲν πεποιηκότες, τοσαῦτα δὲ καὶ πεπονθότες διὰ πίστεως, ὅμως ἔτι περιμένουσι τῶν ἐπαγγελθέντων τὴν ἀπόδοσιν, οὐ δυσχεραίνοντες, εἴ γε μεθ' ἡμῶν κομιοῦνται τῶν ὑστέρων, ὅπερ τὴν ὑπομονὴν αὐτῶν ἐδείκνυ μείζονα· εἴ περ δὴ καὶ μετὰ θάνατον ἔτι περιμένουσι τοὺς ἀγωνίσασθαι ὁμοίως αὐτοῖς ὀφείλοντας, ὥστε μετ' ἐκείνων τυχεῖν τῆς τῶν καλῶν ἀπολαύσεως· μαρτύρων δὲ ἐνταῦθα, οὐ τῶν πεπονθότων λέγει, ἀλλὰ τῶν μαρτυρούντων πρὸς τὴν πίστιν.

Ὄγκον ἀποθέμενοι πάντα.

Πάντα τίνα, τουτέστιν τὸν ὕπνον, τὴν ὀλιγωρίαν, τοὺς λογισμοὺς τοὺς εὐτελεῖς· πάντα τὰ ἀνθρώπινα.

Καὶ τὴν εὐπερίστατον ἁμαρτίαν.

"Εὐπερίστατον" ἤτοι τὴν εὐκόλως περιϊσταμένην ἡμᾶς, ἢ τὴν εὐκόλως περίστασιν δυναμένην παθεῖν· μᾶλλον δὲ τοῦτο· ῥᾴδιον γὰρ ἐὰν θέλωμεν, περιγενέσθαι τῆς ἁμαρτίας.

(Σευηριανοῦ.) Σευηριανὸς δέ φησιν, εἰς τὸ "ὄγκον ἀποθέ-"μενοι πάντα·" ὄγκος ἐστὶν ἡ ἁμαρτία τῆς κατὰ τὴν σάρκα ἀπολαύσεως, ἐξ ἧς ἡ εὐπερίστατος ἁμαρτία τίκτεται· "εὐπερί-"στατον" δὲ εἶπε τὴν ἁμαρτίαν, τὴν εὐκόλως ἡμᾶς περιϊσταμένην, καὶ ἄγουσαν εἰς τὸ ἑαυτῆς θέλημα.

Ἄλλος δέ φησιν, οὕτω δεῖ ἀναγινώσκειν· "τοιγαροῦν καὶ ἡμεῖς "τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος, μαρτύρων ὄγκον," τουτέστι τὸν τῶν τοσούτων μαρτυριῶν ὄγκον, ἀποθέμενοι πάντα καὶ τὴν "εὐπερίστατον ἁμαρτίαν·" "δι' ὑπομονῆς, φησὶ, τρέχο-"μεν, τὸν προκείμενον ἡμῖν ἀγῶνα·" ὃ πάντων κουφότερον ἦν τὸ τοῦ δρόμου, τοῦτο εἰς μέσον τέθεικεν, καὶ οὐκ εἶπεν, προσθῶμεν τῷ δρόμῳ, ἀλλ' ἐν αὐτῷ τούτῳ ὑπομείνωμεν, μὴ ἐκλυθῶμεν· εἶτα τὸ κεφάλαιον τῆς παρακλήσεως, ὃ καὶ πρῶτον καὶ ὕστερον τίθησι, τὸν Χριστὸν, "ἀφορῶντες," φησὶν, "εἰς τὸν τῆς πίστεως ἀρχη-"γὸν καὶ τελειωτὴν Ἰησοῦν·" ὅπερ οὖν καὶ αὐτὸς ὁ Χριστὸς τοῖς μαθηταῖς συνεχῶς ἔλεγεν, "εἰ τὸν οἰκοδεσπότην, Βεελζεβοὺλ "ἀπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ;" καὶ πάλιν· "οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν "κύριον αὐτοῦ·" εἰ βουλόμεθα οὖν, φησὶν, μαθεῖν καλῶς τρέχειν, πρὸς τὸν Κύριον ὁρῶμεν, τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν· τί ἐστι τοῦτο; τουτέστιν αὐτὸς ἡμῖν τὴν πίστιν ἐνέθηκεν· αὐτὸς καὶ τὸ τέλος ἐπιθήσει· καὶ γὰρ ὃ πρὸς τοὺς μαθητὰς ἔλεγεν, "οὐχ ὑμεῖς ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς·" καὶ Παῦλος δέ φησι, "τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην."

2 Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινεν σταυρὸν, αἰσχύνης καταφρονήσας.

Τουτέστιν, ἐξὸν παθεῖν αὐτῷ μηδὲν, εἴγε ἐβούλετο· "οὐδὲ γὰρ "ἁμαρτίαν ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ·" καὶ ὥς αὐτός πού φησιν, "ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ "ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν·" εἰ τοίνυν ὁ μηδεμίαν ἔχων

ἀνάγκην τοῦ σταυρωθῆναι, ἐσταυρώθη ἡμῶν ἕνεκεν· πόσῳ μᾶλλον ἡμᾶς δίκαιον πάντα γενναίως ὑπομένειν; τί δέ ἐστιν "αἰσχύνης "καταφρονήσας;" τὸν ἐπονείδιστον θάνατον εἵλετο, φησίν· ἔστω γὰρ, ἀπέθνησκεν· τί καὶ ἐπονειδίστως; δι' οὐδὲν ἕτερον, ἀλλ' ἡμᾶς διδάσκων μηδὲν ἡγεῖσθαι τὴν παρὰ ἀνθρώπων δόξαν· τί οὖν τὸ τέλος; "ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν·" ὁρᾷς τὸ ἔπαθλον; ὅπερ καὶ Παῦλος γράφων φησί· "διὸ καὶ ὁ Θεὸς αὐτὸν "ὑπερύψωσεν καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, "ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ·" τὸ κατὰ σάρκα, φησί· μάλιστα μὲν οὖν εἰ μηδὲν ἦν ἔπαθλον, ἱκανὸν τὸ ὑπόδειγμα, πεῖσαι πάντας ἑλέσθαι· νυνὶ δὲ καὶ ἔπαθλα ἡμῖν πρόκειται οὐ τὰ τυχόντα· διὰ τὰ σκώμματα οὖν καὶ τὰς λοιδορίας καὶ τὰς ὕβρεις, καὶ τὰς διώξεις, καὶ πάντα ὅσα ἤκουσέ τε καὶ ἔπαθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ταῦτα εὐεργετῶν, καὶ πᾶσαν νόσον καὶ μαλακίαν θεραπεύων καὶ ὡς Θεὸς θαυματουργῶν, φησιν,

2 Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινεν σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν. καὶ ἀναλογίσασθε τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι.

Εἰ γὰρ τὰ τῶν πλησίον πάθη διανίστησιν ἡμᾶς, τὰ τοῦ δεσπότου πόσην ἡμῖν οὐ παρέξει προθυμίαν; καὶ παρεὶς πάντα εἰπεῖν, διὰ τῆς ἀντιλογίας τὸ πᾶν ἐδήλωσε, καὶ τῷ τοιαύτην προσθεῖναι.

Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥ τις ὑμῖν ὡς υἱοῖς διαλέγετας.

Εἴδη παρακλήσεως δύο, ἐναντία ἀλλήλοις εἶναι δοκοῦντα, πολλὴν δὲ ἑαυτοῖς συνεισφέροντα τὴν ἰσχύν· ἅπερ ἀμφότερα ἐνταῦθα τέθεικεν· τὸ μὲν γάρ ἐστιν ὅταν πολλὰ λέγωμεν πεπονθέναι τινάς· ἡ γὰρ ψυχὴ διαναπαύεται, ὅταν ἔχῃ τῶν οἰκείων παθῶν μάρτυρας

πολλούς· ὅπερ ἔθηκεν ἀνωτέρω, εἰπὼν, "ἀναμιμνήσκεσθε τὰς "πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμεί-"νατε παθημάτων·" τὸ δὲ ὅταν λέγωμεν ὅτι οὐ μέγα τι πέπονθας, τὸ μὲν τετρυχωμένην αὐτὴν διαναπαύει, καὶ ἀναπνεῖν ποιεῖ, τὸ δὲ ῥαθυμοῦσαν καὶ ὑπτίαν γενομένην ἐπιστρέφει· ἵνα γὰρ μὴ ἐξ ἐκείνης τῆς μαρτυρίας φρόνημα αὐτοῖς τεχθῇ, ὅρα τί ποιεῖ, "οὔπω μέχρις αἵματος ἀντεκατέστητε, πρὸς τὴν ἁμαρτίαν·" ἱκανὸν γὰρ τοῦτο διαναστῆσαι ψυχὴν, ὅταν ἐννοήσῃ ὅτι οὐ πρὸς τὸ πᾶν ἦλθεν, τουτέστιν, οὔπω θάνατον ὑπέστητε, μέχρι χρημάτων ὑμῖν ἡ ζημία, μέχρι δόξης, μέχρι τοῦ ἐλαύνεσθαι· ὁ μέντοι Χριστὸς ὑπὲρ ὑμῶν τὸ αἷμα ἐξέχεεν· ὑμεῖς δὲ οὔπω εἰς κινδύνους ἐνέβητε θάνατον ἀπειλοῦντας.

Καὶ ἐκλέλησθε τῆς παρακλήσεως.

Τουτέστι, καὶ παρήκατε τὰς χεῖρας καὶ ἐξελύθητε· ἐνταῦθα δείκνυσιν καὶ τὴν ἁμαρτίαν σφόδρα πνέουσαν, καὶ αὐτὴν ὁπλιζομένην. τὸ "ἀντεκατέστητε" πρὸς τοὺς ἑστῶτας εἴρηται.

Ἤ τις ὑμῖν ὡς υἱοῖς διαλέγεται, υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος.

Ἐποιήσατο ἀπὸ τῶν πραγμάτων τὴν παράκλησιν ἐκ περιουσίας, καὶ τὴν ἀπὸ τῶν λόγων ἐπάγει· ὁ Θεὸς, φησὶν, ἐστὶν ὁ συγχωρῶν· τοῦτο δὲ οὐ μικρὸν εἰς παράκλησιν, ὅταν μάθωμεν ὅτι τοῦ Θεοῦ ἔργον ἐστὶ, τὰ τοιαῦτα δυνηθῆναι ἐκείνου συγχωροῦντος.

6 **Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται.**

Οὐκ ἔχεις εἰπεῖν ὅτι ἐστί τις δίκαιος θλίψεως χωρὶς, εἰς παιδείαν ὑπομένετε, φησὶν, οὐκ εἰς κόλασιν, οὐδὲ εἰς τιμωρίαν· ἐπειδὴ τοσαῦτα ἐπάθετε κακὰ, νομίζετε ὅτι ἀφῆκεν ὑμᾶς ὁ Θεὸς, εἰ μὴ ἐπάθετε, τότε ἔδει τοῦτο ὑποπτεύειν· εἰ γὰρ πάντα υἱὸν μαστιγοῖ ὃν παραδέχεται, ὁ μὴ μαστιζόμενος ἴσως οὐχ υἱὸς, εἰσὶ μὲν γὰρ μαστιζόμενοι πολλοὶ καὶ πονηροὶ, ἀλλ' ἐκεῖνοι τῆς οἰκείας πονηρίας διδόασι δίκην, καὶ οὐχ ὡς υἱοὶ μαστιγοῦνται, ἀλλ' ὡς κακοὶ κολάζονται· ὑμεῖς δὲ ὡς υἱοί.

8 Εἰ δὲ χωρὶς ἐστὲ παιδείας.

Ὁρᾷς ὅτι ὅπερ ἔφην εἶπεν, ὅτι οὐκ ἔνι μὴ παιδευόμενον εἶναι υἱόν; ὥσπερ γὰρ ἐν ταῖς οἰκίαις τῶν νόθων καταφρονοῦσιν οἱ πατέρες, τῶν δὲ γνησίων δεδοίκασι μὴ ῥαθυμήσωσιν· εἰ τοίνυν τὸ μὴ παιδεύεσθαι τῶν νόθων ἐστὶ, δεῖ χαίρειν ἐπὶ τῇ παιδείᾳ· εἰ δὲ γνησιότητος τοῦτό ἐστιν, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεὸς διὰ τοῦτο αὐτό.

9 Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα.

Εἰ γὰρ τοὺς πατέρας αἰδοῦνται τοὺς σαρκικοὺς ἐκεῖνοι, πῶς τὸν πατέρα τὸν ἐπουράνιον οὐκ αἰδεσθήσεσθε; καί τοι οὐκ ἀπὸ τούτου μόνου ἡ διαφορὰ, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς αἰτίας· ἐκεῖνοι μὲν γὰρ πρὸς τὸ αὐτοῖς δοκοῦν, τουτέστιν ἡδονὴν πληροῦντες πολλάκις· οὐ πανταχοῦ τὸ συμφέρον ὁρῶντες· ἐνταῦθα οὐ διά τι τῶν αὐτοῦ τοῦτο ποιεῖ, ἀλλὰ δι' ὑμᾶς καὶ τὴν ὠφέλειαν μόνην τὴν ὑμετέραν· πάντα γὰρ ποιεῖ, ὥστε γενέσθαι ἡμᾶς δεκτικοὺς τῶν ἀγαθῶν τῶν αὐτοῦ.

10 Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν ἡμᾶς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

Τουτέστιν τῆς καθαρότητος, ὥστε ἀξίους γενέσθαι κατὰ δύναμιν, ἐκεῖνος σπουδάζει, ἵνα λάβητε, καὶ πάντα ποιεῖ ἵνα δῷ ὑμῖν· ὑμεῖς οὐ σπουδάζετε, ἵνα λάβητε· "εἶτα," φησὶ, "τοὺς μὲν τῆς "σαρκὸς ἡμῶν πατέρας ἔχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα, οὐ "πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων καὶ "ζήσομεν;" "πνευμάτων," ἤ τοι τῶν χαρισμάτων, δυναμέων· ἐὰν οὕτως ἀποθνήσκωμεν, φησὶ, τότε ζησόμεθα.

11 Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης.

Καλῶς εἶπεν "οὐ δοκεῖ·" οὐκ ἔστι, φησὶ, λύπη ἡ παιδεία, ἀλλὰ δοκεῖ· πᾶσα δὲ καὶ ἡ ἀνθρωπίνη καὶ ἡ πνευματικὴ, ποία γάρ. λύπη τίκτουσα χαράν· ὥσπερ οὖν οὐδὲ ἡδονὴ τίκτουσα ἀθυμίαν.

Ὕστερον δὲ καρποὺς εἰρηνικοὺς τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν δικαιοσύνης.

Οὐ καρπὸν, ἀλλὰ "καρποὺς," πλῆθος πολὺ "τοῖς δι' αὐτῆς," φησὶ, "γεγυμνασμένοις," ἀντὶ τοῦ τοῖς ἀνασχομένοις ἐπὶ πολὺ καὶ καρτερήσασιν· ἄρα γυμνασία ἐστὶν ἡ παιδεία τὸν ἀθλητὴν ἰσχυρὸν ἐργαζομένη ἐν τοῖς ἀγῶσι καὶ ἀκαταγώνιστον· μὴ τοίνυν ἐκλειψῆτε περὶ τὴν ἀνταπόδοσιν· ὀρθὰ, φησὶ, βαδίζετε, ὥστε μὴ ἐπιταθῆναι τὴν χωλείαν, ἀλλὰ μεταβληθῆναι ἐπὶ τὰ πρότερα· ὁ γὰρ μετὰ χωλείας τρέχων ἐπιτρίβει τὸ κακὸν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

ΚΕΦ. ΙΗ.

Περὶ σωφροσύνης ἕως καιρὸς κατορθώσεως, μὴ ἀποτύχωμεν αὐτῆς ὡς Ἠσαῦ, μὴ εὑρὼν τόπον μετανοίας.

12 *Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε*[q].

Θεόδωρος φησί· ποῦ εἰσιν οἱ λέγοντες, τὸν Ἀπόστολον ἐν ταύτῃ τῇ Ἐπιστολῇ ἀναιρεῖν τὴν μετάνοιαν διὰ τοῦ λέγειν, "ἀδύνατον γὰρ τοὺς φωτισθέντας καὶ τὰ ἑξῆς, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν;" πῶς ἄρα ταῦτα νοοῦσιν; πῶς "τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα" ἀνωρθωθῆναι κελεύει; χωλοῦ δὲ ἴασιν ποίαν βούλεται γενέσθαι, ὁ μετάνοιαν τῶν ἡμαρτηκότων οὐ προσιέμενος; ὅτι γὰρ ταῦτα πιστοῖς γράφει, δῆλον, ἐξ ὧν, φησὶ, πρὸς αὐτοὺς, "ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων."

14 *Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.*

Ὅπερ καὶ ἀνωτέρω ἔλεγεν, "μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν·" τοῦτο καὶ ἐνταῦθα αἰνίττεται, οὐδὲν γὰρ οὕτως

[q] Sacræ scripturæ *τὸ κείμενον* supplevi, quod deerat cum multis aliis ut opinor.

μάλιστα ἐν πειρασμοῖς εὐκαταγωνίστους ποιεῖ καὶ εὐχειρώτους, ὡς τὸ διεσπᾶσθαι· εἰπὲ γάρ μοι, διάσπασον φάλαγγα ἐν πολέμῳ, καὶ οὐδὲ πόνου δεηθήσονται οἱ πολέμιοι, ἀλλὰ δεδεμένους αὐτοὺς λήψονται κατʼ ἰδίαν εὑρόντες, καὶ ταύτῃ ὄντες ἀσθενεστέρους. εἰ δυνατὸν οὖν τὸ ἐξ ὑμῶν, μετὰ πάντων εἰρηνεύετε, μηδὲν τὴν εὐσέβειαν παραβλάπτων, ἀλλʼ ἐν οἷς πάσχεις κακῶς, φέρε γενναίως· μέγα γὰρ ὅπλον ἐν τοῖς πειρασμοῖς ἀνεξικακία. " καὶ τὸν ἁγιασμόν·" ἀντὶ τοῦ τὴν σωφροσύνην καὶ τὴν κοσμιότητα, εἴτε χωρὶς γάμου ἐστὶ, φησὶ, τίς ἁγνὸς μεινάτω, εἴτε ἐν γάμῳ, μὴ πορνευέτω, ἀλλὰ κεχρήσθω τῇ γυναικί· καὶ γὰρ καὶ τοῦτο ἁγιασμός· πῶς; οὐχ ὁ γάμος ἁγιασμὸς, ἀλλʼ ὁ γάμος τηρεῖ τὸν ἀπὸ τῆς πίστεως ἁγιασμὸν, οὐκ ἀφεὶς πόρνῃ προσέχειν· ὁ γὰρ γάμος τίμιος, οὐχ ἅγιος· καθαρὸς ὁ γάμος, οὐ μέντοι καὶ ἁγιωσύνην παρέχει, " οὗ χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον·" ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους λέγει, " μὴ πλανᾶσθε, οὔτε πορνοὶ, οὔτε μοιχοὶ, " οὔτε εἰδωλολάτραι, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεο-" νέκται, οὔτε κλέπται, οὔτε μέθυσοι βασιλείαν Θεοῦ κληρονομή-" σουσι· πῶς γὰρ, ὁ γενόμενος πόρνης σῶμα, πῶς δυνήσεται εἶναι " τοῦ Χριστοῦ;"

15 Ἐπισκοποῦντες, μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ
Θεοῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διʼ
16 αὐτῆς μιανθῶσιν πολλοί· μή τις πόρνος ἢ βέβηλος.

Ὅρα πῶς πανταχοῦ ἑκάστῳ τὴν κοινὴν ἐγχειρίζει σωτηρίαν· " παρακαλοῦντες," φησὶν, " ἀλλήλους, καθʼ ἑκάστην ἡμέραν, " ἄχρις οὗ τὸ σήμερον καλεῖται·" μὴ τοίνυν πάντας ἐπὶ τοὺς διδασκάλους ἐπιρρίπτετε, μὴ πάντας ἐπὶ τοὺς ἡγουμένους· δύνασθε καὶ ὑμεῖς, φησὶ, ἀλλήλους οἰκοδομεῖν· " ἐπισκοποῦντες" οὖν φησὶ, τουτέστιν ἀκριβῶς ἐρευνῶντες, καὶ καταμανθάνοντες ὅπερ ἐστὶν ἐπὶ τῶν ἀσθενῶν, " μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ," τοῦτο ἐν τῷ Δευτερονομίῳ κεῖται· ἔλαβε δὲ αὐτὸ ἀπὸ μεταφορᾶς τῶν φυτῶν, ὃ καὶ ἀλλαχοῦ γράφων λέγει, " μικρὰ ζύμη ὅλον τὸ φύ-" ραμα ζυμοῖ·" οὐκ ἐκείνου μόνον ἕνεκεν τοῦτο βούλομαι, ἀλλὰ καὶ διὰ τὴν ἐξ αὐτοῦ γινομένην βλάβην· καὶ εἰκότως πικρὰν τὴν ἁμαρτίαν ἐκάλεσεν· οὐδὲν γὰρ ὄντως ἁμαρτίας πικρότερον, καὶ

οὐκ εἶπεν "ῥίζα" πικρὰ, ἀλλὰ "πικρίας·" τὴν μὲν γὰρ πικρὰν ῥίζαν ἔστι καρποὺς ἐνέγκαι γλυκεῖς· τὴν δὲ πικρίας ῥίζαν καὶ πηγὴν καὶ ὑπόθεσιν, οὐκ ἔνεστί ποτε γλυκὺν ἐνεγκεῖν καρπὸν, καὶ διὰ ταύτης, φησὶ, μιανθῶσιν οἱ πολλοί· τουτέστιν, τοὺς ἀσελγεῖς ἐκκόπτετε.

16 Μή τις πόρνος ἢ βέβηλος ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ.

Καὶ ποῦ πόρνος ἦν ὁ Ἠσαῦ; οὐ τοῦτό φησιν ὅτι πόρνος ἦν, ἀλλὰ μή τις ὡς Ἠσαῦ βέβηλος, τουτέστιν γαστρίμαργος, ἀκρατὴς, κοσμικὸς, τὰ πνευματικὰ ἀπεμπολῶν, ὃς τὴν παρὰ τοῦ Θεοῦ τιμὴν ταύτην διὰ τῆς οἰκείας ῥαθυμίας ἀπέδοτο, ὥστε οὐχ ὁ πόρνος ἀκάθαρτος μόνον, ἀλλὰ καὶ ὁ γαστρίμαργος· καὶ γὰρ καὶ οὗτος ἑτέρας ἐστὶν ἡδονῆς δοῦλος.

17 Ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν ἀπεδοκιμάσθη, μετανοίας γὰρ τόπον οὐχ εὗρεν, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

Οὐ τὴν μετάνοιαν ἐκβάλλει· οὐ γὰρ ἦν μετανοίας τὰ ῥήματα· καὶ μετὰ ταῦτα ὁ φόνος ἔδειξεν· καὶ γὰρ αὐτὸς τῇ προαιρέσει ἀνεῖλεν τὸν Ἰακώβ· "ἐγγυσάτωσαν γὰρ," φησὶν, "αἱ ἡμέραι τοῦ πάθους τοῦ πατρὸς, καὶ ἀποκτενῶ Ἰακὼβ τὸν ἀδελφόν μου·" οὐκ ἴσχυσαν τὰ δάκρυα μετάνοιαν αὐτῷ δοῦναι, ὅτι οὐ μετενόησεν ὃν ἔδει τρόπον. ἐμοὶ δοκεῖ αἰνίττεσθαί τινας ἐν αὐτοῖς πόρνους, καὶ ἄγνοιαν ὑποκρίνεσθαι, ἵν' ὅταν ἐπιμένωσι, τότε καὶ τὸν ἔλεγχον ἐπαγάγῃ, ὥστε μὴ ἀπαναισχυντῆσαι· ἢ οὖν οὐχ εὗρεν μετάνοιαν, ἢ μετανοίας μείζονα ἥμαρτεν· ἔστι γὰρ ἁμαρτήματα μετανοίας μείζονα, τουτέστιν, μὴ πέσωμεν πτῶμα ἀνίατον· τοῖς μὲν γὰρ μηδέπω πεσοῦσιν οὕτω διαλέγεται, τῷ φόβῳ συγκροτῶν αὐτοὺς, φησὶν, ὅτι οὐκ ἔστι πεσόντα παραμυθίας τυχεῖν, τοῖς δὲ πεσοῦσιν, ὥστε μὴ εἰς ἀπόγνωσιν ἐμπεσεῖν, τὰ ἐναντία φησὶν, οὕτω λέγων, "τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν," καὶ πάλιν, "ὅτι τινὲς ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε·" ἰδοὺ μαρτυρεῖ ὅτι ἐξέπεσαν· ὁ μὲν γὰρ ἑστὼς ἀκούων ὅτι πεσόντα οὐκ ἔστι συγγνώμης τυχεῖν, ἀσφαλέστερος ἔσται περὶ τὴν στάσιν· ἂν μέντοι καὶ περὶ τὸν πεπτωκότα τῇ

αὐτῇ χρήσῃ σφοδρότητι, οὐδέποτε ἀναστήσεται· οὐ μόνον δὲ, φησὶν, ἐδάκρυσεν, ἀλλὰ καὶ ἐξεζήτησεν· οὐ τοίνυν ἐκβάλλει μετάνοιαν, ἀλλ' ἀσφαλίζεται αὐτοὺς πρὸς τὸ μὴ πεσεῖν.

ΘΕΟΔΩΡΟΣ *δέ φησιν, οὐ τὴν μετάνοιαν ἀνελεῖν διὰ τούτων βούλεται, ἀλλὰ διδάξαι ὡς οὐκ ἔνεστιν ἐν καιρῷ τὴν προσήκουσαν διόρθωσιν ἐπιδεξαμένους, ὕστερον αὐτὴν ἀνακτᾶσθαι, ὅταν ὁ τῆς ἀνταποδόσεως καιρὸς καταλλήλως ἐπάγεσθαι τῷ ἑκάστου τρόπῳ μέλλῃ. οὐ γὰρ ἐναντία λέγειν ἐσπούδακεν ἑαυτῷ, καὶ ταῦτα οὕτως ἐκ τοῦ σύνεγγυς· γνοίη δ' ἄν τις ἐκ τοῦ παραδείγματος, ὅ φησι· πρῶτον μὲν γὰρ ἐμνημόνευσε τοῦ Ἠσαῦ, τότε μὲν ἀθυμήσαντος, ὅτε τῆς εὐλογίας οὐκ ἔτυχεν, μείναντος δὲ ἐπὶ τῆς τοῦ τρόπου κακίας ὁμοίως καὶ μετὰ τοῦτο· ἔπειτα οὐχὶ συγχωρήσεως ἁμαρτημάτων μετανοήσας οὐκ ἔτυχεν ἐκεῖνος· οὐ γὰρ τοῦτο ᾔτει τότε· ἀλλ' εὐλογίας, ἣ κατὰ τὴν ἀξίαν τοῦ τρόπου τῷ ἀδελφῷ δοθεῖσαν, ἀφαιρεθῆναι αὖθις οὐδαμῶς οἷόντε ἦν καὶ δοθῆναι τούτῳ πάλιν. ἔστι μέντοι καὶ τοῦτο εὑρεῖν, ὡς οὐκ ἀνόνητα αὐτῷ πάντῃ τὰ δάκρυα ἐγένετο, ἀμέλει φαίνεται ὁ πατὴρ μετὰ τοῦτο παθὼν ἐπ' αὐτῷ, καὶ τινὰς εὐλογίας αὐτῷ δεδωκώς· οὕτως οὐ τὴν μετάνοιαν ἀνελεῖν διὰ τούτων βούλεται.*

ΚΕΦ. ΙΘ.

Ὅτι φοβερωτέρα τῶν ἐπὶ Μωΰσεως τὰ μέλλοντα, καὶ πλείονος ἄξια σπουδῆς τὰ νῦν.

18 *Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει καὶ κεκαυ-*
19 *μένῳ πυρὶ καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ*
σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες
παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον.

(ΧΡΥΣΟΣΤΟΜΟΥ.) *Ὁ μακάριος Ἰωάννης φησίν· ὅρα πῶς ποιεῖται τὰς συγκρίσεις τούτων, καὶ εἰκότως αὐτὰ ὕστερον ἔθηκεν· ὅτε γὰρ αὐτοὺς διὰ μυρίων ἔπεισεν, ὅτε καὶ τὸ μέσον ἔθηκεν ἑκατέρους τῆς διαθήκης, τότε λοιπὸν προκατεγνωσμένης αὐτῆς, ῥᾳδίως καὶ τούτοις ἐπιχειρεῖ, καί φησι φοβερὰ ταῦτα, καὶ οὕτω φοβερὰ, ὡς μηδὲ φέρειν τὴν ἀκοὴν, ὡς μηδὲ θηρίον τολμᾷν ἀνιέναι· ἀλλ' οὐ*

τοιαῦτα οἷα τὰ μετὰ ταῦτα· τί γὰρ τὸ Σινὰ πρὸς τὸν οὐρανόν; τί δαὶ τὸ ψηλαφώμενον πῦρ πρὸς τὸν ἀψηλάφητον Θεόν; "ὁ Θεὸς "γὰρ πῦρ καταναλίσκον·" "μὴ λαλείτω γὰρ," φησὶν, "ἡμῖν ὁ "Θεὸς, ἀλλὰ λαλείτω ἡμῖν Μωϋσῆς," καὶ οὕτω φοβερὸν ἦν τὸ διαστελλόμενον· "κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται·" καὶ οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον.

21 Μωϋσῆς εἶπεν, ἔμφοβός εἰμι καὶ ἔντρομος.

Τί θαυμαστὸν, φησὶ, περὶ τοῦ λαοῦ, αὐτὸς ὁ εἰς τὸν γνόφον εἰσελθὼν, οὗ ἦν ὁ Θεὸς, φησὶν, "ἔμφοβός εἰμι καὶ ἔντρομος."

22 Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ
ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ· καὶ μυριάσιν ἀγγέλων,
23 πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπο-
γεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι
24 δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ,
καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν
Ἄβελ.

Ἀντὶ Μωϋσέως Ἰησοῦς, ἀντὶ τοῦ λαοῦ μυριάδες ἀγγέλων. πρωτοτόκων τίνων φησί; τῶν πιστῶν. "καὶ πνεύμασι δικαίων τετελειω"μένων," μετὰ τούτων ἐστὲ, φησὶ, "καὶ διαθήκης μεσίτῃ Ἰησοῦ, "καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ," τὸ γὰρ τοῦ Ἄβελ ἐλάλησεν; ναὶ, φησὶ, καὶ δι' αὐτῆς ἀποθανὼν, ἔτι λαλεῖ· καὶ πάλιν ὁ Θεός φησι, "φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου "βοᾷ πρός με·" ἢ τοῦτο ἢ ἐκεῖνο, ὅτι ἔτι καὶ νῦν ᾄδεται, ἀλλ' οὐχ οὕτως ὡς τὸ τοῦ Χριστοῦ, καὶ τοῦτο γὰρ πάντας ἐκάθηρεν, καὶ φωνὴν ἀφίησι λαμπροτέραν καὶ εὐσημοτέραν, ὅσῳ μείζονα τὴν μαρτυρίαν ἔχει τὴν διὰ τῶν πραγμάτων.

25 Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα· εἰ γὰρ
ἐκεῖνοι οὐκ ἔφυγον τὸν ἐπὶ γῆς παραιτησάμενοι χρημα-
τίζοντα, πολλῷ μᾶλλον ἡμεῖς, οἱ τὸν ἀπ' οὐρανοῦ ἀπο-
26 στρεφόμενοι· οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ
ἐπήγγελται λέγων, ἔτι ἅπαξ ἐγὼ σείω, οὐ μόνον τὴν
27 γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δὲ, ἔτι ἅπαξ δηλοῖ τῶν
σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων, ἵνα μείνῃ

28 *τὰ μὴ σαλευόμενα. διὸ βασιλείαν ἀσάλευτον παραλα-*
βόντες, ἔχομεν χάριν, δι' ἧς λατρεύομεν εὐαρέστως τῷ
29 *Θεῷ, μετὰ αἰδοῦς καὶ εὐλαβείας. καὶ γὰρ ὁ Θεὸς ἡμῶν*
πῦρ καταναλίσκον.

Φοβερὰ ἐκεῖνα, ἀλλὰ πολλῷ ταῦτα θαυμασιώτερα καὶ λαμπρότερα· οὐ γὰρ σκότος ἐνταῦθα, οὐδὲ γνόφος, οὐδὲ θύελλα. ἐμοὶ δοκεῖ δι' ἐκεῖνον αἰνίττεσθαι τὸ ἀσαφὲς τῆς παλαιᾶς, καὶ τὸ συνεσκιασμένον τοῦ νόμου καὶ τὸ συγκεκαλυμμένον· ἄλλως δὲ ὁ νομοθέτης ἐν πυρὶ φαίνεται, φοβερὸς καὶ κολαστικὸς τοῖς παραβαίνουσιν. τί δαὶ οἱ ἦχοι τῆς σάλπιγγος; εἰκότως ἅτε ὡς βασιλέως τινὸς παρόντος· τοῦτο γοῦν καὶ ἐπὶ τῆς δευτέρας ἔσται παρουσίας, ἐν τῇ ἐσχάτῃ σάλπιγγι πάντα διεγηγέρθαι δεῖ· ἡ δὲ τῆς φωνῆς σάλπιγξ τοῦτο ποιεῖ· πάντα τοίνυν τότε αἰσθητὰ, καὶ ὄψεις καὶ φωναὶ, πάντα νοητὰ καὶ ἀόρατα νῦν· καὶ καπνὸς, φησὶ, πολὺς ἦν· ἐπειδὴ γὰρ ὁ Θεὸς λέγεται πῦρ εἶναι, καὶ ἐν τῇ βάτῳ οὕτως ἐφάνη, καὶ διὰ τοῦ καπνοῦ δείκνυσι τὸ πῦρ· τί δαὶ ὁ γνόφος καὶ τὸ σκότος; πάλιν τὸ φοβερὸν ἐμφαίνει· οὕτω καὶ ὁ Ἡσαΐας φησὶ, "καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ·" καὶ ἡ θύελλα τί βούλεται; ῥᾴθυμον τὸ γένος τὸ ἀνθρώπινον ἦν· ἔδει τοίνυν αὐτὸ διανίστασθαι τούτοις· οὐδεὶς γὰρ οὕτω νωθὴς, ὃς οὐκ ἄνω τὴν διάνοιαν εἶχεν· γινομένων τούτων καὶ νομοθετουμένων, Μωϋσῆς ἐλάλει· ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ· ἔδει γὰρ τοῦ Θεοῦ φέρεσθαι τὴν φωνὴν, ἐπειδὴ διὰ Μωϋσέως ἤμελλε νομοθετεῖν· διὰ τοῦτο ἀξιόπιστον αὐτὸν ἐποίει· οὐχ ἑώρων αὐτὸν διὰ τὸν γνόφον, οὐκ ἤκουον αὐτοῦ διὰ τὸ ἰσχνόφωνον. τί οὖν; ὁ Θεὸς ἀπεκρίνατο φωνῇ δημηγορῶν, ἀλλ' ὄνομα αὐτοῦ καλέσεται· "παρῃτήσαντο," φησὶ, "μὴ προστεθῆναι "αὐτοῖς λόγον ἄνωθεν." ἄρα αὐτοὶ γεγόνασιν αἴτιοι τοῦ διὰ σαρκὸς φανῆναι τὸν Θεόν· "λαλείτω ἡμῖν," φησὶ, "Μωϋσῆς, καὶ μὴ λα-"λείτω ἡμῖν ὁ Θεὸς," οἱ τὰς συγκρίσεις ποιοῦντες μᾶλλον ἐκεῖνα ἀναιροῦσιν, ἵνα ταῦτα πολλῷ μείζονα δείξωσι· καὶ ταῦτα κρείττονα καὶ ἡμερώτερα καὶ θαυμασιώτερα τὰ ἡμέτερα· οὐκ ἠξιώθησαν, φησὶν, ὧν ἡμεῖς ἐκεῖνοι, ἄλλως δὲ καὶ τὸ ἀόρατον δείκνυσι διὰ τοῦ σκότους καὶ γνόφου· τότε καὶ Μωϋσῆς ἔδεισεν· νυνὶ δὲ οὐδείς· ὥσπερ γὰρ κάτω εἱστήκει ὁ λαὸς τότε, οὕτω καὶ

ἡμεῖς· οὐκ ἦσαν κάτω, ἀλλ' οὐρανοῦ κάτω· ἐγγὺς τοῦ Θεοῦ ὁ Υἱός· ἀλλ' οὐχ ὡς Μωϋσῆς· ἐκεῖ ἔρημος ἦν, ἐνταῦθα πόλις· "καὶ μυριά-"σιν ἀγγέλων πανηγύρει," ἐνταῦθα τὴν χαρὰν δείκνυσι, τὴν εὐφροσύνην ἀντὶ τοῦ γνόφου καὶ τοῦ σκότους καὶ τῆς θυέλλης.

(Σευηριανοῦ.) Σευηριανὸς δέ φησι· πανήγυρις γὰρ καὶ ἑορτὴ ἀγγέλων ἡ εἰς τὸν Θεὸν δόξα.

Καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ κριτῇ Θεῷ πάντων.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησίν· ἐκεῖνοι οὐ προσῆλθον, ἀλλὰ πόρρω εἱστήκεσαν καὶ ὁ Μωϋσῆς· ὑμεῖς δὲ προσεληλύθατε· ἐνταῦθα αὐτοὺς φοβεῖ εἰπών, "καὶ κριτῇ Θεῷ πάντων," τουτέστι τῆς οἰκουμένης ἁπάσης, "καὶ πνεύμασι δικαίων τετελει-"ωμένων," τὰς ψυχὰς λέγει τῶν εὐδοκίμων, "καὶ διαθήκης νέας "μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ," τουτέστι καθαρμοῦ, "κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ·" εἰ δὲ τὸ αἷμα λαλεῖ, πολλῷ μᾶλλον ὁ σφαγιασθεὶς ζῇ· τί δαὶ ἐλάλει; ἢ πῶς ἐλάλει; ἔνθα γὰρ ἂν εἰς εἰλικρινῆ διάνοιαν ἐμπέσῃ, διανίστησιν αὐτὴν καὶ ποιεῖ λαλεῖν.

Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα.

Τουτέστι, μὴ ἀπογνῶτε.

Εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα.

Τίνα λέγει; ἐμοὶ δοκεῖ Μωϋσῆν· ὃ δὲ λέγει τοῦτό ἐστιν· εἰ ἐπὶ γῆς νομοθετοῦντα παραιτησάμενοι οὐκ ἐξέφυγον, ἀπὸ τοῦ οὐρανοῦ νομοθετοῦντα πῶς παραιτησόμεθα; ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ ἄλλος ἐστὶν ἐκεῖνος, μὴ γένοιτο, ἀλλ' αὐτὸς μέν ἐστι καὶ οὗτος κἀκεῖνος· φοβερὸς δὲ οὗτος· οὐ γὰρ διαφορὰν λέγει προσώπων, ἀλλὰ δόσεως· πόθεν δῆλον; "εἰ γὰρ ἐκεῖνοι οὐ παρῃτή-"σαντο," φησίν, "τὸν ἐπὶ γῆς χρηματίζοντα, πολλῷ μᾶλλον "ἡμεῖς οἱ τὸν ἀπ' οὐρανοῦ ἀποστρεφόμενοι·" τί οὖν, ἄλλος ἐστὶν οὗτος παρ' ἐκεῖνον; πῶς; "οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε·" ἡ γὰρ τοῦτό τε δόντος τὸν νόμον φωνὴ τὴν γῆν ἐσάλευσεν.

Νῦν δὲ ἐπήγγελται λέγων, ἔτι ἅπαξ ἐγὼ σείω, οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δὲ ἔτι ἅπαξ

δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων.

Ἄρα ἐκ τοῦ μέσου πάντα ἀρθήσεται, καὶ ἐπὶ τὸ βέλτιον συμπαγήσεται ἄνωθεν· τοῦτο τοίνυν αἰνίττεται ἐνταῦθα· τί τοίνυν ἀλγεῖς ἐν κόσμῳ οὐ μένοντι, κόσμῳ θλιβόμενος μικρὸν ὕστερον παροδευομένῳ; εἰ ἐν ὑστέρῳ τοῦ κόσμου ἡ ἄνεσις ἦν, τότε θλίβεσθαι ἐχρῆν, πρὸς τὸ τέλος ὁρῶντα· "ἵνα μείνῃ," φησὶ, τὰ μὴ "σαλευόμενα·" ποῖα δέ ἐστι τὰ μὴ σαλευόμενα; τὰ μέλλοντα.

Σετηριανὸς δέ φησιν· τοῦτ' ἔστιν ὃ λέγει ὁ Παῦλος ἀλλαχοῦ· "παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου· ἵνα παρέλθῃ "τὰ πρόσκαιρα, καὶ ἔλθῃ τὰ αἰώνια."

(Θεόδωρος.) Θεόδωρος δὲ ὧδε λέγει· καλῶς ἀπὸ τῆς τοῦ προφήτου φωνῆς τῶν τε νῦν τὴν μεταβολὴν καὶ τῶν ὑστέρων τὸ βέβαιον συνίστησιν· τὸ μὲν γὰρ σείειν ἐπαγγείλασθαι τὴν μετάθεσιν αὐτῶν δηλοῖ πάντως ὡς ἐσομένην· τῇ δὲ τοῦ "ἅπαξ" προσθήκῃ, τῶν μετὰ τοῦτο δηλοῖ τὸ ἀμετάθετον.

Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχομεν χάριν.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησιν· τουτέστιν, εὐχαριστῶμεν τῷ Θεῷ· οὐ γὰρ μόνον οὐκ ὀφείλομεν δυσπετεῖν ἐπὶ τοῖς παροῦσιν, ἀλλὰ καὶ χάριν αὐτῷ μεγίστην εἰδέναι ἐπὶ τοῖς μέλλουσιν.

Δι' ἧς λατρεύομεν εὐαρέστως τῷ Θεῷ.

Ἀντὶ τοῦ οὕτως ἐστὶν εὐαρέστως λατρεύειν τῷ Θεῷ· εὐχαριστοῦντα ἐν ἅπασιν· ὃ γὰρ ἂν ἐργάσηταί τις γογγύζων, ὑποτέμνεται καὶ ἀπώλεσε τὸν μισθόν· οὐκ ἄρα ἐστὶν εὐαρέστως λατρεῦσαι, μὴ χάριν εἰδότας πάντων αὐτῷ, καὶ τῶν πειρασμῶν καὶ τῶν ἀνέσεων· μηδὲν οὖν ἰταμὸν φθεγγώμεθα, μηδὲν ἀναίσχυντον, ἵνα αἰδέσιμοι ὦμεν· τοῦτο γάρ ἐστι μετ' αἰδοῦς καὶ εὐλαβείας.

ΚΕΦ. Κ.

Περὶ φιλαδελφίας καὶ φιλοξενίας.

1 Ἡ φιλαδελφία μενέτω· τῆς φιλοξενίας μὴ ἐπιλαν-
2 θάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγ-
γέλους.

Οὐκ εἰδότες ἐξένισαν· διὰ τοῦτο καὶ μέγας ὁ μισθός.

3 Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι, τῶν
4 κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι· τίμιος
ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ
5 μοιχοὺς κρινεῖ ὁ Θεός· ἀφιλάργυρος ὁ τρόπος· ἀρκού-
μενοι τοῖς παροῦσιν.

Ὅρα πόσος περὶ σωφροσύνης λόγος αὐτῷ· δείκνυσιν ὅτι δικαίως τὰ ἑξῆς ἐπήγαγεν· εἰ γὰρ ὁ γάμος συνεχωρήθη, δικαίως ὁ πόρνος κολάζεται, δικαίως ὁ μοιχὸς τιμωρεῖται· ἐνταῦθα πρὸς τοὺς αἱρετικοὺς ἀποδύεται· οὐκ εἶπε πάλιν, μηδεὶς ἔστω πόρνος, ἀλλ' ἅπαξ εἰπὼν τότε ἐπήγαγεν, ὡς κοινὴν παραίνεσιν, οὐχ ὡς πρὸς αὐτοὺς ἀποτεινόμενος· "ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενος "τοῖς παροῦσιν·" εἶτα καὶ ἐνταῦθα ἡ παραμυθία.

Αὐτὸς γὰρ εἴρηκεν, οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε
6 ἐγκαταλείπω, ὥστε θαρροῦντας ἡμᾶς λέγειν, Κύριος ἐμοὶ
βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

Πάλιν ἐν τοῖς πειρασμοῖς ἡ παραμυθία· "μνημονεύετε τῶν "ἡγουμένων ὑμῶν·" τοῦτο ἄνωθεν ὤδινεν εἰπεῖν· διὰ τοῦτο ἔλεγεν, "εἰρήνην διώκετε μετὰ πάντων."

(Θεόδωρος.) Θεόδωρος δέ φησιν· ἡγουμένους τοὺς παρ' αὐτοῖς καταγγείλαντας τὸν λόγον τῆς εὐσεβείας, καὶ τελειωθέντας ὑπὸ Ἰουδαίων αὐτόθι· πολλοὶ δὲ ἦσαν, οὔτε Στέφανος μόνον καὶ Ἰάκωβος, ὁ μαχαίρᾳ ἀναιρεθεὶς, ἀλλὰ καὶ ὁ τοῦ Κυρίου ἀδελφὸς Ἰάκωβος, ἕτεροι δὲ πλεῖστοι, σιωπῇ παραδεδομένοι.

7 Οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀνα-
θεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν
πίστιν.

Θεωροῦντες γὰρ αὐτῶν τὸν βίον, φησὶ, μιμεῖσθε τὴν πίστιν· ἀπὸ γὰρ βίου καθαροῦ ἡ πίστις.

8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς
9 τοὺς αἰῶνας· διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέ-
ρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ
βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.

Τὸ "χθὲς" τὸν παρελθόντα λέγει χρόνον, τὸ "σήμερον" τὸν ἐνεστῶτα αἰῶνα, καὶ τὸν μέλλοντα, τὸν ἄπειρον· τουτέστιν ἀρχιερέα ἠκούσατε, ἀλλ' οὐκ ἀρχιερέα λήγοντα, ἀεὶ ὁ αὐτός ἐστιν, ὡς ὄντων τινῶν τῶν λεγόντων, ὅτι οὐκ ἔστιν, ἕτερος ἥξει· ὅπερ οὖν καὶ οἱ Ἰουδαῖοι λέγουσιν, καὶ τοῦ ὄντως ἀποστερήσαντες ἑαυτοὺς, τῷ ἀντιχρίστῳ περιπεσοῦνται.

ΚΕΦ. ΚΑ.

Περὶ τοῦ μὴ σωματικῶς ζῆν κατὰ νόμον, ἀλλὰ πνευματικῶς κατὰ Χριστὸν ἐν ἀρετῇ.

Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε.

Οὐ μόνον ξέναις, ἀλλὰ μηδὲ ποικίλαις.

Καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.

Ἐνταῦθα ἠρέμα αἰνίττεται τοὺς τὴν παρατήρησιν τῶν βρωμάτων εἰσάγοντας· τῇ γὰρ πίστει πάντα καθαρά· πίστεως οὖν δεῖ, οὐ βρωμάτων.

10 Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες.

Οὐχ οἷα τὰ Ἰουδαϊκὰ, τοιαῦτα τὰ παρ' ἡμῖν, ὡς μηδὲ τῷ ἀρχιερεῖ θέμις εἶναι μετέχειν αὐτῶν· ὥστε ἐπειδὴ εἶπεν, "μὴ "παρατηρεῖτε," ἐδόκει δὲ τοῦτο καταβάλλοντος εἶναι τὰ ἴδια· πάλιν αὐτὸ περιστρέφει· μὴ γὰρ καὶ ἡμεῖς οὐ παρατηροῦμεν, φησίν· καὶ παρατηροῦμεν, καὶ σφοδρότερον, οὐδὲ αὐτοῖς τοῖς ἱερεῦσι μεταδιδόντες αὐτῶν.

Σευηριανὸς φησί· τουτέστιν οἱ ἐν νόμῳ, οὐκ ἔχουσι τὸ δῶρον τοῦτο, οὗ μετέχομεν ἡμεῖς· "ἔξω δὲ τῆς παραβολῆς." ἀντὶ τοῦ ἔξω τῶν νομίμων, καὶ τῆς Ἰσραηλιτικῆς παρεμβολῆς.

11 Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς
τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατα-
12 καίεται ἔξω τῆς παρεμβολῆς· διὸ καὶ ὁ Ἰησοῦς, ἵνα
ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης
ἔπαθεν.

Κυρίλλου. Ἁγιάζει γὰρ Χριστὸς τῷ ἰδίῳ αἵματι τὴν ἀληθεστέραν σκηνὴν, τουτέστι τὴν ἐκκλησίαν· ἔξω δὲ τῆς πύλης ἔπαθεν, οὐχὶ δὴ μᾶλλον ἐν αὐτῇ τῇ παρεμβολῇ· ἔξω γὰρ, ὥσπερ τῆς Ἰουδαίων συναγωγῆς ἐν Χριστῷ κάθαρσις· ἀπεφοίτησε γὰρ αὐτῆς ἐνεργέστατα λέγων, "ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν," μετερρίκησε[r] δὲ ὥσπερ ἐπὶ τὰ ἔθνη λοιπὸν ἡ ἀφαγνίζουσα χάρις, καὶ ὡς ὁ Παῦλός φησιν, "οἱ μακρὰν ὄντες γεγόνασιν ἐγγύς·" εἶδες τὸν τύπον λάμποντα περὶ ἁμαρτίας, φησὶ, "καὶ ἔξω τῆς "πύλης ἔπαθεν· τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν, φέροντες τὸν "ὀνειδισμὸν αὐτοῦ," τουτέστιν, τὰ αὐτὰ πάσχοντες, κοινωνοῦντες αὐτῷ ἐν τοῖς παθήμασιν. ὡς κατάδικος ἐσταυρώθη ἔξω· μὴ τοίνυν μηδὲ ἡμεῖς αἰσχυνώμεθα ἐξιέναι "τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες," τουτέστι τὸν σταυρὸν, συσταυρούμενοι αὐτῷ, καὶ νεκροῦντες ἑαυτοὺς ἀπὸ τοῦ κόσμου, ἵνα καὶ ἡμῖν τὸ πάθος αὐτοῦ ἀφθαρσίας καὶ καθαρισμοῦ πρόξενον γένηται· εἰ δὲ καὶ τοὺς ἔχοντας τὰ σωματικὰ μολύσματα ἐξωθεῖσθαι τῆς παρεμβολῆς ὁ νόμος ἐκέλευεν, ταῦτα δὲ τυπικῶς τὸν τῶν ψυχῶν μολυσμὸν ἐδήλου· ἔξω τῆς παρεμβολῆς ἔπαθεν ὁ Χριστὸς, ὅτι ὑπὲρ τῶν ἁμαρτωλῶν πέπονθεν· "αὐτὸς γὰρ τὰς ἀνομίας ἡμῶν ἦρε καὶ τὰς νόσους ἐβά-"στασεν·" καὶ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ ἤχθη εἰς θάνατον, καὶ μετὰ ἀνόμων ἐλογίσθη, ἵνα τοὺς ἁμαρτωλοὺς ἡμᾶς τοὺς πρὸς αὐτὸν ἐξιόντας διὰ τῆς πίστεως ἁγιάσῃ. ἕψεται πάντως ταῖς τοῦ πιστεύειν ὁμολογίαις ἡ χάρις, καὶ τῶν πλημμελημάτων ἡ ἄφεσις.

(Κυρίλλου.) Ὁ μακάριος Κύριλλός φησιν· ἔοικεν ὁ θεσπέσιος Παῦλος τὸ "ἔξω τῆς πύλης" ἔξω τοῦ κόσμου λέγειν· πύλης γὰρ ἡμᾶς ἐξίστησι κοσμικῆς, τὸ ἐθέλειν ἕπεσθαι τῷ Χριστῷ.

14 Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλ-

[r] Leg. credo μετερρύηκε.

15 λουσαν ἐπιζητοῦμεν· δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν
αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τουτέστιν, καρπὸν χει-
λέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.

Δι' αὐτοῦ ὡς ἀρχιερέως τὸ κατὰ σάρκα· "ὁμολογούντων," φησὶ, "τῷ ὀνόματι αὐτοῦ·" μηδὲν οὖν βλάσφημον φθεγγώμεθα, μηδὲν τὸ λυμηρὸν[s], μηδὲν ἀπονενοημένον, τουτέστιν μετ' αἰδοῦς καὶ εὐλαβείας· ψυχὴ γὰρ ἐν ταῖς θλίψεσιν ἀπογινώσκει καὶ ἀπαναισχυντεῖ, ἀλλὰ μὴ ἡμεῖς.

16 Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε.

Οὐχὶ πρὸς τοὺς παρόντας λέγω ἀδελφοὺς, ἀλλὰ καὶ πρὸς τοὺς ἀπόντας· εἰ δὲ ἕτεροι τὰ ὑπάρχοντα ὑμῶν ἡρπάκασιν, ἐκ τῶν ἐνόντων τὴν φιλοξενίαν ἐπιδείκνυσθε.

Θεόδωρος δέ φησιν· εὐποιΐαν εἶπεν, εἰς ἔπαινον τοῦ γινομένου, κοινωνίαν δὲ διὰ τὸ περὶ ὁμοπίστους γίνεσθαι, ὡς ἂν δέον κοινωνοὺς ἡγεῖσθαι τοὺς τοιούτους τῶν προσόντων ἡμῖν, οὕτω μετὰ σπουδῆς ταῖς χρείαις αὐτῶν ἀρκεῖν αἱρουμένους.

Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

Δῶμεν αὐτῷ τοιαύτην θυσίαν, ἵνα ἀνενέγκῃ τῷ Πατρί· ἄλλως γὰρ οὐκ ἀναφέρεται, ἂν μὴ διὰ τοῦ Υἱοῦ· μᾶλλον δὲ καὶ διὰ διανοίας συντετριμμένης· πάντα ταῦτα διὰ τοὺς ἀσθενεῖς, ἐπεὶ ὅτι τοῦ Υἱοῦ ἐστιν ἡ χάρις δῆλον· ἐπεὶ πῶς ἐστί τι μὴ ἴση; "ἵνα "πάντες," φησὶ, "τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πα-"τέρα·" ποῦ ἴση ἡ τιμή; "καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνό-"ματι αὐτοῦ."

17 Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε.

Ὁ μακάριος Ἰωάννης φησὶ, κακὸν ἡ ἀναρχία, καὶ ἀρχὴ ἀταξίας καὶ συγχύσεως· κακὸν δὲ οὐδὲ ἧττον καὶ ἡ ἀπείθεια τῶν ἀρχομένων· τὸ αὐτὸ γὰρ γίνεται πάλιν· ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι ἔστι καὶ τρίτον κακὸν, ὅταν ἄρχων ᾖ κακός· οἶδα κἀγὼ, καὶ οὐ μικρὸν τοῦτο κακὸν, ἀλλὰ καὶ τῆς ἀναρχίας πολλῷ κάκιον· κρεῖττον γὰρ ὑπὸ μηδενὸς ἄγεσθαι, ἢ ὑπὸ κακοῦ ἄγεσθαι· πῶς οὖν ὁ Παῦλός φησι, "πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν," ἀνωτέρω εἰπὼν, "ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν

[s] Leg. τολμηρόν.

“ πίστιν,” τότε εἶπεν “ πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπεί-“ κετε;” τί οὖν φησιν; ὅταν πονηρὸς ᾖ, μὴ πειθώμεθα; πονηρὸς πῶς λέγεις; εἰ μὲν πίστεως ἕνεκεν, φύγε αὐτὸν καὶ παραίτησαι, μὴ μόνον ἂν ἄνθρωπος ᾖ, ἀλλὰ καὶ Ἄγγελος ἐξ οὐρανοῦ κατιών· εἰ δὲ βίου ἕνεκεν, μὴ περιεργάζου· ὁ οὖν Παῦλος πρότερον αὐτοὺς συνέστησεν, καὶ τότε φησὶ, “ πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ “ ὑπείκετε.”

Αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες.

Ὥσπερ πειθηνίους δεῖ τοὺς ἀρχομένους, οὕτω καὶ τοὺς ἄρχοντας ἀγρύπνους καὶ νηφαλαίους· διὰ τοῦτό φησιν, “ ἵνα μετὰ “ χαρᾶς τοῦτο ποιῶσι, καὶ ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.” ὁρᾷς ὅτι τὸν ἄρχοντα καταφρονούμενον.

Θεωρία περὶ τῆς σκηνῆς, καὶ τί δήποτε αὐτὴν γενέσθαι προσέταξεν ὁ Θεός.

Αὐτὸς ὁ δεσπότης Θεὸς τὴν αἰτίαν δεδήλωκεν· ἔφη δὲ οὕτως· “ ποιήσεις μοι ἁγίασμα καὶ ὀφθήσομαι ἐν ὑμῖν, καὶ ποιήσεις “ κατὰ πάντα ὅσα ἐγὼ δείκνυμί σοι ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς “ σκηνῆς, καὶ τὸ παράδειγμα τῶν σκευῶν αὐτῆς.” ἐπειδὴ γὰρ ἐν τῷ Σινὰ ὄρει τὸν νόμον ἐδεδώκει, εἰκὸς δὲ ἦν τινὰς ὑποτοπῆσαι περιγεγράφθαι τὸ θεῖον, ἐκέλευσε γενέσθαι σκηνὴν, ἵνα ἐκεῖθεν τὴν οἰκείαν ποιούμενος ἐπιφάνειαν ἐκπαιδεύει τὸν λαὸν τὴν εὐσέβειαν. ὥσπερ γὰρ τὴν ἐπηγγελμένην αὐτοῖς ἀπειληφότων γῆν, νεὼν γενέσθαι προσέταξεν, καὶ τὰς θείας ἐκεῖ γενέσθαι λειτουργίας ἐνομοθέτησεν, ἵνα μὴ ἀδεῶς τοῦτο δρῶντες, τῇ τῶν ἀλιτηρίων δαιμόνων περιπέσωσι πλάνῃ, οὕτως ὁδοιποροῦσι καὶ τὴν ἔρημον διαβαίνουσι σκηνὴν ποιῆσαι προσέταξεν, μεταβῆναι καὶ αὐτὴν δυναμένην, ἵνα καὶ τὰς προσευχὰς καὶ τὰς ἱερουργίας ἐν ταύτῃ προσφέρωσι. καὶ ταῦτα δὲ τῆς αὐτῶν ἕνεκα γεγένηται χρείας. ἐπειδὴ γὰρ ἐν τῷ ὄρει τοῦ μεγάλου Μωϋσέως πλείους διατρίψαντος ἡμέρας, πρὸς τὸν Ἀαρὼν ἔφασαν, “ ποίησον ἡμῖν θεοὺς οἳ προπορεύονται ἡμῶν,” καὶ τὴν εἰκόνα τοῦ μόσχου κατασκευάσαντες, ἐβόων χορεύοντες, “ οὗτοι οἱ “ θεοί σου Ἰσραὴλ οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου,” τὴν σκη-

νὴν ταύτην προσέταξεν ὁ Θεὸς, καὶ ἀπαιρόντων ἡγεῖσθαι νενομοθέτηκεν, καὶ αὐλιζομένων ἵστασθαι, ὥστε καὶ τοὺς ἱερέας τὰς θυσίας ἐν αὐτῇ ἐπιτελεῖν. εἶχεν δὲ αὕτη τῆς κτίσεως τὴν εἰκόνα. ὥσπερ γὰρ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας ὁ δεσπότης Θεὸς, μέσον πάλιν ἐξέτεινε τὸ στερέωμα, καὶ διώρισεν τὰ ὑπερῷα τῶν κάτω, μίαν μὲν προσέταξεν γενέσθαι τὴν σκηνὴν, τριάκοντα μὲν πήχεων τὸ μῆκος, δώδεκα δὲ τὸ εὖρος ἔχουσαν· ἐν μέσῳ δὲ τὸ παραπέτασμα διατείνας ἐν τύπῳ τοῦ στερεώματος, διχῇ διεῖλεν αὐτήν· καὶ τὸ μὲν παρὰ τὴν θύραν μέρος ἐκάλεσεν ἅγια, τὰ δὲ τοῦ παραπετάσματος ἔνδον ἅγια ἁγίων ὠνόμασεν· καὶ ὥσπερ λέγει Δαβὶδ, "ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκεν τοῖς "υἱοῖς τῶν ἀνθρώπων," οὕτως ἔξω μὲν τοῦ καταπετάσματος εἰσὶ τῇ τὸν[s] ἦν τοῖς ἱερεῦσι, τὰ δὲ ἔνδον ἄψαυστα ἦν καὶ ἄδυτα· καὶ ἀνάκτορα, τὸν ἀρχιερέα γὰρ μόνον ἅπαξ τοῦ ἔτους νόμος ἦν εἰσιέναι ἐκεῖ· ἦν δὲ ἐκεῖ τὰ τῶν χερουβεὶμ εἰκάσματα τύπον τῶν ἀσωμάτων δυνάμεων ἔχοντα· ἐν μέσῳ δὲ τούτων ἡ κιβωτὸς ἔκειτο, τὰς πλάκας ἔχουσα τοῦ νόμου καὶ τὴν στάμνον τοῦ μάννα καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν· ἐπέκειτο δὲ ταύτῃ τὸ ἱλαστήριον ταῖς πτέρυξι τῶν χερουβεὶμ σκιαζόμενον· ἐν τούτῳ δὲ ὁ τῶν ὄντων Θεὸς τὴν οἰκείαν ἐπιφάνειαν ἐποιεῖτο. ἐπειδὴ γὰρ ἡ θεία φύσις ἀνείδεός τε καὶ ἀσχημάτιστος ἀόρατός τε καὶ ἀπερίληπτος, καὶ τῆς τοιαύτης οὐσίας εἰκόνα τεκτήνασθαι παντάπασι τῶν ἀδυνάτων, τὰ σύμβολα τῶν μεγίστων αὐτοῦ δωρεῶν ἔνδον κεῖσθαι προσέταξεν. αἱ μὲν γὰρ πλάκες τὴν νομοθεσίαν ἐδήλουν, τὴν δὲ ἱερωσύνην ἡ ῥάβδος, τὸ δὲ μάννα τὴν ἐν ἐρήμῳ τροφὴν καὶ τὸν ἀχειροποίητον ἄρτον· τὸ δέ γε ἱλαστήριον τῆς προφητείας σύμβολον ἦν· ἐκεῖθεν γὰρ αἱ προρρήσεις ἐγίνοντο. ὥσπερ γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται, οὕτω διὰ τούτων ὁ μεγαλόδωρος ἐγνωρίζετο· τὸ μὲν οὖν ἔνδον τῆς σκηνῆς· διὸ καὶ ἅγια τῶν ἁγίων ὠνόμαστο· καὶ ὅτι τοῦτο ἀληθὲς, μάρτυς ὁ θεῖος Ἀπόστολος, οὑτωσὶ λέγων· "οὐ γὰρ εἰς "χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν, "ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν νῦν ἐμ . . ανισθῆναι τῷ προσώπῳ τοῦ "Θεοῦ ὑπὲρ ἡμῶν·" καὶ πάλιν περὶ τῆς θείας ἐλπίδος διαλεγό-

[s] Leg. εἰσιτητόν.

μενος καὶ ταῦτα προστέθηκεν, "ἣν ὡς ἄγκυραν ἔχομεν ἀσφαλῆ "τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ κατα- "πετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς γενό- "μενος ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ." οὐκοῦν τὰ μὲν ἔνδον τοῦ καταπετάσματος τὴν τῶν ἐπουρανίων εἶχον εἰκόνα, τὰ δὲ ἐκτὸς τῶν ἐπιγείων, διὸ καὶ τοῖς ἱερεῦσι διηνεκῶς ἦν βατά. εἶχε δὲ ταῦτα λυχνίαν μὲν ἐν τῷ νοτίῳ μέρει κειμένην ἑπτάκαυλον, ἰσαρίθμους ἔχουσαν λύχνους ἐπικειμένους· ἐδήλουν δὲ οὗτοι τῶν ἡμερῶν τῆς ἑβδομάδος τὸν ἀριθμόν· τράπεζαν δὲ .... ἐφ' ἧς ἄρτους προκεῖσθαι προσέταξε δυοκαίδεκα, καὶ φιάλας χρυσᾶς πλήρεις λιβανωτοῦ καὶ ἀλων[t]. ἐν δὲ τῷ μέσῳ τῆς λυχνίας καὶ τῆς τραπέζης χρυσοῦν ἔκειτο θυμιατήριον· ταῦτα δὲ ἦν συντάγματα τῶν ἀπὸ γῆς τοῖς ἀνθρώποις δεδωρημένων καρπῶν. πρὸ δὲ τῆς σκηνῆς ἔξω τὸ χαλκοῦν ἦν θυσιαστήριον, τὸ γὰρ προσφερόμα δεχόμενον θύματα .... εἶναι ταῦτα ... Θεῷ· ὅθεν .... συνεχώρησεν .... ἀσθένειαν. ἔξω δὲ τῆς σκηνῆς ἱερουργεῖσθαι προσέταξεν, ὡς τοῖς ἔνδον ἀπονεμηθεῖσαν, λειτουργίαν ἐπιτε . . θυμίαμα γὰρ καὶ λυχνιαῖον φῶς προσφέ ...... τῆς ἁγίας τραπέζης λειτουργί .... κοντα πήχεα ἦν τὸ μῆκος τῆς σκηνῆς, καὶ δέκ ... τὸ εὖρος, καταμαθεῖν εὐπ . . σέ· εἴκοσι γὰρ σανίδας εἶχε τὸ νότιον μέρος, καὶ τοσαύτας τὸ βόριον. σανίδας γὰρ τοὺς στύλους ὠνόμασαν οἱ ἄλλοι ἑρμηνευταί· ἑκάστης δὲ σανίδος πῆχυν ἐχούσης καὶ ἥμισυ πήχυος λ' πήχεις αἱ εἴκοσι σανίδες ἐπλήρουν. οὕτω πάλιν τὸ πρὸς δυσμὰς ἀποβλέπων ἓξ εἶχεν σανίδας τὸ αὐτὸ μέτρον ἐχούσας καὶ δύο γωνίας· ιβ' δὲ πήχεις ἐκ τούτων συναγόμενοι, οἱ μὲν δέκα τὸ ἔνδον εὖρος ἐπλήρουν, οἱ δὲ ἄλλοι δύο τὸν ἑκατέρωθεν πλευρῶν τὰς ἁρμονίας ἐδέχοντο· ἐκ μέντοι τοῦ ἑῴου μέρους τὴν θύραν γενέσθαι προσέταξεν, ἵνα καὶ αὐτὸν ...... οἷόν τινα προσκέντησιν προσφέρει τοῖς προπυλέοις εὐθὺς ἐκεῖσε τὰς ἀκτῖνας ἐκπέμπων, καὶ οἱ τῷ Θεῷ μόνῳ λατρεύειν προστεταγμένοι, ὄπισθεν τὸν ἥλιον ἔχουσι πρὸς τὴν σκηνὴν τετραμμένην, καὶ μὴ τοῦτον, ἀλλὰ τὸν τούτου ποιητὴν προσκυνῶσι. δρυφάκτῳ τοίνυν ἡ σκηνὴ προσεῴκει, σανίδας ἔχουσα πάν ... ηρμοσμένας ἀλλήλαις εἶχον ... βάσεις ἀργυρᾶς καὶ τὰς κεφαλίδας ὡσαύτως· καὶ αὐ-

[t] Sic.

ται δὲ αἱ ἔνδοθεν καὶ ἔξωθεν ἦσαν εἰλϊμμέναι χρυσῷ· τὸν δὲ ὄροφον εἶχεν ἐξ ὑφασμάτων ποικίλων ἐκ διαφόρων κατεσκευασμένων χρωμάτων· τὸ μὲν γὰρ ἦν ἁλουργὸν, τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφὲς, τὸ δὲ ὑακίνθῳ προσεοικός· ἡ δὲ βύσσος τὴν λευκὴν εἶχε χρόαν. καὶ ταῦτα δὲ τῶν δʹ στοιχείων ἦν αἰνίγματα· ὁ μὲν γὰρ ὑάκινθος τῷ ἀέρι προσέοικεν, τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφὲς τῷ πυρὶ, τὸ δὲ ἁλουργὸν μηνύει τὴν θάλασσαν· ἐκείνη γὰρ τρέφει τὴν κόχλον, ἐξ ἧς τὸ τοιοῦτον γίνεται χρῶμα· ἡ δὲ βύσσος τὴν γῆν· ἐκ ταύτης γὰρ φύεσθαι λέγεται. καὶ δέρρεις δὲ εἶχε τριχίνας ἐπικειμένας, καὶ μέντοι καὶ διφθέρας ποικίλας, ὥστε καὶ τὸν ὑετὸν ἀπείργειν καὶ τὸν φλογμόν. καὶ τοῖς ἱερεῦσι δὲ παντοδαπὸν περιέθηκεν κόσμον· τὸν μὲν λαὸν καταπλήττοντα τῷ διαφόρῳ τοῦ σχήματος, αὐτοὺς δὲ τοὺς ἱερέας διδάσκοντα—desunt reliqua.

SUPPLEMENTUM

E COD. PARIS. 238.

Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

ΘΑΥΜΑΣΤΟΝ οὐδὲν δρῶσιν οἱ τὴν Ἀρειανικὴν εἰσδεξάμενοι νόσον κατὰ τῶν ἀποστολικῶν λυττῶντες γραμμάτων, καὶ τὴν πρὸς Ἑβραίους Ἐπιστολὴν τῶν λοιπῶν ἀποκρίνοντες, καὶ νόθον ταύτην ἀποκαλοῦντες. οἱ γὰρ κατὰ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν τὰς γλώσσας κινοῦντες, τί οὐκ ἂν τολμήσαιεν κατὰ τῶν εὔνων αὐτοῦ καὶ μεγαλοφώνων τῆς ἀληθείας κηρύκων; αὐτοῦ γάρ ἐστι τοῦ δεσπότου φωνὴ, "εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν." ἔδει δὲ αὐτοὺς εἰ κατὰ μηδὲν ἕτερον, τοῦ χρόνου γοῦν αἰδεσθῆναι τὸ μῆκος, ἐν ᾧ τήνδε τὴν Ἐπιστολὴν ἐν ταῖς Ἐκκλησίαις ἀναγινώσκοντες διετέλεσαν τῆς ἐκκλησίας οἱ τρόφιμοι. ἐξ οὗ γὰρ τῶν ἀποστολικῶν γραμμάτων αἱ τοῦ Θεοῦ μετέλαχον Ἐκκλησίαι, ἐξ ἐκείνου καὶ τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς τὴν ὠφέλειαν καρποῦνται. εἰ δὲ μὴ τοῦτο πεῖσαι αὐτοὺς ἱκανὸν, κἂν Εὐσεβίῳ γοῦν ἐχρῆν πεισθῆναι, τῷ Παλαιστηνῷ, ὃν τῶν οἰκείων δογμάτων ἀποκαλοῦσι συνήγορον· καὶ οὗτος γὰρ τοῦ θειοτάτου Παύλου τήνδε τὴν Ἐπιστολὴν ὡμολόγησεν εἶναι, καὶ τοὺς παλαιοὺς ἅπαντας ταύτην περὶ αὐτῆς ἔφησεν ἐσχηκέναι τὴν δόξαν. ἀλλ' οἱ Ἀρειανοὶ, πᾶσιν ἐρρῶσθαι φράσαντες, ἀναιδὴν πρὸς τὴν ἀλήθειαν διαμάχονται· τῆς ἀποστολικῆς θεολογίας, ἣ τὸ προοίμιον κατεκόσμησε, τὴν αἴγλην οὐ φέροντες. ἀντιλέγειν γὰρ οὐ δυνάμενοι πρὸς τὰ διαρρήδην περὶ τῆς τοῦ μονογενοῦς εἰρημένα θεότητος, πᾶσαν ἐκ . . .[a]

[a] Hæc evanida.

ἐτόλμησαν τὴν Ἐπιστολήν· καί που καὶ τῶν δογμάτων καὶ τῶν ἄλλων ἐνθυμημάτων πολλὴν συγγένειαν πρὸς τὰς ἄλλας ἐχόντων Ἐπιστολάς.

Πρόσχημα δὲ τῇ κατηγορίᾳ περιτιθέασι, τὸ μὴ τὴν ἀποστολικὴν προσηγορίαν ὁμοίως ἐγκεῖσθαι τῷ προοιμίῳ. ἔδει δὲ αὐτοὺς συνιδεῖν, ὡς τῶν ἐξ ἐθνῶν, ἀλλ᾽ οὐ τῶν ἐξ Ἰουδαίων πεπιστευκότων Ἀπόστολος ἐκεχειροτόνητο. καὶ γὰρ ὁ Κύριος πρὸς αὐτὸν ἔφη· "σπεῦσον καὶ ἔξελθε τὸ τάχος ἐντεῦθεν· οὐ γὰρ μὴ προσδέξωνταί σου τὴν μαρτυρίαν τὴν περὶ ἐμοῦ· πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε." τοιαύτας δὲ καὶ πρὸς τοὺς ἄλλους Ἀποστόλους ἐποιήσατο συνθήκας· "Ἰάκωβος," γάρ φησι," καὶ Κηφᾶς καὶ Ἰωάννης οἱ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας· ἵνα αὐτοὶ μὲν εἰς τὴν περιτομὴν, ἡμεῖς δὲ εἰς τὰ ἔθνη." οὕτω καὶ Ῥωμαίοις ἐπιστέλλων ἔφη· "ἐφ᾽ ὅσον εἰμὶ ἐγὼ ἐθνῶν Ἀπόστολος, τὴν διακονίαν μου δοξάζω." καὶ πάλιν ἀλλαχοῦ· "ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη." τούτου δὴ χάριν τοῖς μὲν ἐξ ἐθνῶν πεπιστευκόσιν ἐπιστέλλων, Ἑβραίοις δὲ γράφων, ὧν οὐκ ἐνεχειρίσθη τὴν ἐπιμέλειαν, γυμνὴν τῶν ἀξιωμάτων εἰκότως τὴν διδασκαλίαν προσήνεγκεν· ὑπὸ γὰρ τὴν τῶν ἄλλων Ἀποστόλων ἐτέλουν προμήθειαν.

Εἰ τοίνυν ἐθνῶν Ἀπόστολος ἦν, τί κοινὸν πρὸς Ἑβραίους εἶχε; τί δὲ αὐτοῖς καὶ ἐπέστελλε, καὶ μᾶλλον ἀπεχθανομένοις αὐτῷ; ὅτι γὰρ ἀπεχθῶς πρὸς αὐτὸν διέκειντο, ἄκουσον τί φησιν Ἰάκωβος πρὸς αὐτόν· "θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων, καὶ οὗτοι πάντες κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις·" καὶ πολλαὶ ζητήσεις αὐτῷ πολλάκις ἐγένοντο περὶ τούτου. τίνος οὖν ἕνεκεν ἐξετάσειεν ἄν τις τὸν νομομαθῆ; παρὰ γὰρ τοὺς πόδας Γαμαλήλου τὸν νόμον ἐξεπαιδεύετο, καὶ πολὺς ἦν αὐτῷ ζῆλος τοῦ πράγματος, καὶ ταύτῃ μάλιστα δυνάμενον ἐντρέψαι οὐχὶ πρὸς Ἰουδαίους ἔπεμπεν ὁ Θεός; ὅτι ταύτῃ μάλιστα πλέον ἦσαν αὐτῷ ἐκπεπολεμωμένοι· "οὐ γὰρ ἀνέξονταί σου," φησὶν ὁ Θεὸς πρὸς αὐτὸν, "ἀλλὰ πορεύου εἰς ἔθνη μακρὰν, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν τὴν περὶ ἐμοῦ." εἶτα αὐτός φησι, "ναὶ Κύριε, αὐτοὶ

" ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συνα- " γωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα " Στεφάνου τοῦ πρωτομάρτυρός σου, καὶ αὐτὸς ἤμην ἑστὼς καὶ " συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάττων τὰ ἱμάτια τῶν ἀναι- " ρούντων αὐτόν." καὶ τοῦτο αὐτὸ φησὶ σημεῖον εἶναι καὶ ὑπό- θεσιν τοῦ μὴ πιστεῦσαι αὐτοὺς αὐτῷ· καὶ γὰρ οὕτως ἔχει· ὅταν τίς ἐξ ἔθνους ἀποπηδήσῃ τινὸς, ἂν μὲν τῶν ἐλαχίστων ᾖ, καὶ οὐδενὸς ἀξίων λόγου, οὐ πάνυ δάκνει τοὺς ἀφ' ὧν ἀνεχώρησεν· ἂν δὲ τῶν θαυμαστῶν καὶ σφόδρα ζηλωτῶν, καὶ τὰ ἐκείνων φρονούν- των, μάλιστα αὐτοὺς ἀλγύνει, καὶ μεθ' ὑπερβολῆς λυπεῖ, ἅτε μάλιστα αὐτῶν καθαιρῶν τὸ δόγμα παρὰ τοῖς πολλοῖς· καὶ ἄλλο δὲ τούτῳ προσῆν· ποῖον δὴ τοῦτο; ὅτι οἱ μὲν περὶ Πέτρον, καὶ συνεγένοντο τῷ Χριστῷ, καὶ σημεῖα εἶδον καὶ θαύματα. οὗτος δὲ οὐδενὸς τούτων ἀπολελαυκὼς, ἀλλὰ μετὰ Ἰουδαίων ὢν, ἐξαίφνης ηὐτομόλησε καὶ γέγονεν εἷς ἐξ αὐτῶν, ὃ μάλιστα ἤρκει[f] ἐκεῖνοι μὲν γὰρ καὶ χάριτι ἐδόκουν μαρτυρεῖν, καὶ εἶπεν ἄν τις, τὸν διδάσκαλον ποθοῦντες ταῦτα μαρτυροῦσιν· ὁ δὲ τῇ ἀναστάσει μαρτυρῶν, οὗτος μάλιστα ἦν ὁ φωνῆς μόνης ἀκούσας.

Διὰ τοῦτο ὁρᾷς αὐτοὺς ἐκθύμως πολεμοῦντας αὐτῷ, καὶ πάντα ὑπὲρ τούτου πράττοντας, ὥστε αὐτὸν ἀνελεῖν, καὶ στασιάζοντας. ἀλλ' οἱ μὲν ἄπιστοι διὰ τοῦτο αὐτῷ ἀπεχθῶς προσεῖχον· οἱ δὲ πιστεύ- σαντες τίνος ἕνεκεν; ὅτι ἠναγκάζετο τοῖς ἔθνεσι κηρύττων, καθαρῶς κηρύττειν τὸν Χριστιανισμὸν, καὶ εἴπου καὶ ἐν Ἰουδαίᾳ ἀπελήφθη, οὐκ ἐφρόντιζε. Πέτρος μὲν γὰρ, καὶ οἱ περὶ αὐτὸν, ἅτε ἐν Ἱεροσο- λύμοις κηρύττοντες, ἔνθα πολὺς ἦν ὁ ζῆλος, ἀνάγκην εἶχον τὸν νόμον κελεύειν τηρεῖν. οὗτος δὲ, ἐν ἐλευθερίᾳ πολλῇ ἦν, καὶ πλέους ἦσαν οἱ ἐξ ἐθνῶν ἢ Ἰουδαῖοι, ἅτε ἐκτὸς ὄντες, καὶ παρέλυε τὸν νόμον· καὶ οὐ τοσαύτην εἶχον περὶ αὐτὸν εὐλάβειαν· ὅτι πάντα καθαρῶς ἐκήρυττεν, ἀμέλειγε ἐν τούτῳ αὐτῷ δοκοῦσι καταιδεῖν τῷ πλήθει, λέγοντες, " θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων." διὰ τοῦτο αὐτὸν ἐμίσουν καὶ ἀπε- στρέφοντο, " ὅτι κατηχήθησαν," φησὶ, " περὶ σοῦ, ὅτι ἀποστασίαν " ἀπὸ τοῦ νόμου διδάσκεις."

[f] Spatium vacuum.

- Τίνος οὖν ἕνεκεν οὐκ ὢν τῶν Ἰουδαίων διδάσκαλος, ἐπιστέλλει αὐτοῖς; ποῦ δὲ οὖσιν ἐπέστελλεν; ἐμοὶ δοκεῖ ἐν Ἱεροσολύμοις καὶ ἐν Παλαιστίνῃ· πῶς οὖν ἐπιστέλλει; ὥσπερ καὶ βαπτίζειν οὐκ ἐπετράπη, καὶ ἐβάπτιζεν, "οὐ γὰρ ἀπεστάλην," φησὶ, "βαπτίζειν," οὐ μὴν ἐκωλύθη, ἀλλ' ἐκ παρέργου τοῦτο ποιεῖ. πῶς δὲ οὐκ ἂν ἐπέστελλε τούτοις, ὑπὲρ ὧν καὶ ἀνάθεμα γενέσθαι ἤθελε; διὰ τοῦτο ἔλεγε· "γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπο-"λελυμένον, μεθ' οὗ ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς·" οὔπω γὰρ συνειλημμένος ἦν. δύο μὲν οὖν ἔτη ἐποίησεν[g] ἐν Ῥώμῃ δεδεμένος, εἶτα ἀφείθη· εἶτα εἰς Σπανίας ἐλθὼν, εἶδε καὶ Ἰουδαίους ἴσως, καὶ τότε πάλιν ἦλθεν εἰς Ῥώμην, ὅτε καὶ ὑπὸ Νέρωνος ἀνηρέθη. πολλαχοῦ γε μὴν ἤθλησαν οἱ ἐξ Ἰουδαίων πιστεύσαντες, καθὼς καὶ Θεσσαλονικεῦσιν ἐπιστέλλει λέγων, "μιμηταὶ ἐγένεσθε "τῶν ἐκκλησιῶν τῆς Ἰουδαίας," καὶ αὐτοῖς δὲ γράφων φησὶ, "μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῖν προσεδέξασθε." εἰ δὲ ἤθλουν, οὐδὲν καινόν. εἰ γὰρ τοῖς Ἀποστόλοις οὕτως ἐκέχρηντο οἱ μὴ πιστεύσαντες Ἑβραῖοι, οὐκ ἐν Ἰουδαίᾳ μόνον, ἀλλὰ καὶ ὅπου μεταξὺ ἐθνικῶν ἦσαν, τί οὐκ ἂν ἐποίησαν τοῖς πιστοῖς; διὰ τοῦτο αὐτῶν μάλιστα ὁρᾷς τὸν Παῦλον φροντίζοντα· ὅταν γὰρ λέγῃ "πορεύομαι διακονῶν τοῖς ἁγίοις τοῖς ἐν Ἱεροσολύμοις·" καὶ πάλιν ὅταν Κορινθίους παρακαλῇ πρὸς τὴν εὐποιΐαν, καὶ Μακεδόνας λέγῃ εἰσενηνοχέναι, καὶ φησὶν, "ἐὰν ᾖ ἄξιον κἀμὲ "πορεύεσθαι," τοῦτο λέγει. καὶ ὅταν λέγῃ "μόνον τῶν πτωχῶν "ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι," τοῦτο λέγει. καὶ πανταχοῦ ὁρᾷς αὐτὸν πολλὴν πρόνοιαν αὐτῶν ποιούμενον· εἰκότως· ἐν μὲν γὰρ τοῖς ἄλλοις ἔθνεσιν ἔνθα καὶ Ἰουδαῖοι ἦσαν καὶ Ἕλληνες, οὐδὲν τοιοῦτον ἐγίνετο· ἐκεῖ δὲ, ἐπειδὴ τέως ἐδόκουν κρατεῖν καὶ αὐτονομεῖσθαι καὶ πολλὰ καὶ τοῖς ἰδίοις νόμοις διοικεῖν, οὔπω τῆς ἀρχῆς κατάστασιν ἐχούσης, οὐδὲ τέλεον ὑπὸ Ῥωμαίοις κειμένης, εἰκότως πολλῇ τυραννίδι Ἑβραῖοι ἐκέχρηντο.

Εἰ γὰρ ἐν ἄλλαις πόλεσιν ὥσπερ ἐν Κορίνθῳ, ἔτυπτον τὸν ἀρχισυνάγωγον ἔμπροσθεν τοῦ βήματος τοῦ ἀνθυπάτου, καὶ οὐδὲν τούτων ἔμελλε τῷ Γαλλίωνι, ἀλλ' οὐκ ἐν τῇ Ἰουδαίᾳ. ὁρᾷς γοῦν

[g] Fors. ἐπόνησεν.

ὅτι ἐν μὲν ταῖς ἄλλαις πόλεσι, τοῖς ἄρχουσιν αὐτοὺς προσάγουσι, καὶ αὐτῶν δέονται εἰς βοήθειαν καὶ τῶν ἐθνῶν. ἐνταῦθα δὲ, οὐδεμίαν ἐποιοῦντο φροντίδα τούτου, ἀλλ᾽ αὐτοὶ συνέδριον καθίζουσι καὶ ἀναιροῦσιν οὓς ἂν θέλωσι τὸν Στέφανον λον. οὕτω τοὺς ἐμάστιξαν. οὐκ ἐπὶ ἄρχοντας οὕτω καὶ τὸν Παῦλον ἔμελλον ἀναιρεῖν, εἰ μὴ ὁ χιλίαρχος ἐπέρριψεν ἑαυτόν. ἔτι γὰρ τῶν ἱερέων ἑστώτων, ἔτι τοῦ ναοῦ, τῆς λατρείας, τῶν θυσιῶν, τοῦτο ἐγίνετο· ὅρα γοῦν αὐτὸν τὸν Παῦλον ἐπὶ τοῦ ἱερέως κρινόμενον καὶ λέγοντα, "οὐκ ᾔδειν ὅτι ἀρχιερεύς "ἐστιν," καὶ ταῦτα ἐπὶ τοῦ ἄρχοντος· πολλὴν γὰρ εἶχον τότε ἐξουσίαν. ἐννόησον οὖν οἷα πάσχειν εἰκὸς ἦν τοὺς οἰκοῦντας πιστοὺς τὰ Ἱεροσόλυμα καὶ τὴν Ἰουδαίαν.

Ὁ τοίνυν ἀνάθεμα ὑπὲρ τῶν μήπω πιστευσάντων εὐχόμενος γενέσθαι, καὶ τοῖς πιστοῖς οὕτω διακονῶν, ὡς καὶ αὐτὸς πορεύεσθαι εἰ δέοι, καὶ πολλὴν πανταχοῦ πρόνοιαν αὐτῶν ποιησάμενος, μὴ θαυμάσωμεν εἰ καὶ διὰ γραμμάτων αὐτοὺς παρακαλεῖ καὶ παραμυθεῖται, καὶ ἀναπίπτοντας αὐτοὺς καὶ κειμένους ἀνορθοῖ. καὶ γὰρ τεταριχευμένοι λοιπὸν ἦσαν καὶ ἀπεγνωκότες ταῖς πολλαῖς τοῦτο πρὸς τῷ τέλει τῆς Ἐπιστολῆς ἐμφαίνει, λέγων· "διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνωρ-"θώσατε." καὶ πάλιν, "ἔτι μικρὸν, ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, "καὶ οὐ χρονιεῖ." καὶ πάλιν· "εἰ ἐκτός ἐστε παιδείας, ἄρα νόθοι "ἐστὲ, καὶ οὐχ υἱοί." ἐπειδὴ γὰρ Ἰουδαῖοι ἦσαν καὶ αὐτοὶ περὶ τῶν πατέρων μανθάνοντες, ὅτι καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ παρὰ πόδας χρὴ προσδοκᾶν, καὶ οὕτω βιῶναι. τότε δὲ τὸ ἐναντίον ἦν, τὰ μὲν ἀγαθὰ ἐν ἐλπίσι καὶ μετὰ θάνατον, τὰ δὲ κακὰ ἐν χερσί· καὶ εἰκὸς ἦν ὀλιγοψυχεῖν πολλούς· ὑπὲρ τούτου ποιεῖται τὸν λόγον. ἡ ψυχὴ γὰρ ὑπὸ πειρασμῶν πολλῶν καταληφθεῖσα, καὶ τῆς πίστεως διετρέπετο.

Διὸ παραινεῖ προσέχειν τοῖς ἀκουσθεῖσι, καὶ μὴ εἶναι ἔν τινι καρδίαν πονηρὰν ἀπιστίας· διὰ τοῦτο καὶ ἐν ταύτῃ μάλιστα τῇ Ἐπιστολῇ πολλὰ περὶ πίστεως διαλέγεται, καὶ μετὰ πολλὰ ἐν τῷ τέλει δείκνυσιν, ὅτι καὶ τοῖς πατράσιν παρὰ πόδας τὰ ἀγαθὰ ἐπηγγέλλετο, καὶ οὐδὲν ἔδωκε· καὶ χωρὶς τούτων, ἵνα μὴ ἐγκαταλελεῖφθαι νομίσαιεν, δύο κατασκευάζει, ἓν μὲν πρὸς τὸ φέρειν

πάντα γενναίως τὰ συμπίπτοντα, ἕτερον δὲ πρὸς τὸ πάντως προσδοκᾶν τῆς ἀμοιβήν. οὐ γὰρ δὴ περιόψεται τοὺς περὶ Ἄβελ καὶ τοὺς καθεξῆς δικαίους ἀγεράστους. ποιεῖται δὲ τὴν παράκλησιν ἀπὸ τριῶν τρόπων, ἑνὸς μὲν, ἐξ ὧν ἔπαθεν ὁ Χριστὸς, καθὼς καὶ αὐτὸς λέγει, "οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ." ἑτέρου δὲ, ἐξ ὧν ἀπόκειται τοῖς πιστεύουσιν ἀγαθῶν. τρίτου, ἐκ τῶν κακῶν. καὶ τοῦτο οὐκ ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται μόνον, ὅπερ ἦν ἧττον πιθανὸν, ἀλλὰ καὶ ἀπὸ τῶν παρελθόντων καὶ γεγονότων εἰς τοὺς πατέρας αὐτῶν. τοῦτο καὶ ὁ Χριστὸς ποιεῖ· ποτὲ μὲν λέγων, "οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ·" ποτὲ δὲ, "πολλαὶ μοναὶ εἰσὶ παρὰ τῷ Πατρί·" ποτὲ δὲ, μυρία ταλανίζων τοὺς μὴ πεπιστευκότας.

Ποιεῖται δὲ ὁ Παῦλος πολὺν λόγον καὶ περὶ τῆς καινῆς καὶ τῆς παλαιᾶς διαθήκης. καὶ γὰρ πρὸς τὴν τῆς ἀναστάσεως πίστιν, σφόδρα αὐτῷ τοῦτο ἐχρησίμευσεν. ἵνα γὰρ μὴ ἐξ ὧν ἔπαθε διαπιστῶσιν ὅτι ἀνέστη, ἀπὸ προφητῶν αὐτὸ ἰσχυροποιεῖ, καὶ δείκνυσιν οὐκ ὄντα σεμνὰ τὰ Ἰουδαϊκὰ, ἀλλὰ τὰ ἡμέτερα. ἐπειδὴ δὲ ἔτι καὶ ὁ ναὸς συνειστήκει, καὶ τὰ τῶν θυσιῶν, ἠναντιοῦτο δὲ αὐτῷ καὶ τοῦτο, εἰ γὰρ ταῦτα σκιὰ καὶ εἰκὼν, πῶς οὐ παρεχώρησεν, οὐδὲ ὑπεξέστη, τῆς ἀληθείας φανείσης, ἀλλ' ἔτι ταῦτα ἀνθεῖ; ἠρέμα καὶ τοῦτο ἠνίξατο ἐσόμενον εἰς καιρὸν τὸν ἐνεστηκότα· καὶ ὅτι πολὺν χρόνον εἶχον ἐν . . . . στει καὶ ταῖς θλίψεσιν, ἐδήλωσε λέγων, "ὀφείλοντες γὰρ εἶναι διδάσκαλοι διὰ τὸν χρόνον," καὶ "μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας." καὶ "μιμηταὶ ἐγενήθητε τῶν διὰ μακροθυμίας κληρονομούντων τὰς "ἐπαγγελίας." ὅτι δὲ καὶ ὀλιγοψύχουν, δείκνυσιν εἰπὼν, "τὰς "παρειμένας χεῖρας ἀνωρθώσατε." καὶ πάλιν, "οὐ γὰρ ἄδικος ὁ "Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τῆς ἀγάπης." ὅτι μὲν οὖν ἀναγκαίως αὐτοῖς ἔγραφεν, ὧν τοσαύτην ἐποιεῖτο πρόνοιαν, καὶ ὅτι οὐκ ἐκωλύετο γράφειν, καὶ δι' ἣν αἰτίαν πρὸς αὐτοὺς οὐκ ἀπεστάλει, ἤδη εἴρηται. ὅτι δὲ τῆς πνευματικῆς χάριτος ἀνάπλεως ἡ Ἐπιστολὴ, καὶ οὐδὲ τὴν τυχοῦσαν παρέχουσα διαβολῆς ἀφορμὴν, ἡ κατὰ μέρος ἑρμηνεία διδάξει σαφέστερον. ἡ δὲ ὑπόθεσις τῆς Ἐπιστολῆς ἐστὶν αὕτη.

Τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας, οἱ τὴν τῆς ἀπιστίας περι-

κείμενοι νόσον, πολλοῖς καὶ παντοδαποῖς περιέβαλλον ἀλγεινοῖς. τούτων δὲ τῶν παθημάτων, καὶ Θεσσαλονικεῦσιν ὁ θεῖος Ἀπόστολος ἐπιστέλλων, ἐμνήσθη· “ μιμηταὶ,” γάρ φησιν, “ ἐγενήθητε “ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. τὰ γὰρ “ αὐτὰ καὶ ὑμεῖς ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ “ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων.” καὶ αὐτοῖς δὲ γράφων, καὶ τοῦτο προστέθεικε, “ καὶ τὴν ἁπαρχὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χα- “ ρᾶς ἐδέξασθε.” καὶ ὁ μακάριος δὲ ἡμᾶς διδάσκει Λουκᾶς, ὡς πρὸ τῆς κλήσεως ὁ θεῖος Ἀπόστολος ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυλακήν· οὐ μόνον δὲ ταῦτα κατὰ τῶν πεπιστευκότων οἱ ἀπιστοῦντες ἐτόλμων, ἀλλὰ καὶ ἐκωμῴδουν ὡς ἀνθρώπῳ τεθνεῶτι πιστεύειν ἀνασχομένους, καὶ τὸν ὑπὸ τοῦ Θεοῦ δεδομένον καταλελοιπότας νόμον.

Τούτου δὴ χάριν ὁ θεῖος Ἀπόστολος εὐθὺς ἐν τῷ προοιμίῳ, τῶν προφητῶν αὐτῶν ἀποστάντων [h] ἀποδείκνυσι κρείττονα. εἶτα τῆς θεολογίας ἀρξάμενος, ἀΐδιον ἀποφαίνει, καὶ τοῦ Πατρὸς συναΐδιον, καὶ τῶν ἁπάντων δημιουργόν. ἔπειτα τοῖς Ἀγγέλοις παρεξετάσας, τὴν θείαν εἰς μέσον φέρει γραφὴν, διαρρήδην διδάσκουσαν, ὡς ὁ μέν ἐστιν Υἱὸς καὶ Θεὸς, οἱ δὲ λειτουργοὶ καὶ ποιήματα. ἐντεῦθεν δείκνυσιν ὡς τῶν διὰ Μωσέως παρασχεθέντων, μείζονα τὰ παρὰ τοῦ δεσπότου δεδομένα Χριστοῦ. ὁ μὲν γὰρ ἔδωκε τὴν παλαιὰν διαθήκην, ὁ δὲ τὴν καινὴν, ἣν διὰ τῶν προφητῶν προεπηγγείλατο. καὶ ὁ μὲν ὑπέσχετο δώσειν τὴν Παλαιστίνην, ὁ δὲ τὴν βασιλείαν τῶν οὐρανῶν. συγκρίνει δὲ καὶ τῇ Λευϊτικῇ ἱερωσύνῃ τὴν κατὰ τὴν τάξιν Μελχισεδὲκ, καὶ δείκνυσι τὴν ὑπεροχήν. πρὸς τούτοις καὶ τοὺς πρὸ νόμου καὶ τοὺς ἐν νόμῳ τῆς εὐσεβείας τροφίμους διὰ πίστεως ἀποφαίνει περιβλέπτους γεγενημένους. λέγει δὲ αὐτῶν τὰ πάθη καὶ τὴν ἀνδρείαν, τούτους πρὸς τοὺς κινδύνους ἀλείφων· εἶτα τῶν οἰκείων αὐτοὺς ἀναμνήσας ἀγώνων, καὶ στῆναι μέχρι τέλους ἀνδρείως παρακαλέσας, πρὸς τοῖς δογματικοῖς καὶ ἠθικὴν συνάψας παραίνεσιν, πεπλήρωκε τὴν Ἐπιστολήν. γέγραφε δὲ αὐτὴν τῇ Ἑβραίων φωνῇ.

Ὠριγένους. Ἑρμηνευθῆναι δὲ αὐτὴν φασὶν, ὑπὸ Κλήμεντος

[h] Fors. ἁπάντων.

ἢ Λουκᾶ. ὅτι μὲν οὖν ὁ χαρακτὴρ τῆς λέξεως οὐκ ἔχει τὸ ἐν λόγῳ ἰδιωτικὸν τοῦ Ἀποστόλου, ὁμολογήσαντος ἑαυτὸν ἰδιώτην εἶναι τῷ λόγῳ, τουτέστιν τῇ φράσει, ἀλλ᾽ ἔστιν ἡ Ἐπιστολὴ συνθέσει τῆς λέξεως Ἑλληνικωτέρα, πᾶς ὁ ἐπιστάμενος κρίνειν φράσεων διαφορὰς, ὁμολογήσειεν ἄν· πάλιν δὲ ὅτι τὰ νοήματα τῆς Ἐπιστολῆς θαυμάσιά ἐστι, καὶ οὐ δεύτερα τῶν ἀποστολικῶν ὁμολογουμένων γραμμάτων, καὶ τοῦτο ἂν εἴποι ἀληθὲς εἶναι πᾶς ὁ προσέχων τῇ ἀποστολικῇ ἀναγνώσει. ὅθεν ἀποφαινόμενος εἴποιμι ἂν, ὅτι τὰ μὲν νοήματα τοῦ Ἀποστόλου ἐστιν, ἡ δὲ φράσις καὶ ἡ σύνθεσις ἑτέρου ἀπομνημονεύοντος τὰ ἀποστολικὰ, καὶ ὡσπερεὶ σχολογραφήσαντος τὰ εἰρημένα ὑπὸ τοῦ διδασκάλου. οὐκοῦν ὡς Παύλου εὐδοκιμείτω καὶ αὕτη.

ΚΛΗΜΕΝΤΟΣ[i]. Ἐπειδή γε μὴν ὁ Κύριος Ἀπόστολος ὢν τοῦ Παντοκράτορος ἀπεστάλη πρὸς Ἑβραίους, διὰ μετριότητα ὁ Παῦλος οὐκ ἐγγράφει ἑαυτὸν Ἑβραίων Ἀπόστολον, διὰ τὴν πρὸς τὸν Κύριον τιμήν· διά τε τῶν ἐθνῶν εἶναι κήρυξ καὶ Ἀπόστολος, ἐκ περιουσίας δὲ ἐπιστεῖλαι καὶ τοῖς Ἑβραίοις.

Ἡμεῖς δὲ λοιπὸν τῆς ἑρμηνείας ἁψώμεθα.

1 Πολυμερῶς καὶ πολυτρόπως παλαὶ ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν τούτων, ἐλάλησεν ἡμῖν ἐν υἱῷ.

"Ὄντως ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ "χάρις·" τοῦτο γοῦν καὶ ἐνταῦθα ἐν τῷ προοιμίῳ αἰνίττεται ὁ μακάριος Παῦλος, πρὸς Ἑβραίους ἐπιστέλλων. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς   ωρημένους ὑπὸ τῶν κακῶν, καὶ ἀπὸ τούτων τὰ πράγματα κρίνοντας ἡγεῖσθαι ἑαυτοὺς ἐλάττους πάντων τῶν ἄλλων, δεικνύει ταύτῃ μᾶλλον ἀπολελαυκότας μείζονος χάριτος, καὶ σφόδρα ὑπερεχούσης· ἀπ᾽ αὐτῆς τοῦ λόγου τῆς εἰσβολῆς διεγείρων τὸν ἀκροατήν. διὰ τοῦτο φησὶν, ὅτι τοῖς μὲν πατράσι διὰ προφητῶν ὁ Θεὸς ἐλάλησεν· ἡμῖν δὲ, διὰ τοῦ μονογενοῦς. διὰ τί δὲ μὴ ἀντέθηκεν ἑαυτὸν τοῖς προφήταις; καί τοι γε πολὺ μείζων ἦν ἐκείνων, ὅσῳ καὶ μείζονα πεπίστευτο. ἀλλ᾽ οὐ ποιεῖ τοῦτο, τί δήποτε; πρῶτον μὲν, τὸ περὶ ἑαυτοῦ μεγάλα λέγειν παραιτού-

[i] Κλήμ. Cod.

μενος. δεύτερον δὲ, διὰ τὸ τοὺς ἀκροατὰς μηδέπω εἶναι τελείους· καὶ τρίτον, ἐπᾶραι μᾶλλον αὐτοὺς βουλόμενος, καὶ δεῖξαι πολλὴν οὖσαν τὴν ὑπεροχήν. ὡσανεὶ ἔλεγεν· τί μέγα ὅτι προφήτας ἔπεμψε πρὸς τοὺς πατέρας ἡμῶν; πρὸς γὰρ ἡμᾶς αὐτὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ. καὶ καλῶς ἤρξατο οὕτως· "πολυμερῶς καὶ "πολυτρόπως." δείκνυσι γὰρ ὅτι οὐδὲ αὐτοὶ οἱ προφῆται τὸν Θεὸν εἶδον· ὁ μέντοι Υἱὸς εἶδε. τὸ γὰρ "πολυμερῶς καὶ πολυτρόπως," τουτέστι διαφόρως. "ἐγὼ γάρ," φησιν, "ὁράσεις ἐπλήθυνα, καὶ "ἐν χερσὶ προφητῶν ὡμοιώθην·" ὥστε οὐ κατὰ τοῦτο μόνον ἡ ὑπεροχὴ, ὅτι ἐκείνοις μὲν προφῆται ἀπεστάλησαν, ἡμῖν δὲ, ὁ Υἱός· ἀλλ' ὅτι τῶν προφητῶν μὲν οὐδεὶς εἶδε τὸν Θεὸν, ὁ δὲ Υἱὸς ὁ μονογενὴς εἶδεν· ὅπερ εὐθέως οὐ τίθησι· διὰ δὲ τῶν ἑξῆς αὐτὸ κατασκευάζει. καλῶς δὲ καὶ τὸ "ἐπ' ἐσχάτου τῶν ἡμερῶν" εἶπε. καὶ τούτῳ γὰρ αὐτοὺς διανίστησι, καὶ παρακαλεῖ ἀπειρηκότας λοιπὸν πρὸς τὰ δεινά. ὥσπερ γὰρ ἀλλαχοῦ λέγει, "ὅτι ὁ Κύριος "ἐγγὺς, μηδὲν μεριμνᾶτε·" καὶ πάλιν, "νῦν γὰρ ἐγγύτερον ἡμῶν "ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσατε·" οὕτω καὶ ἐνταῦθα. τί οὖν ἐστὶν ὃ λέγει; ὅτι πᾶς ὁ ἐν τῷ ἀγῶνι καταναλωθεὶς, ἐπειδὰν ἀκούσῃ τοῦ ἀγῶνος τὸ τέλος, ἀναπνεῖ μικρὸν, εἰδὼς, ὅτι τῶν μὲν πόνων ἐστὶ τὸ τέλος τοῦτο, τῆς δὲ ἀναπαύσεως ἀρχή. καὶ ἕτερον δέ τι τὸ πάλαι καὶ ἐπ' ἐσχάτου αἰνίττεται· ὅτι πολλοῦ χρόνου γενομένου μέσου, ὅτε ἐμέλλομεν κολάζεσθαι, ὅτε ἐκλελοίπει τὰ χαρίσματα, ὅτε πάντων προσεδοκῶμεν ἐλάττονα ἔχειν, τότε πλέον ἐσχήκαμεν. διὸ καὶ νῦν ἦλθεν, ἵνα μὴ λέγωσιν ἐν ἀρχῇ παραγενομένου, ὅτι δυνατὸν ἦν διὰ νόμου σωθῆναι, καὶ πόνοις οἰκείοις καὶ κατορθώμασι, καὶ οὐ χάριτι. καὶ θέα πῶς συνετῶς αὐτὸ εἴρηκεν· οὐ γὰρ εἶπεν ὁ Χριστὸς ἐλάλησεν, καί τοι γε αὐτὸς ἦν ὁ λαλήσας, ἀλλ' ἐπειδὴ ἀσθενεῖς ἦσαν αὐτῶν αἱ ψυχαὶ, καὶ οὐδέπω ἀκούειν ἠδύναντο τὰ περὶ τοῦ Χριστοῦ, φησὶν ὅτι ὁ Θεὸς διὰ τοῦ Υἱοῦ ἐλάλησεν· ἰδοὺ τὸ ἐν Υἱῷ, διὰ τοῦ Υἱοῦ φησιν, πρὸς τοὺς λέγοντας τῷ Πνεύματι τοῦτο ἁρμόζειν. ὁρᾷς ὅτι καὶ τὸ ἐν διά ἐστιν. ὅρα δὲ πῶς καὶ τὴν εὐεργεσίαν κοινοποιεῖ, καὶ ἐξισοῖ τοῖς μαθηταῖς ἑαυτὸν ὁ Παῦλος λέγων· "ἐλάλησεν ἡμῖν," καί τοι γε αὐτῷ οὐκ ἐλάλησεν, ἀλλὰ τοῖς Ἀποστόλοις, καὶ δι' αὐτῶν τοῖς πολλοῖς.

ἀλλ' ἐπαίρει αὐτοὺς, καὶ δείκνυσιν ὅτι καὶ αὐτοῖς ἐλάλησε, καὶ οὐδὲ καθάπτεται τῶν Ἰουδαίων. σχεδὸν γὰρ ἅπαντες οἷς ἐλάλησαν οἱ προφῆται, μοχθηροί τινες ἦσαν καὶ μιαροὶ, καὶ οὔπω περὶ τούτων ποιεῖται τὸν λόγον· τέως δὲ περὶ τῶν προκειμένων παρὰ τοῦ Θεοῦ δωρεῶν.

Ἔδειξε δὲ ὅτι καὶ ἡ καινὴ καὶ ἡ παλαιὰ ἑνός ἐστι καὶ τοῦ αὐτοῦ. καὶ ὅσον τὸ διάφορον τοῦ δεσπότου Χριστοῦ καὶ τῶν προφητῶν· αὐτὸν γὰρ μόνον Υἱὸν προσηγόρευσεν. ἔοικε δὲ τὸ προοίμιον τῇ τοῦ Κυρίου παραβολῇ. καὶ γὰρ ὁ Κύριος τὴν περὶ τοῦ ἀμπελῶνος παραβολὴν εἰρηκὼς, ἔδειξε πρώτους μὲν δούλους ἀποσταλέντας πρὸς τοὺς πονηροὺς γεωργοὺς, εἶτα μετὰ τὴν ἐκείνων ἀναίρεσιν τὸν υἱὸν παραγενόμενον. τὸ μέντοι "πολυμερῶς" τὰς παντοδαπὰς οἰκονομίας σημαίνει· τὸ δὲ "πολυτρόπως," τὸ διάφορον τῶν θείων ὀπτασιῶν· ἄλλως γὰρ ὤφθη τῷ Ἀβραὰμ, καὶ ἄλλως τῷ Μωυσῇ, καὶ ἑτέρως Ἠλίᾳ, καὶ ἄλλως τῷ Μιχαίᾳ· καὶ Ἡσαΐας δὲ καὶ Δανιὴλ καὶ Ἰεζεκιὴλ διάφορα ἐθεάσαντο σχήματα. τοῦτο διδάσκων ὁ τῶν ὅλων ἔφη Θεός· "ἐγὼ ὁράσεις "ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην." οὐ γὰρ πολύμορφος ἡ θεία φύσις, ἀλλὰ ἀνείδεός τε καὶ ἀσχημάτιστος, καὶ ἁπλῆ καὶ ἀσύνθετος. οὐκ αὐτὴν τοίνυν ἑώρων τὴν ἀνέφικτον φύσιν, ἀλλά τινα σχήματα, ἃ πρὸς τὴν χρείαν ὁ ἀόρατος ἐδείκνυ Θεός.

Περὶ ἀκαταλήπτου. Ὅτι δὲ οὐκ ἴσασι τοῦ Θεοῦ τὴν οὐσίαν οὐδὲ οἱ Ἄγγελοι, Ἰωάννης βοᾷ· "Θεὸν οὐδεὶς ἑώρακε πώποτε." ἀλλ' ἴδωμεν καὶ τὸ ἀντικροῦον· "Θεὸν οὐδεὶς ἑώρακε." τί οὖν ποιήσομεν τοῖς προφήταις λέγουσιν ὅτι εἶδον τὸν Θεόν; ὁ μὲν γὰρ Ἡσαΐας φησὶν, "εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ." ὁ δὲ Δανιὴλ "εἶδον," φησὶν, "ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς "ἡμερῶν ἐκάθισεν." ὁ δὲ Μιχαίας, "εἶδον τὸν Κύριον τὸν Θεὸν "τοῦ Ἰσραὴλ, καθήμενον ἐπὶ τοῦ θρόνου αὐτοῦ." καὶ ἕτερος· "εἶδον τὸν Κύριον ἑστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπέ μοι "πάταξον ἐπὶ τὸ ἱλαστήριον." καὶ πολλὰς τοιαύτας ἐστὶ συναγαγεῖν μαρτυρίας. πῶς οὖν Ἰωάννης, ὅτι "Θεὸν οὐδεὶς ἑώρακεν;" ἵνα μάθῃς ὅτι τὴν ἀκριβῆ αὐτοῦ κατάληψιν, καὶ τὴν τετρανωμένην

γνῶσιν λέγει· ὅτι γὰρ πάντα ἐκεῖνα συγκατάβασις ἦν, καὶ ἀκραιφνῆ τὴν οὐσίαν οὐδεὶς εἶδεν ἐκείνων, δῆλον ἐκ τοῦ διαφόρως ἕκαστον ὁρᾷν. ὁ γὰρ Θεὸς ἁπλοῦς καὶ ἀσύνθετος καὶ ἀσχημάτιστος· οὗτοι δὲ πάντες σχήματα ἔβλεπον διάφορα. τοῦτο γοῦν αὐτὸ δι᾽ ἑτέρου προφήτου ἐμφαίνων, καὶ πείθων αὐτοὺς ὡς οὐκ ἀκριβῆ τὴν οὐσίαν εἶδον, ἔλεγεν, "ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν "χερσὶ προφητῶν ὡμοιώθην," οὐκ αὐτὴν τὴν οὐσίαν δείξας τὴν ἐμὴν, ἀλλὰ συγκαταβὰς πρὸς τὴν τῶν ὁρώντων ἀσθένειαν. καὶ Μωσῆς δὲ ἐπιθυμῶν αὐτὸν ὀφθαλμοφανῶς ἰδεῖν, ἤκουεν, "οὐδεὶς "ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται." ὅταν δὲ λέγῃ, "Θεὸν "οὐδεὶς ἑώρακεν," ὅρασιν ἐνταῦθα τὴν γνῶσιν εἶναι νόμιζε· καὶ περὶ τῶν Σεραφὶμ ὅταν ἀκούσῃς ὅτι ἀπέστρεψαν τοὺς ὀφθαλμοὺς, μὴ ὀφθαλμοὺς καὶ κόρας αὐτῶν νόμιζε, σωμάτων γὰρ οὗτος ὁ σχηματισμὸς, ἀλλὰ διὰ τούτων τὴν γνῶσιν αὐτῶν αἰνίττεσθαι πίστευε τὸν προφήτην. ὅταν οὖν λέγῃ ὁ προφήτης ὅτι συγκαταβαίνοντα τὸν Θεὸν ἰδεῖν οὐκ ἤνεγκαν τὰ Σεραφὶμ, οὐδὲν ἄλλο λέγει, ἀλλ᾽ ἢ ὅτι τὴν γνῶσιν αὐτοῦ τετρανωμένην ἐνεγκεῖν οὐ δύνανται, οὐδὲ τολμῶσιν ἀτενὲς ἰδεῖν πρὸς τὴν ἀκραιφνῆ οὐσίαν. τὸ δὲ ἀτενὲς ἰδεῖν, τὸ γνῶναι ἐστίν.

Θεοδωρητος. Τὸ μέν τοι "πολυμερῶς καὶ πολυτρόπως," καὶ ἕτερόν τι αἰνίττεται, ὅτι τῶν προφητῶν ἕκαστος, μερικήν τινα οἰκονομίαν ἐνεχειρίζετο. ὁ δὲ τούτων Θεὸς, ὁ δεσπότης λέγω Χριστὸς, οὐ μίαν τινα ᾠκονόμησε χρείαν, ἀλλὰ τὸ πᾶν ἐνανθρωπίσας κατώρθωσε, καὶ τὴν τῶν ἀνθρώπων ἐπραγματεύσατο σωτηρίαν.

Ἀθανάσιος κατὰ Ἀρείου καὶ Ἀπολιναρίου. Σὺ δέ μοι ἐπισήμηνον, ὅτι ποτὲ μὲν λέγει ἡ γραφὴ, ὅτι Πνεῦμα Ἅγιον ἐλάλει ἐν τοῖς προφήταις, ἐνταῦθα δὲ ὁ Παῦλος ὅτι ὁ Πατὴρ ἐλάλει ἐν τοῖς προφήταις· ἀλλαχοῦ δὲ, ὅτι ὁ Υἱὸς ἐλάλει, καθὼς φησὶν, "ἢ "δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;" ὁ δὲ Υἱὸς, τὸ Πνεῦμα εἶπε τὸ λαλοῦν ἐν τοῖς Ἀποστόλοις. ταῦτα δὲ εἴρηται, ἵνα γνῷς, ὅτι μία τῆς ἁγίας Τριάδος ἐνέργεια, καὶ τὰ αὐτὰ ἔργα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος.

2 Ὃν ἔθηκε κληρονόμον πάντων.

Χρυσόστομος. Ἐνταῦθα τὴν σάρκα φησὶν, καθὼς καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ λέγει, "αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν

"κληρονομίαν σου." οὐκέτι γὰρ μερὶς Κυρίου Ἰακὼβ, οὐδὲ κλῆρος αὐτῷ ὁ Ἰσραὴλ, ἀλλὰ πάντες, τουτέστι, τοῦτον Κύριον πάντων ἐποίησεν, ὃ καὶ ἐν ταῖς Πράξεσιν ὁ Πέτρος ἔφη· "ὅτι Κύριον "καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε." τῷ δὲ τοῦ κληρονόμου ὀνόματι κέχρηται, δύο δηλῶν, καὶ τὸ τῆς υἱότητος γνήσιον, καὶ τὸ τῆς κυριότητος ἀναπόσπαστον.

ΔΙ[f]. Ὅρα δὲ πῶς ἀπὸ τῶν ἀνθρωπίνων ὁ θεῖος Ἀπόστολος ἤρξατο, καὶ τὰ ταπεινότερα πρῶτα λέγων, οὕτως ἅπτεται τῶν μειζόνων· κληρονόμος γὰρ πάντων, τουτέστι τοῦ κόσμου παντὸς ὁ δεσπότης Χριστὸς, οὐχ ὡς Θεὸς ἀλλ' ὡς ἄνθρωπος. ὡς γὰρ Θεὸς, ποιητής ἐστι πάντων. ὁ δὲ πάντων δημιουργὸς, φύσει πάντων δεσπότης. ὁ δὲ κληρονόμος ἀποφαίνεται Κύριος ὢν οὐκ[g] ἦν πάντων δεσπότης. οὕτως οἱ πιστεύοντες κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι Χριστοῦ. χάριτι γὰρ λαμβάνουσιν ὃ μὴ πρότερον εἶχον. ὅτι δὲ αὐτὸς τῶν ἁπάντων δεσπότης, τὰ ἐπαγόμενα μαρτυρεῖ.

Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε.

Θεοδωρητος. Τοῦτο δηλωτικὸν τῆς θεότητος· οὐ γὰρ μόνον αὐτὸν δημιουργὸν, ἀλλὰ καὶ ἀΐδιον ἔδειξεν. ὁ γὰρ αἰὼν, οὐκ οὐσία τίς ἐστιν, ἀλλ' ἀνυπόστατον χρῆμα, συμπαρομαρτοῦν τοῖς γενητὴν ἔχουσι φύσιν· καλεῖται γὰρ αἰὼν, καὶ τὸ ἀπὸ τῆς τοῦ κόσμου συστάσεως μέχρι τῆς συντελείας διάστημα, κατὰ τὸ "μεθ' ὑμῶν "εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος." καὶ τῆς ἑκάστου δὲ ἡμῶν ζωῆς τὸν χρόνον αἰῶνα κέκληκεν ὁ θεῖος Δαβὶδ εἰπὼν, "ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου." καὶ τοῦ μέλλοντος δὲ βίου τὴν σύστασιν αἰῶνα προσηγόρευσεν ὁ θεῖος Ἀπόστολος. "οὐ μόνον γὰρ" φησιν "ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ "καὶ ἐν τῷ μέλλοντι." καὶ πάλιν "ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι "τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ "ἐν χρηστότητι ἐφ' ἡμᾶς." αἰὼν τοίνυν ἐστὶ τὸ τῇ κτιστῇ φύσει παρεζευγμένον διάστημα. τῶν αἰώνων δὲ ποιητὴν εἴρηκε τὸν Υἱὸν, ἀΐδιον αὐτὸν αὐτῶν διδάσκων, καὶ παιδεύων ἡμᾶς ὡς ἀεὶ ἦν παντὸς οὑτινοσοῦν ὑπερκείμενος χρονικοῦ διαστήματος· οὕτω περὶ τοῦ Θεοῦ καὶ Πατρὸς ἡ παλαιὰ λέγει γραφή· "ὁ ὑπάρχων πρὸ τῶν αἰώνων," ἀντὶ τοῦ ἀεὶ ὤν.

[f] Sic. [g] Hæc corrupta sunt.

Βασιλείου πρὸς .... Ἀμφιλόχιον. Ποῦ εἰσιν οἱ λέγοντες ἦν ὅτε οὐκ ἦν ὁ Υἱός; οὐ γὰρ ὑπὸ χρόνον ὁ ποιητὴς τῶν αἰώνων. ἐπειδὴ δὲ αἴτιος ὁ Πατὴρ τοῦ Υἱοῦ, εἰκότως καὶ τῶν ὑπ' αὐτοῦ γεγονότων. διὰ τοῦτο φησὶν "δι' οὗ." ὁ Πατὴρ γὰρ δοκεῖ ποιεῖν, ὃς τὸν ποιήσαντα Υἱὸν ἐγέννησεν. ἀλλ' οἱ αἱρετικοὶ τῷ μὲν Θεῷ καὶ Πατρὶ ὥσπερ τινὰ κλῆρον, τὸ ἐξ οὗ προσνέμουσι, τῷ δὲ Υἱῷ, τὸ "δι' οὗ" ἀφώρισαν· τῷ δὲ Ἁγίῳ Πνεύματι, τὸ ἐν ᾧ· καὶ φασὶ μηδέποτε τὴν χρῆσιν ταύτην τῶν συλλαβῶν ἐπαμείβεσθαι, ἵνα τῷ παρηλλαγμένῳ τῆς ἐκφωνήσεως καὶ ἡ τῆς φύσεως παραλλαγὴ συνεμφαίνεται· τὸ μὲν γὰρ ἐξ οὗ, τὸν δημιουργὸν σημαίνειν βούλονται, τὸ δὲ δι' οὗ, τὸν ὑπουργὸν ἢ τὸ ὄργανον, τὸ δὲ ἐν ᾧ, τὸν χρόνον δηλοῦν, ἢ τὸν τόπον· ἵνα μηδὲν μὲν ὀργάνου σεμνότερος ὁ δημιουργὸς τῶν ὅλων νοῆται· μηδὲν δὲ τῆς ἀπὸ χρόνου ἢ τόπου συνεισφορᾶς εἰς τὰ ὄντα, πλεῖον φαίνηται τὸ Πνεῦμα τὸ Ἅγιον παρεχόμενον.

Ὑπηγάγετο μέντοι αὐτοὺς πρὸς τὴν ἀπάτην ταύτην ἡ τῶν ἔξωθεν παρατήρησις, οἳ τὸ ἐξ οὗ καὶ τὸ δι' οὗ κεχωρισμένοις πράγμασιν προσδιένειμαν. ἐκεῖνοι γὰρ οἴονται, τὸ μὲν ἐξ οὗ, τὴν ὕλην δηλοῦν· τὸ δὲ δι' οὗ, τὸ ὄργανον παριστᾷν· ἢ ὅλως, τὴν ὑπουργίαν· μᾶλλον δὲ, ἵνα τὸ πρὸς ἑαυτοὺς ἀσύμφωνον αὐτῶν διελέγξωμεν, ἐκεῖνοι τοῦ αἰτίου τὴν φύσιν πολλαχῶς ἐξηγούμενοι, καὶ τοῦτο εἰς τὰ οἰκεῖα σημαινόμενα διαιροῦντες, τὰ μὲν προκαταρκτικὰ λέγουσι τῶν αἰτίων, τὰ δὲ συνεργὰ ἢ συναίτια, τὰ δὲ τόπων λόγον ἐπέχειν. ἑκάστῳ μέντοι τούτων, ἰδιάζουσαν καὶ τὴν ἐκφώνησιν ἀφορίζουσαν[h], ὥστε ἄλλως τὸν δημιουργὸν σημαίνεσθαι, καὶ τὸ ὄργανον ἄλλως· τῷ μὲν γὰρ δημιουργῷ, πρέπειν οἴονται τὸ ὑφ' οὗ· κυρίως γάρ φησιν λέγεσθαι ὑπὸ τοῦ τέκτονος γεγενῆσθαι τὸ βάθρον, τῷ δὲ ὀργάνῳ τὸ δι' οὗ, οἷον διὰ σκεπάρνου· τὸ δὲ ἐξ οὗ, τῆς ὕλης ἴδιον τίθενται· ἐκ ξύλου γὰρ αὐτῷ τὸ δημιούργημα. τὸ δὲ καθ' ὃ, τὸ ἐνθύμιον δηλοῦν, ἢ τὸ ἐκκείμενον ὑπόδειγμα τῷ τεχνίτῃ· τὸ δὲ δι' ὃ τῷ τέλει προσήκειν βούλονται, οἷον διὰ τὴν χρῆσιν τῶν ἀνθρώπων· τὸ δὲ ἐν ᾧ τὸν χρόνον παριστᾶν ἢ τὸν τόπον.

Ταῦτα οὗτοι θαυμάσαντες, ἐπὶ τὴν ἁπλῆν καὶ ἀτεχνολόγητον τοῦ Πνεύματος διδασκαλίαν μετακομίζουσιν, εἰς ἀθέτησιν μὲν τοῦ

[h] Leg. ἀφορίζουσιν.

Θεοῦ Λόγου, ἀθέτησιν δὲ τοῦ θείου Πνεύματος· οἵ γε τὴν ἐπὶ ἀψύχων ὀργάνων ἢ τῆς ὑποχειρίου ὑπηρεσίας ἀφωρισμένην φωνὴν παρὰ τῶν ἔξωθεν, τὴν δι' οὗ λέγω, οὐκ ὤκνησαν ἐπὶ τὸν δεσπότην τῶν ὅλων μεταθεῖναι, καὶ οὐκ αἰσχύνονται οἱ Χριστιανοὶ, πρίονος, ἢ σφύρας τῷ δημιουργῷ φωνὴν ἀφορίζοντες. ἡμεῖς δὲ κεχρῆσθαι μὲν τὴν γραφὴν ταῖς φωναῖς ταύταις πολλαχοῦ ὁμολογοῦμεν, οὐ μὴν τήν γε τοῦ Πνεύματος ἐλευθερίαν δουλεύειν πάντως φαμὲν τῇ μικροπρεπείᾳ τῶν ἔξωθεν, ἀλλὰ κατὰ τὸ ἀεὶ προστυγχάνον οἰκείως ταῖς χρείαις ὑπαλλάττειν τὰς ἐκφωνήσεις· οὐ γὰρ πάντως τὸ ἐξ οὗ τὴν ὕλην σημαίνειν, ἀλλὰ συνηθέστερον τῇ γραφῇ ἐπὶ τῆς ἀνωτάτω αἰτίας τὴν φωνὴν ταύτην παραλαμβάνειν, ὡς ἐπὶ τοῦ "εἷς Θεὸς, ἐξ οὗ τὰ πάντα." καὶ οὔτε ὁ Πατὴρ τὸ ἐξ οὗ λαβὼν τῷ Υἱῷ προσέρριψε τὸ δι' οὗ, οὔτ' ὁ Υἱὸς τὸ Πνεῦμα εἰς τὴν τοῦ ἐξ οὗ ἢ τὴν τοῦ δι' οὗ κοινωνίαν οὐ παραδέχεται.

Ὅτι δὲ αὗται αἱ φωναὶ ἀλλήλαις οὐκ ἀντιτάσσονται, οὐδ' ὥσπερ ἐν πολέμῳ πρὸς ἀντίπαλον τάξιν ἀποκριθεῖσαι συνεκπολεμοῦσι τὰς φύσεις αἷς προσεχώρησαν, ἐκεῖθεν δῆλον. συνήγαγε γὰρ ἀμφοτέρας ὁ Ἀπόστολος ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ὑποκειμένου, εἰπὼν περὶ τοῦ Κυρίου, "ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν "τὰ πάντα." εἰ δὲ μὴ ἐπὶ τοῦ Κυρίου δώσουσι τὰς τρεῖς εἰρῆσθαι φωνὰς, τήν τε ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα, ἀνάγκη πᾶσα προσοικειοῦν αὐτὰς τῷ Θεῷ καὶ Πατρί. ἐκ δὲ τούτου, προδήλως αὐτῶν διαπεσεῖται τὸ παρατήρημα. εὑρίσκεται γὰρ, οὐ μόνον τὸ ἐξ οὗ, ἀλλὰ καὶ τὸ δι' οὗ τῷ Πατρὶ προσαγόμενον· ὅπερ εἰ μὲν οὐδὲν ταπεινὸν ἐμφαίνει, τί δήποτε ὡς ὑποδεέστερον ἀφορίζουσιν αὐτὸ τῷ Υἱῷ; εἰ δὲ πάντως ἐστὶ διακονίας δηλωτικὸν, ἀποκρινάσθωσαν ἡμῖν, ὁ Θεὸς τῆς δόξης καὶ Πατὴρ τοῦ Χριστοῦ, τίνος ἐστὶν ἄρχοντος ὑπηρέτης; ἐκεῖνοι μὲν οὖν οὕτως ὑφ' ἑαυτῶν περιτρέπονται. ἡμεῖς δὲ φαμὲν, ὅτι πάντα διὰ τοῦ Υἱοῦ ἐγένετο, οὐκ ὀργανικήν τινα οὐδὲ δουλικὴν ὑπηρεσίαν πληροῦντος, ἀλλὰ δημιουργικῶς τὸ πατρικὸν ἐκτελοῦντος θέλημα· καὶ ὁ Πατὴρ δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν, ὡς δι' οἰκείας χειρὸς καὶ δυνάμεως· "Χριστὸς γὰρ Θεοῦ δύναμις."

Κυρίλλου Θησαυρικῶν. Ὅρα δέ μοι πῶς αὐτὸν ὁ Παῦλος θεολογεῖ, κρείττονα γὰρ τῆς διὰ Μωσέως διαθήκης καὶ τῶν προ-

φητικῶν κηρυγμάτων, τὴν εὐαγγελικὴν ἀποδεικνύων παίδευσιν, ἀπὸ τῆς τῶν προσώπων διαφορᾶς ποιεῖται τὴν διάκρισιν. κατὰ μὲν οὖν τὸ ἀρχαῖον διὰ τῶν προφητῶν τοῖς πατράσιν ἀνακεκηρύχθαι τὸν λόγον διϊσχυρίσατο, ἐπ' ἐσχάτου δὲ τῶν καιρῶν δι' Υἱοῦ, τοσαύτην ἔχοντος πρὸς ἐκείνους τὴν ὑπεροχὴν, ὡς τοὺς μὲν τὸ οἰκετικὸν οὐχ ὑπερβαίνοντας μέτρον, τὸ τάδε λέγει Κύριος ἀναφωνεῖν, τὸν δὲ δεσποτικὸν ἀξίωμα φοροῦντα λέγειν ὡς Υἱὸν, "ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις, ἐγὼ δὲ λέγω ὑμῖν." πῶς οὖν ἐν κτίσμασιν ὁ κατὰ φύσιν Υἱός; ἢ πῶς ἐν δούλοις ὁ πάντων δεσπότης τετάξεται; καὶ εἰ πάντων ἐστὶ κληρονόμος, ἕτερος ἐστὶ παρὰ πάντα καὶ ὧν ἐστὶ κληρονόμος· καὶ εἰ δι' αὐτοῦ πεποίηκε τοὺς αἰῶνας, οὐκ ἂν εἴη τῶν γενητῶν, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. ἐπείπερ οὐδὲν τῶν κτισμάτων προγενεστέραν τοῦ αἰῶνος ἔχει τὴν γένεσιν, ἀλλ' ἐν χρόνῳ πεποίηται. μόνῳ δὲ πρόσεστι τῷ Υἱῷ, τὸ ἀχρόνως αὐτὸ μετὰ τοῦ Πατρός.

. . . ἘΚ ΤΩ͂Ν ΚΑΤΑΣΤΆΣΕ . . . ΚΆ . . Ω͂. Οὕτως ἂν τηροῖτο "εἷς "μὲν Θεὸς," εἰς ἓν αἴτιον Υἱοῦ καὶ Πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, οὐδὲ συναλειφομένων. καὶ κατὰ τὸ ταυτὸν καὶ ἓν τῆς θεότητος, ἵν' οὕτως ὀνομάσω, κίνημά τε καὶ βούλημα καὶ τὴν τῆς οὐσίας ταυτότητα. αἱ δὲ τρεῖς ὑποστάσεις, μηδεμιᾶς ἐπινοουμένης συναλοιφῆς ἢ ἀναλύσεως ἢ συγχύσεως, ἵνα μὴ τὸ πᾶν καταλυθῇ, δι' ὧν τὸ ἓν πλέον σεμνύνεται, ἧ καλῶς ἔχει. αἱ δὲ ἰδιότητες πατρὸς μὲν καὶ ἀνάρχου καὶ ἀρχῆς ἐπινοουμένου καὶ λεγομένου, ἀρχῆς δὲ ὡς αἰτίου, καὶ ὡς πηγῆς, καὶ ὡς ἀϊδίου φωτός. Υἱοῦ δὲ ἀνάρχου μὲν οὐδαμῶς, ἀρχῆς δὲ τῶν ὅλων. ἀρχὴν δ' ὅταν εἴπω, μὴ χρόνον παρενθῇς, μηδὲ μέσον τί τάξῃς τοῦ γεγεννηκότος καὶ τοῦ γεννήματος· μηδὲ διέλῃς τὴν φύσιν τῷ κακῶς παρεντεθέντι τοῖς συναϊδίοις καὶ τοῖς συνειρημμένοις. εἰ γὰρ χρόνος Υἱοῦ πρεσβύτερον, ἐκείνου δηλαδὴ πρῶτος ἂν εἴη ὁ Πατὴρ καὶ ποιητὴς χρόνων, ὁ ὑπὸ χρόνον. πῶς δὲ καὶ Κύριος πάντων, εἰ ὑπὸ χρόνου προείληπταί τε καὶ κυριεύεται. ἄναρχος οὖν ὁ Πατὴρ, οὐ γὰρ ἑτέρωθεν αὐτῷ, οὐδὲ παρ' ἑαυτοῦ τὸ εἶναι. ὁ δὲ Υἱὸς, ἐὰν μὲν ὡς αἴτιον τὸν Πατέρα λαμβάνεις, οὐκ ἄναρχος. ἀρχὴ γὰρ Υἱοῦ Πατὴρ, ὡς αἴτιος· ἐὰν δὲ τὴν ἀπὸ χρόνου νοῇς ἀρχὴν, καὶ ἄναρχος· οὐκ ἄρχεται γὰρ ὑπὸ χρόνου ὁ χρόνων δεσπότης. εἰδ' ὅτι τὰ σώματα ὑπὸ

χρόνον, διὰ τοῦτο ἀξιώσεις κεῖσθαι καὶ τὸν Υἱὸν ὑπὸ χρόνον, περιθήσεις καὶ σῶμα τῷ ἀσωμάτῳ· καὶ εἰ ὅτι τὰ παρ᾽ ἡμῶν γεννώμεθα, οὐκ ὄντα ποτὲ, εἶτα γινόμενα, διὰ τοῦτο καὶ τὸν Υἱὸν ἀναγκάσεις ἐξ οὐκ ὄντων εἰς τὸ αὐτοῦ παρεληλυθέναι, συγκρίνεις τὰ ἀσώματα, Θεὸν καὶ ἄνθρωπον, σῶμα καὶ ἀσώματον· οὐκοῦν καὶ πείσεται καὶ λυθήσεται, ὅτι καὶ τὰ ἡμέτερα σώματα. σὺ μὲν οὖν ἀξιοῖς διὰ τοῦτο οὕτω γεννᾶσθαι Θεὸν, διότι τὰ σώματα, ἐγὼ δὲ διὰ τοῦτο οὐχ οὕτως, ὅτι οὕτως τὰ σώματα· ὧν γὰρ τὸ αὐτοῦ οὐχ ὅμοιον, τούτων οὐδὲ τὸ γεννᾶν ὅμοιον. πλὴν ὁ Ἀπόστολος ἐπειδὴ Υἱὸν εἰπὼν, ἀΐδιον αὐτὸν προσηγόρευσε· ἀπίθανον δέ πως αὐτῷ ἐδόκει τοῖς ἀμυήτοις τῶν θείων, τὸ Υἱὸν ὄντα μὴ δεύτερον εἶναι τοῦ γεγεννηκότος τῷ χρόνῳ, ἀπό τινος ὁρωμένης εἰκόνος δείκνυσι τὴν τῆς θεολογίας ἀλήθειαν, καὶ φησίν, " ὃς ὢν ἀπαύγασμα τῆς " δόξης." τὸ γὰρ ἀπαύγασμα καὶ ἐκ τοῦ πυρὸς ἐστὶ, καὶ σὺν τῷ πυρὶ ἐστί. καὶ αἴτιον μὲν ἔχει τὸ πῦρ, ἀχώριστον δέ ἐστι τοῦ πυρός· ἐξ οὗ γὰρ τὸ πῦρ, ἐξ ἐκείνου καὶ τὸ ἀπαύγασμα. εἰ τοίνυν ἐπὶ τῶν αἰσθητῶν δυνατὸν αὐτῷ ὅτι ἔκ τινος, καὶ συνυπάρχειν τούτῳ, ἐξ οὗ περ ἐστὶ, μὴ ἀμφιβάλῃς, φησὶν, ὡς ὁ Θεὸς Λόγος, ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, καὶ γεγέννηται ὡς Υἱὸς, καὶ συνυπάρχει τῷ γεγεννηκότι ὡς Λόγος, ὡς ἀπαύγασμα δόξης· ἐξ οὗ γὰρ ἡ δόξα, ἐξ ἐκείνου καὶ τὸ ἀπαύγασμα, καὶ τῷ πυρὶ δὲ ὁμοφυὲς τὸ ἀπαύγασμα· οὐκοῦν καὶ ὁ Υἱὸς τῷ Πατρί.

Ἐκ τῶν κατὰ αἱρέσεων. *Πρῶτον μὲν οὖν, ὅπερ ἔφην, τῶν αἰώνων αὐτὸν δείκνυσι ποιητήν. ἐπειδὴ δὲ οἱ τὰ θεῖα νοεῖν θεοπρεπῶς οὐκ ἐθέλοντες, οὐκ οἴονται δυνατὸν συναΐδιον εἶναι τοῦ Θεοῦ τὸν ἐκ Θεοῦ· τῷ νόμῳ γὰρ τῆς τῶν ἀνθρώπων φύσεως, καὶ τὴν θείαν ὑποκεῖσθαι φύσιν ἀνοήτως νομίζοντες, πρεσβύτερον ὑπειλήφασι τοῦ Υἱοῦ τὸν Πατέρα, διαγενόμενος ἱκανῶς ὁ θεῖος Ἀπόστολος ἐναργῶς ἐπιδείκνυσιν, ὅτι καὶ ἐκ Θεοῦ καὶ σὺν τῷ Θεῷ ἐστὶν ὁ μονογενὴς Υἱός. ἀπαύγασμα γὰρ αὐτὸν προσηγόρευσε δόξης. τὸ δὲ ἀπαύγασμα καὶ ἐκ τοῦ πυρὸς ἔχει τὴν ὕπαρξιν, καὶ τῷ πυρὶ συνυπάρχει. συμπέφυκε γὰρ τῷ πυρὶ τὸ ἀπαύγασμα καὶ ἡ ἀκτὶς τῷ ἡλίῳ. ἐξ οὗ γὰρ ἥλιος, ἐξ ἐκείνου καὶ ἀκτῖνες. ἀλλ᾽ αἴτιος τῶν ἀκτίνων ὁ ἥλιος, καὶ τὸ πῦρ τοῦ ἀπαυγάσματος· οὐ γὰρ ἥλιος ἐξ ἀκτίνων, ἀλλ᾽ ἀκτῖνες ἐκ τοῦ ἡλίου γεννῶνται, καὶ τὸ ἀπαύγασμα ἐκ τοῦ πυρὸς*

φύεται. οὕτως ὁ μονογενὴς Υἱὸς γεγέννηται μὲν ἐκ τοῦ Πατρὸς, συνέστη δὲ τῷ γεγεννηκότι, ὡς ὁ λόγος τῷ νῷ, καὶ τὸ ἀπαύγασμα τῷ πυρὶ, καὶ ἡ ἀκτὶς τῷ ἡλίῳ· ἀλλὰ τούτων ἕκαστον οὐχ ὑφέστηκεν αὐτὸ καθ' αὐτὸ, ἀλλ' ἐν ἐκείνῳ ἐξ οὗ περ ἔφυ, τὴν ὑπόστασιν ἔχει. ὁ δὲ Θεὸς Λόγος, τὸ ἀπαύγασμα τῆς δόξης, οὐκ ἐνέργειά τίς ἐστιν, ἀνυπόστατος τοῦ Πατρὸς, ἀλλ' ὑπόστασις ζῶσα καὶ καθ' αὑτὴν ὑφεστῶσα. οὐ γὰρ ἁπλῶς Λόγος ὠνόμασται, ἀλλὰ Θεὸς Λόγος· οὐδὲ μόνον "ἀπαύγασμα δόξης," ἀλλὰ καὶ "χαρακτὴρ ὑποστάσεως." ἐπειδὴ γὰρ τοῦ ἀπαυγάσματος ἡ εἰκὼν, τὸ μὲν συναΐδιον καὶ ὁμοούσιον ἀποχρώντως δεδήλωκεν, ἀφορμὴν δὲ παρεῖχε βλασφημίας τοῖς τὰ Σαβελλίου καὶ Φωτεινοῦ νοσοῦσι· καθ' ἑαυτὸ γὰρ οὐχ ὑφέστηκε τὸ ἀπαύγασμα, δι' ἑτέρας εἰκόνος καὶ ταύτην ἐξορίζει τὴν βλασφημίαν· ἐπάγει γὰρ,

3 Καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ.

Θεοδώρητος. Καθ' ἑαυτόν φησιν ὑφέστηκεν, ὅλον ἐν ἑαυτῷ δεικνὺς τὸν Πατέρα. τοὺς γὰρ πατρικοὺς περίκειται χαρακτῆρας. οὕτω διὰ πλειόνων ὀνομάτων ἐδίδαξεν ἡμᾶς ὁ θεῖος Ἀπόστολος, καὶ τὸ γνήσιον τῆς γεννήσεως, καὶ τὸ ὁμοούσιον καὶ συναΐδιον. ἐπειδὴ γὰρ πάντα νοῦν ὑπερβαίνει τὰ θεῖα, καὶ οὐχ οἷόν τε διὰ μιᾶς μόνης εἰκόνος τὸ τῆς θεολογίας διδάξαι μυστήριον, διὰ πλειόνων τοῦτο ποιεῖν ἀναγκάζονται τῆς ἀληθείας οἱ κήρυκες. οὕτως ὁ θεσπέσιος Παῦλος (sic) Λόγον ὠνόμασε τὸν Υἱόν. ἐπειδὴ γὰρ τῇ ἀνθρωπίνῃ γεννήσει καὶ πάθος καὶ χρόνος συνέζευκται, ἵνα μὴ Υἱὸν ἀκούοντες, εἰς ἀνθρωπίνας καταπέσωμεν ὑπονοίας, καὶ νομίσωμεν παραπλησίως ἡμῖν γεγεννῆσθαι τὸν τῶν ὅλων δημιουργὸν, ἀναγκαίως αὐτὸν προσηγόρευσε Λόγον, ἵνα δείξῃ καὶ τὸ ἀπαθὲς καὶ τὸ ἄχρονον τῆς γεννήσεως. οὐδὲ γὰρ ὁ νοῦς ὁ ἡμέτερος ὠδίνων τὸν λόγον δεῖται τῆς τοῦ θήλεος κοινωνίας, ἢ τομὴν, ἢ ῥεῦσιν ὑπομένει τινὰ, ἀλλὰ τέλειος μένων, τέλειον ἀποτελεῖ τὸν λόγον. ὅπως δὲ μηδεὶς ὑπολάβῃ πάλιν ἀνυπόστατον αὐτὸν εἶναι λόγον, ὃ Μάρκελλος πέπονθε καὶ Φωτεινὸς, καὶ Παῦλος, ἀναγκαίως προστέθεικε "καὶ Θεὸς ἦν "ὁ Λόγος, καὶ τὴν ἰδίαν αὐτοῦ σημαίνων ὑπόστασιν, καὶ τὴν μίαν φύσιν ἐμφαίνων καὶ τῆς γεννήσεως τὸ ἀπαθές τε καὶ ἄχρονον ἐκπαιδεύων. οὕτως ὁ μακάριος Παῦλος Υἱὸν μὲν αὐτὸν προσηγό-

ρευσεν, ἄλλον αὐτὸν παρὰ τὸν Πατέρα δεικνὺς κατὰ τὸν τῆς ἰδιότητος λόγον. τῶν αἰώνων δὲ αὐτὸν εἴρηκε ποιητὴν, τὸ ἀΐδιον αὐτοῦ διὰ τούτων διδάσκων. "δι' οὗ," γάρ φησιν, "καὶ τοὺς αἰῶνας "ἐποίησεν," οὐκ οὐσίαν τῶν αἰώνων δηλοῖ, ἀλλ' ὅτι οὐδεὶς τοῦ Θεοῦ τῶν ὅλων πρεσβύτερος. ὠνόμασε δὲ αὐτὸν καὶ "ἀπαύγασμα "δόξης," καὶ τὸ συναΐδιον διὰ τούτου, καὶ τὸ ταυτὸν τῆς οὐσίας σημαίνων. ἐκ γὰρ τῆς τοῦ πυρὸς φύσεως, τὸ ἀπαύγασμα. προστέθεικε δὲ, ὅτι "καὶ χαρακτήρ ἐστιν ὑποστάσεως," ἀμφότερα κατὰ ταυτὸν διδάσκων, ὅτι καὶ καθ' ἑαυτὸν ὑφέστηκε, καὶ ἐν ἑαυτῷ δείκνυσι τοὺς πατρικοὺς χαρακτῆρας.

Βαβαὶ τῆς ἀποστολικῆς συνέσεως· μᾶλλον δὲ οὐ τὴν τοῦ Παύλου σύνεσιν, ἀλλὰ τὴν τοῦ Πνεύματος ἐστὶ θαυμάσαι χάριν. οὐ γὰρ δὴ ἐξ οἰκείας διανοίας ταῦτα ἐφθέγξατο. πόθεν γὰρ ἀπὸ τῆς σμίλης καὶ τῶν δερμάτων, ἢ τοῦ ἐργαστηρίου, τὴν τοιαύτην σοφίαν εὕρισκεν; ἀλλὰ θείας ἐνεργείας ἦν. οὐ γὰρ αὐτοῦ ταῦτα τὰ νοήματα ἔτικτεν ἡ διάνοια τότε, οὕτω ταπεινὴ καὶ εὐτελὴς οὖσα, ὡς τῶν ἀγοραίων μηδὲν ἔχειν πλέον. πῶς γὰρ ἡ περὶ συμβόλαια καὶ δέρματα καταναλωθεῖσα; ἀλλ' ἡ τοῦ Πνεύματος χάρις, δι' ὧν ἂν ἐθέλῃ τὴν αὐτῆς ἰσχὺν ἐπιδείκνυται. ὅρα δὲ πῶς ἀναβαθμοῖς κέχρηται· καθάπερ γὰρ εἰς ὑψηλόν τινα τόπον καὶ πρὸς αὐτὴν τοῦ οὐρανοῦ φθάνοντα τὴν κορυφὴν, εἴ τις παιδίον μικρὸν ἀναγαγεῖν βούλοιτο, ἠρέμα καὶ κατὰ μικρὸν τοῦτο ποιεῖ, διὰ τῶν κάτωθεν αὐτὸ βαθμῶν ἀνάγων. εἶτα ἐπειδὰν ἄνω στήσῃ καὶ ἴδῃ ἰλιγγιάσαν καὶ θορυβούμενον, λαμβανόμενος αὐτοῦ κατάγει πάλιν ἐπὶ τὸ ταπεινότερον, παρέχων ἀναπνεῦσαι· εἶτα, ὅταν ἀνακτήσηται αὐτὸ, πάλιν ἀνάγει, καὶ πάλιν κατάγει· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος ἐποίησε, καὶ ἐπὶ τῶν Ἑβραίων ἐνταῦθα, καὶ πανταχοῦ, παρὰ τοῦ διδασκάλου τοῦτο μαθών· καὶ γὰρ κἀκεῖνος ποτὲ μὲν ἀνῆγεν εἰς ὕψος τοὺς ἀκροατὰς, ποτὲ δὲ, κατῆγεν.

Ὅρα γοῦν δι' ὅσων αὐτοὺς ἀναγαγὼν βαθμῶν, καὶ πρὸς αὐτὴν στήσας τὴν κορυφὴν τῆς εὐσεβείας πρὶν ἰλιγγιάσαι πως, κατάγει πάλιν, διδοὺς ἀναπνεῦσαι. εἶπε γὰρ ὅτι ἐλάλησεν ἡμῖν ἐν Υἱῷ· τοῦτο δὲ τὸ Υἱὸς ὄνομα, τέως κοινόν ἐστιν ἁπάντων, πρόσεστι γὰρ καὶ ἀνθρώποις. πρόσεστι καὶ τῷ Χριστῷ, εἰ καὶ ἡμῖν καταχρηστικῶς, ἐκείνῳ δὲ Κυρίως, εἶτα κληρονόμον ἐκάλεσε, ταπεινὸν δὲ

καὶ τοῦτο, εἶτα ἐπὶ τὸν ἀνώτερον ἔστησε βαθμὸν ἐπαγαγὼν, "δι' "οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν," εἶτα ἐπὶ τὸν ὑψηλότερον, καὶ μεθ' ὃν οὐκ ἔστιν ἕτερος, "ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ "τῆς ὑποστάσεως αὐτοῦ." ὄντως εἰς ἀπρόσιτον φῶς ἤγαγεν, εἰς αὐτὸ τὸ ἀπαύγασμα καὶ πρὶν ἢ σκοτωθῆναι. ὅρα πῶς πάλιν ἠρέμα κατάγει λέγων, ὅτι μετὰ τὸν καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐκάθισεν ἐν ὑψηλοῖς. ἐπελάβετο γὰρ τῆς σαρκὸς, καὶ πάλιν ταπεινὰ φθέγγεται. εἶτα πάλιν παραφθεγξάμενός τι μικρὸν, ἐν δεξιᾷ γάρ φησι τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, πάλιν ἐπὶ τὸ ταπεινότερον ἄγει, καὶ περὶ τῆς κατὰ τὴν σάρκα οἰκονομίας λοιπὸν διαλέγεται· τὸ γὰρ "κρείττων γενόμενος τῶν ἀγγέλων," οὐκ οὐσίας δηλωτικόν ἐστι τῆς κατὰ πνεῦμα· ἐκείνη γὰρ οὐκ ἐγένετο, ἀλλὰ γεγένηται, ἀλλὰ τῆς κατὰ σάρκα· αὕτη γὰρ ἐγένετο· ἀλλ' οὐ περὶ οὐσιώσεως νῦν ὁ λόγος αὐτῷ, ἀλλ' ὥσπερ Ἰωάννης λέγων, "ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονε," τουτέστιν ἐντιμότερος καὶ εὐδοκιμώτερος· οὕτως ἐνταῦθα εἴρηται, τὸ "τοσοῦτον "κρείττων γενόμενος τῶν ἀγγέλων," τουτέστιν εὐδοκιμώτερος καὶ βελτίων, καὶ λαμπρότερος, "ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκλη-"ρονόμηκεν ὄνομα."

Ὁρᾷς ὅτι περὶ τοῦ κατὰ σάρκα ὁ λόγος ἦν· τὸ γὰρ Υἱὸς ὄνομα ὁ Θεὸς Λόγος ἀεὶ εἶχεν, οὐχ ὕστερον ἐκληρονόμησεν· οὐδὲ ὕστερον Ἀγγέλων κρείττων ἐγένετο, ὅτε καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐποιήσατο. ἀλλ' ἀεὶ κρείττων ἦν καὶ κρείττων ἀσυγκρίτως, ὥστε περὶ τοῦ κατὰ σάρκα τοῦτο εἴρηται. οὕτω γοῦν καὶ ἡμῖν ἔθος περὶ ἀνθρώπου διαλεγομένοις, καὶ ὑψηλὰ καὶ ταπεινὰ φθέγγεσθαι· ὅταν μὲν γὰρ λέγωμεν οὐδὲν ἄνθρωπος, γῆ ἄνθρωπος, σποδὸς ἄνθρωπος, ἀπὸ τοῦ χείρονος τὸ πᾶν καλοῦμεν. ὅταν δὲ λέγωμεν ἀθάνατον ζῶον ὁ ἄνθρωπος, καὶ λογικὸς ὁ ἄνθρωπος, καὶ ὅτι τῶν ἄνω συγγενὴς, ἀπὸ τοῦ κρείττονος τὸ πᾶν πάλιν καλοῦμεν. οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ, ποτὲ μὲν ἀπὸ τοῦ ἐλάττονος, ποτὲ δὲ ἀπὸ τοῦ κρείττονος διαλέγεται ὁ Παῦλος, καὶ τὴν οἰκονομίαν στῆσαι βουλόμενος, καὶ περὶ τῆς ἀκηράτου διδάξαι φύσεως. πανταχοῦ μὲν οὖν εὐλαβοῦς διανοίας δεῖ, μάλιστα δὲ ὅταν περὶ Θεοῦ λέγωμέν τι καὶ ἀκούωμεν. ἐπεὶ μήτε εἰπεῖν ἡ γλῶττα, μήτε ἀκοῦσαι ἡ διάνοια, πρὸς ἀξίαν τοῦ Θεοῦ τί δύναται. καὶ τί λέγω γλῶτταν

καὶ διάνοιαν; οὐδὲ γὰρ ὁ νοῦς ὁ πολὺ τούτων πλέον ἔχων, δυνήσεταί τι περιλαβεῖν ἀκριβῶς ὅταν περὶ Θεοῦ τί φθέγγεσθαι βουλώμεθα. εἰ γὰρ ἡ εἰρήνη τοῦ Θεοῦ ὑπερέχει πάντα νοῦν, καὶ τὰ ἡτοιμασμένα τοῖς ἀγαπῶσιν αὐτὸν ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, πολλῷ μᾶλλον αὐτὸς ὁ τῆς εἰρήνης Θεὸς, ὁ τῶν ἁπάντων δημιουργὸς ὑπερβαίνει πολλῷ τῷ μέτρῳ τὸν ἡμέτερον λογισμόν. δεῖ τοίνυν μετὰ πίστεως καὶ εὐλαβείας ἅπαντα δέχεσθαι. καὶ ὅταν ὁ λόγος ἐξασθενήσῃ, καὶ οὐ δύνηται παραστῆσαι τὰ λεγόμενα μετὰ ἀκριβείας, τότε μάλιστα δοξάζειν τὸν Θεὸν, ὅτι Θεὸν τοιοῦτον ἔχομεν, καὶ τὴν ἔννοιαν ἡμῶν ὑπερβαίνοντα. πολλὰ γὰρ ὧν περὶ Θεοῦ νοοῦμεν, φράσαι οὐ δυνάμεθα. καὶ πολλὰ φράζομεν, νοῆσαι δὲ οὐκ ἰσχύομεν· οἷόν τι λέγω, ὅτι πανταχοῦ ὁ Θεὸς ἴσμεν· πῶς δὲ, οὐκέτι νοοῦμεν. ὅτι ἔστι τίς ἀόρατος δύναμις, πάντων αἰτία τῶν ἀγαθῶν, ἴσμεν. πῶς δέ ἐστιν, ἢ τίς ἐστιν, οὐκ ἴσμεν. ἰδοὺ φράζομεν καὶ οὐ νοοῦμεν. εἶπον ὅτι πανταχοῦ ἐστιν, ἀλλ' οὐ νοῶ. εἶπον ὅτι ἄναρχός ἐστιν, ἀλλ' οὐ νοῶ. εἶπον ὅτι ἐγέννησεν ἐξ ἑαυτοῦ, καὶ οὐκ οἶδα πῶς πάλιν νοήσω. ἔστι δέ τινα ἃ μηδὲ φράσαι ἔνι· οἷον τί λέγω, νοεῖ ἡ διάνοια, ἀλλ' εἰπεῖν οὐ δύναται. καὶ ἵνα ἴδῃς καὶ Παῦλον ἀσθενοῦντα, καὶ μὴ πρὸς ἀκρίβειαν τὰ ὑποδείγματα λέγοντα, καὶ φρίξῃς, καὶ μηδὲν περαιτέρω ζητήσῃς, ἄκουε· εἰπὼν γὰρ Υἱὸν καὶ θεὶς δημιουργὸν, τί ἐπάγει;

Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ.

Τοῦτο οὖν μετ' εὐλαβείας ἐκλαμβάνειν δεῖ, καὶ τὰ ἄτοπα περικόψαι. "ἀπαύγασμα τῆς δόξης."

Ὅρα πρὸς τί αὐτὸ ἐκλαμβάνει, καὶ οὕτω καὶ αὐτὸς δέχου, ὅτι ἐξ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειωθέντος, οὐδὲ ἐλαττωθέντος. ἐπειδὴ εἰσί τινες ἄτοπά τινα ἐκ τοῦ ὑποδείγματος ἐκλαμβάνοντες. τὸ γὰρ ἀπαύγασμα φησὶν, ἐνυπόστατον οὐκ ἔστιν, ἀλλ' ἐν ἑτέρῳ ἔχει τὸ αὐτοῦ. μὴ τοῦτο τοίνυν ἐκλάβῃς, ἄνθρωπε, μηδὲ Μαρκέλλου καὶ Φωτεινοῦ νοσήσῃς τὴν νόσον. ἐγγύθεν σε γὰρ θεραπεύει, ὥστε μὴ εἰς ἐκείνην ἐμπεσεῖν τὴν διάνοιαν· οὐδὲ ἀφίησί σε εἰς τὸ ὀλέθριον ἐκείνων νόσημα κατενεχθῆναι, εὐθέως ἐπαγαγὼν, "καὶ "χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ." δηλῶν ὅτι ὥσπέρ ἐστιν

αὐτὸς ἐνυπόστατος, οὐδενὸς δεόμενος, οὕτω καὶ ὁ Υἱός. ἐνταῦθα γὰρ τὸ ἀπαράλλακτον δεικνὺς, τοῦτο φησὶ, καὶ τὸν ἰδιάζοντα χαρακτῆρα τοῦ πρωτοτύπου. ὅρα γὰρ πῶς καθάπερ ἐπὶ ἀναβαθμῶν ἀναβαίνει εἰς ὕψος, εἶτα πάλιν καταβαίνει, καὶ δύο τέμνει ὁδούς· τὴν μὲν ἀπάγων ἡμᾶς Σαβελλίου, τὴν δὲ Ἀρείου· καὶ ἄνω καὶ κάτω τὰ αὐτὰ φθέγγεται, ὥστε μὴ νομισθῆναι τὸν Χριστὸν ἄναρχον, μηδὲ ἀλλότριον τοῦ Θεοῦ. εἰ γὰρ καὶ μετὰ τοσαῦτα εἰσί τινες οἱ ἀλλότριον αὐτὸν αὐτοῦ φήσαντες, καὶ ἕτερον αὐτῷ δόντες Πατέρα, καὶ τοῦτο πολεμεῖν αὐτὸν λέγοντες, τί οὐκ ἂν ἐφθέγξαντο εἰ μὴ ταῦτα εἴρητο; πῶς οὖν τοῦτο ποιεῖ; ὅταν θεραπεύειν ἀναγκάζηται, τότε ἀναγκάζεται καὶ τὰ ταπεινὰ φθέγγεσθαι, οἷον ὅτι ἔθηκεν αὐτὸν "κληρονόμον πάντων, καὶ δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν." ἵνα δὲ μὴ ἑτέρως λυμήνηται, εἰς αὐθεντίαν πάλιν αὐτὸν ἀνάγει, καὶ δείκνυσιν ὁμότιμον ὄντα τῷ Πατρὶ, καὶ οὕτως ὁμότιμον, ὡς πολλοὺς νομίσαι τὸν αὐτὸν αὐτοῦ Πατέρα. καὶ θέα τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν. πρότερον ἐκείνῳ τίθησιν καὶ ἀσφαλίζεται αὐτῷ μετὰ ἀκριβείας· καὶ ὅταν τοῦτο δειχθῇ ὅτι τοῦ Θεοῦ ἐστιν Υἱὸς, καὶ ὅτι οὐκ ἀλλότριος αὐτοῦ, μετὰ ἀσφαλείας λοιπὸν ἅπαντα φθέγγεται τὰ ὑψηλά. ἐπειδὴ γὰρ τὸ μέγα τι περὶ αὐτοῦ εἰπεῖν, εἰς ἐκείνην τὴν ἔννοιαν πολλοὺς ἦγε, πρότερον θεὶς τὰ ταπεινὰ, τότε εἰς ὕψος ἀνέρχεται ὅσον βούλεται. εἰπὼν οὖν "ὃν ἔθηκε "κληρονόμον πάντων," καὶ ὅτι "διὰ αὐτοῦ τοὺς αἰῶνας ἐποίησε," τότε ἐπάγει, "φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως "αὐτοῦ·" ὁ γὰρ ῥήματι μόνῳ τὰ πάντα διακυβερνῶν, οὐκ ἂν δεηθείη τινὸς εἰς τὸ παραγαγεῖν τὰ πάντα. καὶ ὅτι τοῦτο ἐστὶν, ὅρα πῶς πάλαι προϊὼν, δίδωσιν αὐτῷ τὴν αὐθεντίαν, τὸ δι' οὗ ἐξελών. ἐπειδὴ γὰρ εἰργάσατο δι' αὐτοῦ ὃ ἤθελε λοιπὸν ἀποστὰς ἀπ' αὐτοῦ, τί φησι; "κατ' ἀρχὰς σὺ Κύριε, τὴν γῆν ἐθεμελίω"σας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί." οὐδαμοῦ τὸ δι' οὗ, οὐδὲ ὅτι ἐποίησε δι' αὐτοῦ τοὺς αἰῶνας. τί οὖν; οὐχ ὑπ' αὐτοῦ γεγένηνται; ναί· ἀλλ' οὐχ ὡς σὺ λέγεις, οὐδὲ ὡς ὑπονοεῖς, ὡς δι' ὀργάνου, οὐδὲ ὡς οὐκ ἂν ποιήσαντος, εἰ μὴ χεῖρα αὐτῷ ὤρεξεν ὁ Πατήρ. ὥσπερ γὰρ οὐδ' ἕνα κρινεῖ, καὶ λέγεται κρίνειν διὰ τοῦ Υἱοῦ, ᾗ κριτὴν ἐγέννησεν, οὕτω λέγεται ποιεῖν, ᾗ δημιουργὸν ἐγέννησεν. εἰ γὰρ αὐτοῦ αἴτιος ὁ Πατὴρ, πολλῷ μᾶλλον τῶν

δι᾽ αὐτοῦ γεγενημένων. ὅταν μὲν οὖν βούληται δεῖξαι, ὅτι ἐξ αὐτοῦ ἐστὶν, ἀναγκαίως τὰ ταπεινὰ φθέγγεται. ὅταν δὲ βούληται ὑψηλὰ φθέγγεσθαι, λαβὴν Μάρκελλος λαμβάνει, καὶ Σαβέλλιος· ἀλλ᾽ ἀμφοτέρων τὴν ἀμετρίαν ἡ ἐκκλησία φυγοῦσα, μέσην ὁδεύει ὁδόν. οὔτε γὰρ ἐπὶ τῆς ταπεινότητος ἐμμένει, ἵνα μὴ Παῦλος ὁ Σαμοσατεὺς λάβῃ χώραν, οὔτε ἀεὶ τοῖς ὑψηλοῖς ἐναπομενεῖ. καὶ δείκνυσιν αὐτοῦ πάλιν τὴν ἐγγύτητα τὴν πολλήν· ἵνα μὴ Σαβέλλιος ἐπιπηδήσῃ, εἶπεν Υἱὸν, καὶ εὐθέως ἐφέστηκεν ὁ Σαμοσατεὺς, λέγων αὐτὸν Υἱὸν αὐτοῦ καὶ τοὺς πολλούς· ἀλλ᾽ ἔδωκεν αὐτῷ καιρίαν πληγὴν, εἰπὼν κληρονόμον· ἀλλ᾽ ἔτι ἀναισχυντεῖ μετὰ Ἀρείου. τὸ γὰρ ἔθηκεν αὐτὸν κληρονόμον ἀμφότεροι μετέχουσιν. ἐκεῖνος μὲν ἀσθενείας λέγων αὐτῷ, οὗτος δὲ ἔτι ἐνέστηκεν, ἐπισκήπτειν ἐπιχειρῶν τῷ ἑξῆς. εἰπὼν γὰρ "δι᾽ οὗ καὶ τοὺς αἰῶνας "ἐποίησεν," ἔβαλε μὲν ὕπτιον ἀναισχυντοῦντα τὸν Σαμοσατέα· ὁ δὲ Ἄρειος ἔτι ἰσχυρῶς αὐτῷ δοκεῖ, ἀλλ᾽ ὅρα καὶ τοῦτον πῶς πλήττει πάλιν, εἰπὼν, "ὃς ὢν ἀπαύγασμα τῆς δόξης." ἀλλ᾽ ἰδοὺ πάλιν ἐπιπηδᾷ Σαβέλλιος καὶ Μάρκελλος καὶ Φωτεινός· ἀλλὰ κἀκείνοις πᾶσι μίαν πληγὴν δίδωσιν εἰπὼν, "καὶ χαρακτὴρ τῆς "ὑποστάσεως αὐτοῦ, φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως "αὐτοῦ." ἐνταῦθα καὶ Μαρκίωνα πλήττει· οὐ σφόδρα μὲν ἰσχυρῶς, πλήττει δ᾽ οὖν ὅμως· δι᾽ ὅλης γὰρ τῆς Ἐπιστολῆς πρὸς αὐτοὺς μάχεται. καὶ ὁ μὲν "ἀπαύγασμα" αὐτὸν καλεῖ, αὐτὸς δέ φησιν· "ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου." διὰ τοῦτο οὖν φησιν "ἀπαύγασμα," δεικνὺς ὅτι κακεῖνο οὕτως εἴρηται, ὡς φῶς ἐκ φωτός. οὐ τοῦτο δὲ μόνον δείκνυσιν, ἀλλ᾽ ὅτι καὶ ἐφώτισε τὰς ἡμετέρας ψυχὰς, καὶ τὸν Πατέρα αὐτὸς ἐσήμανε, καὶ διὰ τοῦ ἀπαυγάσματος, τῆς οὐσίας τὴν ἐγγύτητα ἔδειξεν. ἐννόησον δὲ τὴν λεπτότητα τῶν εἰρημένων, οὐσίαν μίαν ἔλαβε καὶ ὑπόστασιν εἰς δύο ὑποστάσεων παράστασιν, ὃ καὶ ἐπὶ τῆς γνώσεως τοῦ Πνεύματος ποιεῖ. ὥσπερ γὰρ μίαν φησὶν αὐτοῦ γνῶσιν τὴν τοῦ Πατρὸς καὶ Πνεύματος, ὡς ὄντως μίαν καὶ οὐδὲν πρὸς ἑαυτὴν διεστηκυῖαν, οὕτω καὶ ἐνταῦθα ἑνός τινος ἐπελάβετο ῥήματος, εἰς τὴν τῶν δύο ὑποστάσεων δήλωσιν· καὶ ἐπήγαγεν ὅτι χαρακτήρ· ὁ γὰρ χαρακτὴρ, ἄλλος τίς ἐστι παρὰ τὸ πρωτότυπον. ἄλλος δὲ οὐ πάντῃ, ἀλλὰ κατὰ τὸ ἐνυπόστατον εἶναι. ἐπεὶ καὶ ἐνταῦθα ὁ

χαρακτὴρ τὸ ὅμοιον κατὰ πάντα. ὅταν οὖν καὶ μορφὴν αὐτὸν καλῇ καὶ χαρακτῆρα, τί ἐροῦσιν; ἀλλὰ καὶ εἰκόνος εἴρηται εἰκὼν ὁ ἄνθρωπος φησίν. τί οὖν; οὕτως ὁ Υἱός; οὔ φησιν, ἀλλ' ὅτι εἰκών· οὐ δείκνυσι τὸ ὅμοιον· καίτοιγε καθὸ εἴρηται ὁ ἄνθρωπος εἰκὼν, δείκνυσι τὸ ὅμοιον ὡς ἐν ἀνθρώπῳ· ὅπερ γάρ ἐστιν ὁ Θεὸς ἐν τῷ οὐρανῷ, τοῦτο ὁ ἄνθρωπος ἐπὶ τῆς γῆς· κατὰ τὴν ἀρχὴν λέγω. ὥσπερ γὰρ τῶν ἐπὶ γῆς πάντων οὗτος κρατεῖ, οὕτω καὶ ὁ Θεὸς πάντων κρατεῖ, καὶ τῶν ἐν οὐρανῷ, καὶ τῶν ἐπὶ τῆς γῆς. ἄλλως δὲ ὁ ἄνθρωπος οὐκ εἴρηται χαρακτὴρ, ἀλλ' οὐδὲ μορφὴ, ὅπερ καὶ οὐσίαν ἐμφαίνει, καὶ ὁμοιότητα τὴν κατ' οὐσίαν. ὥσπερ οὖν ἡ μορφὴ τοῦ δούλου οὐδὲν ἄλλο ἐμφαίνει ἢ ἄνθρωπον ἀπαράλλακτον, οὕτως καὶ ἡ μορφὴ τοῦ Θεοῦ οὐδὲν ἄλλο ἐμφαίνει ἢ Θεόν· καὶ ἀπαύγασμα δὲ τοῦτον καλεῖ, ὅτι ὥσπερ τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτῆς ἐκπηδῶν τῆς τοῦ ἡλίου φύσεως, οὐχ ὕστερον αὐτῷ φαίημεν τῆς ἡλιακῆς φύσεως (ἀνάγκη γὰρ ὁμολογῆσαι τοῦτο καὶ τὸν τὰς αἰσθήσεις πεπηρωμένον), οὐδὲ γὰρ χωρὶς ἀπαυγάσματος ὁ ἥλιος ἐφάνη ποτὲ, ἀλλὰ καὶ ἐξ αὐτοῦ καὶ οὐχ ὕστερον αὐτοῦ, οὕτω καὶ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ νοήσομεν· μᾶλλον δὲ μειζόνως καὶ θεοπρεπῶς.

(Κυρίλλου[h].) Διὰ γὰρ τοῦτο καὶ Παῦλος αὐτὸν οὕτως ἐκάλεσεν, δεικνὺς τὴν ἐκ Πατρὸς οἱονεί πως εἰς τὸ ἔξω διεκδρομὴν, οὔτε εἰς ἅπαν ἀπηλλαγμένην τῆς ὅθεν ἐστὶν ὑποστάσεως, οὔτε εἰς ἅπαν συνεσταλμένην, προκύπτουσαν δὲ ὥσπερ εἰς τὸ ὑφεστάναι καθ' ἑαυτὴν, καὶ εἰς ὕπαρξιν ἰδικὴν ἐμφιλοχωροῦσαν.

(Γρηγορίου Νύσσης[i].) Ἀπαύγασμα δόξης εἶπε τὸν Υἱὸν ὁ Ἀπόστολος, καὶ χαρακτῆρα τῆς ὑποστάσεως, καὶ δύναμιν Θεοῦ καὶ σοφίαν Θεοῦ, καὶ ὅσα τοιαῦτα, ὧν ἕκαστον καθάπερ ἐν συζυγίαις τρισὶν ἀναγκαίαις οὐδὲν ἐφ' ἑαυτοῦ κατὰ μόνας νοεῖται, ἀλλὰ συνημμένως ἀμφότερα καὶ μετ' ἀλλήλων καταλαμβάνεται. τὸ γὰρ ἀπαύγασμα πάντως τινός ἐστιν ἀπαύγασμα, καὶ ὁ χαρακτὴρ, πάντως τινός ἐστι χαρακτήρ. ὥσπερ τοίνυν οὐκ ἂν ἀπαύ-

[h] Ἐκ τῶν . . . σαν . . ρωμ. fors. ἐκ τῶν θησαυρῶν.

[i] ιζ μετὰ ἐκ$^{\tau}$ ὲρ θεο$^{\tau\tau}$ καὶ εἰς τὸ ἑβρ. (περὶ θεότητος, καὶ εἰς τοὺς Ἑβραίους.)

γασμα εἴη τὸ φῶς, μὴ οὔσης τῆς καταυγαζούσης αἰτίας, οὕτως ἡ ἀπαυγάζουσα φύσις οὐκ ἂν καθ' ἑαυτὴν νοηθείη, μὴ συνεπινοουμένου τοῦ ἀπαυγάσματος. ὁμοίως δὲ καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως δείκνυσι, καὶ ἡ ὑπόστασις διὰ χαρακτῆρος γνωρίζεται, οὕτω καὶ ἡ τοῦ Θεοῦ δύναμις χωρὶς Θεοῦ αὐτοῦ οὐ δύναται, καὶ Θεὸς χωρὶς τῆς δυνάμεως νοηθῆναι φύσιν οὐκ ἔχει. ὁ τοίνυν ἓν τῶν κατὰ τὴν συζυγίαν ταύτην σημαινομένων μὴ αὐτῷ λέγων, συνανεῖλε πάντως τῇ δυνάμει καὶ τὸ λειπόμενον.

[k] Ἀλλὰ μὴν λέγουσιν οἱ τῆς ἀσεβείας προστάται ὅτι Υἱὸς ποτὲ οὐκ ἦν. εἰ οὖν οὐκ ἦν ὁ Υἱὸς, πάντως οὐδὲ ὁ Πατὴρ ἦν. εἰ οὐκ ἦν τὸ ἀπαύγασμα, οὐδὲ τὸ ἀπαυγάζον ἦν. εἰ οὐκ ἦν ὁ χαρακτὴρ, πάντως οὐδὲ ἡ ὑπόστασις ἦν. εἰ οὐκ ἦν δύναμις, οὐκ ἦν σοφία· ὧν ἄνευ Θεὸς οὐκ ἔστι, κατασκευάζεται διὰ τούτων μὴ[1] αὐτοῦ Θεὸν, ὁ ἐπὶ πάντων Θεὸς, πῶς ἦν; οὐ γάρ ἐστιν ἐννοῆσαι, οὐ δόξαν ἀλαμπῆ, οὐχ ὑπόστασιν ἀχαρακτήριστον, οὐκ ἄνευ σοφίας σοφὸν, οὐκ ἄνευ δυνάμεως δυνατὸν, οὐκ ἄπαιδα Πατέρα. οὐκοῦν ἀποδέδεικται διὰ τῶν εἰρημένων, ὅτι ὁ τὸν Υἱὸν ἀθετῶν, συναθετεῖ τὸν Πατέρα. ὅπου δὲ οὔτε ὁ Υἱὸς δοξάζεται, οὐδὲ ὁ Πατὴρ αὐτοῦ πιστεύεται, καθόλου ἡ θεότης ἠθέτηται. τὸ δὲ ἀθετεῖν τὴν θεότητα, οὐδενὸς ἄλλου ἢ Ἐπικουρείου ἐστίν. οὐκοῦν Ἐπικούρειοι οἱ δογματισταὶ τῆς ἀπάτης ἀναπεφήνασιν, οἱ διὰ τῆς εἰς τὸν μονογενῆ Υἱὸν ὕβρεως, τὰς ὑπεροχὰς τῷ Πατρὶ χαριζόμενοι.

Ἀθανασίου ἐκ τῶν κατὰ Ἀρειανῶν. Γενέσθω τις ἐντρέπων τοὺς Ἀρειανοὺς εἰ τὸ ἐκ τοῦ Θεοῦ καὶ ἴδιον αὐτοῦ γέννημα θέμις εἰπεῖν ἐξ οὐκ ὄντων, ἢ ὅτι τὸ ἐκ τοῦ Θεοῦ ἐπισυμβέβηκεν αὐτῷ, ἵνα καὶ τολμήσας εἴπῃ ὅτι οὐκ ἔστιν ἀεὶ ὁ Υἱός. καὶ γὰρ ἐν τούτῳ πάλιν τὰς ἀνθρώπων ἐννοίας ὑπεραναβέβηκεν ἡ τοῦ Υἱοῦ γέννησις. ἡμεῖς μὲν γὰρ τῶν ἰδίων τέκνων ἐν χρόνῳ γινόμεθα πατέρες. ἐπεὶ καὶ αὐτοὶ οὐκ ὄντες πρότερον, ὕστερον γεγόναμεν. ὁ δὲ Θεὸς ἀεὶ ὢν, ἀεὶ τοῦ Υἱοῦ Πατήρ ἐστι. καὶ τῶν μὲν ἡ γέννησις, ἐκ τῶν ὁμοίως ὄντων ἔχει τὴν πίστιν. ἐπειδὴ δὲ "οὐδεὶς

k ····ὅτι ἐξ [illegible]

[1] Quædam hic videntur excidisse.

" οἶδε τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τίς ἐπιγινώσκει, " εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν ὁ Υἱὸς ἀποκαλύψῃ," διὰ τοῦτο οἱ ἅγιοι οἷς ἀπεκάλυψεν ὁ Υἱὸς, εἰκόνα τινὰ δεδώκασιν ἡμῖν ἐκ τῶν ὁρωμένων, λέγοντες, " ὃς ὢν ἀπαύγασμα τῆς δόξης," καὶ πάλιν, " ὅτι " παρὰ σοὶ πηγὴ ζωῆς." καὶ μικρὸν μέν ἐστι τὸ παράδειγμα καὶ ἀμυδρὸν λίαν πρὸς τὸ ποθούμενον, δυνατὸν δὲ ὅμως ἐξ αὐτοῦ πλέον τῆς ἀνθρώπου φύσεως κατανοεῖν, καὶ μὴ νομίζειν τὴν ἡμῶν αὐτοῦ καὶ τὴν τοῦ Υἱοῦ γέννησιν. τίς γὰρ δύναται κἂν λογίσασθαι μὴ αὐτοῦ ποτὲ τὸ ἀπαύγασμα, ἵνα καὶ τολμήσας εἴπῃ, μὴ αὐτοῦ ποτε τὸν Υἱὸν, ἢ ὅτι οὐκ ἦν ὁ Υἱὸς πρὶν γεννηθῇ; ἢ τίς ἱκανὸς διελεῖν ἀπὸ τοῦ ἡλίου τὸ ἀπαύγασμα, ἢ τὴν πηγὴν ἐπινοῆσαί ποτε τῆς ζωῆς ἔρημον, ἵνα καὶ μανεὶς εἴπῃ ἐξ οὐκ ὄντων ἐστὶν ὁ Υἱὸς, ὁ λέγων, " ἐγὼ εἰμὶ ἡ ζωή·" ἢ ἀλλότριος τῆς τοῦ πατρὸς οὐσίας ὁ λέγων, " ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν Πατέρα;" τίς δὲ ἀποφήνηται τὴν πηγὴν μὴ ἐξ ἑαυτῆς γεγεννηκέναι τὴν σοφίαν, ἀλλ' ἔξωθεν ἑαυτῆς κεκτῆσθαι ταύτην, ἵνα καὶ τολμήσῃ εἰπεῖν ἐξ οὐκ ὄντων γέγονεν ὁ Υἱός; τοῦτο γὰρ οὐκέτι πηγὴν ταύτην δείκνυσιν, ἀλλά τινα λάκκον ἔξωθεν ὥσπερ ὕδωρ λαβόντα καὶ κεχρημένον τῷ ὀνόματι τῆς πηγῆς. τίς δὲ οὐ συνορᾷ ὅτι τὰ μὲν κτιζόμενα καὶ ποιούμενα ἔξωθεν τοῦ ποιοῦντος· ὁ δὲ Υἱὸς, οὐκ ἔξωθεν, ἀλλ' ἐκ τοῦ γεννῶντος Πατρὸς ὑπάρχει;

Διὸ περὶ μὲν τῶν κτιζομένων εἴρηται, " ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς " τὸν οὐρανὸν καὶ τὴν γῆν." περὶ δὲ τοῦ Υἱοῦ, αὐτὸς ὁ Πατὴρ λέγει, " ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε." καὶ " Υἱός μου " ἢ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε." καὶ ὁ Κύριος περὶ ἑαυτοῦ. " πρὸ δὲ πάντων βουνῶν γεννᾷ με." ὁ τοίνυν Υἱὸς οὐ κτίσμα· εἰ δὲ κτίσμα, οὐχ Υἱός. πολλὴ γὰρ ἐν αὐτοῖς ἡ διαφορὰ, καὶ οὐδ' ἂν εἴη ὁ αὐτὸς Υἱὸς καὶ κτίσμα· ἵνα μὴ ἐκ τοῦ Θεοῦ καὶ ἔξωθεν τοῦ Θεοῦ, ἡ οὐσία αὐτοῦ νομίζηται. ἆρ' οὖν μάτην γέγραπται τὸ " Κύριος ἔκτισέ με," τοῦτο γὰρ πάλιν Ἀρειανοὶ περιβομβοῦσιν ὡς ἀγέλη κωνώπων. οὐχί γε οὐ μάτην γέγραπται, ἀλλὰ καὶ μάλα ἀναγκαίως. καὶ γὰρ καὶ κτίζεσθαι λέγεται, ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τὴν δὲ διάνοιαν ταύτην εὑρήσει, ὁ καὶ τὸν καιρὸν καὶ τὸ πρόσωπον, καὶ τὴν χρείαν τῶν γεγραμμένων ἐρευνῶν.

Ὁ μὲν οὖν καιρὸς, ὅτι ἀεὶ ὢν Κύριος, ἐπὶ συντελείᾳ τῶν αἰώνων γέγονεν ἄνθρωπος. ἡ δὲ χρεία, ὅτι τὸν ἡμῶν θάνατον καταργῆσαι θέλων, ἔλαβεν ἑαυτῷ σῶμα ἐκ τῆς παρθένου Μαρίας, ἵνα τοῦτο προσενέγκας θυσίαν ὑπὲρ πάντων, τῷ Πατρὶ καταλλάξῃ πάντας ἡμᾶς, ὅσοι φόβῳ θανάτου, διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. τὸ δὲ πρόσωπον τοῦ μὲν Σωτῆρος ἐστί· τότε δὲ λέγεται ὅτε λοιπὸν τὸ σῶμα λαβὼν λέγει· "Κύριος ἔκτισέ με." ὡς γὰρ Υἱῷ Θεοῦ ὄντι ἁρμόζει καλῶς τὸ ἀϊδίως εἶναι, οὕτως ἀνθρώπῳ γενομένῳ πρέπουσα φωνὴ τὸ "Κύριος ἔκτισέ με." αἰώνιον φῶς ἐστὶν ὁ Θεὸς, οὔτε ἀρξάμενον, οὔτε λῆξον ποτέ. οὐκοῦν αἰώνιον σύνεσιν αὐτῷ τὸ ἀπαύγασμα, ἄναρχον καὶ ἀειγενὲς, ὅπερ ἐστιν ἡ λέγουσα σοφία, "ἐγὼ ἤμην ᾗ προσέχειρε." καὶ αὖθις ὄντος αἰωνίου τοῦ Πατρὸς, αἰώνιος ὁ Υἱός ἐστιν, φῶς ἐκ φωτὸς ὤν. ὄντος γὰρ γονέως, ἔστι καὶ τέκνον· εἰ δὲ μὴ τέκνον εἴη, πῶς καὶ τίνος αὐτοῦ δύναται γονεύς; ἀλλ' εἰσὶν ἄμφω καὶ εἰσὶν ἀεί. φωτὸς μὲν οὖν ὄντος τοῦ Θεοῦ, ὁ Χριστός ἐστιν ἀπαύγασμα. Πνεύματος δὲ ὄντος, "Πνεῦμα γὰρ ὁ Θεὸς," ἀναλόγως πάλιν ὁ Χριστὸς ἀτμὶς λέγεται· ἀτμὶς γάρ ἐστιν τῆς τοῦ Θεοῦ δυνάμεως. καί γε ὡς μὲν πρὸς τὴν πηγὴν, ποταμὸς ὁ Υἱὸς λέγεται. "ὁ ποταμὸς γὰρ τοῦ "Θεοῦ ἐπληρώθη ὑδάτων·" πρὸς δὲ τὸ φῶς, ἀπαύγασμα. μόνος οὖν ἀεὶ ὁ Υἱὸς συνὼν τῷ Πατρὶ, καὶ τοῦ ὄντος πληρούμενος, καὶ αὐτός ἐστιν ὢν ἐκ τοῦ Πατρός· ζωὴ ἐκ ζωῆς ἐγεννήθη, καὶ ὥσπερ ποταμὸς ἀπὸ πηγῆς ἔρρευσε, καὶ ἀπὸ φωτὸς ἀσβέστου λαμπρὸν φῶς ἀνήφθη.

Ἀρειανοὶ δὲ τολμῶσι διαιρεῖν καὶ ἀλλότριον τὸν Υἱὸν τῆς τοῦ Πατρὸς οὐσίας καὶ ἀϊδιότητος λέγειν, καὶ τρεπτὸν εἰσάγειν οἱ ἄθεοι. οὐ βλέποντες ὅτι ταῦτα λέγοντες οὐκέτι ποιοῦσιν αὐτὸν ἓν μετὰ τοῦ Πατρὸς, ἀλλὰ μετὰ τῶν κτισμάτων. τίς γὰρ οὐχ ὁρᾷ ὅτι ἀδιαίρετον ἐστὶ τὸ ἀπαύγασμα πρὸς τὸ φῶς, καὶ ἴδιον αὐτῷ συνυπάρχει τοῦτο φύσει. καὶ οὐκ ἐπιγέγονεν ὕστερον. ἴδιος καὶ ἀδιαίρετος τῆς τοῦ Πατρὸς οὐσίας, ὁ Υἱὸς, ὡς ἔστιν ὁ λόγος πρὸς τὸν νοῦν, καὶ ὁ ποταμὸς πρὸς τὴν πηγήν. εἰ μὲν οὖν διαιρεῖν καὶ ἀποξενοῦν τὸν λόγον καὶ τὸν νοῦν τίς δύναται, ὡς αὐτοῦ τὸν νοῦν ἄλογον, ἢ τὸν λόγον ἄνουν· ἢ τὸν ποταμὸν καὶ τὴν πηγὴν

χωρίσαι καὶ τειχίσας διελεῖν. ἢ τὸν ποταμὸν ἑτερούσιον εἰπεῖν πρὸς τὴν πηγὴν, καὶ ξένον τὸ ὕδωρ δεῖξαι. ἢ τὸ ἀπαύγασμα διελεῖν ἀπὸ τοῦ φωτὸς, καὶ εἰπεῖν ἐξ ἑτέρας οὐσίας ἐστὶ, καὶ οὐκ ἐκ τοῦ φωτὸς, μαινέσθω μετὰ Ἀρείου. εἰ δὲ ἀδιαίρετα ταῦτα οἶδεν ἡ φύσις, μηδὲ τὸν λόγον ἀποξενούτω ἀπὸ τοῦ πυρὸς, εἰ πηγὴ καὶ φῶς ὁ Θεὸς, οὐ θέμις εἰπεῖν οὔτε τὴν πηγὴν ξηρὰν, οὔτε τὸ φῶς χωρὶς αὐγῆς, ἵνα μὴ ἄσοφος καὶ ἀφεγγὴς ᾖ ὁ Θεός.

Ἀϊδίου οὖν ὄντος τοῦ Πατρὸς, ἀνάγκη καὶ τὸν Υἱὸν ἀΐδιον αὐτοῦ. ἃ γὰρ ἂν ἐν τῷ Πατρὶ νοήσωμεν, ταῦτα καὶ ἐν τῷ Υἱῷ αὐτοῦ· οὐκ ἀμφίβολον λέγοντος αὐτοῦ τοῦ Κυρίου, "πάντα ὅσα ἔχει ὁ "Πατὴρ ἐμά ἐστι." τίς τολμήσει λέγειν τὸ ἀπαύγασμα ξένον καὶ ἀνόμοιον; οὐκοῦν τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ὑποστάσεως χαρακτὴρ ὑπάρχων ὁ Υἱὸς, ἀδιαλώβητόν τε καὶ ἀπαράσημον τὸ θεῖον ἐν ἑαυτῷ παρέδειξε κάλλος, διαρρήδην εἰπὼν, "ἐγὼ ἐν τῷ Πατρὶ καὶ "ὁ Πατὴρ ἐν ἐμοὶ ἐστί. καὶ ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα," δι' αὐτοῦ γὰρ καὶ ἐν αὐτῷ τὴν τοῦ Πατρὸς φύσιν καταθρήσαιμεν ἄν. καὶ ὥσπερ ἐστὶ σοφία καὶ δύναμις Πατρὸς, οὕτως ἂν εἴη καὶ δόξα τῆς τοῦ τεκόντος οὐσίας, ἀφράστως ἀπηυγασμένος, καὶ τὴν ὅθεν ἐξέφυ δι' ἑαυτοῦ κατασημαίνων φύσιν, καθάπερ τίς ἡλίου βολὴ, καὶ φωτὸς ἀπαύγασμα τῆς προέντος διεκκύπτον οὐσίας, καὶ ὡς ἐκείνῳ λοιπὸν τὸ ἐξ οὗπέρ ἐστι διὰ τῆς εἰς ἄκρον ἐμφερείας καὶ ταυτοειδοῦς ποιότητος, εὖ μάλα νοούμενον. ἀλλὰ ταῦτα μὲν ἄν τις εἴποι καὶ πλείω τούτων τοῖς θεομάχοις ἀντικαθιστάμενος.

Γρηγορίου Νύσσης εἰς τὸν Ἀβραάμ. Ὁ δὲ λόγος ἡμῖν, καθάπερ τίς πῶλος δυσπειθὴς καὶ δυσήνιος, τῆς εὐθείας περιτραπεὶς καὶ πολλοῖς κύκλοις ἐκ πλαγίων διασκιρτήσας, πάλιν εἰς τὴν εὐθεῖαν ἀγέσθω, πόθεν δὲ ἄρα καὶ ἐξετράπη.

Κυρίλλου. Ἐλέγομεν ὅτι τοῖς μὲν ἀρχαιοτέροις ὁ Θεὸς διὰ Μωσέως τεθέσπικε καὶ τῶν προφητῶν· ἡμεῖς δὲ γεγόναμεν κατὰ τὴν τοῦ προφήτου φωνὴν διδακτοὶ Θεοῦ. διδάσκαλον γὰρ ἐσχήκαμεν αὐτὸν τὸν ἐκ Θεοῦ Λόγον ἐνανθρωπίσαντα δι' ἡμᾶς, τὸν ποιητὴν τῶν αἰώνων, τὸ τῆς πατρικῆς δόξης ἀπαύγασμα, τὸν χαρακτῆρα τῆς ὑποστάσεως· ταῦτα περιοδικῶς θεωρήσαντες προσθήσομεν τὰ ἐχόμενα τάδέ ἐστι.

Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ·

Χρυσοστόμου. Εἰπὼν ἀνωτέρω ὅτι δι' αὐτοῦ ἐποίησε τὰ πάντα, ἐνταῦθα δίδωσιν αὐτῷ τὴν αὐθεντίαν, καὶ τὸ μετὰ ταύτης ἅπαντα κυβερνᾷν, καὶ ὅπέρ ἐστιν, ὅρα ἴδιον τοῦ Πατρὸς, τοῦτο προσάπτει καὶ τῷ Υἱῷ. διὰ γὰρ τοῦτο οὐχ ἁπλῶς εἶπε, "φέρων τὰ πάντα," οὐδὲ εἶπε τῇ δυνάμει αὐτοῦ, ἀλλὰ προσέθηκε "τῷ ῥήματι," καὶ οὐχ ἁπλῶς, ἀλλὰ "τῷ ῥήματι τῆς δυνάμεως." ὥσπερ γὰρ πρώην ἡμῖν ἀνήει κατὰ μικρὸν καὶ κατήει, οὕτω καὶ νῦν. ἐπειδὴ γὰρ τὸ μέγα τι περὶ αὐτοῦ εἰπεῖν, ἄναρχον αὐτὸν ἐποίει ὑπολαμβάνεσθαι, πρότερον θεὶς τὰ ταπεινὰ, τότε ἐπάγει. "φέρων τὲ τὰ "πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ·" ὁ γὰρ ῥήματι μόνῳ τὰ πάντα διακυβερνῶν, οὐκ ἂν δεηθείη τινὸς εἰς τὸ παραγαγεῖν τὰ πάντα. "εἶπεν ὁ Θεὸς γενηθήτω φῶς," ὁ Πατήρ φησιν ἐπέταξεν, ὁ δὲ Υἱὸς ὑπήκουσεν· ἀλλ' ἰδοὺ καὶ ἐνταῦθα ῥήματι αὐτὸς ποιεῖ. "φέρων," γάρ φησι, "τὰ πάντα," τουτέστι κυβερνῶν· τὰ διαπίπτοντα συγκρατεῖ. τοῦ γὰρ ποιῆσαι τὸν κόσμον οὐχ ἧττον ἐστὶ τὸ συγκρατεῖν. ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν καὶ μεῖζον. τὸ γὰρ τὰ γεγονότα εἰς τὸ μὴ εἶναι μέλλοντα χωρεῖν, συνέχειν καὶ συνάπτειν πρὸς ἄλληλα διαστασιάζοντα, τοῦτό ἐστι τὸ μέγα καὶ πολλῆς δυνάμεως τεκμήριον. εἶτα τὸ εὔκολον δηλῶν, οὐκ εἶπε κυβερνῶν, ἀλλὰ "φέρων," ἀπὸ μεταφορᾶς τῶν ἁπλῶς τῷ δακτύλῳ τί κινούντων, καὶ ποιούντων περιφέρεσθαι. ἐνταῦθα καὶ τὸν ὄγκον τῆς κτίσεως ἔδειξε μέγαν ὄντα, καὶ τὸ μέγα οὐδὲν αὐτῷ ὄν. εἶτα πάλιν τὸ ἀπονητὶ δείκνυσιν εἰπὼν "τῷ ῥήματι τῆς δυνάμεως "αὐτοῦ." καὶ καλῶς εἶπε "τῷ ῥήματι." ἐπειδὴ γὰρ τὸ ῥῆμα παρ' ἡμῖν ψιλὸν εἶναι δοκεῖ, δείκνυσιν ὅτι οὐκ ἔστι ψιλὸν ἐπὶ Θεοῦ. τὸ δὲ πῶς τῷ ῥήματι φέρει, οὐκέτι προσέθηκεν, οὐδὲ γὰρ δυνατὸν εἰδέναι. τοιοῦτόν τι καὶ Ἰωάννης πεποίηκεν· εἰπὼν γὰρ ὅτι Θεός ἐστιν, ἐπήγαγε τῆς κτίσεως τὴν δημιουργίαν. ὅπερ γὰρ ἐκεῖνος ἠνίξατο εἰπὼν, "ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ πάντα δι' αὐτοῦ ἐγένετο," τοῦτο καὶ οὗτος διὰ τοῦ ῥήματος καὶ τοῦ εἰπεῖν, "δι' οὗ καὶ τοὺς "αἰῶνας ἐποίησεν," ἐνέφηνε. καὶ γὰρ καὶ δημιουργὸν καὶ πρὸ πάντων ὄντα τῶν αἰώνων αὐτὸν δείκνυσι. τί οὖν ὅταν περὶ μὲν τοῦ Πατρὸς λέγῃ ὁ προφήτης, "ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος

"σὺ εἶ," περὶ δὲ τοῦ Υἱοῦ, ὅτι πρὸ πάντων ἐστὶ τῶν αἰώνων καὶ τῶν ἁπάντων δημιουργὸς, τί ἂν εἴποιεν οἱ Χριστομάχοι; μᾶλλον δὲ ὃ περὶ τοῦ Πατρὸς ἐλέγετο, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, τοῦτο καὶ περὶ τοῦ Υἱοῦ ἴδοι τίς ἂν εἰρημένον. καὶ ὅπερ ἐκεῖνος φησὶ, "ζωὴ ἦν," τὸ διακρατητικὸν τῆς κτίσεως δηλῶν, ὅτι πάντων αὐτός ἐστιν ἡ ζωὴ, τοῦτο καὶ οὗτος φησὶν, "φέρων τὰ πάντα τῷ ῥήματι "τῆς δυνάμεως αὐτοῦ," τουτέστιν ἡνιοχῶν, οἰκονομῶν, συγκρατῶν, καὶ διαβαστάζων. οὐ γὰρ δὴ μόνον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάντα παρήγαγεν, ἀλλὰ καὶ γενομένων προνοεῖ, κἂν Ἕλληνες καὶ τῆς δημιουργίας αὐτῆς τὸ εἰς αὐτοὺς ἧκον ἀποστερῶσιν αὐτὸν καὶ τῆς προνοίας, μέχρι σελήνης συγκλείοντες αὐτοῦ τὴν δύναμιν.

Θεοδώρητος. Οὐ γὰρ μόνον τὰ πάντα πεποίηκεν, ἀλλὰ καὶ ἰθύνει αὐτὰ καὶ κυβερνᾷ. τὴν δὲ τῆς δυνάμεως ὑπερβολὴν ἔδειξεν, εἰρηκὼς ἀρκεῖν αὐτῷ λόγον εἰς τὴν ἁπάντων δημιουργίαν τε καὶ προμήθειαν. αὐτὸς γὰρ εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. ταύτης τῆς θεολογίας τὸ ἀναμφίλεκτον ὁρῶντες οἱ τὰ Ἀρείου φρονοῦντες, τῶν ἀποστολικῶν θησαυρῶν ἐκβαλεῖν τήνδε τὴν Ἐπιστολὴν ἐπειράθησαν. οὗ δὴ χάριν ἡμεῖς ταῖς εὐαγγελικαῖς αὐτὴν συμφωνοῦσαν διδασκαλίαις ἐδείξαμεν. ὁ μέν τοι θεῖος Ἀπόστολος οὕτω τὰ περὶ τῆς θείας διεξελθὼν φύσεως, ἐπὶ τὰ ἀνθρώπεια μεταβαίνει, διδάσκων τὸ τῆς οἰκονομίας μυστήριον.

Δἰ ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς.

Χρυσοστόμου. Εἰπὼν περὶ τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων τῶν ἀνωτάτω, λέγει λοιπὸν καὶ περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ κηδεμονίας. μάλιστα μὲν γὰρ καὶ ἐκεῖνο καθολικὸν ἦν, τὸ φέρον τὲ τὰ πάντα, πλὴν ἀλλὰ τοῦτο πολλῷ μεῖζον. καὶ τοῦτο δὲ καθολικόν· τὸ γὰρ αὐτοῦ μέρος πάντες ἐπίστευσαν· ἐπεὶ καὶ ὁ Ἰωάννης εἰπὼν ζωὴν, καὶ τὴν πρόνοιαν δηλώσας, πάλιν λέγει· "καὶ φῶς "ἦν," τὸ αὐτὸ τοῦτο δηλῶν. δύο δὲ ἐνταῦθα τίθησιν ὁ Παῦλος τῆς τοῦ Χριστοῦ κηδεμονίας τεκμήρια μέγιστα, τό τε καθαρίσαι τῶν ἁμαρτιῶν ἡμᾶς, καὶ τὸ δἰ ἑαυτοῦ τοῦτο ποιῆσαι. οὐ γὰρ ἄλλον ἔπεμψε φησὶ διακονοῦντα, ἀλλὰ δἰ ἑαυτοῦ καθαρισμὸν εἰργάσατο.

μέγα μὲν καὶ τὸ καθαρίσαι, μεῖζον δὲ τὸ δι' ἑαυτοῦ· καὶ πολλαχοῦ ὄψει τὸν Παῦλον ἐπὶ τούτῳ σεμνυνόμενον, οὐ μόνον ἐπὶ τῇ καταλλαγῇ τῇ πρὸς τὸν Θεὸν, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ Υἱοῦ τοῦτο γεγενῆσθαι· καὶ γὰρ ὄντως μέγα τὸ δῶρον, μεῖζον δὲ γεγένηται τῷ διὰ τοῦ Υἱοῦ. εἰπὼν δὲ ὅτι ἐποιήσατο καθαρισμὸν τῶν ἁμαρτιῶν, καὶ ἀναμνήσας τοῦ σταυροῦ, ταχέως τὸν περὶ τῆς ἀναστάσεως καὶ ἀναλήψεως λόγον ἐπήγαγεν, εἰρηκὼς, ἐκάθισεν ἐν τοῖς ὑψηλοῖς. καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ τὴν ἄφατον, οὐκ εἶπεν ἐκελεύσθη καθίσαι, ἀλλ' ἐκάθισε. τί δέ ἐστιν "ἐν ὑψηλοῖς;" ἆρά γε εἰς τόπον περικλείει τὸν Θεόν; ἄπαγε· ἀλλ' ὥσπερ εἰπὼν ἐν δεξιᾷ, οὐκ ἐσχημάτισεν αὐτὸν, ἀλλὰ τὸ ὁμότιμον ἔδειξε τὸ πρὸς τὸν Πατέρα, οὕτως εἰπὼν ἐν ὑψηλοῖς, οὐ περιέκλεισεν αὐτὸν ἐκεῖ, ἀλλὰ τὸ πάντων ἔδειξεν ὑψηλότερον, καὶ πάντα ὑπεραναβεβηκότα· ὡσεὶ ἔλεγεν, εἰς αὐτὸν ἔφθασε τὸν θρόνον τὸν πατρικόν.

Ὥσπερ οὖν ὁ Πατὴρ ἐν ὑψηλοῖς, οὕτω καὶ αὐτός. ἡ γὰρ συνεδρία, οὐδὲν ἕτερον δείκνυσιν ἢ τὸ ὁμότιμον. "ἐκάθισε," φησὶν, "ἐν δεξιᾷ τῆς μεγαλωσύνης." ὅρα οἵοις ὀνόμασι κέχρηται, οὐδαμοῦ τῆς οὐσίας αὐτῆς ὄνομα εὑρών· οὔτε γὰρ ἡ μεγαλωσύνη, οὔτε ἡ δόξα, τὸ ὄνομα παρίστησιν, ἀλλὰ βούλεται μὲν εἰπεῖν, οὐκ ἔχει δὲ εὑρεῖν. καὶ τί θαυμαστὸν εἰ ἐπὶ Θεοῦ, ὅπου γε οὐδὲ ἐπὶ Ἀγγέλου εὕροι τίς ἂν ὄνομα τῆς οὐσίας δηλωτικὸν, τάχα δὲ οὐδὲ ἐπὶ ψυχῆς; οὐ γάρ μοι δοκεῖ τοῦτο τὸ ὄνομα παραστατικὸν αὐτῷ τῆς οὐσίας αὐτῆς, ἀλλὰ τοῦ ψυχήν. τὴν γὰρ αὐτὴν καὶ ψυχὴν καὶ καρδίαν καὶ νοῦν καλουμένην ἴδοι τις ἄν. "καρδίαν γάρ," φησι, "καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός." οὐ μόνον δὲ ταῦτα ἀλλὰ καὶ πνεῦμα πολλαχοῦ ἴδοις ἂν λεγομένην αὐτήν. καθ' ἡμᾶς μὲν οὖν ἡ ἐκ δεξιῶν καθέδρα τοῦ Θεοῦ, ἤτοι τοῦ Υἱοῦ, τὴν πρὸς τὸν Πατέρα ὁμοτιμίαν παρίστησιν. εἰ δὲ λέγουσιν οἱ αἱρετικοὶ, ὅτι εἶπε "κάθου," ἐρώμεθα αὐτούς· τί οὖν ἑστῶτι εἶπεν; ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι. ἄλλως δὲ, οὐκ εἶπεν ὅτι ἐκέλευσεν, ἢ προσέταξεν, ἀλλ' ὅτι εἶπε· καὶ τοῦτο εἶπε δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα μὴ ἄναρχον αὐτὸν νομίσῃς καὶ ἀναίτιον. ὅτι γὰρ διὰ τοῦτο εἴρηκε, δῆλον ἐκ τοῦ τόπου τῆς καθέδρας. εἰ γὰρ ἐλάττωσιν ἤθελε δηλῶσαι, οὐκ ἂν εἶπεν ἐκ δεξιῶν ἀλλ' ἐξ ἀριστερῶν.

Βασιλείου πρὸς Ἀμφιλόχιον. Τὸ γὰρ δεξιὸν, οὐ τὴν κάτω

χώραν δηλοῖ ὡς ὁ τούτων λόγος, ἀλλὰ τὴν πρὸς τὸ ἴσον σχέσιν· οὐ σωματικῶς τοῦ δεξιοῦ λαμβανομένου, οὕτω γὰρ ἄν τι καὶ σκαιὸν ἐπὶ τοῦ Θεοῦ εἴη, ἀλλ' ἐκ τῶν τιμίων τῆς προεδρίας ὀνομάτων τὸ μεγαλοπρεπὲς τῆς περὶ τὸν Υἱὸν τιμῆς παριστῶντος τοῦ λόγου. ὁ τοίνυν τὸ τῆς ἀξίας ὑποδεὲς διὰ τῆς φωνῆς ταύτης δηλοῦσθαι λέγων, μανθανέτω "ὅτι Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία," καὶ ὅτι εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ ἀπαύγασμα τῆς δόξης, καὶ ὅτι τοῦτον ὁ Πατὴρ ἐσφράγισεν. ὁ Θεὸς ὅλον αὐτῷ ἑαυτὸν ἐντυπώσας, τὰς τοιαύτας μαρτυρίας ταπεινωτικὰς εἶναι φῶμεν, ἢ ὥσπέρ τινας ἀναρρήσεις τὸ μεγαλοπρεπὲς τοῦ μονογενοῦς καὶ τὸ πρὸς τὸν Πατέρα τῆς δόξης ἴσον ἀνακηρύττειν. ἀκουέτω δὲ καὶ αὐτοῦ τοῦ Κυρίου σαφῶς, ὁμότιμον ἑαυτοῦ τὴν δόξαν τῷ Πατρὶ παριστῶντος, ἐν τῷ λέγειν, "ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα." καὶ πάλιν· "ὅταν ἔλθῃ ὁ Υἱὸς ἐν τῇ δόξῃ τοῦ Πατρὸς," καὶ "ἵνα τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα." καὶ "ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός·" καὶ "ὁ μονογενὴς ὁ ὢν ἐν τῷ κόλπῳ τοῦ Πατρός·" ὧν ὑμηδὲν πολογησάμενος ὁ Χριστομάχος, τὴν τοῖς ἐχθροῖς ἀφωρισμένην χώραν τῷ Υἱῷ προστίθησιν. κόλπος μὲν γὰρ πατρικὸς, Υἱῷ καθέδρα πρέπουσα· ἡ δὲ τοῦ ὑποποδίου χώρα, τοῖς ἐπιδεομένοις τῆς ὑποστάσεως.

Ἡμεῖς μὲν οὖν, ἐφ' ἕτερα τὴν ὁρμὴν ἔχοντες, περιτρεχόντως τῶν μαρτυριῶν τούτων ἐφηψάμεθα. ἔξεστι δέ σοι κατὰ σχολὴν συναγαγόντι τὰς ἀποδείξεις, τὸ τῆς δόξης ὕψος καὶ τὸ τῆς δυνάμεως ὑπερέχον τοῦ μονογενοῦς κατιδεῖν. καί τοι εὐγνώμονι ἀκροατῇ, οὐδὲ ταῦτα μικρὰ, εἰ μή τις σαρκικῶς καὶ ταπεινῶς ἐξακούει τοῦ δεξιοῦ καὶ τοῦ κόλπου, ὥστε τόπῳ τε τὸν Θεὸν περιγράφειν, καὶ ἀναπλάττειν σχῆμα καὶ τύπον, καὶ σχέσιν σωματικήν· ἃ παραπολὺ τῆς ἐννοίας τοῦ ἁπλοῦ καὶ ἀπείρου καὶ ἀσωμάτου διώρισται. πλήν γε δὴ, ὅτι τὸ τῆς ἐννοίας αὐτοῦ ταπεινὸν ἐπί τε Πατρὸς καὶ Υἱοῦ παραπλήσιον. ὥστε οὐ καθαιρεῖ τοῦ Υἱοῦ τὴν ἀξίαν, ἀλλὰ προσλαμβάνει τὸ κρῖμα τῆς εἰς τὸν Θεὸν βλασφημίας ὁ τὰ τοιαῦτα διεξιών. ἐν οἷς γὰρ ἂν κατατολμήσῃ τοῦ Υἱοῦ, ταῦτα ἀνάγκη αὐτῷ μετατιθέναι πρὸς τὸν Πατέρα. ὁ γὰρ τῷ Πατρὶ τὴν ἄνω χώραν εἰς προεδρίαν ἀποδιδοὺς, τὸν δὲ μονογενῆ

Υἱὸν ὑποκαθῆσθαι λέγων, πάντα ἀκολουθοῦντα ἕξει τὰ σωματικὰ συμπτώματα τῷ ἑαυτοῦ ἀναπλασμῷ. εἰ δὲ ταῦτα οἰνοπλήκτων καὶ ἐκ φρενίτιδος παραφόρων τὸν νοῦν τὰ φαντάσματα, πῶς εὐσεβῶς τὸν τῇ φύσει, τῇ δόξῃ, τῷ ἀξιώματι συνημμένον, μὴ μετὰ Πατρὸς προσκυνεῖν καὶ δοξάζειν τοὺς παρ' αὐτοῦ διδαχθέντας, ὅτι ὁ μὴ τιμῶν τὸν Υἱὸν, ἀτιμᾷ τὸν Πατέρα; τί γὰρ φήσομεν; τίνα δὲ δικαίαν ἕξομεν ἀπολογίαν ἐπὶ τοῦ φοβεροῦ δικαστηρίου, εἰ τοῦ Κυρίου σαφῶς ἐπαγγελλομένου ἥξειν ἐν τῇ δόξῃ τοῦ Πατρὸς, καὶ Στεφάνου θεασαμένου Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ τοῦ Πατρὸς λέγοντος "κάθου ἐκ δεξιῶν μου," καὶ Παύλου ἐν πνεύματι διαμαρτυρουμένου περὶ Χριστοῦ, ὅτι "ἔστιν ἐν δεξιᾷ "τοῦ Θεοῦ," καὶ τοῦ Ἁγίου Πνεύματος μαρτυροῦντος ὅτι "ἐκά-"θισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Θεοῦ," ἡμεῖς τὸν σύνθρονον καὶ ὁμότιμον ἀπὸ τῆς πρὸς τὸ ἶσον σχέσεως ἐπὶ τὸ κάτω καταβιβάζομεν; οἶμαι γὰρ τὴν μὲν στάσιν καὶ τὴν καθίδρυσιν τὸ πάγιον τῆς φύσεως καὶ πάντῃ στάσιμον ὑποφαίνειν, καθ' ὃ καὶ ὁ Βαροὺχ τὸ ἀκίνητον καὶ ἀμετάθετον τῆς τοῦ Θεοῦ διεξαγωγῆς ἐνδεικνύμενος, ἔφη· τὸ, "συγκαθήμενος εἰς τὸν αἰῶνα." καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα, τὴν δεξιὰν δὲ χώραν δηλοῦν τὸ τῆς ἀξίας ὁμότιμον, πῶς οὖν οὐ τολμηρὸν τῆς κατὰ τὴν κοινωνίαν δοξολογίας ἀποστερεῖν, ὡς ἐν ἐλάττονι χώρᾳ τιμῆς τετάχθαι ἄξιον;

Θεοδωρίτου. Τὸν μονογενῆ τὸν τῷ γεννηκότι συνόντα, τὸν τῶν ἁπάντων δημιουργόν τε καὶ πρύτανιν, τὸν ἐν ἑαυτῷ δεικνύντα τὸν Πατέρα, ὃς ἐνανθρωπίσας τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν, καὶ οὐ διὰ μόσχων ἢ κριῶν ἀλλὰ διὰ τοῦ τιμίου αὐτοῦ αἵματος ἡμᾶς καθαρίσας, ἐκάθισεν ἐν ὑψηλοῖς. τοῦτο δὲ ἀνθρωπίνως εἴρηται· ὕψιστος γὰρ ὢν, ἐταπείνωσεν ἑαυτὸν, καὶ Θεὸς ἂν ἐνηνθρώπισεν· οὐ ταπεινὸς ὢν ὑψώθη, οὐδὲ ἄνθρωπος ὢν, Θεὸς ἐγένετο· ἀλλ' ὡς μὲν Θεὸς, δεσπότης ἦν τῶν ὅλων ἀεὶ, ὡς δὲ ἄνθρωπος, προσέλαβε δόξαν ἥν περ εἶχεν ὡς Θεός. "Πάτερ," γάρ φησιν, "δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ "σοὶ," καὶ ᾔτησεν οὐ λαβεῖν ἅπερ οὐκ εἶχεν, ἀλλ' ἅπερ εἶχε δειχθῆναι.

Βασιλείου κατὰ Ἀπολιναρίου. Καὶ τὸ "κάθου ἐκ δεξιῶν "μου," οὐκ ἀνθρώπου μὲν τὸ ἀξίωμα, ἀλλὰ Θεοῦ. ἀλλ' ἐπειδὴ

τὸ τοῦ Θεοῦ ἀξίωμα, ἀνθρώπου γέγονεν ἀξίωμα, ἵνα τὸ τοῦ ἀνθρώπου ἀξίωμα, Θεοῦ ἀξίωμα πιστευθῇ, εἴρηται "κάθου ἐκ δεξιῶν "μου," καὶ "δόξασόν με Πάτερ τῇ δόξῃ τῇ ἀϊδίῳ." οὐ χωρισθεὶς τῆς δόξης τοῦτο λέγει, ἀλλ' ἐν ἀδόξῳ σώματι γεγονὼς, ἵνα δείξῃ οὐ χωριζομένην τῆς θεϊκῆς δόξης τὴν τοῦ δούλου μορφὴν, ἀλλὰ ταύτην ἐπιδεικνυμένην· διὸ λέγει, "καὶ ἐδόξασα καὶ πάλιν δο- "ξάσω·" μίαν τὴν πρὸ σώματος καὶ ἐν σώματι δόξαν δεικνύς.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑ ἈΡΕΙΑΝΩΝ. *Καὶ ἡ δεξιὰ καθέδρα τὸ γνήσιον τοῦ Υἱοῦ σημαίνει, καὶ τὸ τὴν θεότητα τοῦ Πατρὸς ταύτην εἶναι τοῦ Υἱοῦ. τήν τε γὰρ τοῦ Πατρὸς βασιλείαν βασιλεύων ὁ Υἱὸς ἐπὶ τὸν αὐτὸν θρόνον τῷ Πατρὶ κάθηται, καὶ τῇ τοῦ Πατρὸς θεότητι θεωρούμενος, "Θεός ἐστιν ὁ Λόγος," καὶ "ὁ βλέπων τὸν "Υἱὸν, βλέπει τὸν Πατέρα." καὶ οὕτως εἷς Θεός ἐστιν. ἐκ δεξιῶν οὖν καθήμενος, ἀριστερὸν οὐ ποιεῖ τὸν Πατέρα, ἀλλ' ὅπερ ἐστὶ δεξιὸν καὶ τίμιον ἐν τῷ Πατρὶ, τοῦτο καὶ ὁ Υἱὸς ἔχει καὶ λέγει· "πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι." διὰ τοῦτο καὶ ἐκ δεξιῶν καθήμενος ὁ Υἱὸς, ὁρᾷ τὸν Πατέρα καὶ αὐτὸν ἐκ δεξιῶν, κἂν ὡς ἄνθρωπος γενόμενος λέγει, "προορώμην τὸν Κύριον ἐνώ- "πιόν μου, ὅτι ἐκ δεξιῶν μου ἐστὶ διὰ παντός." δείκνυται γὰρ πάλιν καὶ ἐν τούτῳ, ὡς ὁ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ.*

4 *Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα.*

ΘΕΟΔΩΡΗΤΟΥ. *Καὶ τοῦτο κατὰ τὸ ἀνθρώπινον εἴρηκεν· ὡς γὰρ Θεὸς, ποιητὴς Ἀγγέλων καὶ δεσπότης Ἀγγέλων· ὡς δὲ ἄνθρωπος, μετὰ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἀνάβασιν, κρείττων Ἀγγέλων ἐγένετο, ἐπειδὴ καὶ ἐλάττων ἦν Ἀγγέλων διὰ τὸ πάθημα τοῦ θανάτου. ὥσπερ τοίνυν ἐλάττων ἦν Ἀγγέλων ὡς ἄνθρωπος, ἐπειδὴ ἐκεῖνοι μὲν ἀθάνατον ἔχουσι φύσιν, αὐτὸς δὲ τὸ πάθος ὑπέμεινεν, οὕτω μετὰ τὴν εἰς οὐρανοὺς ἀνάβασιν κρείττων Ἀγγέλων ἐγένετο. ἐκάθισε γὰρ ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας· ποιεῖται δὲ τὴν σύγκρισιν καὶ ἐκ τῶν ὀνομάτων ὁ θεῖος Ἀπόστολος· οὕτω καὶ τὴν πρὸς τοὺς προφήτας παρεξέτασιν ἐποιήσατο, Υἱὸν δείξας τὸν δεσπότην Χριστόν· οὕτω καὶ ἐπὶ τῶν Ἀγγέλων τῆς υἱότητος*

μνημονεύει, καὶ ταύτῃ δείκνυσι τὸ διάφορον. "κεκληρονόμηκε," γάρ φησι, "διαφορώτερον ὄνομα," τὸ τῆς υἱότητος δηλαδή· κατὰ τὸ ἀνθρώπινον δὲ εἴρηκε τὸ "κεκληρονόμηκε·" ὁ γὰρ φύσιν Υἱὸς, οὐ κατὰ χάριν τοῦτο λαμβάνει· ἔχει γὰρ αὐτὸ κατὰ φύσιν· ἀλλ' ὡς ἔφην ἤδη, τὰ θεῖα διδάξας, ἐνταῦθα τὰ περὶ τῆς οἰκονομίας διέξεισι, καὶ διδάσκει, ὡς αὐτὸς καὶ ποιητὴς πάντων ὡς Θεὸς, καὶ κληρονόμος πάντων ὡς ἄνθρωπος, καὶ δημιουργὸς Ἀγγέλων ὡς Θεὸς, καὶ κρείττων γέγονε τούτων ὡς ἄνθρωπος, καὶ φύσει Υἱός· καὶ λαμβάνει τοῦτο πάλιν ὡς ἄνθρωπος ὅπερ εἶχεν ὡς Θεός.

Ἀθανασίου κατὰ Ἀρειανῶν. Ἀρειανοὶ δὲ τὰ ἀποστολικὰ ταῦτα ῥητὰ ἄνω καὶ κάτω προφέροντες, καὶ πλανώμενοι περὶ τὴν διάνοιαν, ἐνόμισαν ἐκ τούτων κτίσμα καὶ ποίημα καὶ ἕνα τῶν γενητῶν εἶναι καὶ τὸν τοῦ Θεοῦ Λόγον. δεῖ δὲ ὡς ἐπὶ πάσης τῆς θείας γραφῆς, οὕτω καὶ ἐνταῦθα, καθ' ὃν εἶπε ταῦτα ὁ Ἀπόστολος καιρὸν, καὶ τὸ πρόσωπον καὶ τὸ παράδειγμα, δι' ὅπερ ἔγραψε, πιστῶς ἐκλαμβάνειν· ἵνα μὴ παρὰ ταῦτα ἢ καὶ παρ' ἕτερόν τι τούτων ἀγνοῶν ὁ ἀναγινώσκων, ἔξω τῆς ἀληθινῆς διανοίας γένηται. τοῦτο γὰρ ὁ φιλομαθὴς ἐκεῖνος εὐνοῦχος εἰδὼς, παρεκάλει τὸν Φίλιππον, λέγων, "δέομαί σου περὶ τίνος ὁ προφήτης λέγει, περὶ "ἑαυτοῦ ἢ περὶ ἑτέρου τινός;" ἐφοβεῖτο γὰρ μὴ παρὰ πρόσωπον ἐκλαβὼν τὴν ἀνάγνωσιν, πλανηθῇ τῆς ὀρθῆς διανοίας· καὶ οἱ μαθηταὶ δὲ θέλοντες τὸν καιρὸν τῶν λεγομένων μαθεῖν, παρεκάλουν τὸν Κύριον λέγοντες, "εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς "σῆς παρουσίας;" καὶ αὐτοὶ γὰρ ἀκούοντες παρὰ τοῦ Σωτῆρος τὰ περὶ τοῦ τέλους, ἤθελον μαθεῖν καὶ τὸν καιρὸν, ἵνα μήτε αὐτοὶ πλανῶνται, ἀλλὰ καὶ τοὺς ἄλλους διδάσκειν δυνηθῶσι. μαθόντες γοῦν διωρθώσαντο μέλλοντας πλανᾶσθαι τοὺς ἀπὸ τῆς Θεσσαλονίκης.

Ὅταν μὲν [m] εἰ τῶν τοιούτων τίς ἔχῃ καλῶς τὴν γνῶσιν, ὀρθὴν ἔχει καὶ ὑγιαίνουσαν τὴν τῆς πίστεως διάνοιαν. ἐὰν δὲ παρ' ἕτερόν τις ἐκλαμβάνῃ τούτων, εὐθὺς εἰς αἵρεσιν ἐκπίπτει. παρὰ καιρὸν οὖν ἐπλανήθησαν, οἱ μὲν περὶ Ὑμεναιὸν καὶ Ἀλέξανδρον, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι· οἱ δὲ Γαλάται, μετὰ τὸν καιρὸν ἀγαπήσαντες τὴν περιτομήν· παρὰ πρόσωπον δὲ πάσχουσι μέχρι

[m] Fors. μέντοι.

νῦν Ἰουδαῖοι, νομίζοντες περὶ ἑνὸς ἐξ αὐτῶν λέγεσθαι τὸ "ἰδοὺ ἡ "παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν." καὶ ὅταν τὸ μὲν "προφήτην ὑμῖν ἀναστήσει ὁ Θεὸς," νομίζωσι περὶ ἑνὸς τῶν προφητῶν λέγεσθαι, τὸ δὲ "ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη," μὴ μανθάνωσι παρὰ τοῦ Φιλίππου, ἀλλ' ὑπολαμβάνωσι περὶ τοῦ Ἡσαΐου λέγεσθαι, ἢ περὶ ἄλλου τινὸς τῶν γενομένων προφητῶν.

Τοιαῦτα δὴ οὖν καὶ οἱ Χριστομάχοι παθόντες εἰς μυσαρὰν αἵρεσιν ἐκπεπτώκασιν. εἰ γὰρ ἐγνώκεισαν τό τε πρόσωπον καὶ τὸ πρᾶγμα, καὶ τὸν καιρὸν τοῦ ἀποστολικοῦ ῥητοῦ, οὐκ ἂν τὰ ἀνθρώπινα εἰς τὴν θεότητα ἐκλαμβάνοντες τοσοῦτον ἠσέβουν οἱ ἄφρονες. τοῦτο δὲ δυνατὸν ἰδεῖν, εἰ τὴν ἀρχὴν τοῦ ἀναγνώσματός τις ἐκλάβοι. περὶ τοῦ καιροῦ γὰρ καθ' ὃν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὅτε καὶ τῶν ἁμαρτιῶν καθαρισμὸς γέγονε, μνημονεύει τὸ ἀποστολικὸν ῥητὸν, πότε ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, καὶ πότε γέγονε καθαρισμὸς μετὰ τοὺς προφήτας ἐπ' ἐσχάτου τῶν ἡμερῶν. εἶτα τοῦ διηγήματος ὄντος περὶ τῆς καθ' ἡμᾶς οἰκονομίας, λέγων περὶ τῶν ἐσχάτων καιρῶν, ἀκολούθως ἐμνημόνευσεν, ὅτι μήτε τοὺς προτέρους χρόνους ἐσιώπησε τοῖς ἀνθρώποις ὁ Θεός. ἐλάλησε γὰρ αὐτοῖς διὰ τῶν προφητῶν· καὶ ἐπειδὴ καὶ προφῆται διηκόνησαν, καὶ δι' Ἀγγέλων ὁ νόμος ἐλαλήθη, καὶ ὁ Υἱὸς δὲ ἐπεδήμησε, καὶ ἦλθε διακονῆσαι, ἀναγκαίως ἐπήγαγε, "τοσούτῳ κρείττων γενόμενος "τῶν Ἀγγέλων." διεξελθὼν ὅτι ὅσον υἱὸν διαφέρει δούλου, τοσούτῳ τῆς διακονίας τῶν δούλων ἡ τοῦ υἱοῦ διακονία κρείττων γέγονε. τὴν διακονίαν ἄρα κρίνων ὁ Ἀπόστολος τῆς τε παλαιᾶς καὶ καινῆς, παρρησιάζεται πρὸς Ἰουδαίους γράφων καὶ λέγων, "τοσούτῳ κρείτ"των γενόμενος τῶν ἀγγέλων."

Κυρίλλου. Τὸ μὲν γὰρ Ἄγγελοι ὄνομα λειτουργίας ἐστὶ σημαντικὸν, οἰκετικόν τε ἡμῖν ὑπεμφαίνει μέτρον. ὁ δέ γε Υἱὸς τὴν ἐκ Πατρὸς ὕπαρξιν, οὐσιώδη καὶ φυσικὴν δηλοῖ. διὰ τοῦτο γοῦν οὐδὲ συγκριτικῶς εἴρηκε μείζων ἢ τιμιώτερος· ἵνα μὴ ὡς περὶ ὁμογενῶν τούτου κἀκείνων τίς λογίσηται· ἀλλὰ κρείττων εἴρηκεν, ἵνα τὸ διαλάττον τῆς φύσεως τοῦ Υἱοῦ πρὸς τὰ γενητὰ γνωρίσῃ. καὶ τούτων ἔχομεν τὴν ἀπόδειξιν ἐκ τῶν θείων γραφῶν, τοῦ μὲν Δαβὶδ ψάλλοντος, "κρείσσων ἡμέρα μια εν ταῖς αὐλαῖς

“ σου ὑπὲρ χιλιάδας.” τοῦ δὲ Σολομῶντος ἀναφωνοῦντος, “ κρείσσων σοφία λίθων πολυτελῶν·” πῶς γὰρ οὐχ ἑτεροούσια καὶ ἄλλα τὴν φύσιν, ἡ σοφία, καὶ οἱ ἀπὸ γῆς λίθοι; ποία δὲ συγγένεια ταῖς ἐν οὐρανοῖς αὐλαῖς καὶ τοῖς ἐπὶ γῆς οἴκοις; οὕτως ἄρα οὐδεμία συγγένεια τοῦ Υἱοῦ πρὸς τοὺς Ἀγγέλους ἐστί. μηδεμιᾶς δὲ οὔσης τῆς συγγενείας, οὐκ ἄρα συγκριτικῶς ἐλέχθη τὸ “ κρείττων,” ἀλλὰ διακριτικῶς διὰ τὸ διαλάττον τῆς τούτου φύσεως ἀπ’ ἐκείνων. καὶ αὐτὸς οὖν ὁ Ἀπόστολος τὸ “ κρείττων” ἑρμηνεύων, οὐκ ἐν ἄλλῳ τινὶ, ἢ ἐν τῇ διαφορᾷ τοῦ Υἱοῦ πρὸς τὰ γενητὰ τίθησι λέγων, ὅτι ὁ μὲν, Υἱὸς, τὰ δὲ, δοῦλα· καὶ ὁ μὲν, ὡς Υἱὸς μετὰ τοῦ Πατρὸς ἐν δεξιᾷ κάθηται· τὰ δὲ, ὡς δοῦλα παρέστηκε καὶ ἀποστέλλεται καὶ λειτουργεῖ.

Τούτων δὲ οὕτως γεγραμμένων, οὐ γενητὸς ἐκ τούτων ὁ Υἱὸς σημαίνεται, ὦ Ἀρειανοὶ, ἀλλὰ μᾶλλον ἄλλος μὲν τῶν γενητῶν, ἴδιος δὲ τοῦ Πατρὸς, ἐν τοῖς κόλποις ὢν αὐτοῦ. καὶ γὰρ καὶ τὸ γεγραμμένον ἐνταῦθα “ γενόμενος,” οὐ γενητὸν σημαίνει τὸν Υἱὸν, ὥσπερ ὑμεῖς νομίζετε. εἰ μὲν γὰρ ἁπλῶς εἰρήκει γενόμενος καὶ ἐσιώπησεν, ἦν πρόφασις τοῖς Ἀρειανοῖς. ἐπειδὴ Υἱὸν προείρηκε δι’ ὅλης τῆς περικοπῆς ἀποδείξας αὐτὸν ἄλλον εἶναι τῶν γενητῶν, οὐδὲ τὸ γενόμενος ἀπολελυμένως ἔθηκεν, ἀλλὰ τὸ κρείττων συνῆψε τῷ γενόμενος. ἀδιάφορον γὰρ ἡγήσατο τὴν λέξιν· εἰδὼς ὡς ἐπὶ ὁμολογουμένως γνησίου υἱοῦ ὁ λέγων τὸ γενόμενος ἶσον τῷ γεγενῆσθαι ὅτι ἐστὶ κρείττων λέγει· τὸ μὲν γὰρ γενητὸν οὐ διαφέρει, κἂν λέγῃ τίς γέγονεν ἢ πεποίηται, τὰ δὲ γενητὰ, δημιουργήματα ὄντα, ἀδύνατον λέγεσθαι γεννητά· εἰ μὴ ἄρα μετὰ ταῦτα μετασχόντα τοῦ γεννητοῦ υἱοῦ, γεγεννῆσθαι καὶ αὐτὰ λέγονται. οὔτι γε διὰ τὴν ἰδίαν φύσιν, ἀλλὰ διὰ τὴν μετουσίαν τοῦ υἱοῦ ἐν τῷ πατρί. καὶ τοῦτο πάλιν οἶδεν ἡ θεία γραφὴ, ἐπὶ μὲν τῶν γενητῶν λέγουσα “ πάντα δι’ αὐτοῦ ἐγένετο,” καὶ “ πάντα ἐν σοφίᾳ ἐποίησεν.” ἐπὶ δὲ τῶν υἱῶν τῶν γεννητῶν, “ ἐγένοντο τῷ Ἰακὼβ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς.” καὶ “ Ἀβραὰμ δὲ ἦν ἑκατὸν ἐτῶν ὅτε ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.”

Οὐκοῦν εἰ τῶν μὲν γενητῶν ἄλλος ἐστὶ, τῆς δὲ τοῦ πατρὸς οὐσίας μόνος ἴδιον γέννημα ὁ υἱὸς, μεματαίωται τοῖς Ἀρειανοῖς ἡ

περὶ τοῦ γενόμενος πρόφασις. κἂν γὰρ ἐν τούτοις αἰσχυνθέντες βιάζονται πάλιν λέγειν, συγκριτικῶς εἰρῆσθαι τὰ ῥητὰ, καὶ διὰ τοῦτο εἶναι τὰ συγκρινόμενα ὁμογενῆ. ὥστε τὸν Υἱὸν τῆς τῶν Ἀγγέλων εἶναι φύσεως, αἰσχυνθήσονται μὲν προηγουμένως ὡς τὰ Οὐαλεντίνου καὶ Καρποκράτους φθεγγόμενοι· ὧν, ὁ μὲν, τοὺς Ἀγγέλους ὁμογενεῖς εἴρηκε τῷ Χριστῷ, ὁ δὲ, Ἀγγέλους τοῦ κόσμου δημιουργοὺς εἶναι φησίν. παρ' αὐτῶν γὰρ ἴσως μαθόντες καὶ οὗτοι, συγκρίνουσι τὸν τοῦ Θεοῦ Λόγον τοῖς Ἀγγέλοις. ἀλλ' ἐντραπήσονται τοιαῦτα φανταζόμενοι, παρὰ μὲν τοῦ ὑμνῳδοῦ λέγοντος, "τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν Υἱοῖς Θεοῦ, καὶ τίς "ὅμοιός σοι ἐν θεοῖς, Κύριε;" ἀκούσονται δὲ ὅμως ἐὰν ἄρα μάθωσιν ὡς ἐν μὲν τοῖς ὁμογενέσιν ὁμολογουμένως φιλεῖ τὸ τῆς συγκρίσεως γίνεσθαι, καὶ οὐκ ἐν τοῖς ἑτερογενέσιν.

Οὐδεὶς γοῦν Θεὸν συγκρίνει πρὸς ἄνθρωπον, οὐδὲ πάλιν ἄνθρωπον πρὸς τὰ ἄλογα, οὐδὲ ξύλα πρὸς λίθους διὰ τὸ ἀνόμοιον τῆς φύσεως. ἀλλὰ Θεὸς μὲν, ἀσύγκριτον ἐστὶ πρᾶγμα, ἄνθρωπος δὲ πρὸς ἄνθρωπον συγκρίνεται, καὶ ξύλον πρὸς ξύλον, καὶ λίθος πρὸς λίθον· καὶ οὐκ ἄν τις εἴποι ἐπὶ τούτων τὸ κρείττων, ἀλλὰ τὸ μᾶλλον καὶ τὸ πλέον. οὕτως Ἰωσὴφ ὡραῖος μᾶλλον ἦν παρὰ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ Ῥαχὴλ τῆς Λείας· καὶ ἀστὴρ ἀστέρος οὐ κρείττων, ἀλλὰ μᾶλλον διαφέρει ἐν δόξῃ. ἐπὶ δὲ τῶν ἑτερογενῶν, ὅταν τίς ταῦτα παραβάλῃ πρὸς ἄλληλα, τότε τὸ κρείττων πρὸς τὸ διαλλάττον λέγεται, καθάπερ ἐπὶ τῆς σοφίας καὶ τῶν λίθων εἴρηται. εἰ μὲν οὖν εἰρηκὼς ἦν ὁ Ἀπόστολος τοσούτῳ μᾶλλον ὁ Υἱὸς τῶν Ἀγγέλων προάγει, ἢ τοσούτῳ μείζων ἐστὶν, ἦν ἂν ἡμῖν πρόφασις ὡς συγκρινομένου τοῦ Υἱοῦ πρὸς τοὺς Ἀγγέλους. νῦν δὲ λέγων κρείττονα αὐτὸν εἶναι, καὶ τοσούτῳ διαφέρειν, ὅσῳ διέστηκεν Υἱὸς δούλων, δείκνυσιν αὐτὸν ἄλλον εἶναι τῆς τῶν Ἀγγέλων φύσεως. λέγων δὲ πάλιν αὐτὸν εἶναι τὸν θεμελιώσαντα τὰ πάντα, δείκνυσιν αὐτὸν ἄλλον εἶναι πάντων τῶν γενητῶν. ἄλλου δὲ καὶ ἑτεροουσίου αὐτοῦ ὄντος, παρὰ τὴν τῶν γενητῶν φύσιν, ποία τῆς οὐσίας αὐτοῦ σύγκρισις ἢ ὁμοιότης πρὸς τὰ γενητά; διὰ τοῦτο γὰρ καὶ αὐτὸς ὁ Υἱὸς οὐκ εἴρηκεν, "ὁ Πατήρ μου κρείττων μου "ἐστιν;" ἵνα μὴ ξένον τίς τῆς ἐκείνου φύσεως αὐτὸν ὑπολάβῃ. ἀλλὰ "μείζων" εἶπεν, οὐ μεγέθει τινὶ, οὐδὲ χρόνῳ, ἀλλὰ διὰ τὴν ἐξ

αὐτοῦ τοῦ Πατρὸς γέννησιν· πλὴν ὅτι καὶ ἐν τῷ εἰπεῖν "μείζων "ἐστὶν," ἔδειξε πάλιν τῆς οὐσίας τὴν ἰδιότητα. καὶ ὁ Ἀπόστολος δὲ, οὐ τὴν οὐσίαν προηγουμένως τοῦ λόγου διακρίναι θέλων πρὸς τὰ γενητὰ ἔλεγε, "τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων," ἀσύγκριτον γὰρ μᾶλλον δὲ ἄλλο ἐστιν, ἀλλὰ πρὸς τὴν ἔνσαρκον οἰκονομίαν τοῦ λόγου βλέπων καὶ τὴν τότε γενομένην παρ' αὐτοῦ οἰκονομίαν, ἠθέλησε δεῖξαι οὐχ ὅμοιον εἶναι τοῦτον τοῖς πρότερον, ἵνα ὅσῳ τῇ φύσει διαφέρει τῶν προαποσταλέντων παρ' αὐτοῦ, τοσούτῳ καὶ πλέον ἡ παρὰ τούτου καὶ δι' αὐτοῦ γενομένη χάρις, κρείττων τῆς δι' Ἀγγέλων διακονίας γένηται. δοῦλον μὲν γὰρ ἦν ἀπαιτεῖν μόνον τοὺς καρποὺς, Υἱοῦ δὲ καὶ δεσπότου χαρίσασθαι τὰς ὀφειλὰς, καὶ μεταθῆναι τὸν ἀμπελῶνα.

Ἔστι μὲν οὖν ἱκανὰ ταῦτα δυσωπῆσαι τοὺς μαχομένους πρὸς τὴν ἀλήθειαν. εἰδ' ὅτι γέγραπται "γενόμενος κρείττων," τὸ "γενό-"μενος," οὐ θέλουσιν ὡς περὶ υἱοῦ λεγόμενον, ἴσον ἀκοῦσαι τῷ ἐστὶν, ἢ διὰ τὸ γενέσθαι τὴν κρείττω διακονίαν τὸ γενόμενος λαβεῖν καὶ νοεῖν ὡς εἴπομεν, ἀλλὰ νομίζουσιν ἐκ ταύτης τῆς λέξεως γενητὸν εἰρῆσθαι τὸν Λόγον, ἀκουέτωσαν πάλιν. εἰ μὲν ἐκ τῶν Ἀγγέλων ἐστὶν ὁ Υἱὸς, ἔστω καὶ ἐπ' αὐτοῦ ὡς ἐπ' ἐκείνων τὸ γενόμενος· καὶ μηδὲν αὐτῶν κατὰ τὴν φύσιν διαφερέτω, ἀλλ' ἔστωσαν ἢ καὶ αὐτοὶ Υἱοὶ, ἢ κἀκεῖνος Ἄγγελος. καὶ κοινῇ πάντες καθεζέσθωσαν ἐκ δεξιῶν τοῦ Πατρὸς, ἢ μετὰ πάντων καὶ ὁ Υἱὸς παρεστηκέτω ὡς λειτουργικὸν πνεῦμα, εἰς διακονίας ἀποστελλόμενος καὶ αὐτὸς τὰς ὁμοίας ἐκείνων. εἰ δὲ διΐστησι τὸν Υἱὸν ὁ Παῦλος ἀπὸ τῶν γενητῶν λέγων, "τίνι γὰρ εἶπε ποτὲ τῶν Ἀγγέ-"λων, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε;" καὶ πάλιν· "ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν."

Χρυσοστόμου. Τὸ γενόμενος ἐνταῦθα, ἀντὶ τοῦ ἀποδειχθεὶς εἶπεν· εἶτα καὶ ἰσχυρίζεται πόθεν, ἀπὸ τοῦ ὀνόματος. ὁρᾷς ὅτι οἶδε τὸ υἱὸς ὄνομα τὴν γνησιότητα δηλοῦν. καὶ μὴν εἰ μὴ γνήσιος ἦν, καὶ ἐξ αὐτοῦ, οὐκ ἂν τοῦτο εἶπεν, οὐδὲ ἰσχυρίσατο. εἰ γὰρ χάριτι ἐστὶν υἱὸς, οὐ μόνον οὐ διαφορώτερος, ἀλλὰ καὶ ἐλάττων ἐστὶν Ἀγγέλων. πῶς; ὅτι καὶ ἄνθρωποι δίκαιοι ἐκλήθησαν υἱοὶ, καὶ τὸ υἱὸς ὄνομα, ἂν μὴ γνήσιος ᾖ, οὐκ ἰσχύει δεῖξαι τὸ διάφορον. νῦν δὲ δηλῶν, ὅτι διαφορά ἐστι τίς κτίσματος καὶ

δημιουργοῦ, τοὺς μὲν Ἀγγέλους λειτουργοὺς, τὸν δὲ Υἱὸν ὀνομάζει. τοῦτο δὲ εἰς τὴν σάρκα εἴρηται. τὸ γὰρ "ἐγὼ ἔσομαι αὐτῷ εἰς "Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱὸν," τῆς ἐνανθρωπήσεως ἐστὶ παραστατικόν. τὸ δὲ "υἱός μου εἶ σὺ," οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι ἐξ αὐτοῦ ἐστί· καὶ τὸ "ἐγὼ σήμερον γεγέννηκά σε," δοκεῖ μοι καὶ τοῦτο εἰς τὴν σάρκα εἰρῆσθαι· ὅταν γὰρ αὐτῆς ἐπιλάβηται, πάντα λοιπὸν ἀδεῶς φθέγγεται· καὶ γὰρ ἡ σὰρξ κοινωνεῖ τῶν ὑψηλῶν, ὥσπερ οὖν καὶ ἡ θεότης τῶν ταπεινῶν· ὁ γὰρ ἄνθρωπος γενέσθαι μὴ ἀπαξιώσας, καὶ τὸ πρᾶγμα μὴ παραιτησάμενος, πῶς ἂν τὰ ῥήματα παρῃτήσατο; ὅτι δὲ κατὰ τὸ ἀνθρώπινον ταῦτα εἴρηκε, δῆλον. μέλλοντος γὰρ χρόνου τὸ "ἔσομαι," καὶ τὸ "ἔσται μοι·" καὶ μέν τοι καὶ τὸ "σήμερον γεγέννηκά σε," οὐ τὴν αἰώνιον δηλοῖ γέννησιν, ἀλλὰ τὴν τῷ χρόνῳ συνεζευγμένην.

Ἀθανασίου κατὰ Ἀπολιναρίου. Ὥστε οὐ πάντως ὁ ποιητὴς τῶν Ἀγγέλων Λόγος κρείττων γέγονεν, ὡς ἥττων ὤν ποτε, ἀλλ' ἡ μορφὴ τοῦ δούλου, ἣν αὐτὸς ὁ Λόγος ἰδιοποιήσατο, φυσικῇ γεννήσει κρείττων, ἀνατείλασα ἐκ τῆς τοῦ πρωτοπλάστου γενέσεως, καὶ ἡμᾶς προσοικειοῦται, ὡς εἴρηται πρὸς τῶν ἁγίων, καὶ οἰκειοῖ τῷ Θεῷ, καὶ Θεοῦ κατὰ φύσιν γέγονεν ἰδίᾳ, οὐχ ὁμοούσιος οὖσα ἡ σὰρξ τῆς τοῦ Λόγου θεότητος ὡς συναΐδιος, ἀλλ' ἰδίᾳ κατὰ φύσιν γενομένη καὶ ἀδιαίρετος κατὰ ἕνωσιν ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ, ἐξ οὗ καὶ ἡμεῖς γεγενήμεθα. τὴν οὖν ἐν αὐτῷ ἀνατείλασαν τοῦ δούλου μορφὴν κρείττονα Ἀγγέλων ἢ καὶ πάσης τῆς κτίσεως ἐπεδείξατο. ἐπειδήπερ εἰκὼν ἦν τοῦ Θεοῦ τοῦ ἀοράτου, γέγονε καὶ πρωτότοκος πάσης τῆς κτίσεως. διὸ καὶ ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, καὶ ἐν αὐτῷ τὸ πάθος γέγονε· καὶ αὐτός ἐστιν ὁ ἐλευθερωτὴς τοῦ πάθους καὶ τοῦ θανάτου, καὶ δι' αὐτοῦ τὰ πάντα γέγονε, "καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς "Ἐκκλησίας, ὅς ἐστι πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται," φησὶν "ἐν πᾶσιν αὐτὸς πρωτεύων."

Ἀθανασίου κατὰ Ἀρειανῶν. Ἐνταῦθα τίνι οὐκ ἔστι φανερὸν, ὡς οὐκ ἐπὶ τῆς οὐσίας τοῦ Λόγου ἔλεγε τὸ γενόμενος, ἀλλ' ἐπὶ τῆς διὰ τοῦ [n] γενομένης διακονίας; αὐτὸς γὰρ Λόγος ὢν γέγονε σάρξ· οὕτω γενόμενος ἄνθρωπος, γέγονε τοσοῦτο κρείττων ἐν

[n] Leg. δι' αὐτοῦ.

τῇ διακονίᾳ, τῆς διὰ τῶν Ἀγγέλων γενομένης διακονίας, ὅσῳ διαφέρει δούλων, υἱὸς καὶ δημιουργὸς τῶν δημιουργουμένων. ὥστε πανέσθωσαν ἐπὶ τῆς οὐσίας τοῦ Υἱοῦ λαμβάνειν τὸ "γε-"νόμενος." οὐκ ἔστι γὰρ τῶν γενητῶν· καὶ γνώτωσαν ὅτι τῆς διακονίας καὶ τῆς γενομένης οἰκονομίας, σημαντικὸν ἐστὶ τὸ "γενόμενος." πῶς δὲ γέγονε κρείττων ἐν τῇ διακονίᾳ, κρείττων ὢν τῇ φύσει παρὰ τὰ γενητὰ, δείκνυσι τὰ προειρημένα. καὶ ὅτι οὐ τὴν οὐσίαν αὐτοῦ σημαίνει γεγενῆσθαι ὁ Παῦλος, ὁ εἰδὼς αὐτὸν υἱὸν καὶ σοφίαν, καὶ ἀπαύγασμα, καὶ εἰκόνα τοῦ Πατρὸς, ἀλλ' εἰς τὴν τῆς διαθήκης διακονίαν τὸ γενόμενος λογίζεται καθ' ἣν ὁ ποτὲ βασιλεύων θάνατος κατηργήθη. καὶ κατὰ τοῦτο δὲ κρείττων ἡ δι' αὐτοῦ διακονία γέγονεν, "ὅτι καὶ τὸ ἀδύνατον "τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν "πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, "κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ," ἐκστήσας ἀπ' αὐτῆς τὸ παράπτωμα, ἐν ᾧ διὰ παντὸς ᾐχμαλωτίζετο ὥστε μὴ δέχεσθαι τὸν θεῖον νοῦν· τὴν δὲ σάρκα δεκτικὴν τοῦ Λόγου κατασκευάσας, ἐποίησεν ἡμᾶς μηκέτι κατὰ σάρκα περιπατεῖν ἀλλὰ κατὰ Πνεῦμα, ὡς λέγειν ἡμᾶς, "ἡμεῖς δὲ, οὐκ ἐσμὲν ἐν σαρκὶ ἀλλ' ἐν "Πνεύματι." καὶ ὅτι "ἦλθεν ὁ τοῦ Θεοῦ Υἱὸς εἰς τὸν κόσμον, "οὐχ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα πάντας λυτρώσηται, καὶ "σωθῇ ὁ κόσμος δι' αὐτοῦ." τότε γὰρ ὡς ὑπεύθυνος ὁ κόσμος ἐκρίνετο ὑπὸ τοῦ νόμου· ἄρτι δὲ ὁ Λόγος εἰς ἑαυτὸν ἐδέξατο τὸ κρίμα, καὶ τῷ σώματι παθὼν ὑπὲρ πάντων, σωτηρίαν τοῖς πᾶσιν ἐχαρίσατο.

Τοῦτο δὲ βλέπων κέκραγεν ὁ Ἰωάννης λέγων· "ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο." κρείττων δὲ ἡ χάρις ἢ ὁ νόμος, καὶ ἡ ἀλήθεια παρὰ τὴν σκιάν. τὸ δὲ κρείττων οὐχ οἷόν τε δι' ἑτέρου τινὸς γενέσθαι, ἢ διὰ τοῦ Υἱοῦ τοῦ καθημένου ἐν δεξιᾷ τοῦ Πατρός. θεασάσθωσαν γοῦν τὴν διὰ τοῦ Χριστοῦ χάριν, καὶ ἐπιγνώτωσαν καὶ ἐκ τῶν ἔργων μαρτυρούμενον αὐτὸν, ὅτι τῶν μὲν γενητῶν ἄλλος ἐστὶ, μόνος δὲ αὐτὸς Υἱὸς ἀληθινός. ὁ νόμος δι' Ἀγγέλων ἐλαλήθη, καὶ οὐδένα τετελείωκε, δεόμενος τῆς τοῦ Λόγου ἐπιδημίας ὡς εἴρηκεν ὁ Παῦλος· ἡ δὲ τοῦ Λόγου ἐπιδημία τετελείωκε τὸ ἔργον τοῦ Πατρός· καὶ τότε μὲν ἀπὸ Ἀδὰμ

μέχρι Μωσέως ὁ θάνατος ἐβασίλευσεν, ἡ δὲ τοῦ Λόγου παρουσία κατήργησε τὸν θάνατον· καὶ οὐκέτι ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν· ἐν δὲ τῷ Χριστῷ πάντες ζωοποιούμεθα. καὶ τότε μὲν ἀπὸ Ἀδὰμ [o] μέχρι Βηρσαβεὲ ὁ νόμος κατηγγέλλετο, καὶ ἐν μόνῃ τῇ Ἰουδαίᾳ γνωστὸς ἦν ὁ Θεός. νῦν δὲ "πᾶσα ἡ γῆ πεπλήρωται τῆς "περὶ Θεοῦ γνώσεως," καὶ πεπλήρωται τὸ "ἔσονται πάντες διδακτοὶ "Θεοῦ." καὶ τότε μὲν τύπος ἦν τὰ δεικνύμενα· ἄρτι δὲ ἡ ἀλήθεια πεφανέρωται. εἰκότως οὖν τὸ "κρείττων," τῷ Κυρίῳ ἀνατίθησιν, τῷ κρείττονι καὶ ἄλλῳ παρὰ τὰ γενητὰ τυγχάνοντι. κρείττων γὰρ ἡ δι' αὐτοῦ θυσία, ἡ ἐν αὐτῷ ἐλπὶς, αἱ δι' αὐτοῦ ἐπαγγελίαι, οὐχ ὡς πρὸς μικρὰ μεγάλαι συγκρινόμεναι, ἀλλ' ὡς ἄλλαι πρὸς ἄλλα τὴν φύσιν τυγχάνουσαι. ἐπεὶ καὶ ὁ ταῦτα οἰκονομήσας κρείττων τῶν γενητῶν ἐστίν. ὥστε τὸ γενόμενος κρείττων ἀκούοντας, μὴ ἀρχήν τινα τοῦ γενέσθαι ἐπινοεῖν τοῦ Λόγου, μηδὲ ὅλως ἐκ τούτου γενητὸν αὐτὸν φαντάζεσθαι, ἀλλ' ἐπὶ τῆς διακονίας καὶ οἰκονομίας ὅτε γέγονεν ἄνθρωπος νοεῖν τὸ λεγόμενον· ὅτε γὰρ ἦλθεν ἵνα διακονήσῃ, καὶ πᾶσι σωτηρίαν χαρίσηται, τότε ἡ ὑπὲρ ἡμῶν αὐτοῦ οἰκονομία κρείττων γέγονε τῶν Ἀγγέλων· καὶ τὸ "γέγονεν" οὐ τὴν οὐσίαν τοῦ Λόγου γενητὴν σημαίνει, ἀλλὰ τὴν γενομένην ἐκ τῆς ἐνανθρωπήσεως πρὸς ἡμᾶς εὐεργεσίαν.

Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν
6 οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
7 ἄγγελοι Θεοῦ.

Ὁ μὲν Κύριος τὴν παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον, ἔξοδον καλεῖ, ὡς ὅταν λέγῃ "ἐξῆλθεν ὁ σπείρων," καὶ πάλιν "ἐγὼ ἐκ τοῦ Πα-"τρὸς ἐξῆλθον καὶ ἥκω." ὁ δὲ Παῦλος νῦν εἴσοδον τὴν τῆς σαρκὸς ὀνομάζει ἀνάληψιν. εἴσοδον δὲ ὅταν ἀκούῃς, μὴ τόπου νόμιζε μετάβασιν, ἀλλ' οἰκονομίας συγκατάβασιν. ὁ γὰρ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ποῦ ἂν εἰσέλθοι; ἀλλὰ τὴν διὰ τῆς οἰκονομίας φανέρωσιν οὕτω καλεῖ. τί δὲ δήποτε περὶ τοῦ αὐτοῦ διαφόρως τῷ λόγῳ κέχρηται, καὶ κατὰ τί οὕτως εἴρηται, δῆλόν ἐστι καὶ ἀπ' αὐτῶν τῶν σημαινομένων· ὁ μὲν γὰρ Χριστὸς, ἔξοδον τὴν ἑαυτοῦ παρουσίαν εἰκότως καλεῖ· ἔξω γὰρ ἦμεν τοῦ

[o] Leg. Δάν.

Θεοῦ. καὶ καθάπερ ἐν τοῖς βασιλείοις οἱ δεσμῶται προσκεκρουκότες τῷ βασιλεῖ ἔξω ἑστήκασιν· ὁ δὲ βουλόμενος αὐτοὺς καταλλάξαι, οὐκ ἔνδον τούτους εἰσάγων, ἀλλ' αὐτὸς ἐξιὼν ἔξω τούτοις διαλέγεται, ἕως ἂν αὐτοὺς καταστήσας ἀξίους τῆς ὄψεως τοῦ βασιλέως εἰσαγάγῃ, οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἐξελθὼν γὰρ πρὸς ἡμᾶς, τουτέστι σάρκα ἀναλαβὼν, καὶ διαλεχθεὶς τὰ παρὰ τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καθαρίσας τῶν ἁμαρτημάτων καὶ καταλλάξας· διὰ τοῦτο ἔξοδον τὸ τοιοῦτον καλεῖ.

Ὁ δὲ Παῦλος εἴσοδον τὴν οἰκονομίαν ὀνομάζει, ἀπὸ μεταφορᾶς τῶν τινὰ κληρονομίαν παραλαμβανόντων καὶ κτῆσιν· τὸ γὰρ εἰπεῖν "ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην," τοῦτο ἐστὶ δηλοῦντος, ὅταν ἐγχειρίσῃ αὐτῷ τὴν οἰκουμένην, τότε γὰρ αὐτὴν ἐκτίσατο πᾶσαν, ὅτε καὶ ἐγνώσθη· πλὴν οὐ περὶ τοῦ Θεοῦ Λόγου ταῦτα λέγει, ἀλλὰ περὶ τοῦ κατὰ σάρκα Χριστοῦ· εἰκότως· εἰ γὰρ "ἐν τῷ κόσμῳ ἦν" κατὰ τὸν Ἰωάννην, "καὶ ὁ "κόσμος δι' αὐτοῦ ἐγένετο," πῶς ἑτέρως ἂν εἰσήχθη ἀλλ' ἢ ἐν σαρκί; ὅτε δὲ εἰσβέβηκεν εἰς τὸν κόσμον ὁ ὑπάρχων ἐν αὐτῷ, ἢ ὅτε γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα, καὶ κόσμου κεχρημάτικε μέρος, ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν, οὐκ ἀποβεβληκὼς ὅπερ ἦν, προσλαβὼν δὲ μᾶλλον ὅπερ οὐκ ἦν, ὁ δι' ἡμᾶς ἄνθρωπος καὶ ἐκ γυναικὸς, ὁ ἐν τοῖς καθ' ἡμᾶς καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν, ὁ ἐλεύθερος καὶ ἐν δούλου μορφῇ, ὁ ἐν ὑφέσει τῇ καθ' ἡμᾶς, καὶ ἐν ταῖς τῆς θεότητος ὑπεροχαῖς, ὁ ἑαυτὸν καθεὶς πρὸς κένωσιν, καὶ ἐκ τοῦ ἰδίου πληρώματος διανέμων τοῖς ἁγίοις τὰ ἀγαθὰ, ὁ ἑαυτὸν ταπεινώσας καὶ σύνθρονος τῷ Πατρὶ, ὁ προσκυνῶν μεθ' ἡμῶν ἀνθρωπίνως, καὶ προσκυνούμενος θεϊκῶς, οὐκ ἐν γῇ μόνον ἀλλὰ καὶ ἐν οὐρανοῖς· "ὅταν γάρ," φησιν, "εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκου-"μένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ." τίς εἰσβέβηκεν τὴν οἰκουμένην; τίνα δὲ ὅλως εἰσκεκόμισται τρόπον; οὐ παρὰ πάσης κτίσεως προσκυνούμενος; μυσταγώγησον ἡμᾶς, Ἰωάννη μακάριε, λέγων, "ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος "ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς "τὸν Θεὸν, πάντα δι' αὐτοῦ ἐγένετο." ἀλλ' ὅτι μὲν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἀπόρρητον ἔχει τὴν γέννησιν ὁ ἐξ αὐτοῦ Λόγος, Θεός τέ ἐστιν κατὰ φύσιν καὶ δημιουργὸς τῶν ὅλων, ἐμάθομεν ἐν τούτοις.

πῶς οὖν εἰσβέβηκεν εἰς τὴν οἰκουμένην, ἢ πῶς γέγονε πρωτότοκος ὁ μονογενὴς, ἐπιφέρει τῆς μετὰ σαρκὸς οἰκονομίας τὴν ἀφήγησιν, καὶ δὴ καὶ φησὶν, "καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν "ἡμῖν," ὁ νήψεως ἁγιοπρεπoῦς. ἐπειδὴ γὰρ ἔφη σάρκα γενέσθαι τὸν τοῦ Θεοῦ Λόγον, ἵνα μή τις ὑπολάβῃ τροπὴν αὐτὸν ὑπομεῖναι καὶ εἰς τὴν τῆς σαρκὸς μεταπεποιῆσθαι φύσιν, ἐπήνεγκεν εὐθὺς, "καὶ ἐσκήνωσεν ἐν ἡμῖν."

Οὐκοῦν μεμένηκεν ἀναλλοίωτος ὡς Θεὸς, πλὴν κεκοινώνηκε σαρκὸς καὶ αἵματος καθ' ἡμᾶς. σαρκὶ δὲ φαμὲν ἡνῶσθαι τὸν Λόγον ψυχὴν ἐχούσῃ τὴν λογικήν· ἵνα ὥσπέρ ἐστιν ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος ᾖ. γέγονε γὰρ ἄνθρωπος οὐχ ἵνα μόνης προνοήσῃ σαρκὸς, ἀλλ' ἵνα καὶ αὐτὴν ἡμῖν ἀνασώσῃ τὴν ψυχὴν, ἀπαλλάξῃ τε οὕτω καὶ θανάτου καὶ ἁμαρτίας· καὶ ὁ ἰδιότητι φυσικῇ τῆς οἰκουμένης ἁπάσης διενεγκὼν, ἔξω τε αὐτῆς ὑπάρχων κατὰ φύσιν ἰδίαν, καθὸ νοεῖται Θεὸς, εἰσβέβηκεν εἰς αὐτὴν μέρος κόσμου πεφηνὼς ὡς ἄνθρωπος. πλὴν οὐ διὰ τοῦτο τῆς θείας ἀπώλησθε [n] δόξης. προσκυνεῖται γὰρ ὡς μονογενὴς, κἂν εἰ καλεῖται πρωτότοκος, ὅπερ ἐστὶν ἐναργῶς τοῖς τῆς ἀνθρωπότητος μέτροις, ὅτι μάλιστα πρέπον. ἆρ' οὖν ὡς ἄνθρωπον μόνον προσκυνήσωμεν τὸν Ἐμμανουήλ; μὴ γένοιτο. λῆρος γὰρ τοῦτο καὶ ἀπάτη καὶ πλάνησις. διοίσομεν δὲ κατ' οὐδὲν τῶν τῇ κτίσει λελατρευκότων παρὰ τὸν κτίσαντα καὶ ποιητὴν, εἰ ὡς ἀνθρώπῳ ψιλῷ καὶ ἑνὶ τῶν καθ' ἡμᾶς προσοίσομεν τὴν προσκύνησιν τῷ Ἐμμανουήλ. καὶ αὐτὴ δὲ τῶν Ἀγγέλων ἡ ἄνω πληθὺς τοῖς εἰς τοῦτο μανίας ἥκουσι συντετάξεται· προστάττονται γὰρ προσκυνεῖν αὐτῷ.

Ἆρ' οὖν οὐκ ἐννοεῖς ὅτι ἐν προσλήψει σαρκὸς καὶ αἵματος γεγονὼς ὁ Υἱὸς, οὐδὲν ἧττόν ἐστι Θεὸς, καὶ τοῦτο ὑπάρχων ἐπιγινώσκεται παρὰ τῶν ἄνω ταγμάτων. εἰ γὰρ εἴδεσαν οὐκ ὄντα Θεὸν αἱ ἄνω δυνάμεις, οὐδὲ φύσει καὶ ἀληθῶς Υἱὸν, τὸν ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα, πῶς ἂν ἠνέσχοντο προσκυνεῖν αὐτόν; οὐκοῦν ὃν προσκυνοῦσιν Ἄγγελοι μὴ ἀτιμάσῃς αὐτὸς, ἕτερον εἶναι λέγων υἱὸν κατὰ μόνας καὶ ἰδικῶς. πίστευε δὲ μᾶλλον ὡς εἷς καὶ μόνος ἐστὶν Ἰησοῦς Χριστὸς, ὁ αὐτὸς ἐκ Πατρὸς θεϊκῶς

[n] Leg. ἀπωλίσθη.

κατὰ τὴν ἄφραστον γέννησιν, καὶ ἐκ γυναικὸς κατὰ σάρκα, διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. προσκυνεῖται ὡς Θεὸς κατὰ φύσιν, καὶ ἐν τῷ καθ' ἡμᾶς πεφηνὼς σχήματι, τῆς ἀμφοῖν εἰς ἑνότητα συνδρομῆς οὐκ ἀνικάνως ἐχούσης πρὸς τὸ ἀφανίσαι τυχὸν τὸ ἔσθ' ὅτε λυποῦν εἰς μόνης ἡμᾶς ἀνθρωπότητος ὑποψίαν. προσλαβοῦσα γὰρ ἡ τοῦ Λόγου φύσις τὸ ἀνθρώπινον, οὐκ ἀνθρωπότης ἔσται ψιλὴ, νικῶσα δὲ μᾶλλον ἰδίᾳ δόξῃ τὸ προσληφθὲν, ἐν ἀκλονήτῳ σώζεται διαμονῇ τῆς θεοπρεποῦς ὑπεροχῆς. ταῦτα φρονοῦντες οἱ μαθηταὶ προσεκύνουν λέγοντες· "ἀληθῶς Θεοῦ Υἱὸς εἶ." καίτοι βάδην ἰόντα βλέποντες καὶ ἐν σαρκὶ καθ' ἡμᾶς. ἐπ' ἄκρου γὰρ δὴ διέθει κύματος παραδόξως ὡς Θεός.

Ἐρεῖ δὲ ἴσως ὁ τῇ τοιᾷδε δόξῃ μαχόμενος, καὶ τίς ἦν ὁ λέγων πρὸς τὴν ἐκ Σαμαρείας γυναῖκα, "ἡμεῖς προσκυνοῦμεν ὃ οἴδα-"μεν;" εἶτα πῶς ἔσται προσκυνητὸς ὁ τοῖς προσκυνοῦσι συντεταγμένος; ἐγὼ δὲ φαίην ἂν, ὅτι τὸ "τίς ἦν" ὅλως ἐπὶ Χριστοῦ λεγόμενον, ἀμαθές. μεμέρισται γὰρ οὐδαμῶς. ὁ δὲ τῷ γυναίῳ προσλαλῶν, ὁ εἷς τε καὶ μόνος Κύριος ἦν Ἰησοῦς Χριστὸς, ἐκ τῆς προσκυνούσης ἀνθρωπότητος, καὶ ἐκ τῆς προσκυνουμένης θεότητος, τὸ εἶναί τε καὶ ὀνομάζεσθαι Θεὸς ὁμοῦ καὶ ἄνθρωπος ἀληθὲς ἔχων ἐν ἑαυτῷ. ἀμέλει ᾗ μέν ἐστι Θεὸς, νοοῖτ' ἂν ὑπάρχων αὐτὸς ὁ τῆς δόξης Κύριος, ᾗ δὲ γέγονεν ὁ κατὰ μέθεξιν Θεοῦ δοξαζόμενος ἄνθρωπος, ἐδεῖτο καὶ δόξης, λέγων "Πάτερ δόξασόν σου τὸν Υἱόν. ἀλλ' "εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα," κατὰ τὸ γεγραμμένον. ὥσπερ οὖν ἐστι μία πίστις ἡ ἐν Χριστῷ, καὶ ἓν ἀληθῶς τὸ βάπτισμα, καί τοι βαπτιζομένων καὶ πεπιστευκότων ἡμῶν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, κατὰ τὸν αὐτὸν οἶμαι λόγον, μία προσκύνησις ἡ Πατρὸς καὶ ἐνανθρωπίσαντος Υἱοῦ καὶ Ἁγίου Πνεύματος. ἐξωσθήσεται γὰρ οὐδαμῶς τοῦ προσκυνεῖσθαι, πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων Ἀγγέλων ὁ μονογενὴς διὰ τὸ τῆς ἀνθρωπότητος μικροπρεπὲς, καὶ εἰ γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος· ἀδιάσπαστον γὰρ τὴν ἕνωσιν διατηρεῖν εἰθίσμεθα, τὸν αὐτὸν εἶναι πιστεύοντες καὶ μονογενῆ καὶ πρωτότοκον. μονογενῆ μὲν, ὡς ἐκ Θεοῦ Πατρὸς Λόγον καὶ ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνότα· πρωτότοκον δὲ αὖ, καθὸ γέγονεν ἄνθρωπος, καὶ ἐν πολλοῖς ἀδελφοῖς.

Οὐκοῦν πεπλάνηνται αἱ ἄνω δυνάμεις προσκυνεῖν αὐτῷ κελευό-

μεναι. "προσκυνησάτωσαν," γάρ φησιν, "αὐτῷ πάντες Ἄγγελοι "Θεοῦ." καί μοι ἐπισήμηναι ὅτι ἐπειδὰν μέγα τι καὶ ὑψηλὸν μέλλῃ λέγειν ὁ Παῦλος, προκατασκευάζει καὶ ποιεῖ αὐτὸ εὐπαράδεκτον. σκόπει δὲ, εἶπεν ἀνωτέρω, ὅτι οὐ διὰ προφητῶν ἐλάλησεν ἡμῖν, ἀλλὰ διὰ τοῦ Υἱοῦ. ἔδειξεν ὅτι κρείττων Ἀγγέλων ὁ Υἱὸς, καὶ ἀπὸ τοῦ ὀνόματος δὲ τοῦτο κατασκευάσας, καὶ ἀπὸ τοῦ τὸν Πατέρα ποιῆσαι εἰσάγοντα τὸν Υἱόν· λοιπὸν ἐνταῦθα καὶ ἀφ' ἑτέρου κατασκευάζει. ποίου δὴ τούτου; ἀπὸ τῆς προσκυνήσεως. τοῦτο δὲ καὶ ὅσον κρείττων ἐστὶ δείκνυσιν· ὅσον γὰρ δεσπότης δούλου. διὸ καὶ ὡσανεί τις εἰσαγαγὼν τινα εἰς οἰκίαν βασιλέα τοὺς προεστῶτας αὐτῆς εὐθέως κελεύει προσκυνεῖν αὐτῷ· οὕτω καὶ αὐτὸς ποιεῖ περὶ τοῦ κατὰ σάρκα λέγων τὴν ἐν κόσμῳ εἰσαγωγὴν, καὶ "τὸ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ," διὰ τοῦτο ἐπάγων.

Θεοδωρίτου. Ὡς ἀμφότερα τὴν οἰκονομίαν αἰνίττεσθαι, καὶ τὸ εἰσαγαγεῖν τὸν πρωτότοκον, καὶ πρὸς τούτοις, τὸ "προσκυνησά-"τωσαν." ὁ γὰρ φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καὶ τῶν αἰώνων ποιητὴς καὶ δημιουργὸς, πόθεν εἰς τὴν οἰκουμένην εἰσέρχεται; πῶς δὲ πρωτότοκος ὁ μονογενής; εἰ δὲ καὶ μετὰ τὴν ἐνανθρώπησιν αὐτὴν οἱ Ἄγγελοι προσεκύνησαν, πρὸ τῆς ἐνανθρωπήσεως ταύτην αὐτῷ τὴν τιμὴν οὐ προσέφερον; ἀλλὰ καὶ πανταχοῦ ἦν ὡς Θεὸς, καὶ εἰς τὴν οἰκουμένην εἰσῆλθεν ὡς ἄνθρωπος, οὕτω καὶ ὁ θεσπέσιος εἴρηκεν Ἰωάννης, "ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος "δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια "ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον." ἐναντία δέ πως ταῦτα εἶναι δοκεῖ. εἰ γὰρ ἐν τῷ κόσμῳ ἦν, πῶς ἦλθεν; εἰ δὲ ἦλθεν, πῶς ἐν τῷ κόσμῳ ἦν; ἀλλὰ καὶ ἐν τῷ κόσμῳ ἦν ὡς Θεὸς, καὶ ἦλθεν ὡς ἄνθρωπος· οὕτω καὶ μονογενής ἐστιν ὡς Θεὸς, καὶ πρωτότοκος ὡς ἄνθρωπος ἐν πολλοῖς ἀδελφοῖς. οὕτως ἀεὶ τὸ σέβας παρὰ τῶν Ἀγγέλων ἐδέχετο. ἦν γὰρ ἀεὶ Θεός. προσεκύνησαν δὲ αὐτὸν ὡς ἄνθρωπον, οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ Ἄγγελοι. ἆρα Ἄγγελοι μόνον, οὐχὶ δὲ καὶ ἄλλαι δυνάμεις; ἄπαγε· ἄκουε γὰρ τῶν ἑξῆς.

7 Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς

Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ
8 *πυρὸς φλόγα· πρὸς δὲ τὸν Υἱὸν, ὁ θρόνος σου ὁ Θεὸς,*
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Χρυσοστόμου. Ἰδοὺ ἡ μεγίστη διαφορὰ, οἱ μὲν γὰρ κτιστοὶ, ὁ δὲ ἄκτιστος. καὶ διατί πρὸς μὲν τοὺς Ἀγγέλους εἶπεν ὁ ποιῶν, πρὸς δὲ τὸν Υἱὸν οὐκ εἶπεν ὁ ποιῶν; καί τοι ἐνῆν τὴν διαφορὰν οὕτως εἰπεῖν, ὅτι πρὸς μὲν τοὺς Ἀγγέλους αὐτοῦ λέγει, "ὁ ποιῶν τοὺς "Ἀγγέλους αὐτοῦ πνεύματα," πρὸς δὲ τὸν Υἱὸν, "Κύριος ἔκτισέ "με." καὶ πάλιν, "Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεός." ὅτι οὔτε ἐκείνῳ περὶ τοῦ Υἱοῦ εἴρηται, οὔτε τοῦτο περὶ τοῦ Θεοῦ Λόγου, ἀλλὰ περὶ τοῦ κατὰ σάρκα ἀμφότερα. ἔνθα γὰρ τὴν ἀληθῆ διαφορὰν ἠβούλετο δηλοῦν, οὐκέτι Ἀγγέλους παρέλαβε μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν ἄνω δύναμιν τὴν λειτουργικήν. ὁρᾷς πῶς διαιρεῖ, καὶ μεθ' ὅσης τῆς σαφηνείας, κτίσμα καὶ κτίστην, λειτουργοὺς καὶ δεσπότην, κληρονόμον καὶ γνήσιον Υἱὸν καὶ δούλους.

Γρηγορίου Νύσσης κατὰ Ἀπολιναρίου. Ὥστε κίνδυνός ἐστιν ἡμῖν οὐδεὶς εἰς τετράδα τὸν τῆς Τριάδος λόγον πλατύνεσθαι, καθὼς ὁ Ἀπολινάριος λέγει, οὐδὲ τοὺς Ἀγγέλους τῷ ἀνθρώπῳ δουλαγωγοῦμεν, ὡς ὁ ἐκείνου μῦθος καθ' ἡμῶν λέγει. οὐ γὰρ ἀνθρώπῳ δουλεύουσιν οἱ τῷ δεσπότῃ ἑαυτῶν ὑποκύπτοντες, οὐδὲ ἐπαισχύνονται προσκυνοῦντες τῷ διὰ σαρκὸς τῇ οἰκουμένῃ ἐπιδημήσαντι. μία δὲ εἴσοδος ἐπὶ τὴν οἰκουμένην ἡ διὰ τοῦ τόκου ἐστί. καὶ οὐκ ἔστιν ἑτέρως ἐντὸς τοῦ βίου γενέσθαι τῶν ἀνθρώπων, μὴ ταύτῃ τῇ εἰσόδῳ χρησάμενον. οὐκοῦν τὴν διὰ σαρκὸς αὐτοῦ γένεσιν, εἴσοδον εἰς τὴν οἰκουμένην ὀνομάζει ὁ Λόγος. εἰ οὖν εἰσελθόντες αὐτῷ εἰς τὴν οἰκουμένην πάντες προσκυνοῦσιν οἱ Ἄγγελοι· ἡ δὲ εἴσοδος ἡ διὰ σαρκὸς ἐστὶ γένεσις, οὐχ ἡμεῖς δουλαγωγοῦμεν τῷ δεσπότῃ τὸ ἴδιον κτῆμα, ἀλλ' αὐτὴ τῶν Ἀγγέλων ἡ φύσις τὴν ὑπερκειμένην αὐτῆς δεσποτείαν οὐκ ἀγνοεῖ. ὥστε σιγάτω προτιθεὶς ἐκεῖνα τῷ λόγῳ τὰ μάταια, τὰ ἄνω ποιοῦμεν κάτω θεοφόρους Ἀγγέλους θεοφόρῳ ἀνθρώπῳ καταδουλοῦντες.

Κατὰ Εὐνομίου. Ἐπειδὴ δὲ τετράκις παρὰ τῷ Ἀποστόλῳ τὸ τοῦ πρωτοτόκου εἴρηται ὄνομα· νῦν μὲν γάρ φησι "πρωτότοκον

"πάσης τῆς κτίσεως," πάλιν δὲ "πρωτότοκον ἐν πολλοῖς ἀδελ-"φοῖς," εἶτα "πρωτότοκον ἐκ τῶν νεκρῶν," ἐν δὲ τῇ πρὸς Ἑβραίους ἐνταῦθα ἀπολύτως πρωτότοκον, φέρε ἴδωμεν διατί οὕτως ὀνομάζεται. πρωτότοκος μὲν οὖν ἐκ νεκρῶν γίνεται, ὁ πρῶτος δι' ἑαυτοῦ τὰς ὠδῖνας λύσας τοῦ θανάτου· ἵνα καὶ πᾶσιν ὁδοποιήσῃ τὸν ἐξ ἀναστάσεως τόκον. ἐν ἀδελφοῖς δὲ πάλιν ἐστὶ πρωτότοκος, ὁ τοῦ καινοῦ τῆς παλλιγγενεσίας τόκου προγεννηθεὶς ἐν τῷ ὕδατι, οὗ τὰς ὠδῖνας ἡ πτῆσις τῆς περιστερᾶς ἐμαιεύσατο· δι' οὗ τοὺς συμμετέχοντας αὐτῷ τῆς ὁμοίας γεννήσεως, ἀδελφοὺς ἑαυτοῦ ποιεῖ, καὶ πρωτότοκος γίνεται τῶν μετ' αὐτὸν γεννωμένων ἐξ ὕδατος καὶ Πνεύματος.

Ἐπεὶ δὲ καὶ διπλῆν τῆς φύσεως ἡμῶν τὴν κτίσιν ἐγνώκαμεν, τήν τε πρώτην καθ' ἣν ἐπλάσθημεν, καὶ τὴν δευτέραν καθ' ἣν ἀνεπλάσθημεν. ὁ γὰρ Λόγος σὰρξ ἐγένετο, ἵνα μετασκευάσῃ πρὸς πνεῦμα τὴν ἡμετέραν σάρκα, διὰ τοῦ συμμετασχεῖν ἡμῖν σαρκός τε καὶ αἵματος, ταύτης τῆς καινῆς ἐν Χριστῷ κτίσεως, ἧς αὐτὸς καθηγήσατο, πρωτότοκος ὠνομάσθη· πάντων ἀπαρχὴ γενόμενος, καὶ τῶν εἰς ζωὴν γεννωμένων, καὶ τῶν δι' ἀναστάσεως νεκρῶν ζωοποιουμένων, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, καὶ ὅλον διὰ τῆς ἐν ἑαυτῷ ἀπαρχῆς συναγιάσῃ τὸ φύραμα. ὅτι γὰρ οὐ κατὰ τὴν αἰώνιον ὕπαρξιν ἐφαρμόζεται τῷ Υἱῷ τὸ πρωτότοκον, ἡ τοῦ μονογενοῦς προσηγορία διαμαρτύρεται· ὁ γὰρ ἀληθῶς μονογενὴς, ἀδελφοὺς οὐκ ἔχει, ἀλλ' ὡς λέγεται Θεὸς καὶ ἄνθρωπος, Υἱὸς Θεοῦ, καὶ υἱὸς ἀνθρώπου· τὰ μὲν κατὰ τὴν ὑπάρχουσαν φύσιν ὢν, τὰ δὲ κατὰ τὴν φιλάνθρωπον οἰκονομίαν γενόμενος. οὕτω καὶ μονογενὴς Θεὸς ὢν, πρωτότοκος πάσης κτίσεως γίνεται· μονογενὴς μὲν, ὁ ὢν ἐν τῷ πατρῴῳ κόλπῳ, ἐν δὲ τοῖς διὰ τῆς καινῆς κτίσεως σωζομένοις, πρωτότοκος τῆς κτίσεως καὶ γενόμενος καὶ λεγόμενος. καὶ συνελόντι φάναι, τριῶν οὐσῶν ἐν ἡμῖν τῶν γεννήσεων, δι' ὧν ζωοποιεῖται ἡ ἀνθρωπίνη φύσις, τῆς μὲν ἀπὸ σώματος, τῆς δὲ κατὰ τὸ τῆς παλιγγενεσίας μυστήριον, τῆς δὲ διὰ τῆς ἐλπιζομένης πάλιν ἐκ τῶν νεκρῶν ἀναστάσεως· ἐν ταῖς τρισὶ πρωτότοκος γίνεται· τῆς μὲν διπλῆς παλιγγενεσίας τῆς δι' ἀμφοτέρων ἐνεργουμένης, διά τε τοῦ βαπτίσματος καὶ τῆς ἀναστάσεως αὐτὸς γενόμενος ἀρχηγὸς, ἐν δὲ τῇ σαρκὶ πρωτότοκος καὶ μόνος, τὸν

ἄγνωστον τῇ φύσει τόκον ἐφ' ἑαυτοῦ διὰ τῆς παρθένου καινοτομίσας, οὗ μηδεὶς ἐν ταῖς τοσαύταις γενεαῖς τῶν ἀνθρώπων καθηγήσατο.

Τὸ δὲ, "ὅταν πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκου- "μένην," καὶ οὕτω νοῶ. ἡ τοῦ "πάλιν" προσθήκη τὸ μὴ πρώτως γίνεσθαι τοῦτο διὰ τὴν τῆς κατὰ τὴν λέξιν ταύτην σημασίας ἐνδείκνυται. ἐπὶ γὰρ τῆς ἐπαναλήψεως τῶν ἅπαξ γεγονότων, τῇ λέξει ταύτῃ κεχρήμεθα. οὐκοῦν τὴν ἐπὶ τῷ τέλει τῶν αἰώνων φοβερὰν τοῦ κριτοῦ ἐπιφάνειαν ὁ Παῦλος τῷ λόγῳ σημαίνει, ὅτε οὐκέτι ἐν τῇ τοῦ δούλου καθορᾶται μορφῇ, ἀλλ' ἐπὶ τοῦ θρόνου τῆς βασιλείας μεγαλοπρεπῶς προκαθήμενος, καὶ ὑπὸ τῶν Ἀγγέλων πάντων προσκυνούμενος. διὰ τοῦτο ἅπαξ εἰσελθὼν εἰς τὴν οἰκουμένην, πρωτότοκος γενόμενος ἐκ τῶν νεκρῶν τε καὶ ἀδελφῶν καὶ πάσης κτίσεως, ὅταν πάλιν εἰσέρχηται εἰς τὴν οἰκουμένην ὁ κρίνων πᾶσαν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καθὼς ἡ προφητεία λέγει, οὐκ ἀποβάλλει τοῦ πρωτοτόκου τὸ ὄνομα, ὃ ἅπαξ ὑπὲρ ἡμῶν κατεδέξατο· ἀλλ' ὡς ἐν ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμπτει, τῷ ὑπὲρ πᾶν ὄντι ὄνομα, οὕτως καὶ τὸν ἐν τῷ ὀνόματι τοῦ πρωτοτόκου γενόμενον προσκυνεῖ ἅπαν τῶν Ἀγγέλων τὸ πλήρωμα τῇ ἀνακλήσει τῶν ἀνθρώπων ἐπευφραινόμενον, ἣν διὰ τοῦ γενέσθαι ἡμῶν πρωτότοκος, πάλιν εἰς τὴν ἐξ ἀρχῆς χάριν ἀνεκαλέσατο.

Ἐπειδὴ γὰρ "χαρὰ γίνεται τοῖς Ἀγγέλοις ἐπὶ τοῖς ἀνασωζο- "μένοις ἐξ ἁμαρτίας," διότι μέχρι τοῦ νῦν στενάζει ἡ κτίσις ἐκείνη, καὶ συνωδίνει τῇ καθ' ἡμᾶς ματαιότητι, ζημίαν οἰκείαν κρίνουσα τὴν ἡμετέραν ἀπώλειαν, ὅταν "ἡ ἀποκάλυψις γένηται "τῶν υἱῶν τοῦ Θεοῦ," ἣν ὑπὲρ ἡμῶν ἀεὶ παραδοκοῦσι καὶ ἀπεκδέχονται, καὶ ὅταν ἀποσωθῇ τῇ ἄνω ἑκατοντάδι τὸ πρόβατον· ἡμεῖς δὲ πάντως ἐσμὲν ἡ ἀνθρωπίνη φύσις τοῦτο τὸ πρόβατον, ὃ διὰ τοῦ γενέσθαι πρωτότοκος ὁ ἀγαθὸς ποιμὴν ἀνεσώσατο, τότε διαφερόντως ἐν ἐπιτεταμένῃ τῇ ὑπὲρ ἡμῶν εὐχαριστίᾳ, προσάξουσι τῷ Θεῷ τὴν προσκύνησιν, τῷ διὰ τῆς πρωτοτοκίας ἀνακαλεσαμένῳ τὸν τῆς πατρῴας ἑστίας ἀποφυτήσαντα [o].

Διονυσίου Ἀρεοπαγίτου. Ἀγγελικῆς δὲ ἐπωνυμίας αἱ ἄνω δυνάμεις ἐκκρίτως ἠξίωνται, διὰ τὸ πρώτως αὐταῖς ἐγγίνεσθαι τὴν

[o] Leg. ἀποφοιτήσαντα.

θεαρχικὴν ἔλλαμψιν, καὶ δι' αὐτῶν εἰς ἡμᾶς διαπορθμεύεσθαι τὰς ὑπὲρ ἡμῶν ἐκφαντορίας.

Γρηγορίου Θεολόγου περὶ Θεολογίας. Πῦρ δὲ καὶ πνεῦμα προσαγορεύονται ἢ γίνονται. ποιεῖν γὰρ λέγεται "τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα." εἰ μὴ ποιεῖν μέν ἐστι τὸ συντηρεῖν τῷ λόγῳ, καθ' ὃν ἐγένοντο. πνεῦμα δ' ἀκούουσι καὶ πῦρ, τὸ μὲν ὡς νοητὴ φύσις, τὸ δ' ὡς καθάρσιος. ἐπεὶ τῆς πρώτης οὐσίας τὰς αὐτὰς οἶδα κλήσεις.

Γρηγορίου Νύσσης κατὰ Εὐνομίου. Ἀλλ' ὁ μὲν Ἀπόστολος πᾶσαν ἀγγελικὴν φύσιν ὑποχείριον εἶναι τοῦ Κυρίου βοᾷ, συμπαραλαμβάνων εἰς μαρτυρίαν τοῦ δόγματος καὶ τὴν προφητικὴν μεγαλοφωνίαν, καὶ πάντα πρὸς ἔνδειξιν τοῦ μονογενοῦς Υἱοῦ διέξεισιν. Εὐνόμιος δὲ τὸν τῶν Ἀγγέλων κύριον, Ἄγγελον εἶναι λέγει, οὐ κατὰ τὸ συμβὰν τὸν τοιοῦτον ἀπορρίψας λόγον, ἀλλ' ἐναγωνιζόμενος τῇ ἀτοπίᾳ, ὡς μηδὲν πλέον Ἰωάννου καὶ Μωσέως τὸν Κύριον ἔχειν. ἔχει δὲ οὕτω τὰ γεγραμμένα. ὅτι ὁ μὲν ἀποστέλλων Μωσῆν, αὐτὸς ἦν ὁ ὢν δι' οὗ ἀπέστελλε καὶ ἐλάλει· τοῦ μὲν ὄντως Ἄγγελος, τῶν δὲ ἄλλων ἁπάντων Θεός. ὁ γὰρ τῶν δι' αὐτοῦ γινομένων Θεὸς, Ἄγγελος τοῦ ἐπὶ πάντων Θεοῦ. ἀλλὰ κἂν Θεὸν ὀνομάζει τὸν Κύριον ὁ ἐχθρὸς τοῦ Κυρίου, ἀναλογεῖν αὐτὸν κατασκευάζει τῇ Μωσέως θεότητι. ἐπεὶ κἀκεῖνος τοῦ μὲν ἐπὶ πάντων Θεοῦ θεράπων, τῶν δὲ Αἰγυπτίων ἐτέχθη Θεὸς, καί τοι καὶ τῷ ἐπὶ πάντων κοινὸν τῷ Υἱῷ πρὸς τὸν Πατέρα, τοῦ Ἀποστόλου τὴν τοιαύτην αὐτῷ προσμεμαρτυρηκότος φωνὴν, ἐν οἷς φησιν, "ἐξ ὧν "ὁ Χριστὸς, τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός." ἀλλ' οὗτος εἰς Ἀγγέλου τάξιν κατάγει τὸν τῶν ὅλων Κύριον, ὥσπερ οὐκ ἀκηκοὼς, ὅτι οἱ Ἄγγελοι λειτουργικὰ πνεύματα καὶ πυρὸς φλόγες εἰσί. διὰ τούτων γὰρ ὁ Ἀπόστολος ἀσύγχυτον καὶ ἀσαφῆ ποιεῖται τὴν τῶν ὑποκειμένων διάκρισιν· τὴν μὲν ὑποχείριον φύσιν, πνεῦμα εἶναι καὶ πῦρ ὁριζόμενος, τὴν δὲ κυριεύουσαν δύναμιν τῷ τῆς θεότητος διασημαίνων ὀνόματι.

Καὶ τοσούτων ὄντων τῶν τὴν δόξαν τοῦ μονογενοῦς διαγγελλόντων, μόνος τοῖς πᾶσιν ἀντιβοᾷ ὁ Εὐνόμιος, Ἄγγελον αὐτὸν τοῦ ἐπὶ πάντων λέγων Θεοῦ. τῇ μὲν πρὸς τὸν ἐπὶ πάντων διαστολῇ, ἕνα τῶν πάντων εἶναι διοριζόμενος, τῇ δὲ πρὸς τοὺς Ἀγγέλους τοῦ

ὀνόματος κοινωνίᾳ, τὸ μηδὲν ἐκείνων παρηλλάχθαι τὴν φύσιν κατασκευάζων. κἀκεῖνο δὲ τίς ἀγνοεῖ, ὅτι τῷ ὄντι τὸ μὴ ὢν ἀντιδιαιρεῖται μόνον; ὥστε ὁ τὸν Υἱὸν ἀντιδιαστείλας τῷ ὄντι, σαφῶς ἰουδαΐζει, τὴν τοῦ μονογενοῦς ὑπόστασιν ὑποκλέπτων τοῦ δόγματος. ὃν γὰρ ἔξω τῆς τοῦ ὄντος ἐπωνυμίας λέγει, καὶ τοῦ εἶναι πάντως ἐξηρῆσθαι κατασκευάζει. πλὴν ἡ ἀτοπία τοῦ λογογράφου, ὑπ' αὐτῆς τῆς γραφῆς ἐλέγχεται, ἐν οἷς ὁ Μωϋσῆς ἱκετεύει τὸν Κύριον, μὴ Ἄγγελον τῇ ἡγεμονίᾳ τοῦ λαοῦ ἐπιστῆσαι, ἀλλ' αὐτὸν τῆς πορείας αὐτῶν ἀφηγήσασθαι· καὶ ἀκούει "ὅτι καὶ τοῦτόν σοι "τὸν λόγον ὃν εἴρηκας ποιήσω." οὐκοῦν εἰ Μωσῆς μὲν παραιτεῖται τὸν Ἄγγελον, αὐτὸς δὲ ὁ χρηματίζων αὐτὸς συνέμπορος γίνεται καὶ καθηγεμὼν τῆς στρατιᾶς, φανερῶς ἀποδείκνυται διὰ τούτων, ὅτι ὁ τῇ τοῦ ὄντος ἐπωνυμίᾳ ἑαυτὸν γνωρίσας, οὐ μονογενής ἐστι Θεός.

Εἰ δὲ πρὸς τοῦτο τίς ἀντιλέγει, τῆς Ἰουδαϊκῆς ὑπολήψεως ἔσται συνήγορος, τὸν Υἱὸν μὴ συμπαραλαμβάνων εἰς τὴν τοῦ λαοῦ σωτηρίαν. εἰ γὰρ Ἄγγελος μὲν τοῖς Ἰσραηλίταις οὐ συναπέρχεται, ὁ δὲ διὰ τῆς τοῦ ὄντος ἐπωνυμίας δηλούμενος, ὁ μονογενὴς οὐκ ἔστιν, καθὼς ὁ Εὐνόμιος βούλεται, οὐδὲν ἄλλο ἢ τὰ ἐκ τῆς συναγωγῆς δόγματα πρὸς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ μεταφέρεται. ναί φησιν, ἀλλ' ἡ γραφὴ Ἀγγέλου φωνὴν προτάξασα, οὕτως ἐπάγει τὸν τοῦ ὄντος διάλογον. ἀλλὰ τοῦτο οὐκ ἀντίρρησις, ἀλλὰ βεβαίωσις τῶν εἰρημένων ἐστὶ παρ' ἡμῶν. καὶ ἡμεῖς γὰρ φαμὲν, ἐναργῶς τὸν προφήτην τὸ περὶ Χριστοῦ μυστήριον ἐναργὲς ποιῆσαι τοῖς ἀνθρώποις βουλόμενον, Ἄγγελον τὸν ὄντα προσαγορεῦσαι, ὡς ἂν μὴ μόνης τῆς τοῦ ὄντος ἐπωνυμίας κατὰ τὸν διάλογον εὑρισκομένης, πρὸς τὸν Πατέρα ὁ νοῦς τῶν λεγομένων ἐπαναφέροιτο. ἀλλ' ὥσπερ ὁ ἡμέτερος λόγος τῶν τοῦ νοῦ κινημάτων μηνυτής τε καὶ ἄγγελος γίνεται, οὕτω φαμὲν καὶ τὸν ἀληθινὸν Λόγον τὸν ἐν ἀρχῇ ὄντα, διαγγέλλοντα τοῦ ἰδίου Πατρὸς τὴν βουλὴν, τῇ ἐνεργείᾳ τῆς ἀγγελίας ἐπονομαζόμενον Ἄγγελον λέγεσθαι. καὶ ὥσπερ ὁ ὑψηλὸς Ἰωάννης πρότερον Λόγον εἰπὼν, οὕτως ἐπάγει, τὸ Θεὸν εἶναι τὸν Λόγον, ὡς ἂν μὴ προηγησαμένης τῆς τοῦ Θεοῦ προσηγορίας, πρὸς τὸν Πατέρα ταῖς ὑπονοίαις ἀπενεχθείημεν, οὕτω καὶ ὁ μέγας Μωϋσῆς Ἄγγελον προονομάσας, αὐτὸν εἶναι τὸν ὄντα τοῖς ἐφεξῆς ἐκδιδάσκει λόγοις, ὡς ἂν

φανερῶς τὸ κατὰ Χριστὸν προαγγελθῇ μυστήριον. διὰ μὲν τοῦ Ἀγγέλου τὸν ἑρμηνέα τοῦ πατρικοῦ βουλήματος Λόγον τῆς γραφῆς διδασκούσης, διὰ δὲ τῆς τοῦ ὄντος προσηγορίας, τὴν κατὰ τὸ εἶναι τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα φυσικὴν οἰκειότητα. εἰ δέ τις τὸν Ἡσαΐαν προβάλοιτο ὡς εἰπόντα καλεῖσθαι τὸ ὄνομα αὐτοῦ "μεγάλης βουλῆς Ἄγγελον," οὐδὲ οὕτως ἀνατρέψει τὸν ἡμέτερον λόγον. σαφῶς γὰρ ἐκεῖ καὶ ἀναντιρρήτως ἡ κατὰ τὸ ἀνθρώπινον οἰκονομία διὰ τῆς προφητείας σημαίνεται· "παιδίον γάρ," φησιν, "ἐγεννήθη ἡμῖν·" εἶτα καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ "μεγάλης "βουλῆς Ἄγγελος·" πρὸς ὃ καὶ τὸν Δαβὶδ οἶμαι βλέποντα τὴν τῆς βασιλείας κατάστασιν διηγεῖσθαι, οὐχ ὡς οὐκ ὄντος βασιλέως, ἀλλ' ὡς τῆς δουλικῆς ταπεινότητος, ἣν ὑπῆλθε κατ' οἰκονομίαν ὁ Κύριος εἰς τὴν τῆς βασιλείας ἀξίαν ἀναληφθείσης. "κα-"τεστάθην" γάρ φησι "βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ "ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου." οὐκοῦν Ἄγγελός τε καὶ Λόγος, σφραγίς τε καὶ εἰκὼν καὶ πάντα τὰ τοιαῦτα διὰ τὴν αὐτὴν ἔννοιαν λέγεται, ὁ τὴν πατρικὴν ἀγαθότητα δι' ἑαυτοῦ γνωρίζων. ὅ τε γὰρ Ἄγγελος, μηνυτὴς τινὸς γίνεται, καὶ ὁ Λόγος ὡσαύτως ἐκκαλύπτει τὸ ἐγκείμενον νόημα· καὶ ἡ σφραγὶς ἐν τῷ ἰδίῳ τόπῳ τὸ ἀρχέτυπον δείκνυσι, καὶ ἡ εἰκὼν τὸ τοῦ ἀπεικονισθέντος κάλλος δι' ἑαυτῆς ἑρμηνεύει· ὡς ἰσοδυναμεῖν ταῦτα πάντα τῷ σημαινομένῳ πρὸς ἄλληλα. διὰ τοῦτο Ἄγγελος τῇ τοῦ ὄντος ἐπωνυμίᾳ προτέτακται. Ἄγγελος μὲν λεγόμενος ὡς μηνυτὴς τοῦ Πατρὸς, ὢν δὲ ὡς οὐκ ἔχων ὄνομα γνωριστικὸν τῆς οὐσίας, ἀλλὰ πάσης ὑπερκείμενος τῆς ὀνομαστικῆς σημασίας. διὸ καὶ τὸ ὄνομα αὐτοῦ ὑπὲρ πᾶν εἶναι ὄνομα παρὰ τοῦ Ἀποστόλου μεμαρτύρηται, οὐχ ὡς ἕν τι προτετιμημένον τῶν ἄλλων, ἀλλ' ὡς ὑπὲρ πᾶν ὄνομα ὄντος τοῦ ὄντως ὄντος.

ΘΕΟΔΩΡΊΤΟΥ ΠΕΡῚ ἘΝΑΝΘΡΩΠΉΣΕΩΣ. Ὅτι μέντοι τελείαν τὴν ἡμετέραν φύσιν ὁ Λόγος ἀνέλαβε, βοᾷ μὲν Ἡσαΐας λέγων· "καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθ' ἡμῶν ὁ "Θεὸς," ἤγουν μετὰ ἀνθρώπων. εἰ τοίνυν τῆς παρθένου τὸ κύημα ταύτην ἔλαβε τὴν προσηγορίαν, εὔδηλον ὡς Θεὸς ἦν ὁμοῦ καὶ ἄνθρωπος, τὸ μὲν ὑπάρχων, τὸ δὲ λαβὼν, καθ' ἑκάτερον τέλειος.

διὰ μὲν γὰρ τοῦ καθ' ἡμῶν, τοῦ ἀνθρώπου τὸ τέλειον δείκνυται· τελείαν γὰρ ἡμῶν ἕκαστος τοῦ ἀνθρώπου ἔχει τὴν φύσιν· διὰ δὲ τοῦ Θεὸς, καὶ τῆς τοῦ ἄρθρου προσθήκης, ἡ τοῦ Υἱοῦ θεότης γνωρίζεται. δείκνυσι δὲ Λουκᾶς τὸν ἀνθρώπινον νοῦν τοῦ Σωτῆρος, προκόπτειν αὐτὸν λέγων, ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι. τὸ δὲ σοφίᾳ προκόπτειν, οὐ Θεοῦ τοῦ σοφοῦ, τοῦ ἀπροσδεοῦς καὶ ἀεὶ τελείου, καὶ μήτε ἐπίδοσιν μήτε ἐλάττωσιν δεχομένου, ἀλλὰ τοῦ νοῦ τοῦ ἀνθρωπίνου, τοῦ ταῖς ἡλικίαις συμπροϊόντος. σαφέστερον δ' ἄν τις ἐκ τῆς πρὸς Ἑβραίους ταύτης Ἐπιστολῆς τὴν θείαν φύσιν καὶ τὴν ἀνθρωπείαν κατίδοι· ταῖς μὲν ἐνεργείαις διῃρημένας τῷ δὲ προσώπῳ συνημμένας, καὶ τὸν ἕνα Υἱὸν ὑποδεικνυούσας. οὐχ ἥκιστα δὲ τῆς Ἐπιστολῆς τὸ προοίμιον ταύτην ἔχει τὴν διδασκαλίαν· εἰπὼν γὰρ ὁ μακάριος Παῦλος "ὃς ἀπαύγασμα τῆς "δοξης," καὶ δείξας αὐτὸν ὑπέρχρονον καὶ προαιώνιον· "δι' αὐτοῦ "γάρ" φησιν "καὶ τοὺς αἰῶνας ἐποίησεν," ἐπήγαγεν, "ἐκάθισεν "ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενό-"μενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονό-"μηκεν ὄνομα." ἐναντίον δὲ τοῦ γενέσθαι τὸ εἶναι· ὁ γὰρ ὢν ἀπαύγασμα τῆς δόξης, οὐ γίνεται κρείττων Ἀγγέλων, ἀλλ' ἔστιν Ἀγγέλων οὐ κρείττων μόνον, ἀλλὰ καὶ ποιητὴς καὶ δεσπότης. εἰ δὲ ἐναντίον τοῦ εἶναι τὸ γενέσθαι, δι' ἐκείνου μὲν τὸν ἀεὶ ὄντα νοήσωμεν, διὰ τούτου δὲ τὸ ἐξ ἡμῶν ἀναληφθὲν καὶ κρεῖττον τῶν Ἀγγέλων γεγενημένον, διὰ τὴν πρὸς τὸν ἀνειληφότα ἕνωσιν.

Κυρίλλου Θησαυρικῶν. Ἀλλ ἐνταῦθα οἱ τῆς οὐσίας τοῦ Θεοῦ Λόγου τολμῶντες κατηγορεῖν, καὶ τὸν Υἱὸν τοῖς γενητοῖς συνάπτειν σπουδάζοντες, φασὶ σοφιζόμενοι τὴν ἀλήθειαν, εἰ κρείττων γέγονε τῶν Ἀγγέλων ὁ Υἱὸς, ἀποτροπῆς ἄρα ἔχει τοῦτο τῆς ἐπὶ τὸ ἄμεινον· ὃ γὰρ οὐκ ἦν ἐγένετο· τὸ δὲ ὅλως μεταποιεῖσθαι δυνάμενον, καὶ ἀπό τινος εἰς ἕτερόν τι παραφέρεσθαι, τρεπτῆς ἂν εἴη φύσεως· εἰ δὲ τρεπτῆς, δηλονότι καὶ γενητῆς, ἧς ἴδιον ἡ τροπή. ἴστωσαν δὲ οἱ ταῦτα ληροῦντες, ὅτι ὅτε ἐνηνθρώπισεν ὁ τοῦ Θεοῦ Λόγος, τότε κρείττων γέγονεν τῶν Ἀγγέλων, οὐ τὴν φύσιν εἰς ἕτερόν τι μεταβαλὼν, ἢ ὅπερ οὐκ ἦν πρότερον ὕστερον γεγονὼς, οὐ γὰρ περὶ τῆς φύσεως τοῦ Υἱοῦ νῦν ἐστιν ὁ λόγος

τῷ Παύλῳ, ἀλλὰ περὶ πράγματος γενομένου ἐν καιρῷ τῆς ἐνανθρωπήσεως. οὐκοῦν οὐ τῇ φύσει τῶν Ἀγγέλων τὴν τοῦ Υἱοῦ φύσιν συγκρίνεσθαι θέλων, κρείττονα τῶν Ἀγγέλων αὐτὸν γεγενῆσθαι φησὶν, ἀλλὰ πραγμάτων ποιεῖσθαι σύγκρισιν. δεῖξαι γὰρ βουληθεὶς Ἑβραίοις ὅτι κρείττων ἐστὶν ἡ Χριστοῦ διακονία καὶ τῆς τῶν προφητῶν ἀποστολῆς καὶ τοῦ διακονηθέντος δι᾽ Ἀγγέλων νόμου, ἀπὸ τῆς τῶν προσώπων ἀξίας ποιεῖται τὴν σύγκρισιν· καὶ δὴ τὰ τῆς φύσεως τοῦ Πατρὸς ἴδια προσάψας αὐτῷ, τότε φησὶ κρείττονα γενέσθαι τῶν Ἀγγέλων, ὅσῳ καὶ μεῖζον παρ᾽ ἐκείνους ἔχει τὸ ὄνομα, ὡς Υἱὸς καὶ κληρονόμος καὶ ὁμόθρονος καὶ ποιητής.

Εἰ δὲ πολὺ κρείττων καὶ διαφορώτερος τῶν Ἀγγέλων διὰ ταῦτα νοεῖται, κρείττων ἄρα καὶ ἡ αὐτοῦ τῆς ἐκείνων διακονίας. σημαίνει δ᾽ ἂν εἰκότως ἐνθάδε τὸ γέγονεν οὐ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴν, ἦν γὰρ ὁ Λόγος ἐν ἀρχῇ, οὐδὲ τὴν ἐξ ἐλάττονος εἴς τι μεῖζον μεταβολὴν, τέλειος γὰρ ἐκ τελείου Πατρὸς ὑπῆρχεν ὁ Υἱὸς, ἀλλ᾽ ὥσπερ ἐν συγκρίσει δόξης καὶ ἀξιώματος τὸ μεῖζον καὶ κρείττων ὀφθέν. ἐπεξηγούμενος δὲ τὴν οἰκείαν φωνὴν ὁ μακάριος Παῦλος, καὶ σαφέστατα δεικνύων τί ἐστι τὸ "κρείττων γενόμενος τῶν Ἀγγέλων," ἐπιφέρει τοῖς εἰρημένοις, "τίνι γὰρ εἶπε ποτὲ τῶν Ἀγγέλων, κάθου ἐκ δεξιῶν μου;" καὶ ὅτι περὶ τοῦ Υἱοῦ γέγραπται, "καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ." εἰ δὲ ὁ τῆς συγκρίσεως λόγος, τὸν μὲν ὡς συγκαθεζόμενον τῷ Πατρὶ καὶ προσκυνούμενον εἰσφέρει, τοὺς δὲ, ὡς παρεστηκότας τε καὶ προσκυνεῖν ἐπιτεταγμένους, οὐκ ἐπὶ τῆς οὐσίας ἔσται πάντως τὸ κρείττων, ἀλλ᾽ ἐν τοῖς περὶ τὴν οὐσίαν ἀξιώμασιν, καὶ ταῖς ἔξωθεν τῆς φύσεως τιμαῖς. οὐκοῦν οὐχ ἕν τι τῶν γενητῶν ὁ Υἱὸς, ἀλλ᾽ ἕτερόν τι παρὰ ταῦτα, τουτέστι Λόγος ἴδιος τοῦ Πατρός.

Εἰ δὲ διὰ τὸ λέγειν τὴν γραφὴν "τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων," ὁμοειδὴς ἔσται τοῖς Ἀγγέλοις ὁ Υἱὸς, ὡς πρὸς αὐτοὺς ἔχων τὴν σύγκρισιν, ἥτις γίνεται ἐν τοῖς ὁμοειδέσι, ὁράτωσαν ποῖ ποτε ὁ λόγος αὐτοῖς κινδυνεύσει. ὥρα γὰρ ὁμολογεῖν καὶ συγκαθεσθῆναι δύνασθαι τῷ Θεῷ τοὺς Ἀγγέλους καὶ συμβασιλεύειν αὐτῷ, καὶ τὸ περιττὸν οὐδὲν ἐν Υἱῷ παρ᾽ ἐκείνους· τὸ γὰρ ἀλλή-

λοις ὁμοειδῆ, κἂν ἔχῃ τινὰ πρὸς ἄλληλα τὴν διαφορὰν, ἀλλὰ τῆς αὐτῆς ἔχεται φύσεως· οὕτω γὰρ ἂν εἴη καὶ ὁμοειδῆ. οὐκοῦν ἐπειδήπερ περὶ μὲν Ἀγγέλων λέγεται "ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ "πνεύματα, περὶ δὲ τοῦ Υἱοῦ ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα "τοῦ αἰῶνος," ὁμοειδεῖς δὲ οἱ Ἄγγελοι, καὶ ὁ Υἱὸς κατὰ τοὺς αἱρετικοὺς διὰ τὸ πρὸς αὐτοὺς ἐν τῷ λέγεσθαι κρείττων ἔχειν τὴν σύγκρισιν. οὐδὲν ἄρα κωλύει καὶ Ἀγγέλους δύνασθαι συγκαθεσθῆναι τῷ Θεῷ, εἰ καὶ μήτις αὐτῶν ἠξιώθη τοῦ πράγματος. καὶ μάτην ὡς εἰκὸς ὁ Παῦλος λέγει· "τίνι γὰρ εἶπε ποτὲ τῶν Ἀγγέ-"λων, κάθου ἐκ δεξιῶν μου," ἢ πῶς τοῦτο δίδωσιν ὡς ἐξαίρετον τῷ Υἱῷ, ἑλκούσης αὐτῷ πρὸς ἑαυτὴν καὶ τῆς τῶν Ἀγγέλων φύσεως, εἴπέρ εἰσιν ὁμοειδεῖς πρὸς αὐτόν; κοινὰ γὰρ ἅπασι τοῖς ὁμοειδέσι τὰ ἐν τῇ αὐτῇ φύσει κείμενα· τὰ δὲ ἐκ προσθήκης ἐπισυμβαίνοντά τισι πλεονεκτήματα, τῆς οὐσίας οὐχ ἅπτεται· οἷον, μία μὲν ἀνθρώποις ἡ φύσις, πλουτοῦσι δὲ οὐ πάντες, οὔτε μὴν βασιλεύουσι· δεκτικοὶ δὲ ὅμως καὶ τούτων εἰσίν. ἀλλ' οὐδεὶς ἐπιτρέπει τοῖς Ἀγγέλοις τὴν τοῦ Υἱοῦ δόξαν φορεῖν· ὁ μὲν γὰρ δεσπότης, τὰ δὲ δοῦλα τυγχάνει. οὐχ ὁμογενὴς ἄρα τοῖς Ἀγγέλοις ἐστὶν ὁ τῷ Πατρὶ συμβασιλεύων καὶ συγκαθήμενος. ἔτι ποίημα καὶ ποιητὴς οὐκ ἄν ποτε τῆς αὐτῆς εἶεν φύσεως. ὅτε τοίνυν πάντα ὁ Πατὴρ δι' Υἱοῦ ἐργάζεται, ἓν δὲ τῶν πάντων ἐστὶ καὶ ἡ τῶν Ἀγγέλων φύσις, γέγονεν ἄρα δι' Υἱοῦ καὶ πεποίηται. οὐχ ὁμογενὴς οὖν τοῖς δι' αὐτοῦ γινομένοις καὶ διὰ τούτου φανεῖται· ἀλλ' ὁ μὲν φορέσει τοῦ δημιουργοῦ τὴν ἀξίαν, τὰ δὲ, τὴν κατὰ τὸ πεποιῆσθαι δουλείαν. "τὰ γὰρ σύμπαντα δοῦλα σὰ," φησὶν ἡ θεία γραφή· τοῦτο καὶ Παῦλος κατασκευάζει. πρὸς μὲν τοὺς Ἀγγέλους εἰρῆσθαι λέγων· "ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύ-"ματα, πρὸς δὲ τὸν Υἱὸν ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ "αἰῶνος·" τουτέστιν, ἡ βασιλεία σου ἐπέκεινα τῶν αἰώνων, καὶ ἐννοίας πάσης ἐστὶ πρεσβυτέρα.

Βασιλείου Ψαλμοῖς. Καὶ καλῶς μετὰ τὴν ὑποταγὴν τῶν λαῶν τὸ μεγαλοπρεπὲς τῆς βασιλείας αὐτοῦ ὁ προφήτης ἀνυμνεῖ· ἐπειδὴ γὰρ πολλὰ πρὸς τὸ ἀνθρώπινον διηλέχθη ἀποτεινόμενος, ἐπανάγει νῦν ἐπὶ τὰ ὑψηλὰ τῆς περὶ τοῦ μονογενοῦς δόξης τὸν

λόγον. διὰ τοῦτο καὶ ἀπέδωκεν ἰδίαν αὐτῷ προσηγορίαν, σαφῶς αὐτὸν ἀναγορεύσας Θεὸν, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ ἄρθρου· "ὁ θρόνος σου," γάρ φησιν, "ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Χρυσοστόμου. Τοῦτο δὲ περὶ τῆς βασιλείας αὐτοῦ εἴρηται, ὅτι ἀτελεύτητος· τοῦτο γάρ ἐστιν εἰς αἰῶνα αἰῶνος. ὥσπερ δὲ ὁ θρόνος τῆς βασιλείας σύμβολον, οὕτω καὶ ἡ ῥάβδος καὶ τῆς βασιλείας καὶ τῆς βασιλικῆς ἐξουσίας· διὸ φησὶ, "ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου."

Χρυσοστόμου Ψαλμοῖς. Καθαρὸν γὰρ ἐκεῖ τὸ δίκαιον, καθαρὸν τὸ ὀρθὸν, οὐδὲν ἐπισκιαζόμενον· ἡ γὰρ εὐθύτης τὸ ἀδέκαστον καὶ τὴν δικαιοσύνην δηλοῖ.

Θεοδωρίτου. Τὸ δὲ πᾶν τοιοῦτον, ὅτι καὶ Θεὸς καὶ αἰώνιος βασιλεὺς, οὔτε ἀρχὴν εἰληφὼς, οὔτε τέλος ληψόμενος· τοῦτο γὰρ δηλοῖ τὸ αἰώνιον, καὶ ὅτι δίκαιον.

Κυρίλλου Ψαλμοῖς. Κατὰ πολλοὺς δὲ τρόπους ἡ ῥάβδος νοεῖται. ποτὲ μὲν γὰρ σημαίνει τὴν βασιλείαν, ὡς ἐνταῦθα, ποτὲ τὴν ἰσχὺν, ὡς ἐν τῷ "ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι." λαμβάνεται δὲ καὶ εἰς ἐπιστήμην τὴν ποιμαντικὴν κατὰ τὸ πρὸς τὸν Υἱὸν εἰρημένον, "ποίμαινε λαόν σου ἐν ῥάβδῳ."

Βασιλείου Ψαλμοῖς. Ἔστι δὲ καὶ παιδευτική τις ἡ ῥάβδος τοῦ Θεοῦ. παιδεύουσα δὲ, εὐθείας καὶ οὐ παρατετραμμένας ἐπάγει τὰς κρίσεις. διὰ τοῦτο "ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας" αὐτοῦ προσαγορεύεται· "ἐὰν γὰρ ἐγκαταλείπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν." ὁρᾷς τὴν δικαίαν κρίσιν τοῦ Θεοῦ; οὐκ ἐπὶ τῶν τυχόντων χρῆται τῇ ῥάβδῳ, ἀλλ' ἐπὶ τῶν ἁμαρτανόντων. αὕτη δὲ καὶ παρακλήσεως λέγεται ῥάβδος· "ἡ ῥάβδος σου," γάρ φησι, "καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν." αὕτη καὶ συντριμμοῦ ἐστιν ἡ ῥάβδος, "ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς." συντρίβεται δὲ τὰ χοϊκὰ καὶ πήλινα ἐπ' εὐεργεσίᾳ τῶν ποιμαινομένων, καθότι καὶ παραδίδοταί τις εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ.

Κυρίλλου Ψαλμοῖς. Βασιλεὺς μέν τοι Χριστὸς, ὅτι καὶ ἐναν-

θρωπίσας, ἔμεινεν ἐν ταῖς ἰδίαις ὑπεροχαῖς. βασιλεύει γὰρ ἐν δικαιοσύνῃ. διὸ ὡς ἐκ παραδείγματος τῶν ἐπὶ γῆς βασιλέων σκηπτροφορεῖν εἰωθότων τὸ τοῦ λόγου σχῆμα πεποίηται· σύμβολον γὰρ βασιλείας ἡ ῥάβδος.

Θεοδωρίτου. Σαφῶς μέν τοι διὰ τούτων ἔδειξε τοὺς μὲν Ἀγγέλους κτιστὴν ἔχοντας φύσιν· “ὁ ποιῶν,” γάρ φησι, “τοὺς Ἀγγέλους·” τὸν δὲ μονογενῆ Υἱὸν, ἄκτιστον καὶ ἀΐδιον. “ὁ θρόνος σου,” γάρ φησιν, “εἰς τὸν αἰῶνα.” προσεδίδαξε δὲ ἡμᾶς ὅτι τὸ ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, ἀνθρωπίνως εἴρηκεν. ὡς γὰρ Θεὸς, αἰώνιον ἔχει τὸν θρόνον, ἄναρχον τὴν βασιλείαν καὶ ἀτελεύτητον.

Βασιλείου Ψαλμοῖς. Ἐπειδὴ δὲ μικτός ἐστιν ὁ περὶ τοῦ Σωτῆρος λόγος, διά τε τὴν φύσιν τῆς θεότητος καὶ τὴν οἰκονομίαν τῆς ἐνανθρωπήσεως, πάλιν εἰς τὸ ἀνθρώπινον τοῦ Θεοῦ ἀποβλέψας, φησίν· “Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν.” ἀντὶ τοῦ οἱ μὲν λοιποὶ ἄνθρωποι πόνῳ καὶ ἀσκήσει καὶ προσοχῇ πολλάκις κατορθοῦσι τὴν πρὸς τὸ καλὸν διάθεσιν, καὶ τὴν τῶν φαύλων ἀποστροφήν. σοὶ δὲ φυσική τις ἐστι πρὸς τὸ καλὸν οἰκείωσις, καὶ πρὸς τὴν ἀνομίαν ἡ ἀλλοτρίωσις.

Χρυσοστόμου. Εἰκότως οὖν ταῦτα ἐπήγαγεν ὁ προφήτης· ἐπειδὴ γὰρ εἶπεν ἄνω τὰ κατορθώματα, τὰς νίκας, τῆς οἰκουμένης τὴν σωτηρίαν, ὅτι ἀληθείας αὐτὴν ἐνέπλησεν, ὅτι πραότητος, ὅτι δικαιοσύνης· δεικνὺς ὅτι οὐδὲν ἀπεικὸς ταῦτα γενέσθαι, διαλέγεται λοιπὸν περὶ τοῦ ἀξιώματος τοῦ κατωρθωκότος, ὅτι Θεὸς, ὅτι βασιλεὺς, ὅτι ἀτελεύτητος, ὅτι δικαστὴς ἀδέκαστος, ὅτι τῶν δικαίων δικαστὴς, ὅτι μισοπόνηρος· ἐπεὶ τοιοῦτος ἐστί φησι, διὰ τοῦτο τοιαῦτα αὐτῷ κατώρθωται. ὁ γὰρ κατορθώσας τοιοῦτος, καὶ δυνάμενος, καὶ βουλόμενος, ἀρκῶν ἑαυτῷ τὰ αὐτοῦ τοίνυν ἐποίησεν. εἶτα πάλιν ἐπὶ τὴν σάρκα κατάγει τὸν λόγον· καὶ ἐπειδὴ μέγα ἐφθέγξατο, πάλιν αὐτῷ παραμυθεῖται λέγων, “διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.” διὰ τοῦτο, ποῖον; διὰ τὸ ἀνομίαν ἐκβαλεῖν καὶ δικαιοσύνην φυτεῦσαι, καὶ ἁπλῶς ποιῆσαι ἅπερ ἐποίησας. τί δὲ ἐστὶν “ἔλαιον ἀγαλλιάσεως;” καὶ μὴν ἐλαίῳ ὁ Χριστὸς οὐδαμοῦ ἐχρίσθη, ἀλλὰ Πνεύματι Ἁγίῳ. διὰ τοῦτο προσέθηκε “παρὰ

" τοὺς μετόχους σου·" πολλοὶ μὲν γὰρ πρὸ αὐτοῦ χριστοὶ, οὕτω δὲ οὐδείς. ὥσπερ πολλοὶ ἀμνοὶ, ὁ δὲ ἐξαίρετος, οὕτως πολλοὶ υἱοὶ, ἀλλ' αὐτὸς ὁ μονογενής· πάντα γὰρ αὐτὸς ἐξαιρέτως, οὐ τὰ τῆς θεότητος μόνον, ἀλλὰ καὶ τὰ τῆς οἰκονομίας. εἰ δὲ ἔλαιον τὸ Πνεῦμα καλεῖ ὁ Δαβὶδ, προφήτης ὢν, αἰνιγματωδέστερον διαλέγεται. καὶ καλῶς εἶπεν " ἀγαλλιάσεως," χαρᾶς, εὐφροσύνης.

Ἄλλος δέ φησιν, ἀγλαϊσμοῦ, τουτέστι καλλωπισμοῦ, δόξης, κόσμου. ἔλαιον τοίνυν ἀκούσας, μὴ ἔλαιον νόμιζε, ἀλλὰ τὴν χρίσιν. καὶ γὰρ τὸ ἔλαιον, σύμβολον τοῦ Πνεύματος ἦν· καὶ τὸ προηγούμενον καὶ ἀναγκαῖον, τὸ Πνεῦμα ἦν. τούτου τοίνυν ὄντος, μηδὲν ἀμφίβαλλε Χριστὸν αὐτὸν καλεῖν, ἐπεὶ καὶ ὁ Ἀβραὰμ χριστὸς ἐκαλεῖτο, καὶ οἱ προφῆται, ἀλλ' οὐ πάντες ἐλαίῳ ἐχρίσθησαν. ὥσπερ ὅταν λέγῃ " μὴ ἅπτεσθε τῶν χριστῶν μου." πότε οὖν φησιν ἐχρίσθη ὁ Χριστός; ὅτε ὡς ἐν εἴδει περιστερᾶς τὸ Πνεῦμα ἦλθεν ἐπ' αὐτόν. " μετόχους" δὲ ἐνταῦθα, πάντας φησὶ τοὺς πνευματικοὺς, καθάπερ Ἰωάννης φησὶν, " ἡμεῖς πάντες ἐκ " τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν." περὶ δὲ αὐτοῦ, " οὐκ ἐκ " μέτρου δίδωσι τὸ πνεῦμα ὁ Θεός." καὶ πάλιν, " ἐκχεῶ ἀπὸ τοῦ " Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα·" ἐκεῖ δὲ, οὐκ ἀπὸ τοῦ Πνεύματος, ἀλλ' ὁλόκληρον τὸ Πνεῦμα ἦλθε· διόπερ ἔφησεν, " οὐκ ἐκ " μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα."

Βασιλείου Ψαλμοῖς. Ἐπειδὴ μέν τοι ἔδει σχηματίσαι τὸ τυπικὸν χρίσμα, καὶ τοὺς τυπικοὺς ἀρχιερεάς καὶ βασιλέας, ἐχρίσθη τῷ ἀληθινῷ χρίσματι ἡ σὰρξ τοῦ Κυρίου, τῇ τοῦ Ἁγίου Πνεύματος εἰς αὐτὴν ἐπιδημίᾳ, ὅπερ " ἀγαλλιάσεως ἔλαιον" προσαγορεύεται. ἐχρίσθη δὲ " παρὰ τοὺς μετόχους" αὐτοῦ, τουτέστιν ὑπὲρ πάντας ἀνθρώπους τοὺς μετέχοντας τοῦ Χριστοῦ. διότι ἐκείνοις μὲν μερική τις ἐδίδοτο Πνεύματος κοινωνία· ἐπὶ δὲ τὸν Υἱὸν τοῦ Θεοῦ κατελθὸν τὸ Πνεῦμα τὸ Ἅγιον, ὥς φησιν Ἰωάννης, " ἔμεινεν ἐπ' αὐτόν." καλῶς οὖν " ἀγαλλιάσεως ἔλαιον" τὸ Πνεῦμα προσαγορεύεται, ἐπειδὴ καὶ εἷς τῶν ὑπὸ τοῦ ἁγίου Πνεύματος γεωργουμένων καρπῶν ἐστὶν ἡ χαρά.

Θεοδωρίτου. Αὕτη μέν τοι ἡ μαρτυρία καὶ τὴν Ἀρείου μαρτυρίαν διήλεγξεν· αἰώνιον γὰρ ἔδειξε τοῦ Θεοῦ Λόγου τὸν θρόνον· καὶ τῇ δυάδι τῶν προσώπων ἐξήλασε τοῦ Σαβελλίου τὴν σύγ-

χυσιν. ταυτὸ δὲ τοῦτο καὶ τὸ ἀναίσχυντον τῶν Ἰουδαίων ἐμφράττει στόμα.

Χρυσοστόμου. Μᾶλλον δὲ ἐνταῦθα καὶ Ἰουδαίους καὶ τὸν Σαμοσατέα καὶ Ἄρειον καὶ Μάρκελλον καὶ Σαβέλλιον ἔβαλε καὶ Μαρκίωνα. πῶς Ἰουδαίους μὲν, δύο πρόσωπα δεικνὺς καὶ Θεὸν καὶ ἄνθρωπον· τοὺς δὲ ἄλλους Ἰουδαίους, τοὺς Παύλου λέγω τοῦ Σαμοσατέως, τὸ περὶ τῆς αἰωνίου ὑπάρξεως, ταῦτα διαλέγεσθαι καὶ τῆς ἀκτίστου οὐσίας. πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ "ἐποίησε," τὸ "ὁ θρόνος σου εἰς τὸν αἰῶνα," τέθεικε· πρός τε Ἀρειανοὺς, τοῦτο αὐτὸ πάλιν, καὶ ὅτι οὐ δοῦλος· εἰ δὲ κτίσμα, δοῦλος· πρὸς δὲ Μάρκελλον καὶ τοὺς ἄλλους, ὅτι δύο ἐστὶ ταῦτα πρόσωπα διηρημένα κατὰ τὴν ὑπόστασιν· πρὸς δὲ Μαρκιωνιστὰς, ὅτι θεότης οὐ χρίεται, ἀλλ᾽ ἡ ἀνθρωποτης. εἶτα "παρὰ τοὺς μετόχους σου" φησί· τίνες δὲ οἱ μέτοχοι, ἀλλ᾽ ἢ οἱ ἄνθρωποι; τουτέστι τὸ Πνεῦμα οὐκ ἐκ μέτρου ἔλαβεν ὁ Χριστός. ὁρᾷς πῶς συνάπτει ἀεὶ τῷ περὶ τῆς ἀκτίστου φύσεως καὶ τὸν τῆς οἰκονομίας λόγον; τί τούτου σαφέστερον; εἶδες πῶς οὐκ ἔστι τὸ αὐτὸ κτίσμα καὶ γέννημα, οὐ γὰρ ἂν διεῖλε. καὶ πρὸς ἀντιδιαστολὴν τοῦ "ἐποίησεν," ἐπήγαγε, "πρὸς δὲ τὸν Υἱὸν εἶπεν, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν "αἰῶνα τοῦ αἰῶνος." οὐδ᾽ ἂν διαφορώτερον ὄνομα ἐκάλει τὸ Υἱὸς ὄνομα, εἰ τοῦ αὐτοῦ ἐστὶ σημεῖον. ποῖον γὰρ τὸ διάφορον, εἴπερ τὸ κτίσμα καὶ γέννημα ταυτόν; ἐκεῖνοι δὲ ἐποιήθησαν· τί τὸ διαφορώτερον;

Γρηγορίου Ἐπιστολῆ. Ἀλλ᾽ εἰπάτωσαν ἡμῖν οἱ διαιροῦντες εἰς δύο τὸν ἕνα Χριστὸν, κατὰ τίνα τρόπον ὁ ἐκ Θεοῦ καὶ Πατρὸς Λόγος, Χριστὸς ὀνομάζεται· τίνα κέχρικεν ὁ Πατὴρ τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, ἤτοι τῷ Ἁγίῳ Πνεύματι; εἰ μὲν οὖν ἰδικῶς τὸν ἐξ αὐτοῦ γεννηθέντα Θεὸν Λόγον, καὶ τοῦτο εἶναι φασὶν ἀληθὲς, ἀγνοοῦσιν ὅπως καὶ τὴν τοῦ μονογενοῦς ἀδικοῦσι φύσιν, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας παρασημαίνουσι τὸ μυστήριον. οὐ γὰρ κέχρισται τῷ Ἁγίῳ Πνεύματι Θεὸς ὢν ὁ Λόγος, ἐπιδεᾶ πάντως ἁγιασμοῦ, καὶ οὐκ ἕκοντες ὁμολογήσουσι, κατὰ τοὺς ἄνωθεν ἔτι χρόνους ὑπάρχειν αὐτὸν, καθ᾽ οὓς οὔπω κεχρισμένος, ἀμέτοχος ἦν τῆς ἐς ὕστερον αὐτῷ δοθείσης δωρεᾶς. τὸ δὲ ἁγιασμοῦ τητώμενον σαλεύεται κατὰ φύσιν, καὶ οὐκ ἂν νοοῖτο παντελῶς ἠμοιρηκὼς ἁμαρτίας,

ἤτοι τοῦ δύνασθαι πλημμελεῖν· ὑπομεμένηκεν οὖν ἄρα καὶ τροπὴν εἰς τὰ ἀμείνω τυχὸν ὁ Λόγος. πῶς οὖν ὁ αὐτός ἐστι, καὶ οὐκ ἠλλοίωται; καὶ εἰ Θεὸς ὢν ὁ Λόγος καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς, ἐχρίετό τε καὶ ἡγιάζετο; φαίη τίς ἂν ἴσως ἀπό γε τοῦ πράγματος εἰς ἐξιτήλους ἐννοίας ἀπενηνεγμένος, ὅτι τάχά που καὶ αὐτὸς ὁ Πατὴρ δέοιτ' ἂν ἁγιασμοῦ· μᾶλλον δὲ ἤδη καὶ μείζων αὐτοῦ πέφηνεν ὁ Υἱὸς, εἴ περ ἡγίασται μὲν αὐτὸς ἴσος ὢν αὐτοῦ, καὶ ἐν μορφῇ πρὸ ἁγιασμοῦ, ὁ δὲ ἀπομεμένηκεν ἐν οἷς ἦν ἀεὶ καὶ ἔστι καὶ ἔσται, οὔπω τὴν εἰς τὰ ἀμείνω λαβὼν ἐπίδοσιν, διά γε τοῦ ἡγιάσθαι καθ' ὁμοιότητα τοῦ Υἱοῦ· μείζων δὲ ἤδη καὶ ἀμφοῖν ὁρᾶται τὸ Πνεῦμα τὸ ἁγιάζον αὐτοὺς, εἴπέρ ἐστιν οὐκ ἐνδοιαστὸν "ὡς ἀπά- "σης ἀντιλογίας δίχα, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται." ἀλλ' ἔστι ταῦτα λῆρος καὶ τερθρεία καὶ ἀποπληξίας ἐγκλήματα· ἁγία γὰρ κατὰ φύσιν ἡ ὁμοούσιος Τριάς. οὐκοῦν ὅσον εἰς ἰδίαν φύσιν οὐχ ἡγίασται καταμόνας ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος. εἰ δὲ δή τις οἴοιτο τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον κεχρίσθαι τε καὶ ἡγιάσθαι μόνον, ταύτῃ τοι καὶ ὠνομάσθαι Χριστὸν, λεγέτω παρελθὼν εἰ ἀπόχρη τὸ χρίσμα πρὸς τὸ ἀποφῆναι τὸν χριόμενον ἰσοκλεᾶ καὶ ὁμόθρονον τῷ πάντων ἐπέκεινα Θεῷ. καὶ εἰ μὲν ἀπόχρη τὸ χρίσμα, καὶ τοῦτο ἐροῦσιν ὡς ἔστιν ἀληθὲς, κεχρίσμεθα καὶ ἡμεῖς, καὶ μαρτυρήσει λέγων ὁ θεσπέσιος Ἰωάννης, "καὶ ὑμεῖς "χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου." ἐσόμεθα οὖν ἐν ἴσῳ τάχα που καὶ ἡμεῖς αὐτοὶ τῷ Θεῷ, εἴργει δὲ οἶμαι παντελῶς οὐδὲν καὶ συνεδρεύειν αὐτῷ, καθάπερ ἀμέλει καὶ αὐτὸς ὁ Ἐμμανουήλ· εἴρηται γὰρ πρὸς αὐτὸν, "κάθου ἐκ δεξιῶν μου." προσκυνείτω καὶ ἡμᾶς ἡ τῶν ἄνω πνευμάτων ἁγία πληθύς. ἀλλ' ἡμεῖς μὲν, εἰ καὶ τῷ Ἁγίῳ κεχρίσμεθα Πνεύματι, τὴν μὲν τῆς υἱοθεσίας καταπλουτοῦμεν χάριν, κεκλήμεθα δὲ καὶ θεοὶ, τό γε μὴν τῆς ἑαυτῶν φύσεως μέτρον οὐκ ἠγνοήσαμεν· ἐσμὲν γὰρ ἐκ γῆς, καὶ τελοῦμεν οἰκέται· ὁ δέ ἐστιν, οὐκ ἐν οἷς ἡμεῖς, ἀλλὰ φύσει τε καὶ ἀληθείᾳ Θεὸς, καὶ τῶν ὅλων Κύριος καὶ ἐξ οὐρανοῦ· οὐ θεοποιηθεὶς κατὰ χάριν, Θεὸς δὲ μᾶλλον ἀληθινὸς, ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς δι' ἡμᾶς.

Ἀθανασίου. Ἴδετε δὲ καὶ ὑμεῖς Ἀρειανοὶ, καὶ ἐπίγνωτε, κἂν ἐντεῦθεν τὴν ἀλήθειαν· μετόχους τοῦ Κυρίου πάντας ἡμᾶς εἴρηκεν

ὁ ψάλλων. εἰ δὲ ἐξ οὐκ ὄντων ἦν καὶ τῶν γενητῶν εἷς, εἷς ἦν ἂν τῶν μετεχόντων καὶ αὐτὸς, ἐπειδὴ αὐτὸν μὲν Θεὸν αἰώνιον ὕμνησε λέγων, "ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα." τὰ δὲ ἄλλα πάντα μετέχειν αὐτοῦ δεδήλωκε. τί δεῖ νοεῖν; ἢ ὅτι τῶν μὲν γενητῶν ἄλλος ἐστὶ, τοῦ δὲ Πατρὸς μόνος ἐστὶ Λόγος ἀληθινὸς, ἀπαύγασμα καὶ σοφία, ἧς τὰ γενητὰ πάντα μετέχει, καὶ ἁγιάζεται παρ' αὐτοῦ τῷ Πνεύματι; καὶ ἐνταῦθα οὖν χριέται, οὐχ ἵνα Θεὸς γένηται, ἦν γὰρ ἀϊδίως βασιλεύων, εἰκὼν ὑπάρχων τοῦ Θεοῦ, ὡς τὸ λόγιον δείκνυσιν. ἀλλ' ὑπὲρ ἡμῶν πάλιν καὶ τοῦτο γέγραπται. οἱ μὲν γὰρ κατὰ τὸν Ἰσραὴλ βασιλεῖς ὅτε ἐχρίοντο, τότε βασιλεῖς ἐγίνοντο, οὐκ ὄντες πρότερον βασιλεῖς, ὡς Δαβὶδ, ὡς Ἐζεκίας, ὡς Ἰωσίας, ὡς οἱ ἄλλοι. ὁ δὲ Σωτὴρ τὸ ἔμπαλιν, Θεὸς ὢν καὶ τῇ βασιλείᾳ τοῦ Πατρὸς ἀεὶ βασιλεύων, τοῦ τε Πνεύματος τοῦ Ἁγίου αὐτὸς ὢν χορηγὸς μόνος, ὅμως λέγεται νῦν χρίεσθαι, ἵνα πάλιν ὡς ἄνθρωπος λεγόμενος τῷ Πνεύματι χρίεσθαι, ἡμῖν τοῖς ἀνθρώποις καθάπερ τῷ ὑψωθῆναι καὶ ἀναστῆναι, οὕτω καὶ τὴν τοῦ Πνεύματος ἐνοίκησιν καὶ οἰκειότητα κατασκευάσῃ. τοῦτο δὲ σημαίνων καὶ αὐτὸς ἔλεγεν, "ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν." τοῦτο γὰρ λέγων, ἔδειξεν ὅτι μὴ αὐτός ἐστιν ὁ ἁγιαζόμενος, ἀλλ' ὁ ἁγιάζων· οὐ γὰρ παρ' ἑτέρου ἁγιάζεται, ἀλλ' αὐτὸς ἑαυτὸν ἁγιάζει, ἵνα ἡμεῖς ἐν τῇ ἀληθείᾳ ἁγιασθῶμεν. ὁ δὲ ἑαυτὸν ἁγιάζων, Κύριος ἐστὶ τοῦ ἁγιάζειν. πῶς οὖν τοῦτο γίνεται; πῶς δὲ τοῦτο λέγει; ὅτι ἐγὼ Λόγος ὢν τοῦ Πατρὸς, αὐτὸς ἐμαυτῷ ἀνθρώπῳ γενομένῳ, δίδωμι τὸ Πνεῦμα, καὶ ἐμαυτὸν ἄνθρωπον γενόμενον, ἐν τούτῳ ἁγιάζω, ἵν' ἐμοὶ ἀληθείᾳ ὄντι, ἅπαντες ἁγιασθῶσιν. εἰ δὲ ἡμῶν χάριν ἑαυτὸν ἁγιάζει, καὶ τοῦτο ποιεῖ ὅτε γέγονεν ἄνθρωπος, εὔδηλον ὡς καὶ ἡ εἰς αὐτὸν ἐν τῷ Ἰορδάνῃ τοῦ Πνεύματος γενομένη κάθοδος, εἰς ἡμᾶς ἦν γινομένη, διὰ τὸ φρονεῖν αὐτὸν σῶμα· καὶ οὐκ ἐπὶ βελτιώσει γέγονε τοῦ Λόγου, ἀλλ' εἰς ἡμῶν ἁγιασμὸν, ἵνα τοῦ χρίσματος αὐτοῦ μεταλάβωμεν, καὶ περὶ ἡμῶν λεχθῇ, "οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστὲ, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ "ἐν ὑμῖν;" τοῦ γὰρ Κυρίου ὡς ἀνθρώπου λουομένου εἰς τὸν Ἰορδάνην, καὶ δεχομένου τὸ Πνεῦμα, ἡμεῖς ἐσμὲν οἱ παρ' αὐτοῦ γινόμενοι τούτου δεκτικοί.

Διὰ τοῦτο οὐδ᾽ ὥσπερ Ἀαρὼν ἢ Δαβὶδ, οὕτω καὶ αὐτὸς ἐλαίῳ κέχρισται, ἀλλὰ ἄλλως παρὰ πάντας τοὺς μετόχους αὐτοῦ “ἐλαίῳ “ἀγαλλιάσεως,” ὅπερ αὐτὸς ἑρμηνεύων εἶναι τὸ Πνεῦμα, διὰ τοῦ προφήτου φησὶ, “Πνεῦμα Κυρίου ἐπ᾽ ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με·” καθὼς ὁ Ἀπόστολος εἴρηκεν, “ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι “Ἁγίῳ.” πότε οὖν καὶ ταῦτα περὶ αὐτοῦ εἴρηται, ἢ ὅτε ἐν σαρκὶ γενόμενος ἐβαπτίζετο ἐν τῷ Ἰορδάνῃ, καὶ καταβέβηκεν ἐπ᾽ αὐτὸν τὸ Πνεῦμα; καὶ μὴν αὐτὸς ὁ Κύριος φησὶ, “τὸ Πνεῦμα ἐκ τοῦ “ἐμοῦ λήψεται, καὶ ἐγὼ αὐτὸ ἀποστελῶ,” καὶ “λάβετε Πνεῦμα “Ἅγιον” τοῖς μαθηταῖς ἔφη. καὶ ὅμως ἄλλοις παρέχων ὡς Λόγος καὶ ἀπαύγασμα τοῦ Πατρὸς, λέγεται νῦν ἁγιάζεσθαι, ἐπειδὴ γέγονεν ἄνθρωπος καὶ τὸ ἁγιαζόμενον σῶμα αὐτοῦ ἐστιν. ἐξ ἐκείνου γοῦν καὶ ἡμεῖς ἠρξάμεθα τοῦτο τὸ χρίσμα καὶ τὴν σφραγίδα λαμβάνειν, λέγοντος τοῦ μὲν Ἰωάννου, “καὶ ὑμεῖς χρίσμα ἔχετε “ἀπὸ τοῦ Ἁγίου·” τοῦ δὲ Παύλου, “καὶ ὑμεῖς ἐσφραγίσθητε “τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ.” οὐκοῦν δι᾽ ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἐστὶ τὸ λεγόμενον. ποία τοίνυν ἐκ τούτου προκοπὴ βελτιώσεως, καὶ μισθὸς ἀρετῆς ἢ ἁπλῶς πράξεως τοῦ Κυρίου δείκνυται; εἰ γὰρ ἐκ τοῦ μὴ εἶναι Θεὸς, Θεὸς ἐγεγόνει, εἰ μὴ βασιλεύων εἰς βασιλείαν προήγετο, εἶχεν ἂν ὑμῖν ὁ λόγος σκιάν τινα πιθανότητος. εἰ δὲ Θεός ἐστιν, καὶ ὁ θρόνος αὐτοῦ τῆς βασιλείας αἰώνιος ἐστὶ, ποῦ εἶχε προκόψαι Θεὸς, ἢ τί ἔλειπε τῷ ἐπὶ τὸν θρόνον καθημένῳ Πατρός;

Εἰ δὲ καὶ ὡς αὐτὸς ὁ Κύριος εἴρηκεν, αὐτοῦ ἐστὶ τὸ Πνεῦμα, καὶ ἐκ τοῦ αὐτοῦ λαμβάνει, καὶ αὐτὸς αὐτὸ ἀποστελεῖ, οὐκ ἄρα ὁ Λόγος ἐστὶν ὁ τῷ παρ᾽ αὐτοῦ διδομένῳ Πνεύματι χριόμενος, ἀλλ᾽ ἡ προσληφθεῖσα παρ᾽ αὐτοῦ σάρξ ἐστιν, ἡ ἐν αὐτῷ καὶ παρ᾽ αὐτοῦ χριομένη, ἵνα καὶ ὁ ἁγιασμὸς ὡς εἰς ἄνθρωπον τὸν Κύριον γενόμενος, εἰς πάντας ἀνθρώπους γένηται παρ᾽ αὐτοῦ· οὐ γὰρ ἀφ᾽ ἑαυτοῦ φησι τὸ Πνεῦμα λαλεῖ, ἀλλ᾽ ὁ Λόγος ἐστὶν ὁ τοῦτο διδοὺς τοῖς ἀξίοις. ὥσπερ δὲ ὁ Ἀπόστολος ἔγραψεν, “ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσεν,” οὕτως ὁ Δαβὶδ ὑμνεῖ τὸν Κύριον, αἰώνιον μὲν ὄντα Θεὸν καὶ βασιλέα, ἀποσταλέντα δὲ, προσλαβόντα τὸ ἡμέτερον σῶμα θνητὸν ὄν. τοῦτο γὰρ παρ᾽ αὐτοῦ σημαίνεται

ἐν τῷ ψάλλειν, " σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων " σου." παρὰ δὲ τοῦ Νικοδήμου καὶ τῶν περὶ Μαριὰμ, δείκνυται ὅτε ὁ μὲν ἦλθε φέρων μίγμα σμύρνης καὶ ἀλόης λίτρας ἑκατὸν, αἱ δὲ ἅπερ ἦσαν ἑτοιμάσασαι ἀρώματα εἰς τὸν ἐνταφιασμὸν τοῦ Κυρίου. ποία οὖν προκοπὴ τῷ ἀθανάτῳ προσλαβόντι τὸ θνητόν; ἢ ποία βελτίωσις τῷ αἰωνίῳ ἐνδυσαμένῳ τὸ πρόσκαιρον; ποῖος δὲ μισθὸς μείζων γένοιτ' ἂν Θεῷ αἰωνίῳ καὶ βασιλεῖ, καὶ ὄντι ἐν τοῖς κόλποις τοῦ Πατρός; ἆρ' οὐ θεωρεῖτε ὅτι καὶ τοῦτο δι' ἡμᾶς ὑπὲρ ἡμῶν γέγονε καὶ γέγραπται, ἵνα ἄνθρωπος γενόμενος ὁ Κύριος τῆς δόξης θνητοὺς ὄντας καὶ προσκαίρους ἡμᾶς, ἀθανάτους κατασκευάσῃ, καὶ εἰς τὴν αἰώνιον βασιλείαν τῶν οὐρανῶν εἰσάγῃ; ἆρ' οὐκ ἐρυθριᾶτε καταψευδόμενοι τῶν θείων λογίων; καὶ γὰρ τοῦ Χριστοῦ ἐπιδημήσαντος, ἡμεῖς μὲν ἐβελτιώθημεν ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας· αὐτὸς δὲ ὁ αὐτός ἐστι, καὶ οὐκ ἐπειδὴ γέγονεν ἄνθρωπος ἐτράπη, ἀλλὰ καθὼς γέγραπται, ὁ Λόγος τοῦ Θεοῦ διαμένει εἰς τὸν αἰῶνα· ἀμέλει, ὥσπερ πρὸ τῆς ἐνανθρωπίσεως Λόγος ὢν ἐχορήγει τοῖς ἀξίοις ὡς ἴδιον τὸ Πνεῦμα, οὕτω καὶ ἄνθρωπος γενόμενος, ἁγιάζει τοὺς πάντας τῷ Πνεύματι καὶ λέγει τοῖς μαθηταῖς " λάβετε Πνεῦμα Ἅγιον."

Οὐκοῦν " Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς " τοὺς αἰῶνας," μένων ἄτρεπτος, καὶ ὁ αὐτός ἐστι διδοὺς καὶ λαμβάνων· διδοὺς μὲν, ὡς Θεοῦ Λόγος, λαμβάνων δὲ ὡς ἄνθρωπος. οὐκ ἄρα ὁ Λόγος ἐστιν ᾗ Λόγος ἐστὶν ὁ βελτιούμενος, εἶχε γὰρ πάντα καὶ ἀεὶ ἔχει, ἀλλ' οἱ ἄνθρωποι εἰσὶν οἱ ἔχοντες τὸ λαμβάνειν ἐν αὐτῷ καὶ δι' αὐτοῦ. αὐτοῦ γὰρ νῦν ἀνθρωπίνως λεγομένου χρίεσθαι, ἡμεῖς ἐσμὲν οἱ ἐν αὐτῷ χριόμενοι, ὡς καὶ βαπτιζομένου, βαπτιζόμενοι. εἰ δὲ διὰ τὸ προσκεῖσθαι ἐν τῷ ψαλμῷ " διὰ τοῦτο " ἔχρισέ σε ὁ Θεὸς," ἐκ τῆς διὰ τοῦτο λέξεως πρόφασιν ἑαυτοῖς πάλιν εἰς ἃ βούλονται πορίζονται, γνώτωσαν οἱ τῶν γραφῶν ἀμαθεῖς καὶ τῆς ἀσεβείας ἐφευρεταὶ, ὅτι καὶ ἐνταῦθα τὸ " διὰ τοῦτο," οὐ μισθὸν ἀρετῆς ἢ πράξεως σημαίνει τοῦ Λόγου, ἀλλὰ τὸ αἴτιον τῆς εἰς ἡμᾶς αὐτοῦ καθόδου, καὶ τῆς ὑπὲρ ἡμῶν εἰς αὐτὸν γινομένης τοῦ Πνεύματος χρίσεως. οὐ γὰρ εἶπε " διὰ τοῦτο ἔχρισέ σε" ἵνα γένῃ Θεὸς ἢ βασιλεὺς ἢ Υἱός· ἦν γὰρ καὶ πρὸ τούτου καὶ

ἔστιν ἀεί· ἀλλὰ μᾶλλον ἐπειδὴ Θεὸς εἶ καὶ βασιλεὺς, διὰ τοῦτο ἐχρίσθης. ἐπεὶ οὐδὲ ἄλλου ἦν συνάψαι τὸν ἄνθρωπον τῷ Πνεύματι τῷ Ἁγίῳ ἢ σοῦ τῆς εἰκόνος τοῦ Πατρὸς, καθ' ἣν καὶ ἐξ ἀρχῆς γεγόναμεν· σοῦ γάρ ἐστι καὶ τὸ Πνεῦμα. τῶν μὲν γὰρ γενητῶν ἡ φύσις οὐκ ἔστιν ἀξιόπιστος εἰς τοῦτο· Ἀγγέλων μὲν παραβάντων, ἀνθρώπων δὲ παρακουσάντων. διὰ τοῦτο Θεοῦ χρεία ἦν. Θεὸς δέ ἐστιν ὁ Λόγος, ἵνα τοὺς ὑπὸ κατάραν γενομένους αὐτὸς ἐλευθερώσῃ. εἰ μὲν οὖν ἐξ οὐκ ὄντων ἦν, οὐδ' ἂν αὐτὸς ἦν ὁ Χριστός· εἷς ὢν πάντων, καὶ μέτοχος τυγχάνων καὶ αὐτός. ἐπειδὴ δὲ Θεός ἐστι καὶ Θεοῦ Υἱὸς, βασιλεύς τε ἀΐδιος, καὶ χαρακτὴρ τοῦ Πατρὸς, διὰ τοῦτο εἰκότως αὐτός ἐστιν ὁ προσδοκώμενος Κύριος, ὃν ὁ Πατὴρ ἀπέστειλε τοῖς ἀνθρώποις, ἀποκαλύπτων τοῖς ἁγίοις αὐτοῦ προφήταις, ἵνα ὥσπερ δι' αὐτοῦ γεγόναμεν, οὕτω καὶ ἐν αὐτῷ τῶν πάντων λύτρωσις ἀπὸ τῶν ἁμαρτιῶν γένηται, καὶ τὰ πάντα παρ' αὐτοῦ βασιλεύηται.

Καὶ αὕτη ἐστὶν ἡ αἰτία τῆς εἰς αὐτὸν γενομένης χρίσεως καὶ τῆς ἐνσάρκου παρουσίας τοῦ Λόγου· ἣν θεωρῶν ὁ ψαλμῳδὸς, τὴν μὲν θεότητα καὶ τὴν πατρικὴν βασιλείαν αὐτοῦ ὑμνῶν ἀναφωνεῖ, "ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα." τὴν δὲ εἰς ἡμᾶς αὐτοῦ κάθοδον ἀπαγγέλλων λέγει, "διὰ τοῦτο ἔχισέ σε ὁ Θεός." τί δὲ θαυμαστὸν εἰ ὁ τὸ Πνεῦμα διδοὺς Κύριος λέγεται νῦν αὐτὸς τῷ Πνεύματι χρίεσθαι; ὅπου γε χρείας ἀπαιτούσης, οὐ παρῃτήσατο διὰ τὸ ἀνθρώπινον αὐτοῦ εἰπεῖν ἑαυτὸν καὶ ἐλάττονα τοῦ Πνεύματος. τῶν γὰρ Ἰουδαίων λεγόντων ἐν Βεελζεβοὺλ ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια, μετὰ τὸ ἐλέγξαι αὐτοὺς βλασφημοῦντας, ἔφησεν· "εἰ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια." ἰδοὺ γὰρ ὁ τοῦ Πνεύματος δοτὴρ ἐν Πνεύματι νῦν λέγει ἐκβάλλειν ἑαυτὸν τὰ δαιμόνια. τοῦτο δὲ διὰ τὴν σάρκα εἶπεν, ὡς τῆς ἀνθρώπου φύσεως οὐκ οὔσης ἱκανῆς ἀφ' ἑαυτῆς ἐκβάλλειν τοὺς δαίμονας, εἰ μὴ δυνάμει τοῦ Πνεύματος. τοῖς μέν τοι μαθηταῖς τὴν μεγαλειότητα ἑαυτοῦ δεικνὺς ἐδίδου τὸ Πνεῦμα, καὶ ἔλεγεν, "ἐγὼ αὐτὸ "ἀποστέλλω, κἀκεῖνος ἐμὲ δοξάσει." ὡς οὖν τοῦ Πνεύματος δοτὴρ ὢν οὐ παραιτεῖται εἰπεῖν ἐν Πνεύματι ἐκβάλλειν τὰ δαιμόνια, ὡς ἄνθρωπος, οὕτως φησὶ, "Πνεῦμα Κυρίου ἐπ' ἐμὲ," διὰ τὸ γεγενῆσθαι σάρκα αὐτὸν, ἵνα δείξῃ ὅτι κατ' ἀμφότερα ἡμεῖς

ἐσμὲν οἱ ἐν τῷ ἁγιάζεσθαι δεόμενοι τῆς τοῦ Πνεύματος χάριτος, καὶ μὴ δυνάμενοι δαίμονας ἐκβάλλειν ἄνευ τῆς τοῦ Πνεύματος δυνάμεως. διὰ τίνος δὲ καὶ παρὰ τινὸς ἔδει τὸ Πνεῦμα δίδοσθαι, ἢ διὰ τοῦ Υἱοῦ, οὗ καὶ τὸ Πνεῦμά ἐστι; πότε δὲ λαμβάνειν ἡμεῖς ἐδυνάμεθα, εἰ μὴ ὅτε ὁ Λόγος γέγονεν ἄνθρωπος; καὶ ὥσπερ τὸ παρὰ τῷ Παύλῳ λεγόμενον δείκνυσιν ὅτι οὐκ ἂν ἐλυτρώθημεν, εἰ μὴ ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων ἔλαβε δούλου μορφὴν, οὕτως καὶ ὁ Δαβὶδ δείκνυσιν ὅτι οὐκ ἂν ἄλλως μετέσχομεν τοῦ Πνεύματος καὶ ἡγιάσθημεν, εἰ μὴ ὁ τοῦ Πνεύματος δοτὴρ, αὐτὸς ὁ Λόγος, ἔλεγεν ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ Πνεύματι χρίεσθαι. καὶ βεβαίως ἐλάβομεν αὐτοῦ χριομένου σαρκί· τῆς γὰρ ἐν αὐτῷ σαρκὸς πρώτης ἁγιασθείσης, καὶ αὐτοῦ λεγομένου δι' αὐτὴν εἰληφέναι, ὡς ἄνθρωποι ἡμεῖς ἐπακολουθοῦσαν ἔχομεν τὴν τοῦ Πνεύματος χάριν, ἐκ τοῦ πληρώματος αὐτοῦ λαμβάνοντες.

Τὸ δὲ "ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν," πρόκειται ἐν τῷ ψαλμῷ, οὐχ ὡς ὑμεῖς νοεῖτε, τρεπτὴν δεικνύον τοῦ Λόγου τὴν φύσιν, ἀλλ' ὁ τὸν Πατέρα νοήσας, αὐτόν τε ἐφ' ἑαυτοῦ ἐνόησε, καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο. ὁ δὲ τοῦτο λαβὼν, τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐκ ἀπεμέρισεν, ἀλλ' ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν, τῶν τριῶν κατὰ ταυτὸν συγκεκραμμένην ἐν ἑαυτῷ τὴν πίστιν ἀνετυπώσατο. καὶ ὁ τὸ Πνεῦμα μόνον εἰπὼν, συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ καὶ τὸν οὗ ἐστι τὸ Πνεῦμα. καὶ ἐπειδὴ τοῦ Χριστοῦ ἐστὶ τὸ Πνεῦμα καὶ ἐκ τοῦ Θεοῦ, καθώς φησι ὁ Παῦλος, ὥσπερ ἐξ ἁλύσεως, ὁ τοῦ ἑνὸς ἄκρου ἁψάμενος καὶ τὸ ἕτερον ἄκρον συνεπεσπάσατο· οὕτως ὁ τὸ Πνεῦμα ἑλκύσας, καθώς φησιν ὁ προφήτης, δι' αὐτοῦ καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα συνεφειλκύσατο. καὶ εἰ τὸν Υἱὸν ἀληθινῶς τίς λάβοι, ἕξει αὐτὸν ἑκατέρωθεν· πῆ μὲν τὸν ἑαυτοῦ Πατέρα, πῆ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενον· οὔτε γὰρ τοῦ Πατρὸς ὁ ἀεὶ ὢν ἐν τῷ Πατρὶ ὑποτμηθῆναι δυνήσεται, οὔτε τοῦ Πνεύματος ποτὲ διαζευχθήσεται τοῦ ἰδίου, ὁ πάντα ἐν αὐτῷ ἐνεργῶν. ὡσαύτως δὲ καὶ ὁ τὸν Πατέρα δεξάμενος, καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα συμπαρεδέξατο τῇ δυνάμει.

Οὐ γάρ ἐστιν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν κατ' οὐδένα τρόπον, ὡς ἢ Υἱὸν χωρὶς Πατρὸς νοηθῆναι, ἢ τὸ Πνεῦμα τοῦ Υἱοῦ δια-

ζευχθῆναι. ἀλλά τις ἄρρητος καὶ ἀκατανόητος ἐν τούτοις καταλαμβάνεται καὶ ἡ κοινωνία, καὶ ἡ διάκρισις· οὔτε τῆς τῶν ὑποστάσεων διαφορᾶς τὸ τῆς φύσεως συνεχὲς διασπώσης, οὔτε τῆς κατὰ τὴν οὐσίαν κοινότητος τὸ ἰδιάζον τῶν γνωρισμάτων ἀναχεούσης. μὴ θαυμάσῃς δὲ εἰ τὸ αὐτὸ καὶ συνημμένον καὶ διακεκριμμένον εἶναι φαμὲν, καί τινα ἐπινοοῦμεν ὥσπερ ἐν αἰνίγματι καινὴν καὶ παράδοξον διάκρισίν τε συνημμένην καὶ διακεκριμένην συνάφειαν. εἰ γὰρ μή τις ἐριστικῶς καὶ πρὸς ἐπήρειαν ἀκούοι τοῦ λόγου, καὶ ἐν τοῖς αἰσθητοῖς δυνατόν ἐστι τὸ τοιοῦτον εὑρεῖν. καί μου δέξασθε τὸν λόγον ὡς ὑπόδειγμα καὶ σκιὰν ἀληθείας, οὐχ ὡς αὐτὴν τὴν τῶν πραγμάτων ἀλήθειαν. οὐ γὰρ δυνατόν ἐστι διὰ πάντων ἐφαρμοσθῆναι τὸ ἐν τοῖς ὑποδείγμασι θεωρούμενον, τοῖς πρὸς ἃ ἡ τῶν ὑποδειγμάτων χρεία παραλαμβάνεται.

Πόθεν οὖν φαμεν τὸ διακεκριμένον ἅμα καὶ συμφυὲς ἐκ τῶν κατὰ τὴν αἴσθησιν ἡμῖν προφαινομένων ἀναλογίζεσθαι; ἤδη ποτὲ τοῦ ἐν τῇ νεφέλῃ τόξου τὴν λαμπηδόνα κατὰ τὸ ἔαρ τεθέασαι· ἐκεῖνο λέγω τὸ τόξον, ὅπερ ὁ κοινὸς λόγος Ἶριν εἴωθεν ὀνομάζειν, ὅ φασιν οἱ περὶ ταῦτα δεινοὶ τότε συνίστασθαι, ὅταν ἀνακεκραμμένη τίς ᾖ πρὸς τὸν ἀέρα νοτὶς, τῆς τῶν πνευμάτων βίας τὸ ἐν τοῖς ἀτμοῖς ὑγρὸν παχὺ καὶ νεφῶδες ἤδη γενόμενον, εἰς ὑετὸν ἀποθλιβούσης. συνίστασθαι δὲ λέγουσιν οὕτως. ἐπειδὰν ἡ τοῦ ἡλίου ἀκτὶς κατὰ τὸ πλάγιον ὑποδραμοῦσα, τὸ πυκνόν τε καὶ συνηρεφὲς τῆς πυκνώσεως, εἶτα κατὰ τὸ εὐθὺ νέφει τινὶ τὸν ἴδιον κύκλον ἐναπερίσηται, (sic) οἷόν τις καμπὴ καὶ ἐπάνοδος τοῦ φωτὸς πρὸς ἑαυτὸ γίνεται, τῆς αὐγῆς πρὸς τὸ ἔμπαλιν ἀπὸ τοῦ ὑγροῦ τε καὶ στίλβοντος ἀναλυούσης. ἐπειδὴ γὰρ φύσις ἐστὶ ταῖς φλογώδεσι μαρμαρυγαῖς, εἴ τινι λείῳ προσπέσοιεν, πρὸς ἑαυτὰς πάλιν ἐπανακλᾶσθαι· κυκλοτερὲς δὲ τοῦτο τὸ σχῆμα διὰ τῆς ἀκτῖνος ἐν τῷ ὑγρῷ τε καὶ λείῳ τοῦ ἀέρος γινόμενον· ἐξ ἀνάγκης κατὰ τὸ σχῆμα τοῦ ἡλιακοῦ κύκλου καὶ ὁ παρακείμενος τῷ νέφει ἀὴρ, διὰ τῆς ἀποστιλβούσης αὐγῆς περιγράφεται. αὕτη τοίνυν ἡ αὐγὴ, καὶ συνεχής ἐστι πρὸς ἑαυτὴν, καὶ διήρηται· πολύχρωμος γάρ τις οὖσα καὶ πολυειδὴς, ἀφανῶς τοῖς ποικίλοις ἄνθεσι τῆς βαφῆς πρὸς ἑαυτὴν κατακιρνᾶται, τῶν ἑτεροχροούντων τὴν πρὸς ἄλληλα συμβολὴν ἐκ τῶν ὄψεων ἡμῶν κατὰ τὸ λεληθὸς ὑποκλέπτουσα· ὡς μὴ

ἂν ἐπιγνωσθῆναι τοῦ γλαυκοῦ πρὸς τὸ πυραυγὲς τὸν διὰ μέσου τόπον, τὸν μιγνύοντα δι' αὐτοῦ καὶ χωρίζοντα τὴν τῶν χροῶν ἑτερότητα, ἢ τοῦ πυραυγοῦς πρὸς τὸ πορφύρεον, ἢ ἐκείνου πρὸς τὸ ἠλέκτρινον. πάντων γὰρ αἱ αὐγαὶ κατ' αὐτὸν ὁρώμεναι, καὶ τηλαυγεῖς εἰσὶ, καὶ τῆς πρὸς ἀλλήλους συναφείας τὰ σημεῖα κλέπτουσαι, τοὺς ἐλέγχους ἐκφεύγουσιν· ὡς ἀμήχανον ἐξευρεῖν μέχρι τίνος ἕστηκε τὸ πυρῶδες ἢ τὸ σμαραγδίζον τῆς αἴγλης, καὶ ἀπὸ τίνος ἄρχεται μηκέτι τοιοῦτον εἶναι, οἷον ἐν τῷ τηλαυγεῖ καθορᾶται.

Ὥσπερ τοίνυν ἐν τῷ ὑποδείγματι καὶ τὰς τῶν χρωμάτων διαφορὰς φανερῶς διαγινώσκομεν, καὶ διάστασιν ἑτέρου πρὸς τὸ ἕτερον οὐκ ἔστι τῇ αἰσθήσει καταλαβεῖν, οὕτω μοι λόγισαι δυνατὸν εἶναι καὶ περὶ τῶν θείων δογμάτων ἀναλογίσασθαι· τὰς μὲν τῶν ὑποστάσεων ἰδιότητας ὥσπέρ τι ἄνθος τῶν κατὰ τὴν ἶριν φαινομένων ἐπαστράπτειν ἑκάστῳ, τῶν ἐν τῇ Ἁγίᾳ Τριάδι πιστευομένων· τῆς δὲ κατὰ τὴν φύσιν ἰδιότητος μηδὲ μίαν ἑτέρου πρὸς τὸ ἕτερον ἐπινοεῖσθαι διαφορὰν, ἀλλ' ἐν τῇ κοινότητι τῆς οὐσίας τὰς γνωστικὰς ἰδιότητας ἐπιλάμπειν ἑκάστῳ. καὶ γὰρ κᾀκεῖ ἐν τῷ ὑποδείγματι ἡ ἀπαυγάζουσα τὴν πολύχρωμον ἐκείνην αὐγὴν, μία οὐσία ἦν, ἡ διὰ τῆς ἡλιακῆς ἀκτῖνος ἀνακλωμένη, τὸ δὲ ἄνθος τοῦ φαινομένου πολυειδές· παιδεύοντος ἡμᾶς τοῦ λόγου καὶ διὰ τῆς κτίσεως μὴ κενοπαθεῖν τοῖς περὶ τοῦ δόγματος λόγοις, ὅταν εἰς τὸ δυσθεώρητον ἐμπεσόντες, πρὸς τὴν τῶν λεγομένων συγκατάθεσιν ἰλιγγιάσωμεν. ὥσπερ γὰρ ἐπὶ τῶν τοῖς ὀφθαλμοῖς φαινομένων, κρείττων ἐφάνη τοῦ λόγου τῆς αἰτίας ἡ πεῖρα, οὕτω καὶ τῶν ὑπεραναβεβηκότων δογμάτων κρείττων ἐστὶ τῆς διὰ λογισμῶν καταλήψεως ἡ πίστις, καὶ τὸ κεχωρισμένον ἐν ὑποστάσει, καὶ τὸ συνημμένον ἐν τῇ οὐσίᾳ διδάσκουσα. ἐπεὶ οὖν τὸ μὲν κοινὸν ἐν τῇ Ἁγίᾳ Τριάδι, τὸ δὲ ἰδιάζον, ὁ λόγος ἐθεώρησεν, ὁ μὲν τῆς κοινότητος λόγος, εἰς τὴν οὐσίαν ἀνάγεται. ἡ δὲ ὑπόστασις τὸ ἰδιάζον ἑκάστου σημεῖόν ἐστίν.

Ἀλλ' ἴσως οἴεταί τις μὴ σημαίνειν τὸν ἀποδοθέντα περὶ τῆς ὑποστάσεως λόγον τῇ διανοίᾳ τῆς τοῦ Ἀποστόλου γραφῆς, ἐν οἷς φησι περὶ τοῦ Κυρίου, "ὅτι ἀπαύγασμα τῆς δόξης αὐτοῦ καὶ χαρα-"κτὴρ τῆς ὑποστάσεως." εἰ γὰρ ὑπόστασιν ἀποδεδώκαμεν εἶναι τὴν συνδρομὴν τῶν περὶ ἕκαστον ἰδιωμάτων, ὁμολογεῖται δὲ ὥσπερ ἐπὶ

τοῦ Πατρὸς αὐτοῦ, ὅτι τὸ ἰδιαζόντως ἐπιθεωρούμενον, δι' οὗ μόνος ἐπιγινώσκεται, κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τοῦ μονογενοῦς τὸ ἴσον πιστεύεται, πῶς ἐνταῦθα τὸ τῆς ὑποστάσεως ὄνομα τῷ Πατρὶ μόνῳ προσμαρτυρεῖ ἡ γραφὴ, τὸν δὲ υἱὸν, μορφὴν λέγει τῆς ὑποστάσεως, οὐκ ἐν ἰδίοις, ἀλλ' ἐν τοῖς τοῦ Πατρὸς γνωρίσμασι χαρακτηριζόμενον; εἰ γὰρ ἡ ὑπόστασις τῆς ἑκάστου ὑπάρξεως σημεῖον ἐστὶ, τοῦ δὲ Πατρὸς ἴδιον τὸ ἀγεννήτως αὐτῷ ὁμολογεῖται, μεμόρφωται δὲ ὁ Υἱὸς τοῖς τοῦ Πατρὸς ἰδιώμασιν, ἄρα οὐκ ἔτι διαμένει τῷ Πατρὶ κατ' ἐξαίρετον ἐπ' αὐτοῦ μόνου τὸ ἀγέννητον λέγεσθαι, εἴπερ τῷ ἰδιάζοντι τοῦ Πατρὸς καὶ ἡ τοῦ μονογενοῦς χαρακτηρίζεται ὕπαρξις.

Ἀλλ' ἡμεῖς τοῦτο φαμὲν, ὅτι ἕτερον πληροῖ σκοπὸν ἐνταῦθα τῷ Ἀποστόλῳ ὁ λόγος, πρὸς ὃν βλέπων ταύταις ἐχρήσατο ταῖς φωναῖς, δόξης ἀπαύγασμα λέγων καὶ χαρακτῆρα τῆς ὑποστάσεως· ὅν περ ὁ ἀκριβῶς νοήσας, οὐδὲν εὑρήσει τοῖς παρ' ἡμῶν εἰρημένοις μαχόμενον, ἀλλ' ἐπί τινος ἰδιαζούσης ἐννοίας τὸν λόγον διεξαγόμενον. οὐ γὰρ ὅπως διακριθεῖεν ἀπ' ἀλλήλων αἱ ὑποστάσεις διὰ τῶν ἐπιφαινομένων σημείων ὁ ἀποστολικὸς πραγματεύεται λόγος, ἀλλ' ὅπως τὸ γνήσιόν τε καὶ ἀδιάστατον καὶ συνημμένον τῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα σχέσεως νοηθείη. ὡς γὰρ οὐκ εἶπεν, ὃς ὢν δόξα τοῦ Πατρὸς, καίτοιγε τὸ ἀληθὲς οὕτως ἔχει, ἀλλὰ τοῦτο παραλιπὼν ὡς ὁμολογούμενον, τὸ μὴ ἄλλό τι δόξης εἶδος ἐπὶ τοῦ Πατρὸς καὶ ἕτερον ἐπὶ τοῦ Υἱοῦ νοεῖν διδάσκων, αὐτῆς τῆς τοῦ Πατρὸς δόξης ἀπαύγασμα τὴν τοῦ μονογενοῦς διορίζεται δόξαν, τῷ ἀδιαστάτως συνεπινοεῖσθαι τῷ Πατρὶ τὸν Υἱὸν κατασκευάζων ἐκ τοῦ κατὰ τὸ φῶς ὑποδείγματος· ὡς γὰρ ἐκ τῆς φλογὸς μὲν ἡ αὐγὴ, οὐ μὴν ἑτέρα μετὰ τὴν φλόγα ἐστὶν ἡ αὐγὴ, ἀλλ' ὁμοῦ τε ἡ φλὸξ ἀνέλαμψε, καὶ συναπηυγάσθη τὸ φῶς, οὕτω βούλεται καὶ ἐκ τοῦ Πατρὸς μὲν τὸν Υἱὸν νοεῖσθαι, οὐ μὴν παρατάσει τινὶ διαστηματικῇ τῆς τοῦ Πατρὸς ὑπάρξεως τὸν μονογενῆ διορίζεσθαι, ἀλλ' ἀεὶ τῷ αἰτίῳ τὸ ἐξ αὐτοῦ συναπολαμβάνειν.

Κατὰ τὸν αὐτὸν οὖν τρόπον ὥσπερ ἐφερμηνεύων τὸν προαποδοθέντα νοῦν, καὶ ὑποστάσεως χαρακτῆρα φησὶν, τοῖς σωματικοῖς

ἡμᾶς ὑποδείγμασι πρὸς τὴν τῶν ἀοράτων χειραγωγῶν κατανόησιν. ὡς γὰρ τὸ σῶμα πάντως ἐστὶν ἐν σχήματι, ἀλλ' ἕτερος μὲν ὁ τοῦ σχήματος, ἕτερος δὲ ὁ τοῦ σώματος λόγος, καὶ οὐκ ἄν τις ἀποδιδοὺς τὸν ἑκατέρου τούτων ὁρισμὸν συνενεχθείη τῷ περὶ τοῦ ἑτέρου. πλὴν ἀλλὰ κἂν λόγῳ διακρίνῃς τὸ σχῆμα τοῦ σώματος, ἡ φύσις οὐ παραδέχεται τὴν διάκρισιν, ἀλλὰ συνημμένως νοεῖται μετὰ τοῦ ἑτέρου τὸ ἕτερον· οὕτως οἴεται δεῖν ὁ Ἀπόστολος, κἂν ὁ τῆς πίστεως λόγος ἀσύγχυτον καὶ διῃρημένην τὴν τῶν ὑποστάσεων διδάσκει διαφορὰν, ἀλλὰ καὶ τὸ προσεχὲς καὶ οἱονεὶ συμφυὲς τοῦ μονογενοῦς πρὸς τὸν Πατέρα διὰ τῶν εἰρημένων παρίστησιν, οὐχ ὡς οὐκ ὄντος ἐν ὑποστάσει καὶ τοῦ μονογενοῦς, ἀλλ' ὡς οὐ παραδεχομένου μεσότητά τινα τῆς ἑαυτοῦ πρὸς τὸν Πατέρα ἑνώσεως· ὥστε τὸν τῷ χαρακτῆρι τοῦ μονογενοῦς διὰ τῶν τῆς ψυχῆς ὀμμάτων ἐνατενήσαντα, καὶ τῆς τοῦ Πατρὸς ὑποστάσεως ἐν περινοίᾳ γενέσθαι οὐκ ἐπαλλασσομένης, οὐδὲ συνεπιμιγνυμένης τῆς ἐπιθεωρουμένης αὐτοῖς ἰδιότητος, ὡς ἢ τῷ Πατρὶ τὴν γέννησιν, ἢ τῷ Υἱῷ τὴν ἀγεννησίαν ἐπιμορφάζειν· ἀλλ' ὡς οὐκ ἐνδεχόμενον τὸ ἕτερον τοῦ ἑτέρου διαζεύξαντα, ἐφ' ἑαυτοῦ μόνον καταλαβεῖν τὸ λειπόμενον. οὐ γάρ ἐστι δυνατὸν Υἱὸν ὀνομάσαντα, μὴ καὶ Πατρὸς ἐν περινοίᾳ γενέσθαι. σχετικῶς τῆς προσηγορίας ταύτης καὶ τὸν Πατέρα συμφαινούσης.

Ἐπειδὴ τοίνυν ὁ ἑωρακὼς τὸν Υἱὸν ὁρᾷ τὸν Πατέρα, καθώς φησιν ἐν εὐαγγελίοις ὁ Κύριος, διὰ τοῦτο χαρακτῆρα φησὶ τὸν μονογενῆ τῆς τοῦ Πατρὸς ὑποστάσεως. καὶ ὡς ἂν μᾶλλον ἐπιγνωσθείη τὸ ὄνομα, καὶ ἄλλας συμπαραληψόμεθα τοῦ Ἀποστόλου φωνὰς, ἐν αἷς εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου καὶ τῆς ἀγαθότητος αὐτοῦ πάλιν εἰκόνα φησίν· οὐχὶ τῷ διαφέρειν τοῦ ἀρχετύπου τὴν εἰκόνα, κατὰ τὸν τῆς ἀορασίας καὶ ἀγαθότητος λόγον, ἀλλ' ἵνα δειχθῇ ὅτι ταυτὸν τῷ πρωτοτύπῳ ἐστὶ, κἂν ἕτερον ᾖν· οὐ γὰρ ἂν ὁ τῆς εἰκόνος διασωθείη λόγος, εἰ μὴ διὰ πάντων τὸ ἐναργὲς ἔχοι καὶ ἀπαράλλακτον. οὐκοῦν ὁ τὸ τῆς εἰκόνος κατανοήσας κάλλος, ἐν περινοίᾳ τοῦ ἀρχετύπου γίνεται· καὶ ὁ τοῦ Υἱοῦ τὴν οἱονεὶ μορφὴν τῇ διανοίᾳ λαβὼν, τῆς πατρικῆς ὑποστάσεως τὸν χαρακτῆρα ἐνετυπώσατο, βλέπων διὰ τούτου ἐκεῖνον, οὐ τὴν ἀγεννησίαν τοῦ

Πατρὸς ἐν τῷ ἀπεικονίσματι βλέπων· ἢ γὰρ ἂν διόλου ταυτὸν ἦν καὶ οὐχ ἕτερον, ἀλλὰ τὸ ἀγέννητον κάλλος ἐν τῷ γεννητῷ κατοπτεύσας· ὥσπερ ὁ ἐν τῷ καθαρῷ κατόπτρῳ τὴν γενομένην τῆς μορφῆς ἔμφασιν κατανοήσας, ἐναργῆ τοῦ ἀπεικονισθέντος προσώπου τὴν γνῶσιν ἔσχεν. οὕτως ὁ τὸν Υἱὸν ἐπιγνοὺς τὸν χαρακτῆρα τῆς πατρικῆς ὑποστάσεως διὰ τῆς τοῦ Υἱοῦ γνώσεως ἐν τῇ καρδίᾳ ἐδέξατο. πάντα γὰρ τὰ τοῦ Πατρὸς ἐν τῷ Υἱῷ καθορᾶται, καὶ πάντα τὰ τοῦ Υἱοῦ τοῦ Πατρός ἐστιν. ἐπειδὴ καὶ ὅλος ὁ Υἱὸς ἐν τῷ Πατρὶ μένει, καὶ ὅλον ἔχει πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα. ὥστε ἡ τοῦ Υἱοῦ ὑπόστασις ἐν τῇ τοῦ Υἱοῦ μορφῇ ἐπιγινώσκεται· μενούσης τῆς ἐπιθεωρουμένης αὐτοῖς ἰδιότητος εἰς διάκρισιν ἐναργῆ τῶν ὑποστάσεων.

Γρηγορίου Νύσσης. Καί γε τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογήσαντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα. εἰπόντες γὰρ αἴτιον καὶ αἰτιατὸν, ἐδείξαμεν τὸ μήτε τὸν Υἱὸν ἀγέννητον εἶναι, μήτε τὸν Πατέρα γεννητόν. ὥσπερ δὲ καὶ τὸ ἐκ τοῦ λύχνου φῶς καὶ ἐκ τῆς φύσεως ἐστὶ τοῦ ἀπαυγάζοντος, καὶ μετ' ἐκείνου ἐστίν. ὁμοῦ τε γὰρ ἐξεφάνει ὁ λύχνος, καὶ τὸ φῶς τὸ ἐξ αὐτοῦ συνεξέλαμψεν· οὕτως ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ οὐδέποτε χωρίζεται τοῦ Υἱοῦ ὁ Πατήρ. οὐκ ἐγχωρεῖ γὰρ ἀλαμπῆ αὐτοῦ τὴν θεότητα.

Ἰσιδώρου. Οὐδὲ πρεσβυτέρα ἡ ὕπαρξις τοῦ Πατρὸς τῆς τοῦ Υἱοῦ· διὸ καὶ Παῦλον ἀπαύγασμα τῆς δόξης καὶ χαρακτῆρα τῆς πατρικῆς ὑποστάσεως τὸν Υἱὸν αὐτοῦ ὡρίσατο. διὰ μὲν τοῦ πρώτου, τὸ συναΐδιον, διὰ δὲ τοῦ δευτέρου παραδείγματος, τὸ ἐνυπόστατον μηνύων.

Χρυσοστόμου ἐκ τοῦ κατὰ Ἰωάννην. Τὸ γὰρ ἀπαύγασμα συνεπινοεῖται τῇ φύσει ἧς ἐστιν ἀπαύγασμα. διὰ τοῦτο καὶ Παῦλος οὕτως αὐτὸν ἐκάλεσεν, ἵνα μηδὲν μέσον ὑποπτεύσῃς Πατρὸς καὶ Υἱοῦ. ἐπήγαγε δὲ ὅτι "καὶ χαρακτήρ ἐστι τῆς "ὑποστάσεως αὐτοῦ," ἵνα τὴν ἰδίαν ὑπόστασιν δηλώσῃ, καὶ τῆς αὐτῆς οὐσίας ὄντα αὐτὸν, ἧς ἐστι καὶ χαρακτήρ. καὶ ὥσπερ οὐκ ἔστιν ἐν μέσῳ κύκλου καὶ τῆς ἀκτῖνος διαίρεσιν εὑρέσθαι, διὰ τὸ ἀπαθὲς καὶ ἀσώματον, ἁπλοῦν τε καὶ ἀμερὲς, ἀλλ' ἡ μὲν ἀκτὶς συνῆπται τῷ κύκλῳ, τοὔμπαλιν δὲ ὁ κύκλος, οἷόν

τις ὀφθαλμὸς ποταμηδὸν ἐπιχεῖ τῷ παντὶ τὰς ἀκτῖνας, οὕτως οἱονεί τινες τοῦ Πατρὸς ἀκτῖνες ἐφ' ἡμᾶς ἀπεστάλησαν, ὅ τε φεγγώδης Ἰησοῦς, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ ὥσπερ αἱ τοῦ φωτὸς ἀκτῖνες ἀμέριστον ἔχουσαι κατὰ φύσιν τὴν πρὸς ἄλληλα σχέσιν, οὔτε τοῦ φωτὸς χωρίζονται, οὔτε ἀλλήλων ἀποτέμνονται, καὶ μέχρις ἡμῶν τὴν χάριν τοῦ φωτὸς ἀποστέλλουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ Σωτὴρ ὁ ἡμέτερος καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἡ δίδυμος τοῦ Πνεύματος ἀκτὶς, καὶ μέχρις ἡμῶν διακονεῖται τῆς ἀληθείας τὸ φῶς καὶ τῷ Πατρὶ συνήνωται. ὃν τρόπον δὲ καὶ ἐπί τινος ὑδάτων πηγῆς συμβαίνει ῥεῖθρόν τι ἀκατάσχετον εἰς ποταμοὺς δύο τῷ ῥεύματι τέμνεσθαι, μίαν ἐξ ἑνὸς ὀφθαλμοῦ τῆς πηγῆς τὴν ῥοὴν ἐξ ἀρχῆς ἐσχηκὸς, βλαβὲν δὲ ὅμως οὐδὲν εἰς τὴν οὐσίαν ἐκ τῆς διαιρέσεως· τῇ μὲν γὰρ τῶν ποταμῶν θέσει τὸ ῥεῖθρον διήρηται, τὴν δὲ τοῦ χυμοῦ ποιότητα μίαν καὶ τὴν αὐτὴν κέκτηται· παραπλησίως καὶ ὁ Θεὸς καὶ Πατὴρ, δίρρυτόν τινα τοῦ τε Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος τὴν νοητὴν εἰς ἡμᾶς ἀποστείλας χάριν, οὔτ' αὐτός τι πέπονθεν εἰς τὴν οὐσίαν βλαβείς· οὐ γὰρ μείωσιν ὑπέστη τινὰ διὰ τὴν εἰς ἡμᾶς ἐκείνων ἄφιξιν, καὶ μέχρις ἡμῶν προσεχώρησαν, καὶ τοῦ Πατρὸς οὐδὲν ἧττον ἀχώριστοι καθεστήκασιν. ἀμερὴς γὰρ ἡ τῶν νοητῶν καὶ κρειττόνων φύσις. καὶ ταῦτά γε τίθημι τὰ ὑποδείγματα, οὐκ ἀγνοῶν ὅτι μηδεμία εἰκὼν φθάνει πρὸς τὴν ἀλήθειαν.

Ἐκ τοῦ περὶ Πνεύματος. Ὡς ἔγωγε πολλὰ διασκεψάμενος πρὸς ἐμαυτὸν τῇ φιλοπραγμοσύνῃ τοῦ νοῦ, καὶ πανταχόθεν τὸν λόγον εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοῦ τοσούτου πράγματος, οὐκ ἔσχον ᾧ τινι χρὴ τῶν κάτω τὴν θείαν φύσιν παραβαλεῖν. κἂν γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει τὸ πλεῖον ἀφέν με κάτω μετὰ τοῦ ὑποδείγματος. ὀφθαλμόν τινα καὶ πηγὴν καὶ ποταμὸν ἐνόησα, καὶ γὰρ ἄλλοι, μὴ τῷ μὲν ὁ Πατὴρ, τῇ δὲ ὁ Υἱὸς, τῷ δὲ τὸ Πνεῦμα τὸ Ἅγιον ἀναλόγως ἔχῃ. ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέρρηκται τῇ συνεχείᾳ· καὶ δοκεῖ πως τρισὶν ἰδιότησι τέμνεσθαι. ἀλλ' ἔδεισα πρῶτον μὲν ῥύσιν τινὰ θεότητος παραδέξασθαι, στάσιν οὐκ ἔχουσαν· δεύτερον δὲ μὴ τὸ ἐν τῷ ἀριθμῷ διὰ τῆς εἰκασίας ταύτης εἰσάγηται. ὀφθαλμὸς γὰρ καὶ πηγὴ καὶ ποταμὸς ἕν ἐστι τῷ ἀριθμῷ διαφόρως σχηματιζό-

μενα. πάλιν ἥλιον ἐνεθυμήθην καὶ ἀκτῖνα καὶ φῶς, ἀλλὰ κἀνταῦθα δέος· πρῶτον μὲν μὴ σύνθεσίς τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου καὶ τῶν ἐν ἡλίῳ· δεύτερον δὲ, μὴ τὸν Πατέρα μὲν οὐσιώσωμεν, τἄλλα δὲ οὐχ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις Θεοῦ ποιήσωμεν ἐνυπαρχούσας οὐχ ὑφεστώσας. οὔτε γὰρ ἀκτὶς οὔτε φῶς ἄλλος ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόρροιαι καὶ ποιότητες οὐσιώδεις. καὶ ἅμα τὸ αὐτῷ καὶ μὴ αὐτῷ τῷ Θεῷ δῶμεν ἐν τούτοις, ὅσον ἐκ τοῦ ὑποδείγματος, ὃ καὶ τῶν εἰρημένων ἀτοπώτερον. ἤκουσα δέ τινος καὶ τοιοῦτον ὑπογράφοντος λόγον, μαρμαρυγήν τινα ἡλιακὴν τοίχῳ προσαστράπτουσαν, καὶ περιτρέπουσαν ἐξ ὑδάτων κινήσεως, ἣν ἀκτὶς ὑπολαβοῦσα διὰ τοῦ ἐν μέσῳ ἀέρος, εἶτα χεθεῖσα τῷ ἀντιτύπῳ, παλμὸς ἐγένετο καὶ παράδοξος· ἄττει γὰρ πολλαῖς καὶ πυκναῖς ταῖς κινήσεσιν, οὐχ ἓν οὖσα μᾶλλον ἢ πολλὰ, οὐδὲ πολλὰ μᾶλλον ἢ ἓν, τῷ τάχει τοῖς συνόλου καὶ τῆς διαστάσεως πρὶν ὄψει κρατηθῆναι διαδιδράσκουσα. ἀλλ' οὐδὲ τοῦτο πείθεσθαι δυνατὸν ἐμοί· δι' ἓν μὲν, ὅτι ἐκεῖ μὲν τὸ κινῆσαν καὶ πάνυ δῆλον· Θεοῦ δὲ οὐδὲν πρεσβύτερον, ἵν' ᾖ τὸ τοῦτον κεκινηκός. αὐτὸς μὲν γὰρ πάντων αἰτία, αἰτίαν δὲ πρεσβυτέραν οὐκ ἔχει· δεύτερον δὲ, ὅτι κἀνταῦθα τῶν αὐτῶν ὑπόνοια, συνθέσεως, χύσεως ἀστάτου, καὶ οὐ παγίας φύσεως, ὧν οὐδὲν ἐννοητέον περὶ θεότητος. καὶ ὅλως οὐδέν ἐστιν ὅ μοι τὴν διάνοιαν ἵστησιν, ἐπὶ τῶν ὑδάτων θεωροῦντι τὸ φανταζόμενον· πλὴν εἴ τις ἕν τι λαβὼν τῆς εἰκόνος, ὑπ' εὐγνωμοσύνης τὰ λοιπὰ ῥίψειε. τέλος οὖν ἔδοξέ μοι κράτιστον αὐτῷ τὰς μὲν εἰκόνας χαίρειν ἐᾶσαι, καὶ τὰς σκηνὰς, ὡς ἀπατηλὰς καὶ τῆς ἀληθείας πλεῖστον ἀποδεούσας· αὐτὸν δὲ τῆς εὐσεβεστέρας ἐννοίας ἐχόμενον, ἐπ' ὀλίγων ῥημάτων ἱστάμενον, ὁδηγῷ τῷ Πνεύματι χρώμενον ἣν ἐντεῦθεν συνόμιλον τὸν αἰῶνα τοῦτον διαπορεύεσθαι τέμνοντα.

Χρυσοστόμου. Καὶ πιστεύων ὅτι ὁ μονογενὴς, ἄναρχος μέν ἐστι, γεγεννημένος δὲ ἐκ τοῦ Πατρός· ἀπαύγασμα γάρ ἐστι, τὸ δὲ ἀπαύγασμα συνεπινοεῖται τῇ φύσει, ἧς ἐστιν ἀπαύγασμα. διὰ γὰρ τοῦτο αὐτὸν καὶ ὁ Παῦλος οὕτως ἐκάλεσε, καὶ τὸ ἐξ αὐτοῦ καὶ τὸ συναΐδιον παριστῶν, ἵνα μηδὲν μέσον ὑποπτεύσῃς Πατρὸς καὶ Υἱοῦ. τοῦτο μὲν οὖν τούτου δηλωτικὸν, τὸ δὲ ἐφεξῆς τοῦ προ-

τέρου παραδείγματος τὴν ὑφορμοῦσαν τοῖς ἀνοήτοις ἀτοπίαν διορθοῦται. μὴ γὰρ ἐπειδὴ ἀπαύγασμα, φησὶν, ἤκουσας, τῆς ἰδίας αὐτὸν ἀποστερῆσθαι νομίσεις ὑποστάσεως· ἀσεβὲς γὰρ τοῦτο, καὶ τῆς τῶν Σαβελλιανῶν καὶ τῶν ἀπὸ Μαρκέλλου μανίας. ἡμεῖς δὲ οὐχ οὕτως φαμὲν, ἀλλὰ καὶ ἐν ἰδίᾳ αὐτὸν αὐτοῦ ὑποστάσει. διὰ γὰρ τοῦτο εἰπὼν αὐτὸν "ἀπαύγασμα," ἐπήγαγεν, ὅτι "καὶ "χαρακτήρ ἐστι τῆς ὑποστασέως αὐτοῦ·" ἵνα τὴν ἰδίαν ὑπόστασιν δηλώσῃ, καὶ τῆς αὐτῆς οὐσίας ὄντα αὐτὸν, ἧς ἐστι καὶ χαρακτήρ. οὐ γὰρ ἀρκεῖ μιᾷ λέξει τὰ περὶ Θεοῦ παραστῆσαι δόγματα τοῖς ἀνθρώποις, ἀλλ' ἀγαπητὸν, ἂν πολλὰ συμφορήσαντες, ἐξ ἑκάστου τὸ πρέπον ἐπιλεξώμεθα.

Γρηγορίου Θεολόγου ἐκ τοῦ περὶ Υἱοῦ δευτέρου λόγου. Δοκεῖ γάρ μοι λέγεσθαι, Υἱὸς μὲν, ὅτι ταυτόν ἐστι τῷ Πατρὶ κατ' οὐσίαν, καὶ οὐκ ἐκείνῳ μόνον, ἀλλὰ κἀκεῖθεν· μονογενὴς δὲ, οὐχ ὅτι μόνος ἐκ μόνου καὶ μόνον, ἀλλ' ὅτι καὶ μονοτρόπως, οὐχ ὡς τὰ σώματα· Λόγος δὲ, ὅτι οὕτως ἔχει πρὸς τὸν Πατέρα, ὡς πρὸς νοῦν λόγος· οὐ μόνον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως, ἀλλὰ καὶ τὸ συναφὲς καὶ τὸ ἐξαγγελτικόν· εἰκὼν δὲ ὡς ὁμοούσιον, καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' ἐκ τούτου Πατήρ· αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου καὶ οὗ λέγεται.

Γρηγορίου Νύσσης κατὰ Ἀπολλιναρίου. Διὰ τοῦτο δὲ καὶ "δόξης ἀπαύγασμα καὶ χαρακτὴρ ὑποστάσεως." ὥσπερ γὰρ συγγενῶς ἔχει πρὸς τὸν ἥλιον ἡ ἀκτὶς, καὶ πρὸς τὸν λύχνον τὸ ἀπαυγαζόμενον φῶς, καὶ ὁ τοῦ ἀνθρώπου χαρακτὴρ ἀνθρωπίνην ὑπόστασιν δείκνυσιν, οὕτω καὶ τὸ παρὰ τῆς δόξης τοῦ Πατρὸς ἀπαυγασθὲν φῶς· οἵα γὰρ ἡ δόξα, τοιοῦτον δηλονότι καὶ τὸ ἀπαύγασμα· καὶ οἷος ὁ χαρακτὴρ, τοιαύτη πάντως καὶ ἡ ὑπόστασις. Ἀπολινάριος τὸν ἄνθρωπον αὐτοῦ λέγων τῆς τοῦ Θεοῦ δόξης ἀπαύγασμα, καὶ ἐν τῷ σαρκίνῳ Θεῷ, ὃν διὰ τῆς ματαιότητος τῶν λογισμῶν εἰδωλοποιήσας ἀνέπλασε, τὴν τοῦ Θεοῦ ὑπόστασιν χαρακτηρίζεσθαι, αὐτῆς τῆς κατὰ τοῦ Πατρὸς ἅπτεται βλασφημίας. πάντως γὰρ εἴπερ τὸ ἡμῖν φανὲν παρὰ τῆς δόξης τοῦ Πατρὸς ἀπηυγάσθη· καὶ ὁ χαρακτὴρ αὐτοῦ τῆς ὑποστάσεως σάρξ ἐστι, σαρκώδης ἐκ τοῦ ἀκολούθως καὶ ἡ τοῦ Πατρὸς φύσις κατα-

σκευάζεται. οὐ γὰρ ἂν εἴποι χαρακτηρίζεσθαι μὲν σώματι τὸ ἀσώματον, ἐκ δὲ τοῦ ἀοράτου τὸ ἀόρατον ἀπαυγάζεσθαι· ἀλλ' εἰ τοῦτο σῶμα, μηδὲ ἐκεῖνο πάντως ἀσώματον οἴεσθαι.

Βασιλείου ἀπὸ τῶν ἀντιρρητικῶν. Ἀκουέτωσαν δὲ καὶ οἱ λέγοντες ἦν ὅτε οὐκ ἦν ὁ Υἱός. εἰ ἀπαύγασμα παντὸς φωτὸς γεννᾶται μὲν ἐκ τοῦ φωτὸς, οὐ ποτὲ δὲ, ἀλλὰ ἀχρόνως καὶ συναϊδίως ἐκείνῳ· οὐ γάρ ἐστι φῶς χωρὶς ἀπαυγάσματος· καὶ ὁ Υἱὸς ἀπαύγασμα τυγχάνων, οὐ ποτὲ ἔσται, ἀλλὰ συναϊδίου φωτὸς ὄντως τοῦ Θεοῦ, ὡς Δαβὶδ φησιν, "ἐν τῷ φωτί σου ὀψόμεθα φῶς." καὶ Δανιὴλ, "καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστι." ναί φησιν, ἀλλὰ τάξει καὶ τοῖς ἐκ χρόνου πρεσβείοις, ὁ μέν ἐστι πρῶτος, ὁ δὲ δεύτερος. τίς ἡ ἀνάγκη, ἐφ' ὧν ἡ οὐσία κοινὴ τάξει τε ὑποβεβλῆσθαι ταῦτα καὶ χρόνοις αὐτῇ δευτέρα; οὐ γὰρ δυνατὸν τῇ ἀπ' αὐτοῦ εἰκόνι ἀχρόνως ἀπαυγασθείσῃ τὸν Θεὸν τῶν ὅλων ἐξ ἀϊδίου συνεῖναι καὶ μὴ χρόνου μόνον, αἰώνων δὲ πάντων ἐπέκεινα τὴν συνάφειαν ἔχειν. διὰ τοῦτο γὰρ ἀπαύγασμα εἴρηται, ἵνα τὸ συνημμένον νοῶμεν, καὶ "χαρακτὴρ τῆς ὑποστάσεως," ἵνα τὸ ὁμοούσιον ἐκμανθάνωμεν. οὐ μὴν ἀλλ' ἔστι τί καὶ τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ὡς ἐν τοῖς κατασκευάσμασι καὶ μαθήμασιν, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ. ἐν τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ· οὐ διαστήματι χωρίζοντες ἀπ' ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον. οὐκοῦν καὶ ἐπὶ τῆς θεολογίας, κατὰ μὲν τὴν τῶν αἰτίων πρὸς τὸ ἐξ αὐτῶν σχέσιν προτετάχθαι τοῦ Υἱοῦ τὸν Πατέρα φαμὲν, κατὰ δὲ τὴν τῆς φύσεως διαφορὰν οὐκέτι, οὐδὲ κατὰ τὴν τοῦ χρόνου ὑπεροχήν. ἢ οὕτω γε καὶ αὐτὸ τὸ, "τὸν Πατέρα αὐτοῦ τὸν Θεὸν," ἀθετήσωμεν, τῆς κατὰ τὴν οὐσίαν ἀλλοτριότητος τὴν φυσικὴν συνάφειαν ἀθετούσης.

Χρυσοστόμου ἐκ τοῦ κατὰ Ἰωάννην. Τί δὲ, εἰπέ μοι, οὐχ οἱ αἰῶνες διὰ τοῦ Υἱοῦ γεγόνασιν ἅπαντες; καὶ διάστημα ἅπαν; ἀνάγκη πᾶσα ὁμολογῆσαι τὸν μὴ παραπαίοντα. οὐκοῦν οὐ μέσον Πατρὸς, Υἱοῦ, καὶ Ἁγίου Πνεύματος. εἰ δὲ οὐδὲν ὕστερος, ἀλλὰ συναΐδιος· τὸ γὰρ πρὸ, καὶ μετὰ, χρόνου εἰσὶν ἔννοιαι δηλωτικαί. χωρὶς γὰρ αἰῶνος ἢ χρόνου, οὐκ ἂν δυνηθείη τίς ταῦτα νοῆσαι τὰ ῥή-

ματα. χρόνων δὲ καὶ αἰώνων ἀνώτερος ὁ Θεός. εἰ δὲ ὅλως τοῦ Υἱοῦ φῇς ἀρχὴν κατειληφέναι, ὅρα μὴ καὶ τὸν Πατέρα ὑπὸ ἀρχὴν ἀναγκασθῇς ἀγαγεῖν, πρεσβυτέραν μὲν, ἀρχὴν δὲ ὅμως. εἰπὲ γάρ μοι, οὐχ ὅρον τινὰ τιθεὶς τῷ Υἱῷ καὶ ἀρχὴν, οὕτω προϊὼν ἀπ' αὐτῆς ἐπὶ τὸ ἄνω προεῖναι τὸν Πατέρα λέγοις; εὔδηλον ὅτι· εἰπὲ οὖν μοι, πόσον ὁ Πατὴρ προϋπάρχει; ἄν τε γὰρ ὀλίγον, ἄντε πολὺ διάστημα εἴπῃς, ὑπὸ τὴν ἀρχὴν τὸν Πατέρα ἤγαγες. μετρήσας[q] γὰρ δηλονότι τὸ μέσον, οὕτως ὀλίγον ἐρεῖς ἢ πολὺ μέτρον δὲ, οὐκ ἂν γένηται, μὴ ἑκατέρωθεν οὔσης ἀρχῆς· ὥστε καὶ τῷ Πατρὶ δέδωκας ἀρχὴν, τό γε εἰς σὲ ἧκον· καὶ οὐκ ἔσται λοιπὸν ἄναρχος οὔτε ὁ Πατὴρ καθ' ὑμᾶς.

Ἀθανασίου ἐκ τοῦ κατὰ Ἀρειανῶν. Ἀλλὰ γὰρ πότε τίς εἶδε φῶς χωρὶς ἀπαυγάσματος; ἢ τίς τολμᾷ λέγειν ἀλλότριον αὐτοῦ τὸν χαρακτῆρα τῆς ὑποστάσεως; ἢ πῶς οὐ μαίνεται πλέον ὁ κἂν ἐνθυμούμενος ἄλογον καὶ ἄσοφον ποτὲ τὸν Θεόν; τοιαῦτα γὰρ τὰ παραδείγματα καὶ τοιαύτας εἰκόνας ἔθηκεν ἡ γραφὴ, ἵνα, ἐπειδὴ ἀδύνατός ἐστιν ἡ ἀνθρωπίνη φύσις περὶ Θεοῦ καταλαβεῖν, κἂν ἐκ τούτων ἀμυδρῶς ὡς ἐφικτὸν διανοεῖσθαι δυνηθῶμεν. καὶ ὥσπερ περὶ τοῦ αὐτοῦ Θεὸν καὶ πρόνοιαν αὐτάρκως ἡ κτίσις πρὸς τὴν γνῶσιν· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτίσεως κόσμου ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται, οὕτως περὶ τῆς τοῦ Υἱοῦ θεότητος ἱκανὰ τὰ προειρημένα ῥητά. ὁρῶμεν γὰρ τὸν Λόγον ἀεὶ ὄντα, καὶ ἐξ αὐτοῦ ὄντα καὶ τῆς οὐσίας ἴδιον, οὗ καὶ ἔστιν ὁ Λόγος, καὶ μὴ ἔχοντα τὸ πρότερον καὶ τὸ ὕστερον. ὁρῶμεν δὲ καὶ τὸ ἀπαύγασμα τοῦ ἡλίου, ἴδιόν τε ὂν αὐτοῦ, καὶ μὴ διαιρουμένην ἢ μειουμένην τὴν οὐσίαν τοῦ φωτὸς, ἀλλὰ γέννημα ἀληθινὸν καὶ ἐξ αὐτοῦ προϊόν. ὁρῶμεν καὶ τὸν Υἱὸν οὐκ ἔξωθεν, ἀλλ' ἐκ τοῦ Πατρὸς γεννώμενον. καὶ ὁλόκληρον μὲν ὄντα τὸν Πατέρα, τὸν δὲ χαρακτῆρα τῆς ὑποστάσεως ἀεὶ ὄντα, ἐμφέρειάν τε καὶ εἰκόνα ἀπαράλλακτον σώζοντα πρὸς τὸν Πατέρα· ὡς τὸν ἰδόντα τοῦτον ὁρᾷν ἐν αὐτῷ καὶ τὴν ὑπόστασιν, ἧς καὶ χαρακτήρ ἐστιν· ἔκ τε τῆς ἐνεργείας τοῦ χαρακτῆρος, διανοούμεθα ἀληθῶς τὴν τῆς ὑποστάσεως ἀληθῶς θεότητα. οὐκοῦν ἡ χριστομάχος αἵρεσις πειρασάτω πρότερον τὰ ἐν γενητοῖς παραδείγματα διελεῖν, καὶ εἰπεῖν εἴποτε ὁ ἥλιος χωρὶς

q Leg, ἐμέτρησας.

τοῦ ἀπαυγάσματος, ἢ ὅτι τοῦτο οὐκ ἔστιν ἴδιον τῆς τοῦ φωτὸς οὐσίας ἢ ἴδιον μέν ἐστι, κατὰ διαίρεσιν δὲ μέρος ἐστὶ τοῦτο τοῦ φωτὸς, καὶ πάλιν διελέτω τὸν λόγον, καὶ εἰπάτω τοῦτον ἀλλότριον αὐτοῦ τοῦ νοῦ. ἢ ὅτι ποτὲ οὐκ ἦν, ἢ οὐκ ἔστιν ἴδιος τῆς οὐσίας αὐτοῦ, ἢ ὅτι μέρος κατὰ διαίρεσιν οὗτος ἐστὶν ἐκείνου. εἰ δὲ ἐπὶ τούτων τῶν γενητῶν καὶ σωματικῶν ζώων εὑρίσκεται τὰ γεννήματα μὴ μέρη ὄντα τῶν οὐσιῶν ἐξ ὧν εἰσὶ, μηδὲ παθητικῶς ὑφιστάμενα, μηδὲ μειοῦντα τὰς οὐσίας τῶν γονέων, πῶς οὐ μαίνονται οἱ ἐπὶ τοῦ ἀσωμάτου καὶ ἀληθινοῦ Θεοῦ ὑπονοοῦντες μέρη, καὶ πάθη καὶ διαιρέσεις προσάπτοντες τῷ ἀπαθεῖ καὶ ἀναλλοιώτῳ Θεῷ, μηδὲ συνορῶντες ὅτι ἔνθα τὸ φῶς, ἐκεῖ καὶ τὸ ἀπαύγασμα, καὶ ἔνθα τὸ ἀπαύγασμα, ἐκεῖ καὶ ἡ τούτου ἐνέργεια καὶ αὐγοειδὴς χάρις;

. . . . . ΘΗ ΡΩΝ [q]. Καὶ ὅτι τὸ μερισμοὺς καὶ ἐλαττώσεις ὑπομένειν, αὔξην τε καὶ πληθυσμὸν, καὶ τὰς ἐν τῷ τίκτειν ἀπορροίας, σωμάτων ἴδιον. καὶ ὅτι ὥσπερ ὁ λόγος οὗτος ὁ προφορικὸς, ᾧ κεχρήμεθα, καὶ ἐκ νοῦ γεννᾶται καὶ δοκεῖ μὲν ἕτερος αὐτῷ παρὰ τὸν ἐν καρδίᾳ στρεφόμενον, καθὸ ἔξω στόματος γίνεται, πεμπόμενος ὥσπερ ἐκ βάθους εἰς φῶς, ἔστι δὲ πάλιν ἐν αὐτῷ καὶ ὅμοιος αὐτῷ κατὰ πάντα. ἔστι γὰρ ἰδεῖν ἐν τῷ λόγῳ τὸν ἐν καρδίᾳ κληθέντα λογισμὸν, καὶ πάλιν ἐν τῷ νῷ τὸν λόγον ἔτι σιωπώμενον. οὕτω καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, ἀμερίστως ἐκ Πατρὸς προελθὼν, χαρακτήρ ἐστι καὶ ὁμοίωμα τῆς ἀϊδιότητος αὐτοῦ, Λόγος ὢν ἐνυπόστατος καὶ ζῶν ἐκ ζῶντος Πατρός.

Πρὸς ταῦτα φασιν οἱ ἀπὸ Εὐνομίου, εἴπατε ἡμῖν οἱ ἀπαύγασμα λέγοντες αὐτοῦ τοῦ Πατρὸς τὸν Υἱὸν, τί ποτε ἄρα λογίζεσθε; ὁ δὲ τῆς ἐρωτήσεως τρόπος οὗτος, τὸ φῶς, ἤτοι τὸ πῦρ φέρε εἰπεῖν ἐν λύχνῳ κείμενον φωτίζει τὰ ἐκτὸς, ἀλλ' αὐτὸ μὲν, οὐ πάντα πληροῖ, κεῖται δὲ ἐν τόπῳ, καὶ περὶ τὰ ἐκτὸς ὁ ἐξ αὐτοῦ φωτισμὸς γίνεται. εἰ τοίνυν φῶς μὲν αὐτοῦ τὸν Πατέρα, ἐκ φωτὸς δὲ ἀπαύγασμα τὸν Υἱὸν, ἀνάγκη λέγειν τοῦ Πατρὸς τὴν οὐσίαν μὴ δύνασθαι τὰ πάντα πληροῦν, ἵνα τόπον ἔχει καὶ χωρῆσαί ποι δύναιτο τὸ ἐξ αὐτοῦ πεμπόμενον ἀπαύγασμα. εἰ δὲ πάντα πληροῖ ὁ Πατὴρ, ποῦ χωρήσει τοῦ γεννήματος ἡ οὐσία; ἡμεῖς δὲ ἀποκρινούμεθα· εἰ μὲν ἐν τόπῳ τίθησιν ὁ θεομάχος τὸν Πατέρα, καὶ

[q] Leg. Κυρίλλου ἐκ τῶν θησαυρῶν.

καθάπερ τί σῶμα χωρεῖσθαι βούλεται, ζητείτω καὶ τῷ γεννήματι τόπον. εἰ δὲ οὐκ ἐν τόπῳ τοῦ Πατρὸς ἡ οὐσία, οὐ γὰρ τόπῳ περιληπτὸν τὸ θεῖον, τί μάτην περιεργάζεται τὰ μηδεμίαν ἔχοντα ζήτησιν, καὶ τολμᾷ λέγειν, ποῦ χωρήσει τοῦ γεννήματος ἡ οὐσία, πληροῦντος τὰ πάντα τοῦ Πατρός; φαίνεται μὲν οὖν ὁ Πατὴρ, καὶ ἔστιν ἐν Υἱῷ, καὶ Υἱὸς ἐν Πατρί· οὐχ ὡς ταυτὸν δὲ ὄντες, οὐδὲ ὡς ἓν ἀριθμῷ. ἔστη γὰρ ὁ Πατὴρ ἐν τῇ αὐτοῦ ἰδιότητι, καὶ ἔστιν ὁ Υἱὸς ἐν τῇ ἰδίᾳ ἰδιότητι, ταύτην ἔχων μόνην πρὸς τὸν γεγεννηκότα τὴν διαφοράν. ὁ μὲν γὰρ Πατὴρ, καθ' ἑαυτόν ἐστι, καὶ οὐκ ἔστιν Υἱός. ὁ δὲ Υἱὸς, καθ' ἑαυτόν ἐστι, καὶ οὐκ ἔστι Πατὴρ, ἀλλὰ κατὰ τοῦτο μόνον ὡς πρὸς τὸν Πατέρα τὴν διαστολὴν ἔχων, φέρει μὲν αὐτὸ τῆς πατρικῆς φύσεως τὸ ἰδίωμα, ἔστι δὲ πάλιν ἐν τῷ Πατρὶ, ὥσπερ τὸ ἐκ τοῦ ἡλίου πεμπόμενον ἀπαύγασμα· πρόεισι μὲν ἐξ αὐτοῦ, ἕτερον δέ τι παρ' αὐτόν ἐστιν, ἓν κατὰ φύσιν ὑπάρχων. τὸ μὲν γὰρ ἥλιος, τὸ δὲ ἀπαύγασμα. ὧν οὖν Πατὴρ ὁ Πατὴρ, ἀπηύγασε τὸν Υἱὸν, σφραγῖδα καὶ εἰκόνα τῆς ἑαυτοῦ φύσεως ἀκριβεστάτην.

Ἐκ τοῦ[r] πρὸς Ἑρμείαν. Καὶ εἴπερ ἐστὶ Πατὴρ ὁ Θεὸς, οὐκ ἐν χρόνῳ, παντέλειος γὰρ, συνεισκρίνεταί που πάντως αὐτῷ καὶ ἡ τοῦ τεχθέντος δήλωσίς τε ὁμοῦ καὶ ὕπαρξις, οὐχ ὑστερίζουσα κατὰ χρόνον, οὔτε μὴν κατόπιν ἰοῦσα τῆς τοῦ τεκόντος δόξης, διὰ τὸ χρῆναι συνεπινοεῖσθαί τε καὶ συνυπάρχειν ἀεὶ, Υἱὸν μὲν Πατρὶ, Πατέρα δὲ Υἱῷ· εἰ καὶ ἔστι γεννητὸς ὡς ἐκ Πατρὸς κατὰ φύσιν. ἀπαύγασμα δὲ τῆς δόξης τοῦ Θεοῦ καὶ Πατρὸς ὀνομάζων τὸν Υἱὸν ὁ θεσπέσιος Παῦλος, καὶ μὴν ὅτι καὶ χαρακτήρ ἐστι τῆς ὑποστάσεως αὐτοῦ, κατασφραγιεῖ δή που τὸν ἀρτίως ἡμῖν γεγονότα λόγον. τὸ γὰρ ἀπό τινος ἐξηυγασμένον τουτὶ φῶς, τῆς ἀπαυγαζουσης οὐσίας αὐτὸ διακομίζει τοῖς ἔξω τὴν εἴδησιν, καὶ ταῖς δι' ὀμμάτων ἐγχρίπτον αἰσθήσεσι, τὸ τὶ κατὰ φύσιν ἐστὶν ἡ προϊεῖσά τε καὶ ἐξαστράπτουσα ῥίζα τὲ αὐτοῦ καὶ γνῶσις, ἐφῆκε νοεῖν.

Λαβέτω δὲ ὁ λόγος εἰς παράδειγμα τὴν ἡλίου φύσιν καὶ τὴν ἐξ αὐτοῦ προχεομένην αὐγήν. τί γὰρ κατὰ φύσιν ἐκεῖνος τὸ ἐξ

[r] Cod. ἐκ τοῦ πρὸς Ἑρμ. i. e. Cyrilli Λόγων πρ. Ἑρμ. vid. Fabr. Bibl. Gr. t. viii. p. 564.

αὐτοῦ προϊέμενον σέλας ἀποφήνειεν[s] ἄν, δίεσιν δὲ ὅλως, ἤτοι τομὴν καὶ ἀπορροὴν καὶ πάθος, οὐκ ἂν ἀνάσχοιτο ἡ ἡλίου φύσις. καί τοι χύσιν καὶ οὐσιωδῶς τὸ ἐξ αὐτῆς προϊεῖσα φῶς· ἀλλ' ἔστη μὲν ὁλοκληρία ἐν αὐτῷ, καὶ εἰ προχέοιτο τυχὸν, ἔχει δὲ αὖ ἐν ἑαυτῷ τὸ ἴδιον φῶς, οὐ ἀπορριζούμενον ἐν τῷ διαχεῖσθαι καὶ δοκεῖν πως ἤδη διὰ τούτου, καὶ εἰς ἰδικὴν ἑτερότητα δραμεῖν. ἀποδιελθὼν γὰρ ὁ λόγος ἥλιον μὲν ἀνὰ μέρος αὐτὸς καθ' αὑτὸν τὴν οὐσίαν, ὅτι ποτέ ἐστι φαντάζεται. τὸ δ' ἐν αὐτὸ τε καὶ ἐξ αὐτοῦ προχεόμενον φῶς, ἴδιον μὲν αὐτοῦ, πλὴν εἰς ἀμέτρητον ἑτερότητα, τὴν ὡς ἐν ψιλαῖς[t] καὶ μόναις ἐννοίαις εὖ μάλα διοικιεῖ, διὰ τὴν ἐξ αὐτοῦ πρὸς τὸ ἔξω πρόοδον. ὅτι δὲ γελοῖον ἂν εἴη, πρεσβυτέραν μὴν τὴν ἡλίου φαντάζεσθαι γένεσιν, ὑστερίζουσαν δὲ κἂν γοῦν τι βραχὺ τῆς ἐνούσης αὐτῷ φωτοειδοῦς ἐνεργείας τὴν δύναμιν, οὐκ ἂν οἰηθείην ἐνδοιάσειν ὅλως τὸν σωφρονοῦντα. ἴσον γὰρ ἥλιον μηδὲ αὐτοῦ λέγειν, εἰ μὴ συνυπάρχειν ἔχει, τὸ δι' οὗ νοεῖται τοῦθ' ὅπέρ ἐστιν. οὐκοῦν ἀνατύπωσιν ὥσπέρ τινα διαπεπλασμένην ὀρθῶς τῶν ἐν αἰσθήσει παραδειγμάτων λαβὼν τὴν δύναμιν, τὴν θείαν γέννησιν οὐ καταφθερεῖς, τομὰς ἐπ' αὐτῇ καὶ ἀπορροὴν καὶ πάθος ἀσυνέτως εἰσδεδεγμένος.

Ἐπὶ γάρ τοι τῆς ἀνωτάτω πασῶν οὐσίας ἀπαθὴς μὲν ἡ γέννησις, καὶ μὴν καὶ οὐσιώδης ἡ τοῦ γεννήματος ὕπαρξις, καὶ διατομῆς ἐλευθέρα, καὶ τῷ τεκόντι συνθέουσα, καὶ ἀπαραιτήτως συννοουμένη. τὸ γὰρ ἄναρχον ἐν χρόνῳ, μεμαρτύρηκε τῷ Υἱῷ καὶ ὁ σοφὸς Ἰωάννης λέγων, "Ἐν ἀρχῇ ἦν ὁ Λόγος." ἐπειδὴ δὲ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐκπέφηνεν ὁ Υἱὸς, ἐνυπάρχει μὲν αὐτὸς τῷ ἰδίῳ Πατρὶ, παραδείξειε δ' ἂν ἐν ἑαυτῷ διὰ ταυτότητος φυσικῆς, καὶ τὴν τοῦ γεγεννηκότος. νοηθείη δ' ἂν ὁ Πατὴρ οὐχ ἕτερος ἢ δι' Υἱοῦ τε καὶ ἐν Υἱῷ, ἐπείπερ ἐστὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, τὴν ὅθεν ἐξέφυ διαστείβων φύσιν ἐν ἰδίᾳ μορφῇ.

Γρηγορίου Νύσσης εἰς Σιμπλίκιον[u] περὶ πίστεως. Καὶ ὥσπερ τὸ ἐκ τοῦ λύχνου φῶς καὶ ἐκ τῆς φύσεώς ἐστι τοῦ ἀπαυγάζοντος, καὶ μετ' ἐκείνου ἐστὶν, ὁμοῦ τε γὰρ ἐξεφάνη ὁ λύχνος, καὶ τὸ φῶς τὸ ἐξ αὐτοῦ συνεξέλαμψεν, οὕτω καὶ ἐκ τοῦ Πατρὸς ὁ

[s] Cod. ἀποφείνειεν. [t] Cod. ψηλαῖς. [u] Cod. συμπλό. π. πίστ.

Υἱὸς, καὶ οὐδέποτε χωρὶς τοῦ Υἱοῦ ὁ Πατήρ· οὐκ ἐγχωρεῖ γὰρ ἀλαμπῆ αὐτοῦ τὴν δόξαν, ὡς οὐκ ἐγχωρεῖ ἄνευ ἀπαυγάσματος αὐτοῦ τὸν λύχνον. δῆλον δὲ ὅτι ὥσπερ τὸ αὐτοῦ ἀπαύγασμα μαρτυρία ἐστὶ τοῦ κατὰ τὴν δόξαν αὐτοῦ, μὴ γὰρ οὔσης τῆς δόξης, οὐκ ἂν εἴη τὸ ἐκ ταύτης ἀπαυγαζόμενον, οὕτως τὸ λέγειν μὴ αὐτοῦ ποτὲ ἀπαύγασμα, ἀπόδειξίς ἐστι τοῦ μηδὲ τὴν δόξαν αὐτοῦ ὅτε οὐκ ἦν τὸ ἀπαύγασμα. τὴν γὰρ δόξαν ἄνευ ἀπαυγάσματος εἶναι ἀμήχανον. ὥσπερ οὖν οὐκ ἔστιν ἐπὶ τοῦ ἀπαυγάσματος λέγειν ὅτι εἰ ἦν οὐκ ἐγένετο, καὶ εἰ ἐγένετο οὐκ ἦν, οὕτως μάταιον ἐστὶ περὶ τοῦ Υἱοῦ ταῦτα λέγειν· διότι ὁ Υἱός ἐστι τὸ ἀπαύγασμα. οἱ δὲ τὸ μικρότερον καὶ τὸ μεῖζον ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς λέγοντες, διδαχθήτωσαν παρὰ τοῦ Παύλου μὴ μετρεῖν τὰ ἀμέτρητα. ὁ γὰρ Ἀπόστολος τὸν Υἱὸν χαρακτῆρα λέγει τῆς τοῦ Πατρὸς ὑποστάσεως. δῆλον οὖν ὅτι ὅση ἂν ἡ ὑπόστασις ἦν ἡ τοῦ Πατρὸς, τοσοῦτος καὶ ὁ χαρακτήρ ἐστι τῆς ὑποστάσεως· οὐ γὰρ ἐνδέχεται μικρότερον αὐτοῦ τὸν χαρακτῆρα τῆς θεωρουμένης ἐν αὐτῷ ὑποστάσεως. ἀλλὰ καὶ ὁ μέγας Ἰωάννης ταῦτα διδάσκει λέγων, "ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὴν Θεόν." ἐκ γὰρ τοῦ εἰπεῖν ὅτι ἐν ἀρχῇ ἦν, καὶ οὐ μετὰ τὴν ἀρχὴν, ἔδειξεν ὅτι οὐδέ ποτε ἄλογος ἦν ἡ ἀρχή. ἐκ δὲ τοῦ ἀποδεῖξαι ὅτι καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, τὸ ἀνελλιπὲς τοῦ Υἱοῦ ὡς πρὸς τὸν Πατέρα ἐσήμανεν· ὅλῳ γὰρ τῷ Θεῷ, ὅλος συνθεωρεῖται ὁ Λόγος. οὐκ ἔχει ἄρα χώραν ἐπὶ τῶν θείων δογμάτων τὸ μεῖζον λέγειν καὶ τὸ μικρότερον.

Γρηγορίου Νύσσης κατὰ Εὐνομίου. Εἰ οὖν Θεὸς μὲν ὁ Πατὴρ, Θεὸς δὲ ὁ Υἱὸς, ἔτι[x] καταλείπεται πρὸς τὴν ἀκριβῆ τοῦ μονογενοῦς θεολογίαν ἀμφιβολία; ὅταν τῇ μὲν τοῦ Υἱοῦ σημασίᾳ τὸ κατὰ φύσιν οἰκεῖον γνωρίζεται, τῷ δὲ ἀπαυγάσματι τὸ συναφές τε καὶ ἀδιάστατον, τῇ δὲ τοῦ Θεοῦ προσηγορίᾳ, κατὰ τὸ ἶσον ἐφηρμοσμένῃ Πατρί τε καὶ Υἱῷ, τὸ διὰ πάντων ὁμότιμον. ὁ δὲ χαρακτὴρ πάσῃ τῇ ὑποστάσει τοῦ Πατρὸς ἐπιθεωρούμενος, τὸ ἀνελλιπὲς τοῦ ἰδίου μεγέθους διασημαίνει. καὶ ἡ μορφὴ τοῦ Θεοῦ τὴν διὰ πάντων καταμηνύει ταυτότητα, τὸ πάντα δεικνύειν ἐφ'

[x] Cod. ἔτη.

ἑαυτῆς, δι' ὧν ἡ θεότης χαρακτηρίζεται. τί γὰρ ἐρεῖς ὅταν ἀπαύγασμα δόξης καὶ ὀσμὴ νμύρου ἀκούσῃς, καὶ ἀτμίδα Θεοῦ; ὅτι οὐκ ἦν τὸ ἀπαύγασμα πρὸ τῆς οἰκείας γεννήσεως; ἀλλ' ὅταν τοῦτο εἴπῃς, οὐδὲ τὴν δόξαν πάντως εἶναι δώσεις, οὔτε τὸ μῦρον· οὐ γάρ ἐστιν ἢ τυφλὴν ἐφ' ἑαυτῆς καὶ ἀλαμπῆ νομισθῆναι τὴν δόξαν αὐτοῦ, ἢ τὸ μῦρον τῆς εὐπνοίας ἄγονον. ὥστε εἰ τὸ ἀπαύγασμα οὐκ ἦν, οὐδὲ ἡ δόξα ἦν πάντως. καὶ τῆς ὀσμῆς μὴ οὔσης, τὸ μηδὲ μῦρον αὐτῇ συναπεδείχθη. ἐν γὰρ τῷ λέγειν μὴ αὐτοῦ ἀπαύγασμα, τὸ μηδὲ τὴν ἀπαυγάζουσαν αὐτοῦ δύναμιν κατασκευάζεται πάντως· ὡς ἐπὶ τοῦ κατὰ τὸν λύχνον ἐστὶν ἰδεῖν ὑποδείγματος. ὁ γὰρ τὴν αὐγὴν τοῦ λύχνου εἰπὼν, καὶ τὸ λάμπειν τὸν λύχνον συνεδείξατο. καὶ ὁ μὴ αὐτοῦ τὴν αὐγὴν λέγων, τὴν σβέσιν τοῦ φωτίζοντος συνεσήμανεν. ὥστε ὅταν ὁ Κύριος μὴ εἶναι λέγηται, καὶ ἡ τοῦ Πατρὸς ἀνυπαρξία κατὰ πᾶσαν ἀνάγκην ἐκ τοῦ ἀκολούθως διὰ τούτων κατασκευάζεται. εἰ γὰρ συνημμένως ἔχεται τοῦ ἑτέρου τὸ ἕτερον, κατὰ τὴν ἀποστολικὴν μαρτυρίαν καὶ τὸ ἀπαύγασμα τῆς δόξης καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως, καὶ ἡ σοφία τοῦ Θεοῦ, ὁ τὸ ἕτερον τῶν συνημμένων εἶναι λέγων, τῇ τοῦ ἑνὸς ἀναιρέσει, συνανεῖλε πάντως καὶ τὸ λειπόμενον· ὥστε τοῦ ἀπαυγάζοντος μὴ ὄντος, ὁμολογεῖσθαι μὴ αὐτοῦ μηδὲ τὴν ἀπαυγάζουσαν φύσιν· καὶ τοῦ χαρακτῆρος μὴ ὑφεστῶτος, μηδὲ τὴν χαρακτηριζομένην αὐτοῦ ὑπόστασιν· σοφίας δὲ καὶ δυνάμεως Θεοῦ μὴ οὔσης, μηδὲ ἐκεῖνον πάντως αὐτῷ ὁμολογεῖσθαι τὸ δίχα σοφίας τε καὶ δυνάμεως ἐφ' ἑαυτοῦ μὴ νοούμενον.

Εἰ οὖν οὐκ ἦν ὁ μονογενὴς Θεὸς πρὶν γενέσθαι, καθὼς φησὶν ὁ Εὐνόμιος, Χριστὸς δὲ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία καὶ χαρακτὴρ καὶ ἀπαύγασμα, οὐκ ἦν πάντως οὐδὲ ὁ Πατὴρ, οὗ ὁ Υἱὸς δύναμίς ἐστι καὶ σοφία, καὶ χαρακτὴρ καὶ ἀπαύγασμα. οὐ γάρ ἐστιν ἐπινοῆσαι τῷ λόγῳ, οὔτε ὑπόστασιν ἀχαρακτήριστον, οὔτε ἀλαμπῆ δόξαν, οὔτε ἄσοφον Θεὸν, οὐκ ἄχειρα δημιουργὸν, οὐκ ἄλογον ἀρχὴν, οὐκ ἄπαιδα Πατέρα· ἀλλὰ πάντα τὰ τοιαῦτα, ἐπί τε τῶν ὁμολογούντων, καὶ ἐπὶ τῶν ἀθετούντων, καὶ ἀλλήλοις συναναφαίνεται, καὶ διὰ τῆς τοῦ ἑνὸς ἀναιρέσεως καὶ τὸ συνημμένον συναφανίζεται. ἐπειδὴ τοίνυν κατασκευάζεται παρ' αὐτῶν τὸ μὴ αὐτοῦ τὸν Υἱὸν πρὸ τοῦ γενέσθαι, ὡς ἔστιν ἀπαύγασμα δόξης· ἢ

δὲ ἀκολουθία συναναιρεῖ τῇ τοῦ ἀπαυγάσματος ἀνυπαρξίᾳ, καὶ τὴν τῆς δόξης ἀϊδιότητα, δόξα δὲ ὁ Πατὴρ, ὅθεν τὸ μονογενὲς φῶς ἐστιν ἀπαυγασθὲν, νοησάτωσαν οἱ περιττοὶ τὴν διάνοιαν, ὅτι ἐν προσχήματι Χριστιανισμοῦ τὴν Ἐπικούρου ἀθεΐαν πρεσβεύουσιν.

Κυρίλλου πρὸς Τιβέριον[y]. Ἀμήχανον γὰρ αὐτοῦ ποτε δίχα τοῦ ἑτέρου τὸ ἕτερον· ἀλλ' ἔνθα περ ὁ Πατὴρ αὐτοῦ νοοῖτο, ἐστὶ δὲ πανταχοῦ, ἐκεῖ που πάντως καὶ ὁ Υἱός· καὶ ἔνθα περ ἂν ὁ Υἱὸς, ἐκεῖ καὶ ὁ Πατήρ. εἰ γάρ ἐστιν ἀπαύγασμα τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ Λόγος αὐτοῦ καὶ σοφία καὶ δύναμις, πῶς ἐνδέχεται δίχα λόγου σοφίας καὶ δυνάμεως νοεῖσθαι ποτὲ τὸν Πατέρα; πῶς δὲ ἡ σοφία καὶ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἡ δύναμις αὐτοῦ νοοῖτ' ἄν ποτε δίχα τοῦ Πατρός; ἢ πῶς οὐκ ἐνυπάρξει ποτὲ αὐτῷ ὁ χαρακτὴρ αὐτοῦ; πῶς δὲ καὶ ὁ χαρακτὴρ δίχα τοῦ Πατρὸς, οὗ ἐστι χαρακτήρ; εἰ γὰρ ἐνδέχεται τοῦ φωτὸς ἐκπεσεῖν καὶ χωρισθῆναι τὸ ἀπαύγασμα τὸ ἀπ' αὐτοῦ, ἦν ἂν εἰκὸς ἐννοῆσαι, ὅτι καὶ τὸν Υἱὸν ἐνδέχεται μὴ αὐτοῦ μετὰ τοῦ Πατρός. πῶς δὲ οὐκ ἐννοοῦσιν, ὅτι γενητὸς ὢν ὁ ἥλιος, κτίσμα γάρ ἐστι δι' αὐτοῦ τοῦ Λόγου παρενεχθεὶς εἰς γένεσιν, διέρπει μὲν τὴν ἄνω καὶ αὐτῷ ταχθεῖσαν ὁδὸν, καθίησι δὲ τοῖς ἁπανταχόσε φῶς, καὶ πάντα πληρῶν τῆς ἐξ αὐτοῦ προχεομένης αὐγῆς, ἔχει πάλιν αὐτὴν ἐν ἑαυτῷ; πότε τοίνυν οὐκ ἦν ἐν τῷ Πατρὶ τὸ ἀπαύγασμα τῆς δόξης αὐτοῦ; πότε κεχώρισται τῆς ὑποστάσεως αὐτοῦ ὁ χαρακτὴρ αὐτοῦ; καὶ εἰ τὰ πάντα πληροῦντος τοῦ Πατρὸς οὐκ ἔχει τοῦτο κατὰ φύσιν ἰδίαν ὁ Υἱὸς, τὰ πάντα φημὶ πληροῦν καὶ αὐτοῦ πανταχοῦ, καὶ οὐδὲν ἀπολιμπάνεσθαι, ἑτεροφυὴς ἄρα παρ' αὐτόν ἐστι, καὶ ἐκπίπτουσιν εἰς τὴν τῶν Ἀρειανῶν πεπλανημένην δόξαν οἱ περὶ αὐτοῦ τολμῶντες λέγειν, ὅτι γενόμενος ἄνθρωπος ὁ μονογενὴς, κενοὺς ἀφῆκε τῆς ἑαυτοῦ θεότητος τοὺς οὐρανοὺς, καὶ ὅτι κατὰ μὲν τὴν τῆς θεότητος ἀξίαν συνῆν τῷ Πατρὶ, καὶ ὅτε γέγονεν ἄνθρωπος, καὶ ἦν ἐπὶ γῆς, καθ' ὑπόστασιν δὲ, οὐκέτι.

Ὁμιλία τοῦ αὐτοῦ. Ἀνοηταίνουσι δὲ καὶ οἱ λέγοντες τὸν Υἱὸν ἑτεροφυᾶ, καὶ ἀλλότριον τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας. ἀμήχανον γὰρ τὸν ἐκ Θεοῦ κατὰ φύσιν κτιστὸν αὐτοῦ καὶ γεννητόν.

[y] Vid. Fabr. B. Gr. t. viii.

εἰ γὰρ πᾶν ὃ πέφυκε τίκτειν, ὁμοούσιον ἑαυτῷ γεννᾷ, γεγέννηκε δὲ κατὰ ἀλήθειαν τὸν Υἱὸν ὁ Πατὴρ, πάντως που καὶ ὁμοούσιον ἑαυτῷ γεγέννηκεν. ἢ γὰρ οὐκ ἄτοπον ἐξ ἀνθρώπου μὲν οὐχ ἑτεροειδὲς τίκτεσθαι ζῶον, καὶ μὴν ἐκ βοός γε καὶ ἵππου, τίκτει γὰρ ἕκαστον τὸ κατὰ φύσιν αἴτιον ἑαυτῷ, τὴν δέ γε θείαν καὶ ἀνωτάτω φύσιν, μηδὲ ἐν τούτοις αὐτοῦ νομίζειν ἐν οἷς ἐστιν ἡ κτίσις. οὐκοῦν ἐκ κτίσματος γεννηθὲν, κτιστὸς ἄρα καὶ ὁ τεκών. ἀλλ' ἔστιν ἀγένητος ὁ Πατήρ· οὐ γὰρ γέγονε παρά τινος· ἀγένητος ἄρα καὶ ὁ Υἱός. καὶ εἰ χαρακτήρ ἐστι τῆς ὑποστάσεως τοῦ γεγεννηκότος, Θεὸς δὲ κατὰ ἀλήθειαν ἐστὶν ὁ τεκὼν, Θεὸς ἄρα καὶ ὁ χαρακτὴρ αὐτοῦ. χαρακτηρίζει γὰρ, Θεὸν μὲν Θεὸς, κτίσιν δὲ κτίσις. ὥσπερ γὰρ εἴ τις βούλοιτο τὴν γενητὴν καὶ πεποιημένην κτίσιν καταδεῖξαί τισὶν, οὐ δύναται λέγειν, ὅρα μοι τὴν τῆς θεότητος φύσιν, καὶ ἐκ ταύτης νοήσεις ἐκείνην. ὀφθήσεται γὰρ ἀμαθὴς ὁ τοῦτο λέγων. οὐ γὰρ ἡ τῆς θεότητος φύσις ἐφ' ἑαυτῇ καταδείξει τὴν γενητὴν οὐσίαν· οὕτως εἴ τις βούλοιτο τὴν ἄκτιστον φύσιν ἰδεῖν, οὐκ ἂν ἴδοι ταύτην ὡς ἐν εἰκόνι τῇ κτίσει· διὸ ἔλεγε τῷ Φιλίππῳ ὁ Κύριος, "ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα." φυσικὴ δὲ πάντως ἡ ὁμοιότης Υἱῷ πρὸς τὸν Πατέρα, καὶ οὐσιώδης ὁ χαρακτήρ.

Τοῦ αὐτοῦ. Πῶς οὖν οὐκ ἀσύνετον καὶ θρασὺ τὸ περιεργάζεσθαι φύσιν, δι' ἧς τὰ πάντα παρήχθη, πρὸς ὕπαρξιν τὴν χρόνου παντὸς πρεσβυτέραν; γεγόνασι γὰρ δι' αὐτῆς, καὶ ἔστη πρὸ παντὸς αἰῶνος ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος· ἀλλ' οἱ πάντολμοι κατηγοροῦσιν αὐτοῦ τὸ νεώτερον, καὶ γενητὸν αὐτὸν αὐτοῦ φασίν· οὐκ εἰδότες ὅτι τοῖς τοῦ Ἁγίου Πνεύματος ἀντιφέρονται λόγοις· δι' αὐτοῦ μὲν γὰρ πεποιῆσθαι τοὺς αἰῶνας φασὶν οἱ λαλοῦντες ἐν Πνεύματι. οἱ δὲ γενητὸν αὐτοῦ διϊσχυρίζονται τὸν ἐπέκεινα καινοῦ λόγου, καὶ οὐδὲ ἐκεῖνο δέχονται κατὰ νοῦν· οὐ γὰρ ἐν χρόνῳ γέγονε Πατὴρ ὁ Θεὸς, ἀλλ' ἦν ἀεί τε καὶ ἐν ἀρχῇ. τούτου δὲ οὕτως ἔχοντος, πᾶσα πως ἀνάγκη συνυφεστάναι νοεῖν τὸν Υἱὸν, ἵνα καὶ ἀληθὴς ὑπάρχει Πατὴρ ὁ Θεός· ἐπεὶ διδασκέτωσαν εἰ Λόγος ἐστὶ τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ σοφία καὶ δύναμις καὶ χαρακτὴρ, καὶ ἀπαύγασμα τῆς ὑποστάσεως αὐτοῦ, ποῖος ἦν ἄρα χρόνος καθ' ὃν

ἦν ἄλογος ὁ Πατὴρ, οὐχ ὑπάρχοντος τοῦ Υἱοῦ; πότε δὲ ἦν δίχα τῆς ἑαυτοῦ σοφίας ἡ τῆς σοφίας πηγή; πότε δὲ δυνάμεως δίχα; πότε δὲ οὐκ ἦν ἐν Θεῷ τὸ ἀπαύγασμα τῆς δόξης αὐτοῦ; ἢ πῶς οὐκ ἂν εἴη σὺν αὐτῷ τε καὶ ἐν αὐτῷ διηνεκῶς ὁ χαρακτὴρ αὐτοῦ; εἰ μὲν οὖν ἐν χρόνῳ ταῦτα γέγονεν, οὐκοῦν ἄρα Πατὴρ πρὶν γεγένηται, ἄλογος ἦν καὶ ἄσοφος, καὶ ἰσχὺν οὐκ ἔχων, χαρακτῆρος τε δίχα καὶ ἀπαυγάσματος. ἀλλ' οἶμαι τοῦτο αὐτῷ δυσσεβὲς ἐννοεῖν, καὶ τῆς ἀνωτάτω δυσσεβείας ἀπόδειξιν ἔχει. ἀεὶ δὲ ἦν ὁ Πατήρ. ἦν οὖν ἄρα καὶ ὁ Υἱὸς, συνυφεστηκὼς ἀεὶ τῷ ἰδίῳ γεννήτορι.

Πρὸς Ἑρμείαν. Ναί φησιν, ἀλλ' ὁ τινὸς, ὦ βέλτιστε, χαρακτὴρ οὐκ ἔστιν ἐν ὑποστάσει τῇ καθ' ἑαυτὸν, οὐδὲ ἰδίαν ἔχει τὴν ὕπαρξιν· νοεῖται δὲ μᾶλλον ἐν ὑποκειμένῳ καὶ ὡς ἐν τάξει συμβεβηκότος, εἰ καὶ ἀχώριστος ἐνείη τυχὸν, καθάπερ ἀμέλει τὰ εἴδη τοῖς σώμασιν· ἀνύπαρκτος οὖν ὁ Υἱὸς, εἴπερ ἐστὶ καθ' ὑμᾶς ὡς χαρακτὴρ ἐν τῷ Πατρί. τὴν μὲν τοῦ Υἱοῦ φύσιν ἥτις ποτὲ ἔστι, νῷ μὲν ἐπαθρῆσαι τῷ καθ' ἡμᾶς ἀνέφικτον παντελῶς, μεῖζον δὲ εἰπεῖν ἢ κατὰ δύναμιν λόγου· "δόξα γὰρ Κυρίου κρύπτει "λόγον," κατὰ τὸ γεγραμμένον. ἐκ πλείστων δὲ ὅσων θεωρημάτων τὴν ὡς ἐν ἐσόπτρῳ γνῶσιν οὐκ ἀνιδρωτὶ καὶ μόλις ἐρανιζόμεθα. φῶς γὰρ καὶ ζωὴν καὶ σοφίαν καὶ δύναμιν καὶ ἕτερα ἄττα φαμὲν αὐτοῦ τὸν Υἱὸν, ἀλλ' οὐχ ἑκάστῳ τῶν ὀνομάτων τὴν ἄρρητον αὐτοῦ φύσιν ἐγκατακλείοντες, ἐκ διαφόρων αὐτὸν σύγκεισθαι φαμέν· ἁπλοῦς γάρ ἐστι καὶ μονοειδὴς, ἀλλ' ἐκ πλείστων ὅσων τῶν αὐτῷ προσπεφυκότων οὐσιωδῶς εἰς αὐγὰς ὥσπερ ἴμεν ἰσχνὰς τῆς ἐπ' αὐτῷ θεωρίας.

Εἰ τοίνυν λέγοιτο χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Πατρὸς, ἀχωρίστως τε ἅμα καὶ προσπεφυκότως συνυπάρχοντα νόει, καὶ οἱονεὶ τὸ εἶδος αὐτοῦ τοῦ γεγεννηκότος. ἡνίκα δ' ἂν ἀπαύγασμα λέγοιτο, μονονουχὶ φωτὸς προέντος τε καὶ ἀπαστράψαντος, εἰς νοῦν ἔχε τὴν ἐκ Πατρὸς οἱονεί πως εἰς τὸ ἔξω διεκδρομὴν, οὔτε εἰς ἅπαν ἀπηλλαγμένην τῆς ὅθεν ἐστὶν ὑποστάσεως, οὔτε μὴν εἰς ἅπαν συνεσταλμένην· προεκκόπτουσαν δὲ ὥσπερ εἰς τὸ ὑπεστάναι καθ' ἑαυτὴν, καὶ εἰς ὕπαρξιν ἰδικήν. ἐμφιλοχωρεῖ μὲν γὰρ τῇ τοῦ

Πατρὸς φύσει μονονουχὶ ῥίζαν ἔχων αὐτὴν ὁ Υἱὸς, καὶ τομῆς τῆς εἰς ἅπαν οὐκ ἀνεχόμενος· πλὴν ὑφέστηκεν ἰδικῶς, καὶ ἔστιν Υἱὸς ἀληθῶς, οὐκ ἀνυπόστατος χαρακτὴρ, οὐδὲ ἀνυπάρκτως ἐπερριμμένος ἢ συμβεβηκὼς ὡς εἶδος ἐν σώματι. ζωὴ γὰρ ὢν κατὰ φύσιν, πῶς ἂν νοοῖτο μὴ ὑφεστάναι; ἐν γὰρ τοῖς οὖσιν ὅσα μὴ μόνον εἰς σχῆμα καὶ εἶδος μεμόρφωται τὸ τινὸς, οὐσιώδη δὲ μᾶλλον ἐκληρώσατο τὴν ἐμφέρειαν, ὁμοφυῆ πάντως εἶεν ἂν, καὶ τῆς κατὰ πᾶσαν ὁτιοῦν ὁμοιότητα ἀνενδεῶς ἐξημμένα· οἷον τὸ χαλκοῦ φέρε εἰπεῖν ἢ λίθου πεποιημένον ἀνδροειδὲς ἄγαλμα, τῆς τοῦ δεῖνος μορφῆς εἴη ἂν ἐξεικονισμὸς, ἀλλ' οὐ τῆς οὐσίας· ὅγε μὴν τοῦ δεῖνος υἱὸς, πρὸς αὐτῆς εἰς τοῦτο πλαστουργηθεὶς τῆς φύσεως, καὶ ἄκρος ἐξησκημένος πρὸς ὁμοίωσιν τοῦ γεννήσαντος, λόγοις δὲ δή φημι τοῖς κατὰ τὴν φύσιν, νοοῖτο ἂν λοιπὸν, φυσική τε καὶ οὐσιώδης εἰκὼν αὐτοῦ τοῦ ἡλίου· ἢ τίς μᾶλλον ἓν ὁρῶν οὕτως τὸ ἀπαύγασμα πρὸς τὸν ἥλιον καὶ τὴν ταυτότητα τοῦ φωτὸς, οὐκ ἂν εἴποι θαρρήσας, ὄντως τὸ φῶς καὶ τὸ ἀπαύγασμα ἕν εἰσι, καὶ τοῦτο ἐν ἐκείνῳ δείκνυται καὶ τὸ ἀπαύγασμα ἐν τῷ ἡλίῳ τυγχάνει ὄν; ὥστε τὸν ὁρῶντα τοῦτο βλέπειν κακεῖνο. τὴν δὲ τοιαύτην ἑνότητα καὶ φυσικὴν ἰδιότητα, πῶς ἂν οἱ πιστεύοντες καὶ βλέποντες ὀρθῶς καλέσαιεν, ἢ ὁμοούσιον γέννημα; τὸ δὲ τοῦ Θεοῦ γέννημα, τί ἄν τις οἰκείως καὶ πρεπόντως νοήσειεν, ἢ Λόγον καὶ σοφίαν καὶ δύναμιν; ἣν οὔτε τοῦ Πατρὸς λέγειν ξένην ὅσιόν ἐστιν, οὔτε μὴ ἀϊδίως αὐτὸ παρὰ τῷ Πατρί.

Λέγει δέ που καὶ Θεόγνωστος[s] ἀνὴρ λόγιος, " οὐκ ἔξωθέν τις " ἐστὶν ἐφευρεθεῖσα ἡ τοῦ Υἱοῦ οὐσία, οὐδὲ ἐκ μὴ ὄντων ἐπεισ-" ήχθη, ἀλλὰ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἔφυ, ὡς τοῦ φωτὸς τὸ " ἀπαύγασμα. καὶ οὔτε αὐτός ἐστιν ὁ Πατὴρ, οὔτε ἀλλότριος, " ἀλλὰ ἀπόρροια τῆς τοῦ Πατρὸς οὐσίας· ὡς γὰρ μένων ὁ ἥλιος " ὁ αὐτὸς, οὐ μειοῦται ταῖς ἐκχεομέναις ὑπ' αὐτοῦ αὐγαῖς, οὕτως " οὐδὲ ἡ οὐσία τοῦ Πατρὸς ἀλλοίωσιν ὑπέμεινεν, εἰκόνα ἑαυτῆς " ἔχουσα τὸν Υἱόν."

Ἐξέστω δὲ ἀκοῦσαι καὶ παρὰ τοῦ φιλοπόνου Ὠριγένους, " εἰ " ἔστι τοῦ Θεοῦ τοῦ ἀοράτου ἀόρατος εἰκὼν, ἐγὼ δὲ προσθείην

[s] Theognost. Alex. in Q. ὑποτυπώσεων ab Athanas. cit. de decr. Conc. Nicæn. t. i. p. 971. Vid. Fabr. B. Gr. t. ix. p. 408.

“ ἂν τολμήσας, ὅτι καὶ ὁμοιότης τυγχάνων Πατρὸς οὐκ ἔστιν ὅτε “ οὐκ ἦν. πότε γὰρ ὁ Θεὸς ὁ κατὰ τὸν Ἰωάννην φῶς λεγόμενος, “ ἀπαύγασμα οὐκ εἶχε τῆς ἰδίας δόξης; ἵνα τολμήσας τις ἀρ- “ χὴν δῷ εἶναι Υἱοῦ, πρότερον οὐκ ὄντος. πότε δὲ τῆς ἀρρήτου “ καὶ ἀκατονομάστου καὶ ἀφθέγκτου ὑποστάσεως, τοῦ Πατρὸς ὁ “ χαρακτὴρ Λόγος, ὁ γινώσκων τὸν Πατέρα, οὐκ ἦν; κατανοείτω “ γὰρ ὁ τολμῶν καὶ λέγων, ἦν ποτε ὅτε οὐκ ἦν ὁ Υἱὸς, ὅτι ἐρεῖ, “ καὶ τὸ, σοφία ποτὲ οὐκ ἦν, καὶ ζωὴ οὐκ ἦν· ἀλλ' οὐ θέμις “ ἐστὶν, οὐδὲ ἀκίνδυνον, διὰ τὴν ἡμῶν ἀσθένειαν, ὅσον ἐφ' ἡμῖν, “ ἀποστερεῖσθαι τὸν Θεὸν τοῦ ἀεὶ συνόντος αὐτῷ Λόγου μονο- “ γενοῦς, σοφίας ὄντος ᾗ προσέχαιρεν· οὕτω γὰρ οὐδὲ ἀεὶ χαίρων “ νοηθήσεται.”

Καὶ Διονύσιος δὲ ὁ Ἀλεξανδρείας πρὸς τὸν ὁμώνυμον ἀπολογούμενος γράφει[t], “ οἶδα καὶ μέμνημαι πλείονα προσθεὶς τῶν συγ- “ γενῶν ὁμοιώματα· καὶ γὰρ φυτὸν εἶπον ἀπὸ σπέρματος ἢ ἀπὸ “ ῥίζης ἀνελθὸν, ἕτερον εἶναι τοῦ ὅθεν ἐβλάστησε, καὶ πάντως “ ἐκείνῳ καθέστηκεν ὁμοφυές· καὶ ποταμὸν εἶπον ἀπὸ πηγῆς ῥέοντα “ ἕτερον ὄνομα μετειληφέναι. μήτε γὰρ τὴν πηγὴν ποταμὸν, μήτε “ τὸν ποταμὸν πηγὴν λέγεσθαι, καὶ ἀμφότερα ὑπάρχειν· καὶ τὴν “ μὲν πηγὴν οἱονεὶ πατέρα εἶναι, τὸν δὲ ποταμὸν αὐτὸ τὸ ἐκ τῆς “ πηγῆς ὕδωρ.”

Τίς οὖν οὐ μανίαν καταψηφιεῖται τῶν λεγόντων Διονύσιον τὰ Ἀρείου φρονεῖν; ἰδοὺ γὰρ πᾶσαν αὐτοῦ πατεῖ τὴν αἵρεσιν τοῖς τῆς ἀληθείας λογισμοῖς. τὸ μὲν γὰρ οὐκ ἦν, πρὶν γεννηθῇ, ἐν τῷ οὐκ ἦν ποτε ἄγονος· τὸ δὲ ἐξ οὐκ ὄντων ἀναιρεῖ ἐν τῷ λέγειν τὸν Λόγον αὐτοῦ ὡς ποταμὸν ἀπὸ πηγῆς, καὶ βλαστὸν ἀπὸ ῥίζης, καὶ τέκνον ἀπὸ γονέως, καὶ φῶς ἐκ φωτὸς, καὶ ζωὴν ἐκ ζωῆς. φησὶ γὰρ ὅτι ἀπαύγασμα ὢν φωτὸς ἀϊδίου, πάντως καὶ αὐτὸς ἀΐδιός ἐστιν· ὄντος γὰρ ἀεὶ τοῦ φωτὸς, δῆλον ὡς ἔστιν ἀεὶ τὸ ἀπαύγασμα. τοῦτο γὰρ καὶ ὅτι φῶς ἐστι τὸ καταυγάζον νοεῖται, καὶ φῶς οὐ δύναται μὴ φωτίζον αὐτό. εἰ ἔστιν ἥλιος, ἔστιν αὐγὴ, ἔστιν ἡμέρα. εἰ τοιοῦτον μηδέν ἐστι, πολύ γε δεῖ παρεῖναι ἥλιον. εἰ μὲν οὖν ἀΐδιος ἦν ὁ ἥλιος, ἄπαυστος ἂν ἦν καὶ ἡ ἡμέρα· νῦν δὲ, οὐ γάρ ἐστιν, ἀρξαμένου τε ἤρξατο καὶ παυομένου παύεται.

[t] Hæc desumta sunt ex Athanasii Apol. pro Dionys. Alex.

Βασιλείου ἀπὸ τῶν ἀντιρρητικῶν. Ἐχρῆν τοίνυν τοὺς κατὰ μικρὸν γοῦν τῆς ἀληθείας πεφροντικότας, ἀφεμένους τῶν σωματικῶν ὁμοιώσεων, καὶ τοῦ ταῖς ὑλικαῖς φαντασίαις τὰς περὶ Θεοῦ ἐννοίας καταρρυπαίνειν, ταῖς παρὰ τοῦ Ἁγίου Πνεύματος παραδοθείσαις ἡμῖν θεολογίαις ἀκολουθεῖν· καὶ νοεῖν μὲν ἀξίαν τοῦ Θεοῦ γέννησιν ἀπαθῆ, ἀμέριστον, ἀδιαίρετον, ἄχρονον, κατὰ τὴν ἀπολάμπουσαν τοῦ φωτὸς αὐγὴν, τῇ θείᾳ γεννήσει προσαγομένους· νοεῖν δὲ εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου, οὐ κατὰ τὰς αἰσθητὰς ταύτας ὕστερον ἀπεργασθεῖσαν πρὸς τὸ ἀρχέτυπον, ἀλλὰ ἐνυπάρχουσαν καὶ παρυφεστηκυῖαν τῷ πρωτοτύπῳ οὐσίαν ζῶσαν καὶ ἐνεργῆ.

Ἀπὸ τῶν ἠθικῶν. Ἐνταῦθα μὲν γὰρ ξύλον καὶ κηρὸς καὶ ζωγράφου τέχνη τὴν εἰκόνα ποιεῖ, φθαρτὴν φθαρτοῦ μίμημα, καὶ τεχνητὴν τοῦ ποιηθέντος· ἐκεῖ δὲ ὅταν ἀκούσῃς εἰκόνα, ἀπαύγασμα νόει τῆς δόξης. τί δὲ τὸ ἀπαύγασμα, καὶ τίς ἡ δόξα, εὐθὺς ἑρμηνεύει ὁ Ἀπόστολος, καὶ χαρακτὴρ τῆς ὑποστάσεως· ταυτὸν οὖν ἐστι τῇ δόξῃ μὲν, ἡ ὑπόστασις· τῷ ἀπαυγάσματι δὲ, ὁ χαρακτήρ. ὥστε τελείας μενούσης καὶ μηδὲν μειουμένης τῆς δόξης, τέλειον πρόεισι τὸ ἀπαύγασμα· καὶ οὕτως ὁ τῆς εἰκόνος λόγος θεοπρεπῶς παραδεχθεὶς, τὴν ἑνότητα ἡμῖν παρίστησι τῆς θεότητος. οὗτος γὰρ ἐν ἐκείνῳ, κἀκεῖνος ἐν τούτῳ, ὅτι καὶ οὗτος τοιοῦτος ἐστὶν οἷος ἐκεῖνος, κἀκεῖνος οἷος οὗτος. οὕτως ἑνοῦται τὰ δύο τῷ μὴ διαλάττειν, μηδὲ καθ᾽ ἕτερον εἶδος καὶ ξένον χαρακτῆρα νοῆσαι τὸν Υἱόν.

Γρηγορίου Νύσσης περὶ διαφόρων οὐσιῶν καὶ ὑποστάσεων. Ἀλλ᾽ ἐπειδὴ πολλοὶ τὸ κοινὸν τῆς οὐσίας ἐπὶ τῶν μυστικῶν δογμάτων μὴ διακρίνοντες ἀπὸ τοῦ τῶν ὑποστάσεων λόγου, ταῖς αὐταῖς συμπίπτουσιν ὑπονοίαις, καὶ οἴονται διαφέρειν μηδὲν, οὐσίαν ἢ ὑπόστασιν λέγειν, ὅθεν καὶ ἤρεσε τισὶ τῶν ἀνεξετάστως τὰ τοιαῦτα προσδεχομένων, ὥσπερ μίαν οὐσίαν οὕτω καὶ μίαν λέγειν ὑπόστασιν· καὶ τὸ ἔμπαλιν, οἱ τὰς τρεῖς ὑποστάσεις παραδεχόμενοι, καὶ τὴν τῶν οὐσιῶν διαίρεσιν κατὰ τὸν ἶσον ἀριθμὸν ἐκ τῆς ὁμολογίας ταύτης δογματίζειν οἴονται δεῖν· διὰ τοῦτο ὡς ἂν μὴ καὶ σὺ τὰ ὅμοια πάθοις, ὑπόμνημά σοι διὰ βραχέων τὸν περὶ τούτου λόγον ἐποιησάμην. ἔστι δὲ τοιαύτη τῶν λεγομένων ἡ

3 A 2

ἔννοια. πάντων τῶν ὀνομάτων τὰ μὲν ἐπὶ πλειόνων καὶ τῷ ἀριθμῷ διαφερόντων λεγόμενα πραγμάτων, καθολικωτέραν τινὰ τὴν σημασίαν ἔχει, οἷον ἄνθρωπος· ὁ γὰρ τοῦτο εἰπὼν, τὴν κοινὴν φύσιν διὰ τοῦ ὀνόματος δείξας, οὐ περιέγραψε τῇ φωνῇ τὸν τινὰ ἄνθρωπον, τὸν ἰδίως ὑπὸ τοῦ ὀνόματος γνωριζόμενον· οὐ γὰρ μᾶλλον Πέτρος ἄνθρωπος ἐστὶν, ἢ καὶ Ἀνδρέας, καὶ Ἰωάννης, καὶ Ἰάκωβος. ἡ οὖν κοινότης τοῦ σημαινομένου, ὁμοίως ἐπὶ πάντας τοὺς ὑπὸ τὸ αὐτὸ ὄνομα τεταγμένους χωροῦσα, χρείαν ἔχει τῆς ὑποδιαστολῆς, δι' ἧς οὐ τὸν καθόλου ἄνθρωπον, ἀλλὰ τὸν Πέτρον ἢ τὸν Ἰωάννην ἐπιγνωσόμεθα. τὰ δὲ τῶν ὀνομάτων, ἰδικωτέραν ἔχει τὴν ἔνδειξιν, δι' ἧς, οὐχ ἡ κοινότης τῆς φύσεως ἐνθεωρῖται τῷ σημαινομένῳ, ἀλλὰ πράγματος τινὸς περιγραφὴ μηδεμίαν ἔχουσα πρὸς τὸ ὁμογενὲς κατὰ τὸ ἰδιάζον τὴν κοινωνίαν, οἷον ὁ Παῦλος ἢ ὁ Τιμόθεος. οὐκέτι γὰρ ἡ τοιαύτη φωνὴ ἐπὶ τὸ κοινὸν τῆς φύσεως φέρεται, ἀλλὰ χωρίσασα τῆς περιληπτικῆς σημασίας, περιγεγραμμένων τινῶν πραγμάτων ἔμφασιν διὰ τῶν ὀνομάτων παρίστησιν.

Ὅταν οὖν δύο ἢ καὶ πλειόνων κατὰ τὸ αὐτὸ ὄντων, οἷον Παύλου καὶ Σιλουανοῦ καὶ Τιμοθέου, περὶ τῆς οὐσίας τῶν ἀνθρώπων ζητεῖται λόγος, οὐκ ἄλλον τίς ἀποδώσει τῆς οὐσίας ἐπὶ τοῦ Παύλου λόγον, ἕτερον δὲ ἐπὶ τοῦ Σιλουανοῦ, καὶ ἄλλον ἐπὶ τοῦ Τιμοθέου, ἀλλὰ δι' ὧν ἂν λόγων ἡ οὐσία τοῦ Παύλου δειχθῇ, οὗτοι καὶ τοῖς ἄλλοις ἐφαρμόσουσι, καὶ εἰσὶν ἀλλήλοις ὁμοούσιοι οἱ τῷ αὐτῷ λόγῳ τῆς οὐσίας ὑπογραφόμενοι. ἐπειδὰν δέ τις τὸ κοινὸν μαθὼν ἐπὶ τὰ ἰδιάζοντα τρέψῃ τὴν θεωρίαν, δι' ὧν χωρίζεται τοῦ ἑτέρου τὸ ἕτερον, οὐκέτι ὁ ἑκάστου γνωριστικὸς λόγος, τῷ περὶ τοῦ ἄλλου διὰ πάντων συνενεχθήσεται, κἂν ἔν τισιν εὑρεθῇ τὸ κοινὸν ἔχων. οὕτω τοίνυν φαμὲν τὸ ἰδίως λεγόμενον τῷ τῆς ὑποστάσεως δηλοῦσθαι ῥήματι. ὁ γὰρ ἄνθρωπον εἰπὼν, ἐσκεδασμένην τινὰ διάνοιαν τῷ ἀορίστῳ τῆς σημασίας τῇ ἀκοῇ ἐνεποίησεν· ὥστε τὴν μὲν φύσιν ἐκ τοῦ ὀνόματος δηλωθῆναι, τὸ δὲ ὑφεστὸς καὶ δηλούμενον ἰδίως ὑπὸ τοῦ ὀνόματος πρᾶγμα μὴ σημανθῆναι· ὁ δὲ Παῦλον εἰπὼν, ἔδειξεν ἐν τῷ δηλουμένῳ ὑπὸ τοῦ ὀνόματος πράγματι ὑφεστῶσαν τὴν φύσιν.

Τοῦτο οὖν ἐστιν ἡ ὑπόστασις, οὐχ ἡ ἀόριστος τῆς οὐσίας

ἔννοια, μηδεμίαν ἐκ τῆς κοινότητος τοῦ σημαινομένου στάσιν εὑρίσκουσα, ἀλλ' ἢ τὸ κοινόν τε καὶ ἀπερίγραπτον ἐν τῷ τινὶ πράγματι διὰ τῶν ἐπιφαινομένων ἰδιωμάτων παριστῶσα καὶ περιγράφουσα· ὡς καὶ τῇ γραφῇ σύνηθες τὸ τοιοῦτον ποιεῖν, ἐν ἄλλοις τὲ πολλοῖς καὶ ἐν τῇ κατὰ τὸν Ἰὼβ ἱστορίᾳ. ἐπειδὴ γὰρ ἔμελλες τὰ περὶ αὐτοῦ διηγεῖσθαι, πρότερον τοῦ κοινοῦ μνημονεύσασα καὶ εἰποῦσα ἄνθρωπος, εὐθὺς ἀποτέμνει τῷ ἰδιάζοντι ἐν τῇ προσθήκῃ τοῦ τὶς, ἀλλὰ τῆς μὲν οὐσίας τὴν ὑπογραφὴν ὡς οὐδὲν φέρουσαν κέρδος πρὸς τὸν προκείμενον τοῦ λόγου σκοπὸν ἐσιώπησε, τὸν δὲ τινὰ, διὰ τῶν οἰκείων γνωρισμάτων χαρακτηρίζει, καὶ τόπον λέγουσα, καὶ τὰ τοῦ ἤθους γνωρίσματα, καὶ ὅσα τῶν ἔξωθεν συμπαραλειφθέντα χωρίζειν αὐτὸν καὶ ἀμφιστᾶν ἔμελλεν τῆς κοινῆς σημασίας· ὥστε διὰ πάντων ἐναργῆ τοῦ ἱστορουμένου γενέσθαι τὴν ὑπογραφὴν, ἐκ τοῦ ὀνόματος, ἐκ τοῦ τόπου, ἐκ τῶν τῆς ψυχῆς ἰδιωμάτων, ἐκ τῶν ἔξωθεν περὶ αὐτὸν θεωρουμένων. εἰ δὲ τὸν τῆς οὐσίας ἐδήλου λόγον, οὐδεμία ἂν ἐγένετο τῶν εἰρημένων ἐν τῇ τῆς φύσεως ἑρμηνείᾳ μνήμη. ὁ γὰρ αὐτὸς ἂν ἦν λόγος ὃς καὶ ἐπὶ τοῦ Βαλδὰδ τοῦ Σαυχίτου, καὶ Σωφὰρ τοῦ Μηναίου, καὶ ἐφ' ἑκάστου τῶν ἐκεῖ μνημονευθέντων ἀνθρώπων.

Βασιλείου. Ἁπλῶς δὲ ὃν λόγον ἔχει τὸ κοινὸν πρὸς τὸ ἴδιον, τοῦτον ἔχει ἡ οὐσία πρὸς τὴν ὑπόστασιν. ἕκαστος γὰρ ἡμῶν καὶ τῷ κοινῷ τῆς οὐσίας λόγῳ τοῦ αὐτοῦ μετέχει, καὶ τοῖς περὶ αὐτῶν ἰδιώμασιν, ὁ δεῖνα ἐστὶ καὶ ὁ δεῖνα.

Πρὸς Ἀμφιλόχιον. Καὶ σαφέστερον εἰπεῖν οὐσία καὶ ὑπόστασις ταύτην ἔχει τὴν διαφορὰν, ἣν ἔχει τὸ κοινὸν πρὸς τὸ καθ' ἕκαστον, οἷον ὡς ἔχει τὸ ζῶον πρὸς τὸν δεῖνα ἄνθρωπον.

Μαξίμου. Κοινὸν μὲν γάρ ἐστι καὶ καθολικὸν, ἤγουν γενικὸν, κατὰ τοὺς πατέρας ἡ οὐσία καὶ ἡ φύσις, ἴδιον δὲ καὶ μερικὸν ἡ ὑπόστασις καὶ τὸ πρόσωπον.

Βασιλείου. Γρηγορίου ἀδελφοῦ αὐτοῦ. Ὃν τοίνυν ἐν τοῖς καθ' ἡμᾶς ἔγνως διαφορᾶς λόγον ἐπί τε τῆς οὐσίας καὶ τῆς ὑποστάσεως, τοῦτον μετατιθεὶς καὶ ἐπὶ τῶν θείων δογμάτων, οὐχ ἁμαρτήσῃ πῶς τὸ αὐτοῦ τοῦ Πατρὸς ὅ τι ποτε ὑποτίθεταί σου ἡ ἔννοια· πρὸς οὐδὲν γάρ ἐστιν ἀποτεταγμένον νόημα τὴν ψυχὴν ἐπερείδειν διὰ τὸ πεπεῖσθαι αὐτῷ ὑπὲρ πᾶν αὐτοῦ νόημα· τοῦτο

καὶ ἐπὶ τοῦ Υἱοῦ νοήσεις, τοῦτο ὡσαύτως καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ Ἁγίου· ὁ γὰρ τοῦ ἀκτίστου καὶ ἀκαταλήπτου λόγος εἷς ἐστι, καὶ ὁ αὐτὸς ἐπί τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· οὐ γὰρ τὸ μὲν μᾶλλον ἀκατάληπτόν τε καὶ ἄκτιστον, τὸ δὲ ἧττον. ἐπειδὴ δὲ χρὴ διὰ τῶν ἰδιαζόντων σημείων ἀσύγχυτον ἐπὶ τῆς Τριάδος τὴν διάκρισιν ἔχειν, τὸ μὲν κοινὸν ἐπιθεωρούμενον, οἷον τὸ ἄκτιστον λέγω, ἢ τὸ ὑπὲρ πᾶσαν κατάληψιν, ἢ εἴτι τοιοῦτον, οὐ συμπαραληψόμεθα εἰς τὴν τοῦ ἰδιάζοντος κρίσιν· ἐπιζητήσομεν δὲ μόνον δι' ὧν ἡ περὶ ἑκάστου ἔννοια τηλαυγῶς καὶ ἀμίκτως τοῖς συνθεωρουμένοις ἀφορισθήσεται. καλῶς οὖν ἔχειν μοι δοκεῖ οὕτως ἀνιχνεῦσαι τὸν λόγον πᾶν ὅπερ ἂν εἰς ἡμᾶς ἐκ θείας δυνάμεως φθάσει ἀγαθὸν, τῆς πάντα ἐν πᾶσιν ἐνεργούσης χάριτος. ἐνέργειαν αὐτοῦ φαμὲν, καθώς φησιν ὁ Ἀπόστολος, ὅτι "ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ "ἑκάστῳ καθὼς βούλεται."

Ζητοῦντες δὲ εἰ ἐκ μόνου Ἁγίου Πνεύματος ἡ τῶν ἀγαθῶν χορηγία τὴν ἀρχὴν λαβοῦσα οὕτω παραγίνεται τοῖς ἀναξίοις, πάλιν ὑπὸ τῆς γραφῆς ὁδηγούμεθα εἰς τὸ τῆς χορηγίας τῶν ἀγαθῶν διὰ τοῦ Πνεύματος ἡμῖν ἐνεργουμένων, ἀρχηγὸν καὶ αἴτιον τὸν μονογενῆ Θεὸν εἶναι πιστεύειν. πάντα γὰρ δι' αὐτοῦ γεγενῆσθαι καὶ ἐν αὐτῷ συνεστάναι παρὰ τῆς ἁγίας γραφῆς ἐδιδάχθημεν. ὅταν τοίνυν καὶ πρὸς ἐκείνην ὑψωθῶμεν τὴν ἔννοιαν, πάλιν ὑπὸ τῆς θεοπνεύστου χειραγωγίας ἀναγόμενοι διδασκόμεθα, ὅτι δι' ἐκείνης μὲν πάντα τῆς δυνάμεως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγεται, οὐ μὴν οὐδὲ ἐξ ἐκείνης ἀνάρχως, ἀλλά τις ἐστὶ δύναμις ἀγεννήτως καὶ ἀνάρχως ὑφεστῶσα, ἥτις ἐστὶν αἰτία τῆς ἁπάντων τῶν ὄντων αἰτίας. ἐκ γὰρ τοῦ Πατρὸς ὁ Υἱὸς, δι' οὗ τὰ πάντα, ᾧ πάντοτε τὸ Πνεῦμα τὸ Ἅγιον ἀχωρίστως συνεπινοεῖται· οὐ γάρ ἐστιν ἐν περινοίᾳ γενέσθαι τοῦ Υἱοῦ μὴ προκαταυγασθέντα τῷ Πνεύματι. ἐπειδὴ τοίνυν τὸ Ἅγιον Πνεῦμα, ἀφ' οὗ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ Υἱοῦ μὲν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται· τῆς δὲ τοῦ Πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ αὐτοῦ, ὅθεν καὶ ἐκπορεύεται, τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τὸν Υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ τὸ ἐκ τοῦ Πατρὸς ὑφεστάναι. ὁ

δὲ Υἱός, ὁ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν Πατέρα ἢ πρὸς τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνος γνωρίζεται. ὁ δὲ ἐπὶ πάντων Θεὸς ἐξαίρετόν τι γνώρισμα τῆς ἑαυτοῦ ὑποστάσεως, τὸ Πατὴρ αὐτοῦ καὶ ἐκ μηδεμιᾶς αἰτίας ὑποστῆναι μόνος ἔχει· καὶ διὰ τούτου πάλιν τοῦ σημείου καὶ αὐτὸς ἰδιαζόντως ἐπιγινώσκεται.

Τούτου ἕνεκεν ἐν τῇ τῆς οὐσίας κοινότητι, ἀσύμβατα φαμὲν εἶναι καὶ ἀκοινώνητα τὰ ἐπιθεωρούμενα τῇ Τριάδι γνωρίσματα, δι' ὧν ἡ ἰδιότης παρίσταται τῶν ἐν τῇ πίστει παραδεδομένων προσώπων· ἑκάστου τοῖς ἰδίοις γνωρίσμασι διακεκριμένως καταλαμβανομένου, ὥστε διὰ τῶν εἰρημένων σημείων τὸ κεχωρισμένον τῶν ὑποστάσεων ἐξαιρεθῆναι. κατὰ δὲ τὸ ἄπειρον καὶ ἀκατάληπτον καὶ τὸ ἄκτιστον αὐτοῦ καὶ μηδενὶ τόπῳ περιειλῆφθαι καὶ πᾶσι τοῖς τοιούτοις μηδεμίαν αὐτῷ παραλλαγὴν ἐν τῇ ζωοποιῷ φύσει ἐπὶ Πατρὸς λέγω καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου, ἀλλά τινα συνεχῆ καὶ ἀδιάσπαστον κοινωνίαν ἐν αὐτοῖς θεωρεῖσθαι, καὶ δι' ὧν ἄν τις νοημάτων τὸ μεγαλεῖον ἑνός τινος τῶν ἐν τῇ Ἁγίᾳ Τριάδι πιστευομένων ἐπινοήσειε, διὰ τῶν αὐτῶν προελεύσεται ἀπαραλλάκτως ἐπὶ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου τὴν δόξαν βλέπων, ἐν οὐδενὶ διαλείμματι μεταξὺ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος τῆς διανοίας κενεμβατούσης· διότι οὐδέν ἐστι τὸ διὰ μέσου τούτων παρενειρόμενον, οὔτε πρᾶγμα ὑφεστὼς ἄλλό τι παρὰ τὴν θείαν φύσιν, ὡς καταμερίζειν αὐτὴν πρὸς ἑαυτὴν διὰ τῆς τοῦ ἀλλοτρίου παρεμπτώσεως δύνασθαι, οὔτε διαστήματός τινος ἀνυποστάτου κενότης, ἥτις κεχηνέναι ποιεῖ τῆς θείας οὐσίας τὴν πρὸς ἑαυτὴν ἁρμονίαν, τῇ παρενθήκῃ τοῦ κενοῦ τὸ συνεχὲς διαστέλλουσα, ἀλλὰ μᾶλλον, καὶ ἐκ τούτου τὸ ἄτρεπτον αὐτοῦ σημαίνων.

Ἐπειδὴ γὰρ τῶν γενητῶν ἡ φύσις τρεπτὴ, καὶ οἱ μὲν παρέβησαν, οἱ δὲ παρήκουσαν, ἥτε πράξις αὐτῶν οὐκ ἔστι βεβαία, ἀλλὰ πολλάκις ἐνδέχεται τὸν νῦν ἀγαθὸν μετὰ ταῦτα τρέπεσθαι· διὰ τοῦτο ἀτρέπτου χρεία, ἵνα τὸ ἀμετάβλητον τῆς τοῦ λόγου δικαιοσύνης ἔχωσιν εἰκόνα καὶ τύπον πρὸς ἀρετὴν οἱ ἄνθρωποι. ἡ δὲ

τοιαύτη διάνοια ἔχει καὶ τὴν αἰτίαν τοῖς εὖ φρονοῦσιν εὔλογον. ἐπειδὴ γὰρ ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ ἐτράπη, καὶ διὰ τῆς ἁμαρτίας θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, διὰ τοῦτο τὸν δεύτερον Ἀδὰμ ἔπρεπεν ἄτρεπτον εἶναι, ἵνα κἂν πάλιν ὁ ὄφις ἐπιχειρήσῃ, αὐτοῦ μὲν ἡ ἀπάτη ἐξασθενήσῃ· τοῦ δὲ Κυρίου ἀτρέπτου ὄντος πρὸς πάντα, ὁ ὄφις ἀσθενὴς τοῖς ἐπιχειρήσασι γένηται. ὥσπερ γὰρ τοῦ Ἀδὰμ παραβάντος εἰς πάντας ἀνθρώπους ἡ ἀπάτη διέβη, οὕτω τοῦ Κυρίου ἰσχύσαντος ἡ τοιαύτη λοιπὸν ἰσχὺς εἰς ἡμᾶς διαβήσεται, ὥστε λέγειν ἕκαστον ἡμῶν, “οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.” οὐκοῦν εἰκότως ὁ Κύριος ὁ ἀεὶ καὶ φύσει ἀτρέπτως ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἀδικίαν χρίεται, καὶ αὐτὸς ἀποστέλλεται, ἵνα ὁ αὐτὸς διαμένων, τὴν τρεπτὴν σάρκα λαβὼν, τὴν μὲν ἁμαρτίαν ἐν αὐτῇ κατακρίνῃ, ἐλευθέραν δὲ αὐτὴν κατασκευάσῃ· εἰς τὸ δύνασθαι λοιπὸν τὸ δικαίωμα τοῦ νόμου πληροῦν ἐν αὐτῇ. ὥστε λέγειν δύνασθαι ἡμεῖς, οὐκ ἐσμὲν ἐν σαρκὶ, ἀλλ' ἐν Πνεύματι. μάτην ἄρα, ὦ Ἀρειανοὶ, ἡ τοιαύτη ὑμῖν ἀπόνοια γέγονεν, καὶ μάτην τὰ ῥήματα τῶν γραφῶν ἐπροφασίσασθε.

Κυρίλλου Θησαυρικῶν. Λέγοντες ὅτι γέγραπται “ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς,” οὐκ ἂν οὖν ὅλως κεχρίσθαι τὸν Κύριον δώσομεν εἰ μὴ δικαιοσύνην ἠγάπησε καὶ ἐμίσησεν ἀδικίαν. ὁ γὰρ αἰτιολογικὸς σύνδεσμος, τουτέστι “διὰ τοῦτο” μεταξὺ κείμενος μισθὸν ὥσπερ ἀρετῆς τὸ χρίσμα δεικνύει. εἰ δὲ διὰ τοῦτο χρίεται ὅτι δικαιοσύνην ἀγαπᾷ καὶ ἀδικίαν μισεῖ, δῶρον ἔχει τὸν ἁγιασμόν. ὁ δὲ προσθήκης τινὸς δεηθεὶς, ἀτελὴς ἂν εἴη, καὶ οὐχ ὅμοιος τῷ τελείῳ Πατρί. ταῦτα μὲν ὑμεῖς· ἀκούσεσθε δὲ ὅτι τοῦτο εἴρηται, οὐχ ἵνα μισθὸν ἀρετῆς τὸ χρίσμα δεδόσθαι τίς ὑπολάβῃ, ἀλλ' ἵνα τοιῶσδε νοήσωμεν τὸ λεγόμενον. τρεπτῆς ὑπάρχων φύσεως ὁ προπάτωρ Ἀδὰμ, καὶ πεφυκὼς ποτὲ μὲν τὴν δικαιοσύνην ἀγαπᾶν καὶ μισεῖν τὴν ἀδικίαν, ποτὲ δὲ πάλιν εἰς τὴν ἐναντίαν ἕξιν μεταπηδᾷν παρηνέχθη παρὰ τοῦ διαβόλου. ἐπειδὴ δὲ πρὸς τὴν τοῦ τοιούτου νοσήματος λύσιν ἔδει τὸν ἄτρεπτον τοῦ Θεοῦ Λόγον ἑαυτὸν ὑπὲρ ἡμῶν ἀντιθεῖναι τῷ πονηρῷ, ἵν' ὥσπερ διὰ τῆς τοῦ Ἀδὰμ τροπῆς ἐνικήθημεν, οὕτω διὰ τῆς ἀτρεψίας τοῦ Λόγου κρατήσωμεν· διὰ τοῦτο χρίεται, ὡς ἀεὶ καὶ ἀπαραλλάκτως δικαιοσύνην ἀγαπῶν καὶ

μισῶν ἀδικίαν, καὶ τραπῆναι μὴ δυνάμενος. ὅταν οὖν λέγω "ἠγά-"πησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν, διὰ τοῦτο ἔχρισέ σε "ὁ Θεός," τοιαύτην τινὰ δέχεσθε διάνοιαν. ἐπειδὴ πάντων τῶν γενητῶν τρεπομένην ἐχόντων τὴν φύσιν, οὐδὲν ἐδύνατο μάχεσθαι τῷ διαβόλῳ, σὺ δὲ ἐξ ἀτρέπτου Πατρὸς ἄτρεπτος ὢν Θεὸς Λόγος, ἀεὶ δικαιοσύνην ἀγαπᾷς, τὴν δὲ ἀδικίαν μισεῖς, ἔχρισέ σε ὁ Θεὸς, ἵνα ἐν σοὶ πρώτῳ τὴν ἀνθρώπου φύσιν πάντα νικῶσαν θεάσηται.

Ἀθανασίου κατὰ Ἀρειανῶν. Ὁ Λόγος γὰρ τοῦ Θεοῦ ἄτρεπτος ἐστὶν ἀεὶ καὶ ὡσαύτως ἔχει, οὐχ ἁπλῶς, ἀλλ' ὡς ὁ Πατήρ. ἐπεὶ πῶς πάντα τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστὶν, εἰ μὴ καὶ τὸ ἄτρεπτον τοῦ Πατρὸς ἔχει; οὐχ ὡς ὑποκείμενος δὲ νόμοις καὶ τὴν ἐπὶ θάτερα ῥοπὴν ἔχων, τὸ μὲν ἀγαπᾷ, τὸ δὲ μισεῖ, ἵνα μὴ φόβῳ τοῦ ἐκπεσεῖν τὸ ἕτερον προσλαμβάνῃ, καὶ ἄλλως πάλιν τρεπτὸς εἰσάγηται, ἀλλ' ὡς Θεὸς ὢν καὶ Λόγος τοῦ Πατρὸς, κριτής ἐστι δίκαιος καὶ φιλάρετος, μᾶλλον δὲ καὶ χορηγὸς ἀρετῆς. δίκαιος οὖν φύσει καὶ ὅσιος ὢν, διὰ τοῦτο ἀγαπᾷν λέγεται δικαιοσύνην καὶ μισεῖν ἀδικίαν, ἴσον τῷ εἰπεῖν, ὅτι τοὺς μὲν ἐναρέτους ἀγαπᾷ καὶ προσλαμβάνεται, τοὺς δὲ ἀδίκους ἀποστρέφεται καὶ μισεῖ. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ Πατρὸς λέγουσιν αἱ γραφαὶ, "δίκαιος "Κύριος καὶ δικαιοσύνας ἠγάπησε." καὶ "ἐμίσησας πάντας "τοὺς ἐργαζομένους τὴν ἀνομίαν." καὶ διὰ Ἡσαΐου λέγει, "ἐγώ "εἰμι Κύριος ὁ ἀγαπῶν δικαιοσύνην καὶ μισῶν ἁρπάγματα ἐξ "ἀδικίας." ἢ τοίνυν κἀκεῖνα τὰ ῥήματα ὡς ταῦτα ἐκλαμβανέτωσαν, καὶ γὰρ κἀκεῖνα περὶ τῆς εἰκόνος τοῦ Θεοῦ γέγραπται, ἢ καὶ ταῦτα ὡς ἐκεῖνα κακῶς διανοούμενοι, τρεπτὸν καὶ τὸν Πατέρα ἐπινοείτωσαν. εἰ δὲ ἀσεβὲς τὸ λέγεσθαι τὸν Θεὸν δικαιοσύνας ἀγαπᾷν, καὶ μισεῖν ἁρπάγματα ἐξ ἀδικίας ὡς δεκτικὸν τοῦ ἐναντίου, ὥστε τοῦτο μὲν ἐκλέγεσθαι, τοῦτο δὲ μὴ αἱρεῖσθαι, ἀκόλουθον ἂν εἴη καὶ περὶ τῆς εἰκόνος τοῦ Θεοῦ τοιαῦτα νοεῖν. τοιαύτην γὰρ εἶναι τὴν εἰκόνα δεῖ, οἷος ὁ ταύτης Πατήρ· πρὸς γὰρ τὸ ἀρχέτυπον ἡ εἰκὼν, καὶ πρὸς τὴν εἰκόνα τὸ ἀρχέτυπον. ἀκουέτωσαν οὖν οἱ θεομάχοι, ἀπόδοτε τὰ τοῦ ἀνθρώπου τῷ ἀνθρώπῳ, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.

Κυρίλλου Ὁμιλία. Ὁρᾷς ὅτι Θεὸς χρίεται παρὰ Θεοῦ, ὅτε

γὰρ γέγονεν ἄνθρωπος μεμενηκὼς ὅπερ ἦν, τότε καὶ καθ' ἡμᾶς ἀνθρωπίνως χρίεται πρὸς ἀποστολήν. χρίεται γὰρ ἡ ἀνθρωπότης τῷ θείῳ Πνεύματι, *οὐκ ἐνεργεῖται καθάπερ ἐπὶ τῶν ψιλῶν ἀνθρώπων, οἷον προφητῶν, πατριαρχῶν· καὶ ἔστι χρίσις οἷον ὅλη τοῦ χρίοντος ἡ παρουσία. χρίεται δὲ ὁ* Υἱὸς *ὅτε εἰς τὴν οἰκουμένην εἰσήχθη, τουτέστιν ὅτε ἐσαρκώθη· τότε γὰρ ἐκοινώνησε τῇ κτίσει, ἑνώσας ἑαυτῷ τὸ κτιστὸν, καὶ χρίσας τὴν ἀνθρωπότητα τῇ θεότητι, ὥστε ποιῆσαι τὰ ἀμφότερα ἕν.*

ΘΕΟΔΩΡΗΤΟΥ ΠΕΡΙ . . . *Φαίη δ' ἄν τις πῶς ὁ* Θεὸς *καὶ μετὰ τοῦ ἄρθρου προσαγορευθεὶς* Θεὸς, *καὶ τὸν θρόνον ἔχων εἰς αἰῶνα αἰῶνος, χρισθείη ἂν ὑπὸ τοῦ* Θεοῦ; *πῶς δ' ἂν χειροτονητὴν λάβοι βασιλείαν, φυσικὴν ἔχων βασιλείαν; ἐναντίον γὰρ τὸ εἶναι βασιλεία τοῦ χρισθῆναι εἰς βασιλείαν. ἐροῦμεν τοίνυν πρὸς τοῦτο, ὅτι τὸν μὲν* Θεὸν, *οὗ ὁ θρόνος εἰς αἰῶνα αἰῶνος, τὸν ἀεὶ ὄντα νοεῖν χρὴ, τὸν δὲ ὕστερον ποτὲ χρισθέντα, τὸ ἐξ ἡμῶν ληφθὲν, τὸ ἐκ* Δαβὶδ, *τὸ ἐξ* Ἀβραὰμ, *τὸ μετόχους ἔχων, οὓς πλεονεκτεῖ τὸ χρίσματι πάντα ἐν ἑαυτῷ δεξάμενον τὰ τοῦ παναγίου* Πνεύματος *χαρίσματα. ἐν ἑκατέρᾳ δὲ φύσει ὁ εἷς* Θεὸς *προσκυνεῖται.*

10 Καὶ, σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελιώσας, καὶ
11 ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. καὶ πάντες ὡς ἱμάτιον παλαιωθή-
12 σονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

ΘΕΟΔΩΡΗΤΟΥ. *Ἔδειξεν αὐτὸν τὸν ἁπάντων δημιουργόν. διὰ γὰρ οὐρανοῦ καὶ γῆς πάντα τὰ ἐν αὐτοῖς περιέλαβεν, ἃ καὶ ἀπὸ ἀρχῆς τινος τοῦ μὴ εἶναι ποτὲ γέγονε καὶ ἐκτίσθη. δῆλον γὰρ ὅτι τὸ κατ' ἀρχὰς κτιζόμενον, ἀρχὴν ἔχει τοῦ κτίζεσθαι. ἐδίδαξεν ὡς ἄτρεπτος καὶ ἀναλλοίωτος. τοῦτο γὰρ δηλοῖ τὸ "αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις." ἐδήλωσε καὶ τῆς κτίσεως τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ὑπ' αὐτοῦ γενησομένην. αὐτοῦ δὲ τὸ ἄναρχον καὶ ἀνώλεθρον. "σὺ γάρ," φησιν, "ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν·" οὐ γὰρ ἐγένου, ἀλλὰ εἶ, οὐδὲ ἀλλοίωσιν δέχῃ*

τινά· ἀεὶ γὰρ ὁ αὐτὸς εἶ. δηλοῖ δὲ ταῦτα καὶ τὸ ἀπαθὲς τῆς θεότητος· εἰ γὰρ αὕτη πέπονθεν, πῶς ἐστὶν ἡ αὐτή; ἠλλοίωται γάρ. καὶ εἰ τρεῖς ἡμέρας ἐν τῷ θανάτῳ πεποίηκεν, ἐξέλειπε τὰ ἔτη. ἀλλὰ καὶ ὁ προφήτης ἡμᾶς, καὶ ὁ Ἀπόστολος διδάσκει, ὁ μὲν, γεγραφὼς τὴν μαρτυρίαν, ὁ δὲ ταύτῃ χρησάμενος, ὡς ὁ αὐτός ἐστι, καὶ τὰ ἔτη αὐτοῦ οὐκ ἐκλείψουσιν.

Χρυσοστόμου. Ἵνα γὰρ μὴ ἀκούσας "ὅταν δὲ εἰσαγάγῃ τὸν "πρωτότοκον εἰς τὴν οἰκουμένην," ὡς δῶρον νομίσῃς εἶναι ὕστερον αὐτῷ προσδοθὲν, τοῦτο καὶ ἄνω προδιωρθώσατο. εἶτα καὶ πάλιν ἐπιδιορθοῦται λέγων "καταρχὰς," οὐχὶ νῦν ἀλλ' ἄνωθεν. ἰδοὺ πάλιν καὶ τὸν Σαμοσατέα καιρίᾳ πλήττει πληγῇ καὶ Ἄρειον· ἃ περὶ τοῦ Πατρός ἐστιν εἰπεῖν, ταῦτα ἁρμόσας τῷ Υἱῷ. μετὰ δὲ τούτου, καί τι ἄλλο πάρεργον ἠνίξατο. καὶ γὰρ τὴν μετασχημάτισιν τοῦ κόσμου παρεδήλωσε λέγων, ὅτι ἀλλαγήσονται, ὃ καὶ ἐν τῇ πρὸς Ῥωμαίους φησὶν, ὅτι μετασχηματίσει τὸν κόσμον, καὶ τὸ εὔκολον δηλῶν, ἐπήγαγεν, "ἑλίξεις αὐτοὺς," ὥσπερ γάρ τις περιβόλαιον, οὕτως αὐτὸς τὸν κόσμον ἑλίξει καὶ ἀλλάξει. εἰ δὲ τὴν ἐπὶ τὸ βέλτιον μετασχημάτισιν οὕτως εὐκόλως ἐργάζεται, ἐπὶ τῆς ἐλάττονος δημιουργίας ἑτέρου ἐδεῖτο, μέχρι τίνος οὐκ αἰσχύνεσθε;

Θεοδωρήτου Ψαλμοῖς περὶ ... Ὁ δὲ νοῦς τῶν ψαλμικῶν ῥημάτων τοιοῦτος. τὴν μὲν κτίσιν ὁ ποιητὴς ὡς ἂν ἐθέλῃς μετασκευάζεις· τρεπτὴ γάρ ἐστι, καὶ τοῖς σοῖς ἀκολουθεῖ νεύμασιν, αὐτὸς δὲ, ἄτρεπτον ἔχεις τὴν φύσιν καὶ ἀναλλοίωτον. τούτου δὴ χάριν περὶ μὲν τῆς κτίσεως ὁ προφήτης φησὶν, ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτά. περὶ δὲ σοῦ τοῦ Θεοῦ Λόγου, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ σὺ περὶ σεαυτοῦ, ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι. σὺ τῇ γῇ τὸ εἶδος δέδωκας καὶ τὴν τάξιν, "κατ' ἀρχάς·" τουτέστιν ἅμα τῷ οὐσιωθῆναι τοὺς ἀνθρώπους μὴ ὄντας ἐποίησας τῇ ἐνεργητικῇ σου δυνάμει, καὶ τούτων μεταβολὴν δεχομένων καὶ ἀλλοιουμένων ὡς ποιημάτων, σὺ τὸ ἄτρεπτον ἔχεις ὡς ποιητής. τὰ μὲν γὰρ γενητὰ ἤρξατο γίνεσθαι, καὶ προάγει αὐτὸν ἡ ἀρχὴ, καὶ τὸ εἶναι αὐτῶν ἐν τῷ γίνεσθαι μετρεῖται. ὁ δὲ Λόγος οὐκ ἔχων ἀρχὴν, τοῦ εἶναι τῶν τὴν ἀρχὴν ἐχόντων δημιουργὸς γίνεται.

Ἀπολοῦνται δὲ οἱ οὐρανοὶ οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὸ σχῆμα.

"παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου," καὶ ἅπαντα δὲ τὰ ὁρώμενα καταγηράσει, καὶ ἱματίου μιμήσεται παλαιότητα, τῇ συνεχεστέρᾳ χρήσει καὶ τῷ χρόνῳ· σὺ δὲ αὐτὴν ἀλλάξεις καὶ νεουργήσεις, καὶ ἄφθαρτα ποιήσεις ἀντὶ φθαρτῶν. καὶ αὐτὴ γὰρ ἡ κτίσις ἐλευθερωθήσεται ἐκ τῆς δουλείας τῆς φθορᾶς, καὶ οἱ οὐρανοὶ ὑποβληθήσονται φθορᾷ. ἡ δὲ φθορὰ αὕτη γενήσεται αὐτοῖς εἰς ἀνακαινισμὸν, καὶ συστελεῖς αὐτοὺς οὕτως εὐχερῶς, ὡς ἑλίσσει τις περιβόλαιον· ἑλιχθήσονται γὰρ εἰς βέλτιον σχῆμα μεταβαλλόμενοι, καὶ ἀλλαγήσονται, καὶ τροπὴν ἀγαθὴν ὑπομενοῦσι τὴν ἀπὸ τῆς παλαιότητος ἐπὶ τὴν ἀνακαίνισιν καὶ τὴν ἀφθαρσίαν. ἀλλὰ τὴν μὲν κτίσιν οὕτω μεταρυθμίζεις καὶ μεθαρμόζεις, καὶ μεταβάλλεις τὰ πάντα ὡς θέλεις. σὺ δὲ ἅτε Θεὸς, ἄτρεπτον ἔχεις τὴν φύσιν καὶ ἀΐδιον, καὶ ἀλλοιώσεως κρείττονα. κτισμάτων γὰρ ἴδιον τὸ ἀλλοιοῦσθαι, τῷ καὶ τὴν οὐσίαν αὐτῆς ἀποτροπῆς ἦρχθαι, καὶ ἀπό τινος ἀρχῆς. σοῦ δὲ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος ἀτρέπτου τε καὶ ἀμεταβλήτου ὄντος, ὑπερούσιος ἡ οὐσία, ἄναρχός τε καὶ ἀτελεύτητος. μόνος γὰρ ἔχεις ἀθανασίαν καὶ τὴν ὕπαρξιν ἐπ' ἄπειρον. ἔτη γὰρ ἐπὶ Θεοῦ τὴν παράτασιν τοῦ εἶναι νοητέον. ὡς δὲ οὐκ ἔμελλεν ἄτρεπτος εἶναι ὁ μετὰ τοῦ Πατρὸς ἓν ὢν καὶ τῆς οὐσίας ἴδιος ὢν αὐτοῦ, ἧς ἀτρέπτου οὔσης, ἄτρεπτον καὶ τὸ ἐξ αὐτῆς γέννημα.

Εἰ δὲ τοῦ ὄντος Λόγου τροπὴν Ἀρειανικὴν καταψεύδονται, μανθανέτωσαν ποῦ τούτοις ὁ λόγος κινδυνεύει· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. καὶ διὰ τοῦτο ὁ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε τὸν Πατέρα, καὶ ἡ τοῦ Υἱοῦ γνῶσις, γνῶσις ἐστὶ τοῦ Πατρός. οὐκοῦν ἀναλλοίωτος ἡ εἰκὼν τοῦ ἀτρέπτου εἴη ἄν. ὁ μὲν οὖν Δαβὶδ πρὸς αὐτὸν ψάλλει, "σὺ δὲ ὁ αὐτὸς εἶ," ὁ δὲ Κύριος περὶ ἑαυτοῦ φησιν, "ἴδετέ με ὅτι ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι·" εἰ γὰρ καὶ περὶ τοῦ Πατρὸς ὁ λόγος, ἀλλὰ καὶ τὸν Υἱὸν ἁρμόσει λέγειν, ὅτι μάλιστα γενόμενος ἄνθρωπος, δείκνυσι τὴν ταυτότητα καὶ τὸ ἄτρεπτον αὐτοῦ τοῖς νομίζουσι διὰ τὴν σάρκα ἠλλοιῶσθαι αὐτὸν καὶ ἕτερόν τι γεγενῆσθαι.

Πάντων τοίνυν τῶν γενητῶν καὶ πάσης τῆς κτίσεως διὰ τῆς οὐρανοῦ καὶ γῆς σημασίας τρεπτὴν καὶ ἀλλοιωτὴν τὴν φύσιν ἡ Γραφὴ λέγουσα, καὶ τὸν Υἱὸν ὑπεξαίρουσα τούτων, δείκνυσι μηδόλως

γενητὸν αὐτὸν εἶναι, ἀλλὰ καὶ μᾶλλον αὐτὸν ἀλλοιοῦντα τὰ ἄλλα· καὶ μὴ ἀλλοιούμενον αὐτὸν διδάσκει δι' ὧν φησι, "σὺ δὲ ὁ αὐτὸς "εἶ." καὶ εἰκότως· τὰ μὲν γὰρ γενητὰ ἐξ οὐκ ὄντων ὄντα, καὶ ὄντα πρὶν γένηται ὅλως ὅτι οὐκ ὄντα γένηται, ἀλλοιουμένην ἔχει τὴν φύσιν. ὁ δὲ Υἱὸς ἐκ τοῦ Πατρὸς ὤν, καὶ τῆς οὐσίας αὐτοῦ ἴδιος, καὶ οὐκ ἐν ἄλλῃ ἀρχῇ τὸ εἶναι ἔχων, ἀλλ' ἐν τῷ ἀνάρχῳ Πατρὶ, ἵνα καὶ αὐτὸς ἄναρχος ᾖ, ἀναλλοίωτος καὶ ἄτρεπτος ἐστὶν, ὡς αὐτὸς ὁ Πατήρ. οὐ γὰρ θέμις εἰπεῖν ἐκ τῆς οὐσίας τοῦ ἀτρέπτου τρεπτὸν γεννᾶσθαι Λόγον, καὶ ἀλλοιουμένην σοφίαν. πῶς γὰρ ἔτι Λόγος, εἰ τρεπτός ἐστιν; ἢ πῶς ἐστι σοφία τὸ ἀλλοιούμενον; εἰ μὴ ἄρα ὡς ἐν οὐσίᾳ συμβεβηκέναι τινὰ χάριν καὶ ἕξιν ἀρετῆς, καὶ κεκλῆσθαι ταύτην οὕτως Λόγον καὶ Υἱὸν καὶ σοφίαν εἴποιεν· ὥστε καὶ ἀφαιρεῖσθαι καὶ προστίθεσθαι αὐτῇ δύνασθαι. ἀλλ' οὐκ ἔστι Χριστιανῶν ἡ πίστις αὕτη· τὸ γὰρ τρεπόμενον καὶ οὐχ ἱστάμενον ἐν ἑνὶ καὶ τῷ αὐτῷ πῶς δύναται εἶναι ἀληθές; ἀλλὰ μὴν ὁ Κύριος περὶ ἑαυτοῦ λέγει, "ἐγώ εἰμι ἡ ἀλήθεια," καὶ τὸ ἄτρεπτον αὐτοῦ τοῦτο δείκνυσιν. οἱ δὲ Ἀρειανοὶ ἀπὸ τῆς καρδίας ὡς ἀπὸ φθορᾶς ταῦτα ἐξεμοῦσι, καὶ γένητον αὐτὸν λέγουσι.

Κυρίλλου θησαυρικῶν. Ἀλλὰ μὴν πᾶν ὅπερ ἂν φαίνηται γεγονὸς κατ' οὐσίαν, καὶ εἰς τὸ μὴ εἶναι καταλήξει ποτὲ, θελήσαντος τοῦ δημιουργοῦ· καὶ ὅπερ ἂν ἔχοι φύσιν τοῦ παθεῖν τί δεκτικὴν, πάθοι ἂν καὶ εἰ μήπω πέπονθε· τὸ δὲ πάσχειν οὐ πεφυκὸς, οὐκ ἄν τι πάθοι ποτὲ καὶ ἕτερόν τι παρ' ἐκεῖνο ἐστί· καὶ τὸ ἀεὶ ὡσαύτως ὤν, οὔτε τοῦ εἶναι ἤρξατο, οὔτε μὴν οἶδε τὸν ἐπὶ τῷ τέλει δρόμον, ὥσπερ τὰ τοῦ εἶναι ἀρξάμενα. ἀλλ' οὐκ ἄν τις εἴποι νοῦν ἔχων, τὰ τοσαύτην ἔχοντα πρὸς ἄλληλα τὴν ἐναντιότητα, καὶ οὕτω κατὰ φύσιν διεστηκότα, ὁμογενῆ τε εἶναι, καὶ τῆς αὐτῆς ὑπάρχειν οὐσίας. εἰ τοίνυν ἐπὶ μὲν τῶν ποιημάτων ὡς ὑποκειμένων φθορᾷ λέγεται, αὐτοὶ ἀπολοῦνται, ἐπὶ δὲ τοῦ Υἱοῦ, "σὺ δὲ διαμένεις;" κἀκεῖνα μὲν παλαιωθήσεται ὡς γενητικὴν ἔχοντα τὴν φύσιν, τοῦ δὲ Υἱοῦ τὰ ἔτη οὐκ ἐκλείψουσι, πῶς ὁ μονογενὴς[u] ἔσται τοῖς Ἀγγέλοις ὁ Υἱός; τοῖς γενητοῖς ὁ ἀγένητος; τοῖς πεποιημένοις ὁ ποιητής; τοῖς παρελθεῖν δυναμένοις ὁ αἰώνιος; εἰ γὰρ καὶ

[u] Leg. ὁμογενής.

ἀθάνατόν τι χρῆμα ὁ Ἄγγελος ἐστὶ διὰ τὴν οὕτω κειμένην ἐπ' αὐτῷ τοῦ ποιήσαντος βούλησίν τε καὶ χάριν, ἀλλ' ἐπείπερ ἀρχὴν τοῦ εἶναι ἔχει, δύναιτ' ἂν καὶ εἰς τέλος ἐλθεῖν. φύσεως δὲ πλεονεκτήματα τοῖς ἔχουσιν ἐστὶν ἰσχυρὰ, καὶ οὐχὶ τῷ πεποιηκότι Θεῷ· ὥσπερ οὖν καὶ τὸ πῦρ, καυστικὸν μέν ἐστιν, ἀλλ' οὐ τῷ Θεῷ, οὕτω καὶ Ἄγγελος ἀθάνατος μὲν, ἀλλ' οὐ τῷ Θεῷ· μόνος γὰρ αὐτὸς κυρίως ἀθάνατος, φυσικῶς ἔχων, οὐκ ἀπὸ χάριτος, τὴν ἀσφάλειαν, ὥσπερ τὰ γενητά.

13 Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκε ποτὲ, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Χρυσοστόμου. Οἱ μὲν περὶ Ἄρειον καὶ Εὐνόμιον εἰς τὸν Θεὸν Λόγον εἰρῆσθαι λέγουσι ταῦτα καὶ πρὶν σαρκωθῆναι. οἱ δὲ περὶ Παῦλον τὸν Σαμοσατέα καὶ Φωτεινὸν, καὶ Σαβέλλιον, εἰ ψιλὸν ἄνθρωπον ἐκ Μαρίας τὴν ἀρχὴν ἔχοντα, τί οὖν ἐροῦσι πρὸς τὸ "ἐκ "γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε;" οἱ δὲ Ἰουδαῖοι, τὸ γελοιότερον, εἰς τὸν Ἀβραὰμ ἐκ προσώπου τοῦ δούλου. ὅσης δὲ ἀνοίας τὸ νομίζειν τὸν Ἀβραὰμ καθῆσθαι ἐκ δεξιῶν τοῦ Θεοῦ, ὅς γε καὶ τὸ παρεστάναι τοῖς Ἀγγέλοις, μεγίστης ἄξιον ἡγεῖτο τιμῆς εἶναι; ποῦ δὲ ἱερεὺς ὁ Ἀβραὰμ, ὅς γε καὶ αὐτὸς ἱερεῖ τῷ Μελχισεδὲκ ἐκέχρητο, καὶ τὰς παρ' αὐτοῦ εὐλογίας ἐζήτει; πῶς δ' ἂν ἔχοι λόγον περὶ τοῦ Ἀβραὰμ εἰρῆσθαι τὸ "ἐκ γαστρὸς πρὸ ἑωσφόρου "ἐγέννησά σε;" ἕτεροι δὲ, τὸν μὲν λέγοντα φασὶ τὸν Θεὸν, τὸν δὲ ἀκούοντα τὸν Ζοροβάβελ. τί οὖν; ὁ Ζοροβάβελ κύριος τοῦ Δαβίδ; καὶ πῶς ἂν ἔχοι λόγον ὃς καὶ αὐτὸς ἀντὶ μεγάλης τιμῆς, Δαβὶδ κέκληται; ποῦ δὲ ἱερωσύνην ἔσχε, καὶ ταύτην ξένην τινὰ καὶ παράδοξον; ἀλλὰ τὰς αἱρετικὰς καὶ Ἰουδαϊκὰς φλυαρίας παρελθόντας, εἰπεῖν χρὴ τἀληθὲς, ὅτι εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν εἴρηται ὁ Ψαλμὸς, τὸν μονογενῆ μὲν ἐκ Πατρὸς, κατὰ σάρκα δὲ πρωτότοκον· εἷς γὰρ τὸ συναμφότερον· ἐπιτρέπεται δὲ καθῆσθαι, οὐχ ὡς μονογενὴς, κατὰ τοῦτο γὰρ συναΐδιος καὶ ὁμόθρονος, ἀλλ' ὡς πρωτότοκος καὶ κληρονόμος.

Θεοδωρήτου Ψαλμοῖς. Τοῦτο καὶ Πέτρος εἰς τὸν Κύριον ἐξελάβετο, καὶ αὐτὸς δὲ ὁ Κύριος ὁρῶν τοὺς Φαρισαίους ἄλλας

περὶ τοῦ Χριστοῦ δόξας ἔχοντας, καὶ ψιλὸν αὐτὸν ἄνθρωπον νομίζοντας, μηδὲν πλέον τῶν λοιπῶν ἔχοντα, πεῦσιν αὐτοῖς τοιάνδε προσήνεγκε, "τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν;" εἰρηκότων δὲ ἐκείνων, τοῦ Δαβὶδ, ἀπεκρίνατο, "πῶς οὖν ὁ Δαβὶδ "ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων, Εἶπεν ὁ Κύριος τῷ "Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου." εἶτα ἐπισυλλογίζεται· "εἰ "οὖν Δαβὶδ Κύριον αὐτὸν καλεῖ ἐν Πνεύματι," (ἀλλ' οὐκ ἐν ἀνθρωπίνῳ λογισμῷ,) "πῶς υἱὸς αὐτοῦ ἐστί;" τοῦτο δὲ ἔφη, οὐκ ἐκβάλλων τὸ εἶναι υἱὸν Δαβὶδ τὸν Χριστὸν, ἀλλὰ τῷ ὁμολογουμένῳ τὸ ἀγνοούμενον προστιθείς. τὸ μὲν γὰρ εἶναι υἱὸν τοῦ Δαβὶδ τὸν Χριστὸν, ὡμολόγουν οἱ Φαρισαῖοι. ὅτι δὲ καὶ Κύριος ἦν τοῦ Δαβὶδ, ἠγνόουν παντάπασι. τὸ λεῖπον τοίνυν προστίθησιν, οὐ τὸ ὁμολογούμενον ἀναιρεῖ, διδάσκων ὡς αὐτὸς καὶ υἱὸς Δαβὶδ, τὸ κατὰ σάρκα, καὶ Κύριος αὐτοῦ ὡς Θεὸς καὶ δημιουργός. εἰ οὖν Δαβὶδ ὁ μέγας καὶ εὐσεβὴς, βασιλεὺς καὶ προφητικῆς χάριτος ἠξιωμένος, Κύριον ἑαυτοῦ καλεῖ τὸν δεσπότην Χριστὸν, οὐκ ἄρα μόνον ἄνθρωπος κατὰ τὴν Ἰουδαίων διάνοιαν, ἀλλὰ καὶ Θεὸς, ὡς τοῦ Δαβὶδ δημιουργός τε καὶ Κύριος.

Καὶ τὸ κοινὸν δὲ τῶν ὀνομάτων τὴν ταυτότητα τῆς οὐσίας δηλοῖ, Κύριος γὰρ Κυρίῳ λέγει, ὁ Πατὴρ τῷ Υἱῷ, καὶ ὁ Κύριος κτίσματι. τὸ δὲ "κάθου," μέγα μὲν καὶ οὐ μόνον ἐπὶ τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ καὶ ὑπὲρ ἅπασαν κτίσιν, πλὴν ἀνθρωπίνως αὐτῷ εἴρηται. ὡς γὰρ Θεὸς ὁ Υἱὸς, αἰώνιον ἔχει τὸν θρόνον, καὶ οὐ μετὰ τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν, ταύτης ἠξιώθη τῆς τιμῆς, ἀλλ' ἔλαβεν ὡς ἄνθρωπος, ὅπερ εἶχεν ὡς Θεός. σημαίνει δὲ ὁ μὲν θρόνος τὴν βασιλικὴν ἀξίαν· ἡ δὲ κάθισις, τὸ βέβαιον καὶ ἑδραῖον, καὶ τὴν ἐν ταυτῷ τῶν ἀγαθῶν ἵδρυσίν τε καὶ διαμονήν· ἡ δεξιὰ δὲ χώρα τὸ τῆς ἀξίας ὁμότιμον. τοῦτο γὰρ ἡ κοινωνία τῆς καθέδρας δηλοῖ τὴν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα συμβασίλευσιν. εἰ δὲ τὸ εἰπεῖν "κάθου" σκανδαλίζει τινὰς, ἀκουέτωσαν ὅτι ἐκ δεξιῶν κάθηται, καὶ τοῦ σκανδάλου ἀπαλλαττέσθωσαν· τὸ γὰρ δεξιὸν, τὴν πρὸς τὸ ἶσον σχέσιν δηλοῖ. οὐ σωματικῶς τοῦ δεξιοῦ λαμβανομένου, ἀλλ' ἐκ τῶν τιμίων τῆς προεδρίας ὀνομάτων, τὸ μεγαλοπρεπὲς τῆς περὶ τὸν Υἱὸν τιμῆς παριστῶντος τοῦ λόγου.

Ἀθανασίου περὶ Πίστεως. Πλὴν ὅπερ ἔφημεν τὸ "κάθου "ἐκ δεξιῶν μου," εἰς τὸ Κυριακὸν σῶμα λέγεται· εἰ γὰρ κατὰ τὸν Ἱερεμίαν "τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ λέγει Κύριος," πάντα δὲ χωρεῖ ὁ Θεὸς, ὑπ᾽ οὐδενὸς δὲ χωρεῖται, εἰς ποῖον καθέζεται θρόνον; τὸ σῶμα τοίνυν ἐστὶν ᾧ λέγει "κάθου ἐκ δεξιῶν μου," οὗ καὶ γέγονεν ἐχθρὸς ὁ διάβολος σὺν ταῖς πονηραῖς δυνάμεσι, καὶ Ἰουδαῖοι καὶ Ἕλληνες οἱ τοῖς Χριστοῦ κηρύγμασιν ἀντιπίπτοντες.

Ἀπολιναρίου. Καὶ ἀνθρώπινον μὲν τὸ πρόσταγμα, ἀρχὴν τῇ καθέδρᾳ παρεχόμενον. θεῖον δὲ τὸ ἀξίωμα τὸ συγκαθῆσθαι Θεῷ, ᾧ παρεστήκασι καὶ λειτουργοῦσιν αἱ μυριάδες καὶ χιλιάδες. ὥσπερ δὲ ὡς πρὸς ἄνθρωπον λέγει τὸ "κάθου," οὐ γὰρ τῷ ἀεὶ καθημένῳ ἐπὶ θρόνου δόξης, καθὸ Θεὸς Λόγος εἴρηται, μετὰ τὴν ἐκ γῆς ἄνοδον, ἀλλὰ τῷ νῦν εἰς τὴν ἐπουράνιον ὑψωθέντι δόξαν, καθὸ ἄνθρωπος, οὕτως οὐδὲ τοὺς ἐχθροὺς ὡς Θεῷ ὑποτάσσει, ἀλλ᾽ ὡς ἀνθρώπῳ. καὶ διδάσκει Παῦλος, ἴδιον αὐτοῦ τιθεὶς τὸ κατόρθωμα, κατὰ τὸ θεϊκὸν δηλαδὴ, ἐν οἷς φησι, "κατὰ τὴν ἐνέργειαν τοῦ "δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα."

Χρυσοστόμου Ψαλμοῖς. Σὺ δὲ ἀκούων τοῦ προφήτου λέγοντος ὅτι ὁ Πατὴρ τίθησιν ὑπὸ τοὺς πόδας, μὴ θορυβηθῇς· οὐ γὰρ ὡς ἀτονοῦντος τοῦ παιδὸς τοῦτο εἴρηται. ὁ Παῦλος γοῦν αὐτὸν φησὶ τοὺς ἐχθροὺς τιθέναι ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ τὸ πᾶν αὐτῷ ἀνατίθησι λέγων· "ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν "καὶ δύναμιν·" κοινὰ γὰρ τὰ ἔργα, τὰ ἐκείνου τούτου, καὶ τὰ τούτου ἐκείνου. ὥστε κἂν ἀκούσῃς, ὅτι ὁ Πατὴρ ὑπέταξε, μὴ ἀλλότριον εἶναι λέγε τὸν Πατέρα τοῦ πράγματος· καὶ ὑποπόδιον δὲ ἀκούων, μηδὲν αἰσθητὸν νόμιζε, ἀλλὰ τὴν ἐπιτεταμένην ὑποταγήν.

Θεοδωρήτου Ψαλμοῖς. Τὸ δὲ "ἕως οὗ," οὐ χρόνου ἐστὶν ὅρος, ἐπεὶ, πῶς ἕστηκεν ἐκείνῳ τὸ προφητικὸν τὸ λέγον, "ἡ ἐξουσία "αὐτοῦ ἐξουσία αἰώνιος. καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία ἥτις οὐ "διαφθαρήσεται, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος," εἴγε μέχρι τούτου μέλλει βασιλεύειν; οὐ τοίνυν χρόνου σημαντικὸν τὸ "ἕως," ἀλλ᾽ ἰδίωμα τῆς θείας Γραφῆς, οἷον τὸ "ἕως ἂν "καταγηράσηται, ἐγώ εἰμι." δῆλον δὲ ὅτι οὐ συμπεριορίζεται τὸ

εἶναι τοῦ Θεοῦ τῷ γήρᾳ τῶν ἀνθρώπων, ἀλλὰ καὶ γηρώντων καὶ τελευτώντων διαμένει ὁ τῶν ὅλων ποιητὴς, καὶ τὰ ἔτη αὐτοῦ οὐκ ἐκλείψουσι. τοῦτο ἔοικεν ἐκείνῳ τῷ ἀποστολικῷ ῥητῷ, "δεῖ γὰρ "αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ "ὑπὸ τοὺς πόδας αὐτοῦ." οὐδὲ γὰρ ἐνταῦθα τὸ ἄχρι χρόνου δηλωτικόν. ποῖον γὰρ ἔχει λόγον ἔτι μέν τινων ἀντιλεγόντων βασιλεύειν αὐτὸν, μετὰ δὲ τὴν ἁπάντων ὑποταγὴν ἀφαιρεῖσθαι τὴν βασιλείαν; καὶ μὴν Δανιὴλ ὁ προφήτης μετὰ τὴν τῶν θηρίων ἀναίρεσιν αὐτὸν ἔφη βασιλεύειν εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ μὴ ἔσεσθαι τέλος. πῶς δὲ καὶ οἱ ἅγιοι συμβασιλεύουσιν, ἢ τίνι συμβασιλεύσουσι, τοῦ τὴν βασιλείαν ὑπεσχημένου ἀποτιθεμένου τὴν βασιλείαν; οὐκοῦν τὸ "ἕως" χρόνου δηλωτικὸν, ἀλλὰ κατὰ ἰδίωμα τῆς θείας κεῖται Γραφῆς.

Γρηγορίου θεολόγου. Σὺ δὲ ὁ τὴν δόξαν τοῦ μονογενοῦς ἐλαττῶν, ὡς μέγιστόν τι προβάλλῃ καὶ ἄμαχον, τὸ "δεῖ γὰρ "αὐτὸν βασιλεύειν ἄχρι τοῦδε," καὶ "ὑπ᾽ οὐρανοῦ δειχθῆναι ἄχρι "χρόνων ἀποκαταστάσεως," καὶ τὴν ἐκ δεξιῶν καθέδραν ἔχειν ἕως τῆς τῶν ἐχθρῶν ἐπικρατήσεως, τὸ μετὰ τοῦτο δὲ τί λῆξαι τῆς βασιλείας, ἢ τῶν οὐρανῶν ἀποστῆναι. τίνος παύσοντος; ἢ δι᾽ ἥν τινα αἰτίαν; ὡς τολμηρὸς ἐξηγητὴς σὺ καὶ λίαν ἀβασίλευτος, καὶ μὴν ἀκούεις τῆς βασιλείας αὐτοῦ μὴ εἶναι πέρας· ἀλλὰ τοῦτο πάσχεις παρὰ τὸ μὴ γινώσκειν ὅτι τὸ "ἕως" οὐ πάντως ἀντιδιαιρεῖται τῷ μέλλοντι, ἀλλὰ τὸ μέχρι μὲν τοῦδε τίθησι, τὸ ὑπὲρ τοῦτο δὲ, οὐκ ἀναίνεται. ἢ πῶς νοήσεις, ἵνα μὴ τὰ ἄλλα λέγω, τὸ "ἔσομαι μεθ᾽ ὑμῶν ἕως τῆς συντελείας τοῦ αἰῶνος;" ἆρ᾽ ὡς μετὰ τοῦτο οὐκ ἐσομένου; καὶ τίς ὁ λόγος;

Θεοδωρήτου. Κατὰ δὲ τὸν ἡμέτερον λόγον, οὐχ ὡς Θεῷ λέγει "κάθου ἐκ δεξιῶν μου." πῶς γάρ; ὁ θρόνος γὰρ αὐτοῦ εἰς αἰῶνα αἰῶνος. ὡς ἄνθρωπος τοίνυν ταύτης μετέλαχε τῆς τιμῆς· ὡς γὰρ Θεὸς αἰώνιον ἔχει τὸν θρόνον.

Χρυσοστόμου. Ἅμα δὲ καὶ μεγίστη παραμυθία κἀκεῖνο ἦν τοῖς ἐξ Ἑβραίων πιστεύσασι, τὸ γνῶναι ὅτι οὐκ ἔσται οὕτω τὰ πράγματα, ἀλλὰ τὰ πάντα μεταβολὴν λήψεται καὶ ἀλλαγήσεται, αὐτὸς δὲ μένει διὰ παντὸς ὁ αὐτὸς ὢν, καὶ ἄπειρος ὤν. καὶ νῦν δὲ ἰδοὺ πάλιν αὐτοὺς παραθαρρύνει, εἴ γε μέλλοιεν οἱ ἐχθροὶ αὐτῶν

ἡττηθήσεσθαι. καὶ ὅτι ἐχθροὶ αὐτῶν οἱ αὐτοὶ εἰσὶ καὶ τοῦ Χριστοῦ, τοῦτο βασιλείας, τοῦτο ὁμοτιμίας, τοῦτο τιμῆς, οὐκ ἀδυναμίας· τὸ τὸν Πατέρα ὀργίζεσθαι ὑπὲρ τῶν εἰς τὸν Υἱὸν γεγενημένων, τοῦτο πολλῆς ἀγάπης δεῖγμα καὶ γνησιότητος, τῆς ὡς ἀπὸ πατρὸς πρὸς υἱόν. ὁ δὲ ὀργιζόμενος ὑπὲρ αὐτοῦ πῶς ἀλλότριος αὐτοῦ ἐστίν; ὁ λέγων "ἕως ἂν θῶ τοὺς ἐχθρούς σου," ὅπερ καὶ ἐν τῷ δευτέρῳ Ψαλμῷ λέγεται· "ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελά-"σεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. τότε λαλήσει "πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐ-"τούς." καὶ πάλιν αὐτὸς, τοὺς μὴ θέλοντάς με βασιλεῦσαι ἐπ' αὐτοὺς, ἀγάγετε ὧδε ἐνώπιόν μου, καὶ κατασφάξατε αὐτούς." ὅτι γὰρ αὐτοῦ ἐστὶ τὰ ῥήματα, ἄκουσον τί φησι καὶ ἑτέρωθι, "ποσάκις ἠθέλησα συναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε· "ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος." καὶ πάλιν, "ἀρθήσεται ἀφ' "ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς "αὐτῆς." καὶ πάλιν, "ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συγκλασθή-"σεται· ἐφ' ὃν δ' ἂν πέσει, λικμήσει αὐτόν." ἄλλως δὲ ὁ μέλλων ἐκεῖ κρίνειν αὐτοὺς, πολλῷ μᾶλλον αὐτοὺς δίκην ἐνταῦθα τῆς εἰς αὐτὸν παροινίας ἀπήτησεν, ὥστε τιμῆς μόνης ἐστὶ τῆς εἰς τὸν Υἱὸν, τὸ "ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου."

14 Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν βασιλείαν;

ΘΕΟΔΩΡΗΤΟΥ. Ἱκανῶς καὶ τὴν κατὰ τὸ ἀνθρώπειον διαφορὰν ἔδειξεν· ὁ μὲν γάρ, φησιν, ἐκ δεξιῶν κάθηται, οὗτοι δὲ ὡς διάκονοι πέμπονται τῆς τῶν ἀνθρώπων ἕνεκα σωτηρίας.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὃ δὲ λέγει, τοῦτό ἐστι. τί θαυμαστόν φησιν εἰ τῷ Υἱῷ λειτουργοῦσιν, ὅταν καὶ πρὸς τὴν ἡμετέραν σωτηρίαν ἐκπέμπονται; ὅρα πῶς ἐπαίρει αὐτῶν τὰ φρονήματα, καὶ πολλὴν δείκνυσι τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς τιμήν. εἴπερ Ἀγγέλους τοὺς ὑπὲρ ἡμᾶς ταύτην ἔταξεν ἔχειν διακονίαν τὴν ὑπὲρ ἡμῶν, εἰς τοῦτο φησὶ, κέχρηται αὐτοῖς· τοῦτο Ἀγγέλων λειτουργία, τὸ διακονεῖν τῷ Θεῷ εἰς σωτηρίαν τὴν ἡμετέραν, ὥστε ἀγγελικὸν ἔργον τοῦτο τὸ πάντα ποιεῖν εἰς σωτηρίαν τῶν ἀδελφῶν, μᾶλλον δὲ αὐτοῦ τοῦ

Χριστοῦ τὸ ἔργον ἐστίν· αὐτὸς μὲν γὰρ ὡς δεσπότης σώζει, αὐτοὶ δὲ ὡς δοῦλοι ἀποστέλλονται. εἰ δὲ καὶ ἡμεῖς δοῦλοι, μᾶλλον δὲ σύνδουλοι Ἀγγέλων, τί κεχήνατε πρὸς τοὺς Ἀγγέλους; οὗτοι δοῦλοι εἰσὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ πανταχοῦ δι' ἡμᾶς καὶ πρὸς σωτηρίαν τὴν ἡμετέραν ἐκπέμπονται, ὥστε ὁμόδουλοι ἡμῶν εἰσίν. ἐννοήσατε πῶς οὐ πολλὴν δίδωσι τοῖς κτίσμασιν ὁ Παῦλος διαφορὰν, καίτοι πολὺ τὸ μέσον Ἀγγέλων καὶ ἀνθρώπων. ἀλλ' ὅμως πλησίον ἡμῶν αὐτοὺς ἵστησι, μονονουχὶ λέγων, ἡμῖν λειτουργοῦσι, δι' ἡμᾶς περιτρέχουσιν, ἡμῖν, ὡς ἂν εἴποι τις, ὑπηρετοῦσιν. αὕτη ἐστὶν ἡ διακονία αὐτῶν, τὸ δι' ἡμᾶς πανταχοῦ πέμπεσθαι.

Τούτων τῶν ὑποδειγμάτων μεστὴ μὲν ἡ παλαιὰ, μεστὴ δὲ καὶ ἡ καινή· ὅταν γὰρ Ἄγγελοι ποιμένας εὐαγγελίζωνται, ὅταν τὴν Μαρίαν, ὅταν τὸν Ἰωσὴφ, τὸν Ζαχαρίαν, ὅταν ἐπὶ τοῦ μνήματος καθέζωνται, ὅταν πέμπωνται εἰπεῖν τοῖς μαθηταῖς, "Ἄνδρες Γαλι-" λαῖοι τί ἑστήκατε, βλέποντες εἰς τὸν οὐρανόν;" ὅταν Πέτρον ἀπολύωσι τοῦ δεσμωτηρίου· ὅταν Φιλίππῳ διαλέγωνται, πῶς ὑμῖν οὐχ ὑπουργοῦσιν; ἐννόησον τοίνυν τὴν τιμὴν ὅση τυγχάνει· ὅταν ὡς πρὸς φίλους πέμπῃ τοὺς Ἀγγέλους διακόνους ὁ Θεὸς, ὅταν πάντας τοὺς Ἀποστόλους Ἄγγελος ἀπὸ τοῦ δεσμωτηρίου ἐκβάλλῃ καὶ λέγῃ "πορευθέντες στῆτε καὶ λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα" τὰ ῥήματα τῆς ζωῆς ταύτης." τί τὰ ἄλλα λέγω; καὶ αὐτῷ Παύλῳ Ἄγγελος φαίνεται. ὁρᾷς αὐτοὺς διακονοῦντας ἡμῖν διὰ τὸν Θεὸν, καὶ εἰς τὰ μέγιστα διακονοῦντας; διὰ τοῦτο φησὶ Παῦλος· "πάντα ὑμῶν εἴτε ζωὴ, εἴτε θάνατος, εἴτε κόσμος, εἴτε" ἐνεστῶτα εἴτε μέλλοντα." ἐπέμφθη μὲν οὖν καὶ ὁ Υἱὸς, ἀλλ' οὐχ ὡς διάκονος, οὐδὲ ὡς λειτουργὸς, ἀλλ' ὡς Υἱὸς καὶ μονογενὴς, καὶ τὰ αὐτὰ τῷ Πατρὶ βουλόμενος. μᾶλλον δὲ οὐδὲ ἐπέμφθη, οὐδὲ γὰρ ἐκ τόπου εἰς τόπον μετέβη, ἀλλὰ σάρκα ἀνέλαβεν. οὗτοι δὲ τόπους ἀμείβουσι καὶ τοὺς προτέρους ἀφέντες ἐν οἷς εἰσὶν, οὕτως εἰς ἑτέρους ἔρχονται, ἐν οἷς οὐκ ἦσαν. καὶ τοῦτο δὲ πάλιν παραθαρρύνων τοὺς ἐξ Ἑβραίων πιστεύσαντας λέγει, τί δεδοίκατε; ἄλλοι διακονοῦσιν ὑμῖν.

Βασιλείου κατ' Εὐνομίου περὶ τοῦ ἁγίου Πνεύματος. Πλὴν ἰστέον ὅτι Ἄγγελοι πάντες, ὥσπερ προσηγορίας μιᾶς, οὕτω

καὶ φύσεως πάντως τῆς αὐτῆς τυγχάνουσιν· ἀλλ᾽ ὅμως οἱ μὲν αὐτῶν ἐθνῶν προεστήκασιν, οἱ δὲ ἑνὶ ἑκάστῳ τῶν πιστῶν εἰσι παρεπόμενοι. ὅσῳ μέν τοι προτιμότερον ἔθνος ὅλον ἑνὸς ἀνδρὸς, τοσοῦτο δή που μεῖζον ὑπάρχειν ἀνάγκη τὸ ἀξίωμα τοῦ ἐθνάρχου Ἀγγέλου, *τῶν ἑνὸς ἑκάστου τὴν προστασίαν πεπιστευμένων. τὸ δὲ συνεῖναι ἑκάστῳ τῶν πιστῶν* Ἄγγελον *οἷον παιδαγωγόν τινα καὶ νομέα τὴν ζωὴν διευθύνοντα, οὐδεὶς ἀντερεῖ, μεμνημένος τῶν τοῦ* Κυρίου *λόγων, εἰπόντος, "μὴ καταφρονήσητε ἑνὸς τῶν ἐλαχίστων τούτων, "ὅτι οἱ* Ἄγγελοι *αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ* "Πατρός *μου τοῦ ἐν τοῖς οὐρανοῖς." καὶ ὁ ψαλμῳδὸς φησὶ, "παρεμβαλεῖ ἄγγελος* Κυρίου *κύκλῳ τῶν φοβουμένων αὐτόν." καὶ ὁ* Ἰακὼβ *"ὁ* Ἄγγελος *ὁ ῥυόμενός με ἐκ νεότητός μου." ὅτι δὲ πάλιν εἰσί τινες καὶ* Ἄγγελοι *καὶ ὅλων ἐθνῶν προεστῶτες,* Μωσῆς *ἡμᾶς διδάσκει διὰ τῆς ᾠδῆς λέγων· "ὅτε δὲ ἐμέριζεν ὁ* Ὕψιστος *"ἔθνη, ὡς διέσπειρεν υἱοὺς* Ἀδὰμ, *ἔστησεν ὅρια ἐθνῶν κατὰ "ἀριθμὸν* Ἀγγέλων *αὐτοῦ." καὶ ὁ σοφὸς* Δανιὴλ *ἐν τῇ τοῦ* Ἀγγέλου *ὀπτασίᾳ ἤκουσεν αὐτοῦ λέγοντος, "ὅτι ὁ ἄρχων βασιλείας* "Περσῶν *εἱστήκει ἐξ ἐναντίας μου. καὶ ἰδοὺ* Μιχαὴλ *εἷς τῶν "ἀρχόντων τῶν πρώτων ἦλθε βοηθῆσαί μοι." καὶ μετ᾽ ὀλίγα φησὶν ὁ αὐτὸς, "καὶ ὁ ἄρχων τῶν* Ἑλλήνων *ἤρχετο." ἀλλὰ καὶ ἀρχιστράτηγος* Κύριος *τῆς δυνάμεως λέγεταί τις ὁ* Ἰησοῦ *τῷ τοῦ* Ναυῆ *ἐπὶ τοῦ* Ἰορδάνου *φανερωθείς· καὶ πάλιν τινὲς λεγεῶνες* Ἀγγέλων. *ὁ τοίνυν ἀρχιστράτηγος τῶν ἐν τοῖς λεγεῶσι κατατεταγμένων ἄρχων ἐστὶ δηλονότι·* Ἄγγελοι *δὲ ὅμως τῇ φύσει πάντες. καὶ κατὰ μὲν ἀξίωμα ἡ διαφορὰ, κατὰ δὲ τὴν φύσιν ἡ κοινωνία. καὶ ὥσπερ ὁ ἐπὶ πάντων* Θεὸς *οὐκ ἀπαξιοῖ διακύπτειν ἐκ τοῦ οὐρανοῦ πρὸς τὴν ἐπιμέλειαν τῶν ἀνθρώπων, οὐδὲ αἱ νοηραὶ δυνάμεις τὴν διακονίαν ὑπὲρ εὐεργεσίας τῶν ἀνθρώπων ἀρνοῦνται.*

Ἀθανασίου. Πλὴν *τὸ μὲν διακονεῖν τῶν δούλων ἐστὶν, ὡς γενητῶν, τὸ δὲ δημιουργεῖν τοῦ* Θεοῦ *μόνου, καὶ τοῦ ἰδίου* Λόγου *αὐτοῦ. διὸ ἐπὶ μὲν τοῦ δημιουργεῖν, οὐκ ἄν τις ἄλλον εὕροι ἢ μόνον τὸν τοῦ* Θεοῦ Λόγον. *πάντα γὰρ ἐν σοφίᾳ, καὶ χωρὶς τοῦ* Λόγου *ἐγένετο οὐδὲ ἕν. πρὸς δὲ τὰς διακονίας, οὐχ εἷς, ἀλλ᾽ ἐκ*

πάντων πολλοί εἰσιν. ἐν μὲν γὰρ Ἀγγέλοις, μυριάδες παρεστήκασι λειτουργῶν καὶ ἑτοίμων πρὸς τὸ ἐξαποστέλλεσθαι, καὶ προφῆται δὲ πολλοὶ καὶ Ἀπόστολοι. εἴπερ οὖν κτίσμα ἦν καὶ τῶν γενητῶν ὁ Υἱὸς, ἔδει πολλοὺς εἶναι τοιούτους υἱοὺς, ἵνα καὶ πολλοὺς τοιούτους διακόνους ἔχῃ ὁ Θεός· νῦν δὲ εἷς τοῦ ἑνὸς Πατρὸς Λόγος καὶ μία τοῦ Θεοῦ εἰκών ἐστιν. ἀλλ᾽ ἰδού φησι, καὶ ὁ ἥλιος μόνος εἷς καὶ ἡ γῆ μία. ἄφρονες, εἰπάτωσαν ὅτι καὶ ὕδωρ ἓν, καὶ πῦρ ἓν, ἵνα ἀκούσωσιν ὅτι τῶν γενομένων ἕκαστον, ἓν μέν ἐστι κατὰ τὴν ἰδίαν οὐσίαν, πρὸς δὲ τὴν ἐγχειριζομένην διακονίαν καὶ λειτουργίαν, οὐκ ἔστιν ἕκαστον ἱκανὸν καὶ μόνον αὐτάρκως· μία δὲ καὶ κοινὴ πάντων ἡ λειτουργία, καὶ τὰ ἑκάστου λείποντα παρὰ τοῦ ἑτέρου πληροῦται. ἥλιος γοῦν ἐν ἡμέρᾳ φαίνει, καὶ σελήνη ἐν νυκτὶ, καὶ γῆ βλαστάνει, καὶ τὸ στερέωμα διαχωρίζει ἀνὰ μέσον ὕδατος καὶ ὕδατος· καὶ ὅλως οὐδὲ ἓν μόνον, ἀλλ᾽ ἕκαστα τῶν γενομένων, ὥσπερ ἀλλήλων ὄντα μέλη, καθάπερ ἓν σῶμα τὸν κόσμον ἀποτελοῦσι. καὶ ἁπλῶς ἐν τοῖς κτίσμασιν, οὐδέν ἐστιν ἓν καὶ μόνον καθ᾽ ἑαυτὸ καὶ πρῶτον γενόμενον, ἀλλὰ μετὰ πάντων ἅμα τὴν γέννησιν ἔχει, κἂν τῇ δόξῃ διαφέρῃ τῶν ἄλλων.

Οὐδὲ γὰρ ἕκαστον τῶν ἀστέρων, οὐδὲ τῶν μεγάλων φωστήρων, ὁ μὲν, πρῶτος, ὁ δὲ, δεύτερος ἐφάνη, ἀλλὰ μιᾷ ἡμέρᾳ καὶ τῷ αὐτῷ προστάγματι οἱ πάντες ἐκλήθησαν εἰς τὸ εἶναι. οὕτω καὶ τῶν τετραπόδων, καὶ πετεινῶν καὶ νηκτῶν, καὶ κτηνῶν καὶ τῶν αὐτῶν ἡ γένεσις ἐπλάσθη, οὕτως καὶ τὸ κατ᾽ εἰκόνα γένος γέγονε τῶν ἀνθρώπων. εἰ γὰρ καὶ ὁ Ἀδὰμ ἐκ γῆς μόνος ἐπλάσθη, ἀλλ᾽ ἐν αὐτῷ ἦσαν οἱ λόγοι τῆς διαδοχῆς παντὸς γένους. ἀπὸ δὲ τῆς φαινομένης κτίσεως, καὶ τὰ ἀόρατα νοούμενα καθορᾶται, ὅτι κἀκεῖ ὁμοῦ πάντα κατὰ γένος συνέστη· οὐ γὰρ ἕκαστον ἠρίθμησεν ὁ Ἀπόστολος, εἴτε Ἄγγελος, εἴτε θρόνος, εἴτε κυριότης καὶ ἐξουσία, ἀλλ᾽ ὁμοῦ πάντα κατὰ τὴν τάξιν, εἴτε Ἄγγελοι, εἴτε Ἀρχάγγελοι, εἴτε ἀρχαί. τῶν γὰρ κτισμάτων τοιαύτη ἡ γένεσις. εἴπερ οὖν κτίσμα ἦν καὶ ὁ Λόγος, ἔδει μὴ πρῶτον αὐτὸν ἀλλὰ μετ᾽ ἄλλων δυνάμεων ἅμα γίνεσθαι, κἂν τῇ δόξῃ πλέον τῶν ἄλλων ὑπερέχει. οὕτω γὰρ καὶ ἐπὶ τῶν ἄλλων κτισμάτων εὑρεῖν ἐστιν, ὅτι ἅμα μὲν γεγόνασι, καὶ οὐκ ἔστι πρῶ-

τος ἢ δεύτερος. διαφέρουσι δὲ ἀλλήλων ἐν δόξῃ. καὶ οἱ μὲν ἐκ δεξιῶν, οἱ δὲ κύκλῳ, καὶ ἄλλοι ἐξ ἀριστερῶν, καὶ πάντες ὑμνοῦσιν ἅμα, καὶ παρεστήκασι λειτουργοῦντες τῷ Κυρίῳ.

Οὐκοῦν εἰ κτίσμα ἐστὶν ὁ Λόγος, οὐ πρῶτος ἂν εἴη, οὐδὲ ἀρχὴ τῶν ἄλλων. εἰ δὲ πρὸ πάντων ἐστὶν, ὥσπερ οὖν καὶ ἐστὶ, καὶ μόνος αὐτὸς πρῶτος καὶ Υἱός ἐστιν, οὐκ ἄρα οὐδὲ ἀρχὴ τῶν πάντων τῇ οὐσίᾳ ἐστίν. ἐν γὰρ τοῖς πᾶσι καὶ ἡ ἀρχὴ τῶν πάντων συναριθμεῖται. εἰ δὲ μὴ ἀρχή ἐστιν, οὐδὲ κτίσμα ἐστίν. ἀλλ' εὔδηλον ἂν εἴη ὡς τῇ οὐσίᾳ καὶ τῇ φύσει τῶν μὲν κτισμάτων διέστηκε, καὶ ἄλλος ἐστὶν αὐτῶν, τοῦ δὲ μόνου καὶ ἀληθινοῦ Θεοῦ εἰκών ἐστι μόνος καὶ αὐτὸς ὑπάρχων. διὰ τοῦτο γοῦν οὐδὲ τοῖς κτίσμασιν αὐτὸν συντάττουσιν αἱ γραφαὶ, ἀλλὰ μὴν καὶ ὁ Δαβὶδ ἐπιπλήττει τοῖς τοιοῦτόν τι κἂν ἐνθυμεῖσθαι τολμῶσι, λέγων "τίς ὅμοιός σοι ἐν Θεοῖς Κύριε; ἢ τίς ὅμοιος τῷ Κυρίῳ ἐν "υἱοῖς Θεοῦ;" ὁ δὲ Βαροὺχ, "οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσε-"ται ἕτερος πρὸς αὐτόν." ὁ μὲν γὰρ κτίζει, τὰ δὲ κτίζεται. καὶ ὁ μὲν ἴδιός ἐστι Λόγος τῆς τοῦ Πατρὸς οὐσίας· τὰ δὲ γενόμενα, οὐκ ὄντα πρότερον, δι' αὐτοῦ τοῦ Λόγου πεποίηται· ὥστε τὸ παρὰ τῶν Ἀρειανῶν εἰρημένον ὅτι κτίσμα ἐστὶν ὁ Υἱὸς, οὐκ ἔστιν ἀληθές.

Χρυσοστόμου. Ὁ μέν τοι Παῦλος εἰπὼν περὶ τοῦ Υἱοῦ, καὶ κατὰ τὴν οἰκονομίαν, καὶ τὰ κατὰ τὴν δημιουργίαν, καὶ τὰ κατὰ τὴν βασιλείαν, καὶ τὸ ὁμότιμον δείξας, καὶ ὅτι ὡς δεσπότης κρατεῖ, οὐχὶ τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, λοιπὸν παρακαλεῖ τοὺς πιστεύσαντας, κατασκευάσας τὸν λόγον, ὥστε προσέχειν, καὶ φησὶν, "διὰ τοῦτο χρὴ περισσοτέρως ἡμᾶς προσ-"έχειν τοῖς ἀκουσθεῖσιν, ἵνα μὴ παραρρυῶμεν."

Θεοδωρήτου. Ταύτην τὴν διαφορὰν ἐπισταμένους, σπουδαιότερον χρὴ τῇ διδασκαλίᾳ προσέχειν, ἵνα μή τινα ὄλισθον ὑπομείνωμεν. ἐνταῦθα βουλόμενος εἰπεῖν ὅτι δεῖ περισσοτέρως τοῦ νόμου προσέχειν, ἐσιώπησεν αὐτό. δῆλον δὲ ὅμως τοῦτο ποιεῖ ἐν τῇ κατασκευῇ, οὐκ ἐν συμβουλῇ, οὐδὲ ἐν παρακλήσει, οὕτω γὰρ ἄμεινον ἦν. "εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς νόμος ἐγένετο βέ-"βαιος," καὶ οἱ παραβάντες ἐκολάσθησαν, πῶς ἡμεῖς διαφευ-

ξόμεθα; "διὰ τοῦτο περισσοτέρως ἡμᾶς δεῖ προσέχειν τοῖς "ἀκουσθεῖσιν" οὐχὶ κἀκεῖνα Θεοῦ καὶ ταῦτα; ἢ τοίνυν περισσοτέρως τοῦ κόσμου φησὶν, ἢ ὅτι μεγάλως, οὐχὶ συγκρίνων· μὴ γένοιτο. ἐπειδὴ γὰρ ἀπὸ τοῦ χρόνου τοῦ πολλοῦ μεγάλην εἶχον περὶ τῆς παλαιᾶς ὑπόληψιν, ταῦτα δὲ ὡς νέα ἔτι καταπεφρόνητο, δείκνυσιν ἐκ περιουσίας ὅτι τούτοις δεῖ μᾶλλον προσέχειν. πῶς; μονονουχὶ λέγων ὅτι τοῦ Θεοῦ καὶ ταῦτα κἀκεῖνα. ἀλλ' οὐχ ὁμοίως, καὶ τοῦτο ἡμῖν ὕστερον δείκνυσιν, τέως δὲ ἐπιπολαιότερον αὐτὸ κατασκευάζει λέγων· εἰ γὰρ ὡς πρώτη ἐκείνη ἄμεμπτος ἦν, καὶ πάλιν, τὸ γὰρ παλαιούμενον ἐγγὺς ἀφανισμοῦ, καὶ πολλὰ ἕτερα τοιαῦτα, ἀλλ' οὔπω τολμᾷ τοιοῦτον οὐδὲν εἰπεῖν ἐν προοιμίοις, ἕως ἂν προκαταλάβῃ καὶ προκατάσχῃ πλείοσι κατασκευαῖς τὸν ἀκροατὴν, ἀλλὰ διατί "δεῖ περισσοτέρως ἡμᾶς "προσέχειν," εἰπὲ, "μή ποτε," φησὶ, "παραρρυῶμεν," τουτέστι μήποτε ἀπολλώμεθα, μὴ ἐκπέσωμεν. δείκνυσιν ἐνταῦθα τὸ χαλεπὸν τῆς ἐκπτώσεως, καὶ ὅτι δύσκολον τὸ παραρρυὲν πάλιν ἐπανελθεῖν, καθότι ἐκ ῥαθυμίας τοῦτο συνέβη. ἔλαβε δὲ τὴν λέξιν ἀπὸ τῶν παροιμιῶν. "υἱὲ," γάρ φησι, "μὴ παραρρυῇς," καὶ τὸ εὔκολον τοῦ ὀλίσθου δεικνὺς, καὶ τῆς ἀπωλείας τὸ χαλεπὸν, τουτέστιν οὐκ ἀκίνδυνος ἡμῖν ἡ παρακοή· καὶ δι' ὧν μὲν κατασκευάζει, δείκνυσιν ὅτι μείζων ἡ κόλασις· ἀφίησι δὲ καὶ καθ' ἑαυτοὺς τοῦτο τέως σκοπεῖν ἐν τῇ περὶ τούτων ζητήσει. πάλιν δὲ αὐτὸς ἐν τῷ συμπεράσματι ποιεῖ αὐτὸ φανερώτερον· εἰκότως δὲ τὸν λόγον οὕτω κατασκευάζει. καὶ γὰρ τοῦτό ἐστιν ἀνεπαχθῆ ποιεῖν αὐτὸν, μὴ ἀφ' ἑαυτοῦ πανταχοῦ τὴν κρίσιν ἐπάγοντα ἀποφαίνεσθαι, ἀλλὰ κύριον ἀφιέναι τὸν ἀκροατὴν, ἵνα αὐτὸς ἐνέγκῃ τὴν ψῆφον. ὅπερ καὶ εὐγνωμονεστέρους ἐποίει γενέσθαι. ποιεῖ δὲ αὐτὸ καὶ ἐν τῇ παλαιᾷ ὁ προφήτης Νάθαν, καὶ ἐν τῷ Ματθαίῳ ὁ Χριστὸς, λέγων, "τί ποιήσει τοῖς γεωργοῖς τοῦ ἀμπελῶνος ἐκείνου;" καὶ αὐτοὺς ἀναγκάζων τὴν ψῆφον ἐνεγκεῖν. τοῦτο γὰρ ἡμε (sic) τέως δ' οὖν ὅρα πῶς κατασκευάζει αὐτό.

2 Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέ-
βαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον
3 μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμε-

λήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι
διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαι-
ώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καὶ τέρασι,
4 καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου μερισμοῖς,
κατὰ τὴν αὐτοῦ θέλησιν.

Θεοδωρήτου. Τῇ παραινέσει πάλιν συνέζευξε παρεξέτασιν, καὶ δείκνυσιν ὅσον ὑπέρκειται τῶν νομικῶν διατάξεων ἡ τῶν Εὐαγγελίων διδασκαλία. τῇ γὰρ θέσει τοῦ νόμου Ἄγγελοι διηκόνουν. ἐνταῦθα δὲ αὐτὸς ὁ τῶν Ἀγγέλων δεσπότης πρῶτος τὴν σωτήριον διδασκαλίαν προσήνεγκε. διεδέξαντο δὲ ταύτην οἱ τῆς ἀποστολικῆς ἀπολαύσαντες χάριτος. καὶ ὁ μὲν νόμος, λόγος ἦν τὸ πρακτέον ὑποδεικνὺς, ἡ δὲ τοῦ Κυρίου διδασκαλία τῆς αἰωνίου πρόξενος σωτηρίας. ἐπειδὴ δὲ καὶ Μωσῆς θαυματουργίαις ἐχρήσατο, ἀναγκαίως δείκνυσι κατὰ τοῦτο πλεονεκτοῦσαν τὴν χάριν. ἐνταῦθα γὰρ οὐ μόνος ὁ δεσπότης ἐθαυματούργησεν, ἀλλὰ καὶ οἱ θεῖοι αὐτοῦ μαθηταὶ, καὶ οἱ ἐκείνων διάδοχοι. ἔδειξε δὲ καὶ ἐν αὐτοῖς πνευματικοῖς χαρίσμασι τὴν καινὴν διαθήκην ἀστράπτουσαν. πάλαι μὲν γὰρ οἱ προφῆται μόνοι τῆς πνευματικῆς μετελάγχανον δωρεᾶς, νῦν δὲ ἅπαντες οἱ πιστεύοντες τῆσδε τῆς χάριτος ἀπολαύουσι· τοῦτο γὰρ ἐπήγαγε "καὶ Πνεύματος Ἁγίου, μερισμοῖς "κατὰ τὴν αὐτοῦ θέλησιν." ταῦτα δὲ εἴρηκε μὲν προτρέπων αὐτοὺς σπουδαιότερον τῇ θείᾳ προσέχειν διδασκαλίᾳ. ἐν σχήματι δὲ παραινέσεως ἐδίδαξε τὴν τούτων κἀκείνων διαφοράν. ἄγαν δὲ σοφῶς ἔφη τὸν Θεὸν διὰ τῶν θαυμάτων μαρτυρεῖν τῷ κηρύγματι· ἥτε γὰρ ἀπόδειξις ἐναργὴς, καὶ τοῦ μάρτυρος ἀναμφισβήτητος ἡ ἀλήθεια.

Χρυσοστόμου. Τὸ μὲν οὖν ἀκόλουθον ἦν εἰπεῖν, εἰ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, πολλῷ μᾶλλον ὁ τοῦ Χριστοῦ. ὁ δὲ Παῦλος, τοῦτο μὲν εἴασεν, εἶπε δὲ τὸ ἔλαττον, "πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας." καὶ ὅρα πῶς ποιεῖται τὴν σύγκρισιν, ἐκεῖ δι' Ἀγγέλων, ἐνταῦθα δὲ διὰ τοῦ Κυρίου· κἀκεῖ μὲν λόγος, ἐνταῦθα δὲ σωτηρία. εἶτα ἵνα μὴ εἴπῃ τις, τί δὲ ἃ σὺ λέγεις Παῦλε, ταῦτα τοῦ Χριστοῦ

ἐστι, τῷ τε παρ' ἐκείνου ἀκηκοέναι τὸ ἀξιόπιστον δείκνυσι, καὶ τῷ νῦν ὑπὸ Θεοῦ αὐτὰ λέγεσθαι, οὐχ ἁπλῶς φωνῆς φερομένης, ἀλλὰ σημείων γινομένων καὶ πραγμάτων μαρτυρούντων.

Τί δέ ἐστιν "ὁ δι' Ἀγγέλων λαληθείς;" καὶ ἐν τῇ πρὸς Γαλάτας γὰρ οὕτω πως φησι, "διαταγεὶς δι' Ἀγγέλων ἐν χειρὶ μεσίτου." καὶ πάλιν, "ἐλάβετε νόμον εἰς διαταγὰς Ἀγγέλων," καὶ πανταχοῦ φησι δι' Ἀγγέλων αὐτὸν διδοσθαι. τινὲς μὲν, τὸν Μωσέα φασὶν αἰνίττεσθαι· ἀλλ' οὐκ ἔχει λόγον. Ἀγγέλους γὰρ ἐνταῦθα πολλοὺς λέγει, καὶ Ἀγγέλους τούτους τοὺς ἐν τῷ οὐρανῷ. τί οὖν ἐστιν εἰπεῖν; ἤτοι τὴν δεκάλογον φησὶν οὕτως, ἐκεῖ γὰρ Μωσῆς ἐλάλει, καὶ ὁ Θεὸς ἀπεκρίνατο. ἢ ὅτι παρῆσαν Ἄγγελοι τοῦ Θεοῦ διατατтομένου. ἢ ὅτι περὶ τῶν ἐν τῇ παλαιᾷ λεγομένων καὶ γενομένων ἁπάντων ὡς Ἀγγέλων κοινωνησάντων ἐν τούτοις, ταῦτα φησί. πῶς δὲ ἀλλαχοῦ λέγει ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἐνταῦθα δὲ δι' Ἀγγέλων; ἢ δηλονότι ἐδόθη τοῖς ἀρχαιοτέροις ὁ νόμος, λαληθεὶς δι' Ἀγγέλων, καὶ μεσιτεύοντος τοῦ πανσόφου Μωσέως. τί δέ ἐστιν "ἐγένετο βέβαιος;" ἀληθὴς ὡς ἂν εἴποι τις καὶ πιστός. διότι ἐν τῷ προσήκοντι καιρῷ πάντα ἐξέβη τὰ λεχθέντα. ἢ τοίνυν τοῦτο φησὶν, ὅτι ἐκράτησε, καὶ αἱ ἀπειλαὶ εἰς ἔργον ἤρχοντο, ἢ λόγον τὰ προστάγματα λέγει. πολλὰ γὰρ χωρὶς νόμου προσέταξαν Ἄγγελοι παρὰ Θεοῦ πεμπόμενοι, οἷον ἐπὶ τοῦ κλαυθμῶνος, ἐπὶ τῶν Κριτῶν, ἐπὶ Σαμψών. διὰ γὰρ τοῦτο οὐδὲ εἶπε νόμος, ἀλλὰ λόγος. καὶ τάχα μοι δοκεῖ τοῦτο λέγειν μᾶλλον τὰ διὰ τῶν Ἀγγέλων οἰκονομηθέντα. καὶ γὰρ παρῆσαν οἱ Ἄγγελοι τότε, οἱ τὸ ἔθνος ἐμπεπιστευμένοι, καὶ αὐτοὶ τὰς σάλπιγγας ἐποίουν, καὶ τὰ ἄλλα, τὸ πῦρ, τὸν γνόφον, καὶ πᾶσα παράβασις, οὐχ ἡ μὲν, ἡ δὲ οὔ, ἀλλὰ πᾶσα· οὐδὲν ἀνεκδίκητον ἔμεινε φησὶν, ἀλλ' "ἔλαβεν ἔνδικον μισθαποδοσίαν," ἀντὶ τοῦ κόλασιν. καὶ τί δήποτε οὕτως εἶπεν; ἔθος τῷ Παύλῳ μὴ πολὺν τῶν λέξεων ποιεῖσθαι λόγον, ἀλλὰ ἀδιαφόρως καὶ ἐπὶ εὐφήμων τιθέναι κακέμφατα, οἷον ἐστὶ τὸ "αἰχμαλωτίζοντι πᾶν νόημα "εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ." καὶ πάλιν ἀλλαχοῦ τὴν ἀντιμισθίαν τέθεικεν ἀντὶ κολάσεως. καὶ ἐνταῦθα τὴν κόλασιν "μισθα"ποδοσίαν" καλεῖ. "πῶς οὖν ἡμεῖς," φησὶ, "φευξόμεθα, τηλικαύ-

"της ἀμελήσαντες σωτηρίας;" διὰ τούτου ἐδήλωσεν ὅτι οὐ πολλή τις ἦν ἐκείνη ἡ σωτηρία. οὐ γὰρ ἐκ πολέμων φησὶν ἡμᾶς διασώσει νῦν, οὐδὲ τὴν γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθὰ παρέξει, ἀλλὰ θανάτου κατάλυσις ἔσται, ἀλλὰ διαβόλου ἀπώλεια, ἀλλ' οὐρανῶν βασιλεία, ἀλλὰ ζωὴ αἰώνιος. ταῦτα γὰρ πάντα ἐν συντόμῳ ἐνέφηνεν εἰπὼν, "τηλικαύτης ἀμελήσαντες σωτηρίας." εἶτα τὸ ἀξιόπιστον ἐπάγει,

Ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι ὑπὸ τοῦ Κυρίου.

Τουτέστι παρ' αὐτῆς τῆς πηγῆς ἔσχε τὴν ἀρχὴν, οὐκ ἄνθρωπος αὐτὴν διεπόρθμευσεν εἰς τὴν γῆν, οὐ κτιστὴ δύναμις, ἀλλ' αὐτὸς ὁ μονογενὴς, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, ἐπιστεύθη ἢ ἐξέβη. τουτέστιν οἱ παρὰ τοῦ Κυρίου ἀκούσαντες αὐτοὶ ἡμᾶς ἐβεβαίωσαν. μέγα τοῦτο καὶ ἀξιόπιστον, ὅπερ καὶ Λουκᾶς φησὶν ἐν ἀρχῇ τοῦ Εὐαγγελίου· "καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς "αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου." εἶτα ἐπεὶ τινὰς εἰκὸς ἦν διαποροῦντας εἰπεῖν, πῶς ἐβεβαιώθη; τὶ δὲ εἰ οἱ ἀκούσαντες ἔπλασαν; τοῦτο ἀναιρῶν καὶ δεικνὺς οὐκ ἀνθρωπίνην τὴν χάριν ἐπήγαγε,

Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ.

Οὐκ ἂν γὰρ εἰ ἔπλασαν, Θεὸς αὐτοῖς ἐμαρτύρησε. μαρτυροῦσι μὲν γὰρ κἀκεῖνοι, μαρτυρεῖ δὲ καὶ ὁ Θεός. πῶς; οὐ λόγῳ οὐδὲ φωνῇ. ἦν μὲν γὰρ καὶ τοῦτο πιστὸν, "ἀλλὰ σημείοις καὶ τέρασι "καὶ ποικίλαις δυνάμεσι." καλῶς τὸ "ποικίλαις" τέθεικε, τὴν ἀφθονίαν τῶν χαρισμάτων δηλῶν· ὅπερ οὐ γεγένηται ἐπὶ τῶν προτέρων, οὐδὲ τοσαῦτα σημεῖα καὶ οὕτω διάφορα· τουτέστιν οὐχ ἁπλῶς ἐπιστεύσαμεν ἐκείνοις, ἀλλὰ διὰ σημείων καὶ τεράτων, ὥστε οὐκ ἐκείνοις πιστεύομεν, ἀλλὰ τῷ Θεῷ.

Καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν.

Τί οὖν ὅτι καὶ γόητες σημεῖα ποιοῦσι; καὶ Ἰουδαῖοι ἐν Βεελζεβοὺλ ἔλεγον ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια; ἀλλ' οὐ τοιαῦτα σημεῖα ποιοῦσι· διὰ τοῦτο εἶπε "ποικίλαις δυνάμεσιν." ἐκεῖνα γὰρ οὐ δυνάμεις, ἀλλὰ ἀσθένεια καὶ φαντασία, καὶ διάκενα

πράγματα. διὰ τοῦτο εἶπε "Πνεύματος Ἁγίου μερισμοῖς κατὰ "τὴν αὐτοῦ θέλησιν." ἐνταῦθα καί τι ἄλλο αἰνίττεσθαί μοι δοκεῖ. εἰκὸς γὰρ μὴ εἶναι πολλοὺς ἐκεῖ χαρίσματα ἔχοντας, ἐκλελοιπέναι δὲ ταῦτα ἅτε νωθροτέρων αὐτῶν γενομένων. ἵν' οὖν αὐτοὺς καὶ ἐν τούτῳ παραμυθήσηται, καὶ μὴ ἀφῇ καταπεσεῖν, τὸ πᾶν ἀνέθηκε τῇ τοῦ Θεοῦ βουλῇ. αὐτὸς οἶδε, φησὶ, τίνι τί συμφέρει, καὶ οὕτω καταμερίζει τὴν χάριν. ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ λέγων, "ὁ Θεὸς ἔθετο ἕνα ἕκαστον ἡμῶν, καθὼς ἠθέλησε." καὶ πάλιν, "ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ Πνεύματος δίδοται πρὸς τὸ "συμφέρον, κατὰ τὴν αὐτοῦ θέλησιν." εἰ γὰρ ἄνθρωπος οἰκοδεσπότης οἶδε τίνι τί ἐγχειρήσει, πολλῷ μᾶλλον ὁ Θεὸς ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων. πολλοὶ μὲν οὖν δι' ἀκάθαρτον βίον οὐκ ἔλαβον χαρίσματα, οἱ δὲ ὥστε μὴ φυσιωθῆναι. τοῖς ἀφελέσι δὲ μᾶλλον δίδοται. ὁ γὰρ ταπεινὸς καὶ μὴ μεγάλα περὶ ἑαυτοῦ φανταζόμενος, σπουδαιότερος γίνεται ὅταν λάβῃ χάρισμα, ἅτε παρ' ἀξίαν εἰληφὼς, καὶ οὐκ ἄξιον ἑαυτὸν εἶναι κρίνων. ὁ δὲ κατορθωκέναι νομίζων, ὀφειλὴν εἶναι τὸ πρᾶγμα ἡγούμενος, πεφυσίωται. ὥστε ὁ Θεὸς συμφερόντως οἰκονομεῖ τοῦτο.

Κυρίλλου Θησαυροῖς. Ὅγε μὴν Παῦλος κρείττονα τῆς διὰ Μωσέως διαθήκης καὶ τῶν προφητικῶν κηρυγμάτων τὴν εὐαγγελικὴν ἀποδεικνύων παίδευσιν, ἀπὸ τῆς τῶν προσώπων διαφορᾶς ποιεῖται τὴν διάκρισιν. κατὰ μὲν οὖν τὸ ἀρχαῖον διὰ τῶν προφητῶν τοῖς πατράσιν ἀνακεκηρύχθαι τὸν λόγον διϊσχυρίσατο· ἐπ' ἐσχάτου δὲ τῶν καιρῶν, δι' Υἱοῦ, τοῦ τοσαύτην ἔχοντος πρὸς ἐκείνους τὴν ὑπεροχὴν, ὡς τοὺς μὲν, τὸ οἰκετικὸν οὐχ ὑπερβαίνοντας μέτρον, τὸ "τάδε λέγει Κύρος" ἀναφωνεῖν· τὸν δὲ τὸ δεσποτικὸν ἀξίωμα φοροῦντα λέγειν ὡς Υἱὸν "ἐρρέθη τοῖς ἀρχαίοις οὐ μοι"χεύσεις, ἐγὼ δὲ λέγω ὑμῖν." πῶς οὖν ἐν κτίσμασιν, ὁ κατὰ φύσιν Υἱός; ἢ πῶς ἐν δούλοις ὁ πάντων δεσπότης τετάξεται; καὶ εἰ πάντων ἐστὶ κληρονόμος, ἕτερος ἐστὶ παρὰ πάντα, ὧν καὶ ἐστὶ κληρονόμος· καὶ εἰ δι' αὐτοῦ πεποίηκε τοὺς αἰῶνας, οὐκ ἂν εἴη τῶν γενητῶν ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. ἐπειδή περ οὐδὲν τῶν κτισμάτων προγενεστέραν τοῦ αἰῶνος ἔχει τὴν γένεσιν, ἀλλ' ἐν χρόνῳ πεποίηται· μόνῳ δὲ πρόσεστι τῷ Υἱῷ τὸ ἀχρόνως εἶναι μετὰ Πατρός.

Τοσαύτην δὲ ὁ Ἀπόστολος τὴν Χριστοῦ ὑπεροχὴν καὶ πρὸς Ἀγγέλους δείκνυσιν, ὡς τὸν μὲν Υἱὸν προσκυνεῖσθαι, λειτουργεῖν δὲ αὐτῷ τοὺς Ἀγγέλους. καὶ τὸν μὲν ἐν τάξει βασιλέως καὶ Υἱοῦ καὶ δεσπότου καθέζεσθαι, τοὺς δὲ ἀποστέλλεσθαι εἰς διακονίαν. πῶς οὖν οὐκ ἔσται Θεὸς, ὁ καὶ ὑπὸ τῶν Ἀγγέλων ὡς τοῦτο ὢν κατὰ φύσιν γινωσκόμενος; εἰ γὰρ ποίημα ἐστὶ κατὰ τὴν τῶν ἑτεροδοξούντων ἀβουλίαν, ὥρα λέγειν οὐ μόνον ἡμᾶς ἀλλ᾽ ἤδη καὶ αὐτὰς τὰς ἐν τοῖς οὐρανοῖς πεπλανῆσθαι δυνάμεις, ὡς λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα· εἰ δὲ τοῦτο ἄτοπον, οὐ γάρ τις πλανᾶσθαι φήσειεν ἂν τοὺς ἁγίους Ἀγγέλους, ἀληθὴς δὲ μᾶλλον ἐν αὐτοῖς ἡ περὶ Θεοῦ γνῶσις, καὶ προσκυνοῦσιν ὡς τούτῳ κατὰ φύσιν ὄντα τὸν Υἱὸν, οὐκ ἄρα κτίσμα ἐστὶν οὐδὲ ποίημα· τὸ γὰρ ὅλως ποιηθὲν οὐκ ἂν εἴη φύσει Θεός. ἔτι Ἄγγελοι διακονοῦσι τὸν νόμον, καὶ λαλεῖται δι᾽ αὐτῶν, ἀλλ᾽ οὐδὲν ἐτελείωσεν ὁ νόμος· ὁ δὲ Υἱὸς ἐτελείωσε τὸ ἔργον τοῦ Πατρός. τέλειος γὰρ εἰς εὐσέβειαν ὁ τοῖς αὐτοῦ νόμοις παιδαγωγούμενος. ἐβασίλευσεν ὁ θάνατος καὶ κατὰ τὸν τοῦ νόμου καιρόν. "ἀπὸ γὰρ Ἀδὰμ," φησὶ, "καὶ μέχρι "Μωσέως," λέλυται θάνατος διὰ Χριστοῦ· οὐκέτι γὰρ ἐν Ἀδὰμ ἀποθνήσκομεν, ἀλλ᾽ ἐν Χριστῷ ζωοποιούμεθα. ἦν ἐν μόνῃ τῇ Ἰουδαίᾳ γνωστὸς ὁ Θεὸς, νῦν δὲ γεγόνασι πάντες διδακτοὶ Θεοῦ, οὐκ Ἀγγέλων ἀλλὰ Θεοῦ. Θεοῦ μὲν γὰρ καὶ ὁ νόμος, ἀλλὰ δι᾽ Ἀγγέλων. ὁ δὲ Υἱὸς φησὶν, αὐτὸς ὁ λαλῶν πάρειμι.

Οὐκοῦν κατὰ τὴν τοῦ Παύλου φωνὴν, ὅσῳ διαφορωτέρας τετύχηκε λειτουργίας, καὶ ὅσῳ κρείττονος διαθήκης γέγονεν ἔγγυος, τοσοῦτον ὑπερέξει τοὺς Ἀγγέλους. οὐχ ὡς πρὸς αὐτοὺς συγκρινόμενος κατὰ τὴν φύσιν, ἀλλὰ τοσοῦτον ὑπεραίρων, ὅσον ἀπῴκισται τῶν γενητῶν ὁ Θεὸς, κατὰ τὸν τῆς οὐσίας λόγον. τοῖς μὲν οὖν Ἀγγέλοις ὡς δούλοις ὁ Παῦλος ἀπονέμει διακονίαν τὴν ἐλάττονα, τῷ δὲ Υἱῷ τὴν Υἱῷ πρέπουσαν καὶ δεσποτείαν. ἐπὶ γὰρ κρείττοσι φησὶν ἐπ᾽ Ἀγγέλων νενομοθέτηται. εἰ δὲ κατὰ τοὺς χριστομάχους ὁμοιογενὴς τοῖς Ἀγγέλοις ὁ Υἱὸς, καλείσθωσαν καὶ αὐτοὶ Υἱοὶ ὥσπερ ἐκεῖνος, ἢ αὐτὸς ὥσπερ ἐκεῖνοι Ἄγγελος· καθέσθωσαν δὲ καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ λεγέτωσαν διατάττοντες ὥσπερ ὁ Υἱὸς, "ἐγὼ δὲ λέγω ὑμῖν·" ἀλλ᾽ οὐ τοῦτο φασὶν, ἀλλὰ μᾶλλον "ἀπεστάλην πρὸς σὲ," καὶ οἱ μὲν διακονοῦσιν, ὁ δὲ

διακονεῖται· ἰδοὺ γάρ φησιν, "Ἄγγελοι προσῆλθον, καὶ διηκόνουν "αὐτῷ·" καὶ οἱ μὲν προσκυνοῦσιν, ὁ δὲ προσκυνεῖται· καὶ οἱ μὲν τὰς τῶν οὐρανῶν πύλας αἴρειν προστάττονται, ὁ δὲ εἰσέρχεται ὡς Κύριος τῶν δυνάμεων, ὡς βασιλεὺς τῆς δόξης· καὶ οἱ μὲν, ζωῆς μετέχουσι τῆς παρὰ Θεοῦ, ὁ δὲ τῆς ζωῆς χορηγός· κἂν "ἐν τῷ "ὀνόματι τοῦ Υἱοῦ προσευξώμεθα, ὅσα περ ἂν αἰτήσωμεν ληψό-"μεθα·" ἐν ὀνόματι δὲ Ἀγγέλων, οὐκ ἄν τις προσεύξαιτο. καὶ τῷ μὲν Υἱῷ, σὺν τῷ Πατρὶ καὶ μετὰ Πατρὸς ἡ δόξα· Ἄγγελοι δὲ οὐ δοξάζονται, ἀλλὰ μᾶλλον δοξάζουσι μετὰ τοῦ Πατρὸς τὸν Υἱόν. πῶς οὖν τοσαύτης κειμένης διαφορᾶς μεταξὺ τῶν Ἀγγέλων καὶ τοῦ Υἱοῦ, τῆς αὐτῆς οὐσίας εἶναι νομισθήσονται, οὐδενὸς συγχωροῦντος λόγου; κἀνταῦθα δὲ σαφῶς ἐκ τῆς τῶν προσώπων διαφορᾶς πόσην ἔχει τὴν ὑπεροχὴν τὰ εὐαγγελικὰ κηρύγματα ὡς πρὸς τὰς τοῦ νόμου σκιὰς ἀποδεικνύειν ὁ Παῦλος πειρᾶται. εἰ γὰρ τοῖς δι' Ἀγγέλων, φησὶ, διατεταγμένοις, προσῆν οὕτω τὸ ἀξιόπιστον, ὡς τοῖς παραβαίνειν ἐπιχειροῦσι τὴν χαλεπωτάτην ἐπηρτῆσθαι κόλασιν, πῶς οὐ μᾶλλον τοσούτῳ μειζόνως εἰς τὸ κολάζεσθαι δικαιότερος, ὁ τὰ δι' Υἱοῦ παραβαίνων φανεῖται, ὅσῳ περ ἂν εἴη τῆς εἰς Ἀγγέλους τιμῆς ἀξιολογώτερος ὁ Υἱός; εἰ δὲ χρὴ καὶ τὸ ἑκάστου μέτρον συνιδεῖν, οἱ μὲν παρεστῶτες ὑμνοῦσι, λειτουργικά τε εἰσὶ πνεύματα, ὁ δὲ ὑμνολογεῖται μετὰ Πατρὸς, σύνθρονός τε ὢν καὶ βασιλεύων αὐτῷ, καὶ ὑπὸ τῶν Ἀγγέλων διακονούμενος. πῶς οὖν ὁ τοσοῦτον ὑπερέχων ἐν τοῖς τοσοῦτον ὑποβεβηκόσιν ὡς ὁμογενὴς εὑρεθήσεται;

Θεοδωρήτου. Ὁ μέν τοι Παῦλος ταῦτα μεταξὺ παρενθεὶς, ἀναλαμβάνει τὸν περὶ τῆς συγκρίσεως τῶν Ἀγγέλων λόγον. καὶ πάλιν οὐχ ὡς Θεῷ τῷ δεσπότῃ Χριστῷ, ἀλλ' ὡς ἀνθρώπῳ τοὺς Ἀγγέλους παρεξετάζει, καὶ δείκνυσιν οὐ τοὺς Ἀγγέλους ἀλλ' αὐτὸν τὴν τῶν ὅλων ἀναδεξάμενον δεσποτείαν, λέγων, οὐ γὰρ Ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν περὶ ἧς λαλοῦμεν.

Χρυσοστόμου. Ἆρα μὴ περὶ ἑτέρας τινὸς διαλέγεται οἰκουμένης; οὐκ ἔστιν· ἀλλὰ περὶ ταύτης. διὰ γὰρ τοῦτο προστέθεικε περὶ ἧς λαλοῦμεν, ἵνα μὴ ἀφῇ τὸν νοῦν πλανηθέντα, ἑτέραν τινὰ ἐπιζητεῖν. πῶς οὖν αὐτὴν μέλλουσαν καλεῖ, ὥσπερ καὶ ἑτέρωθι

φησὶν, "ὅ ἐστι τύπος τοῦ μέλλοντος;" περὶ τοῦ Ἀδὰμ καὶ τοῦ Χριστοῦ λέγων ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ πρὸς τοὺς χρόνους τοῦ Ἀδὰμ, μέλλοντα τὸν κατὰ σάρκα Χριστὸν καλῶν. καὶ γὰρ ἔμελλεν οὕτω καὶ νῦν, ἐπειδὴ εἶπεν, "ὅταν δὲ εἰσαγάγῃ τὸν "πρωτότοκον εἰς τὴν οἰκουμένην," ἵνα μὴ νομίσῃς ἑτέραν οἰκουμένην λέγειν αὐτὸν, πολλαχόθεν μὲν αὐτὸ καὶ ἄλλοθεν βεβαιοῦται, καὶ ἀπ' αὐτοῦ δὲ τοῦ εἰπεῖν μέλλουσαν, ἔμελλε γὰρ ἡ οἰκουμένη, ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ἦν ἀεί. ταύτην οὖν τὴν μέλλουσαν ἔσεσθαι, οὐκ Ἀγγέλοις ὑπέταξεν ἀλλὰ τῷ Χριστῷ.

Θεοδωρήτου. Ἢ μέλλουσαν οἰκουμένην τὸν μέλλοντα βίον ἐκάλεσε, τὸν ἐσόμενον κόσμον, περὶ οὗ φησι, πᾶς ὁ λόγος ἡμῖν. αὐτὸς γὰρ κριτὴς ὁ Χριστὸς, ἐκεῖνος καθεδεῖται τῆς οἰκουμένης, οἱ δὲ Ἄγγελοι, ὡς λειτουργοὶ καὶ δοῦλοι παρίστανται. εἶτα καὶ ἑτέραν παράγει μαρτυρίαν, καί φησιν,

6 Διεμαρτύρατο δέ που τίς λέγων· τί ἐστιν ἄνθρωπος
ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ Υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ
7 αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους,
8 δόξῃ καὶ τιμῇ, ἐστεφάνωσας αὐτὸν, πάντα ὑπέταξας
ὑποκάτω τῶν ποδῶν αὐτοῦ.

Χρυσοστόμου. Διατί μὴ τὸ ὄνομα τοῦ προφήτου εἶπεν, ἀλλ' ἔκρυψεν αὐτό; καὶ ἐν ἑτέραις μαρτυρίαις τοῦτο ποιεῖ, ὡς ὅταν λέγῃ ἀπὸ τοῦ Δευτερονομίου καὶ τῆς μεγάλης ᾠδῆς, "προσκυ-"νησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ." καὶ πάλιν ἀπὸ τῆς τῶν Βασιλειῶν δευτέρας, "ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα," καὶ ἀπὸ τῆς βίβλου τῶν Ψαλμῶν, "ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ "Πνεύματα."

Κυρίλλου. Πῶς ἠλάττωται παρὰ τοὺς Ἀγγέλους ὁ πρὸς αὐτῶν προσκυνούμενος; ἢ ὅτι καθίκετο ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις, καὶ τὸ ἀποθνήσκειν πεφυκὸς σῶμα λαβὼν ἐν αὐτῷ πέπονθεν ἑκὼν, καὶ ταῖς ἀνωτάτω δόξαις στεφανοῦται διὰ τὸ πάθος, ὡς δι' αὐτοῦ καταργήσας τὸν θάνατον· καὶ ἄπρακτον ἀποφήνας τὴν φθορὰν, ἅτε ἀφθαρσία ὢν καὶ ζωή. τὰ δὲ τῆς ὑπεροχῆς τοῖς Ἀγγέλοις, ὅτι καὶ ἔξω σαρκὸς καὶ τοῦ τεθνάναι κρείττους εἰσί. γεγονότος ἐν τούτοις τοῦ Υἱοῦ διὰ τὴν ἑκούσιον κένωσιν· ἀλλ' ὁ

βραχὺ παρ' Ἀγγέλους ἠλαττωμένος διὰ τὸ τῆς ἀνθρωπότητος μέτρον, ἐν ὑπεροχῇ θεότητος ὢν προσκυνεῖται παρ' αὐτῶν καὶ ἐνίδρυται θάκοις οὓς περιεστῶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ, καὶ τῶν δυνάμεων αὐτὸν ὀνομάζοντες Κύριον. "καὶ σὺ κατ' ἀρχὰς, Κύριε, "τὴν γῆν ἐθεμελίωσας." οὕτω καὶ ἐνταῦθα φησὶ "διεμαρτύρατό "τις." τοῦτο δὲ αὐτὸ οἶμαι τὸ κρύπτειν καὶ μὴ τιθέναι τὸν εἰρηκότα τὴν μαρτυρίαν, ἀλλ' ὡς περιφερομένην καὶ κατάδηλον οὖσαν εἰσάγειν, δεικνύντος ἐστὶ σφόδρα ἐμπείρους εἶναι τῶν γραφῶν. τὸ δὲ "τί ἐστιν ἄνθρωπος" καὶ τὰ ἑξῆς, εἰ καὶ εἰς τὴν κοινὴν ἀνθρωπότητα εἴρηται, ἀλλ' ὅμως κυριώτερον ἁρμόσειεν ἂν τῷ Χριστῷ κατὰ σάρκα. τὸ γὰρ "πάντα ὑπέταξας ὑποκάτω τῶν "ποδῶν αὐτοῦ," ἐκείνου μᾶλλον ἐστὶν ἢ ἡμῶν. ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ οὐδὲν ἡμᾶς ὄντας ἐπεσκέψατο, καὶ τὸ ἐξ ἡμῶν ἀναλαβὼν καὶ ἑνώσας ἑαυτῷ, πάντων ἀνώτερον γέγονεν.

Κυρίλλου. Ἐστεφάνωσε δὲ ἡμᾶς δόξῃ καὶ τιμῇ, δι' ὧν ὑπάρχων Θεὸς κατὰ φύσιν ἠλάττωται δι' ἡμᾶς, ὡς ἂν ἡμεῖς ὑπὲρ φύσιν πλουτήσωμεν ἐν αὐτῷ. "συνήγειρε γὰρ ἡμᾶς καὶ συνεκά"θισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ." συνεδρεύοντος γὰρ αὐτοῦ, ἐφ' ὅλην τὴν ἀνθρώπου φύσιν δραμεῖται τὸ καύχημα. οὕτω γὰρ τῇ αὐτοῦ πτωχείᾳ πεπλουτήκαμεν, δι' οὓς καὶ δόξῃ καὶ τιμῇ ἐστεφάνωται, καί τοι τῆς δόξης Κύριος ὢν ὡς Θεός. ἄτιμοι γὰρ ἐν τῇ τοῦ Ἀδὰμ παραβάσει γεγενημένοι, ἐν τῇ ὑπὲρ ἡμῶν ὑπακοῇ τοῦ Χριστοῦ δεδοξάσμεθα.

Χρυσοστόμου. Τί γὰρ ἶσον ταύτης τῆς δόξης, ὅταν συγχορεύωμεν Ἀγγέλοις, ὅταν εἰς υἱοθεσίαν ἀγώμεθα; τὸ δὲ "τί ἐστιν "ἄνθρωπος;" ἀντὶ οὐδέν ἐστιν, εὐτελές τι ἐστί. πρὸς γὰρ τὴν πρόνοιαν ἧς ἠξίωσεν αὐτὸν ὁ Θεὸς, ἀφορῶν ὁ προφήτης, καὶ τὰς πραγματείας ἃς ἐπραγματεύσατο διὰ τὴν σωτηρίαν τοῦ τῶν ἀνθρώπων γένους, σφόδρα ἐκπληττόμενος θαυμάζει.

Βασιλείου. Βραχὺ μέν τοι ὑποβέβηκε τὴν τῶν Ἀγγέλων ἀξίαν ὁ ἄνθρωπος, διὰ τὴν πρὸς τὸ γεῶδες σῶμα συνάφειαν.

Χρυσοστόμου. Καὶ τοῦτο δὲ αὐτὸ τὸ βραχὺ ἡ τῆς παρακοῆς ἁμαρτία εἰσήγαγε· μετὰ γὰρ τὴν παρακοὴν τοῦτο ὁ προφήτης ἐφθέγξατο. οὐ μὴν ἐπειδὴ ἠλαττώθη διὰ τὴν παράβασιν θανάτῳ

καταδικασθεὶς ἐγυμνώθη, καὶ τῆς δωρεᾶς ἢ τῆς ἀρχῆς παρελύθη, ἀλλὰ τῇ δόξῃ ταύτῃ ἐστεφάνωται.

Θεοδωρήτου. Πλὴν ὅπερ ἔφημεν, εἴρηται μὲν ταῦτα περὶ τῆς κοινῆς φύσεως, ἁρμόττει δὲ τῇ ἐξ ἡμῶν ἀπαρχῇ, ὡς οἰκειουμένη τὰ πάσης τῆς φύσεως. οὕτως ἐκ προσώπου πάντων ἡμῶν εἴρηκε, "μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτω-"μάτων μου." αὐτὸς μὲν γὰρ καὶ κατὰ τὸ ἀνθρώπινον, ἁμαρτίας ἀμύητος ἦν. τὰ δὲ ἡμέτερα οἰκειούμενος, στόμα τῆς φύσεως γέγονεν. "αὐτὸς γὰρ τὰς ἁμαρτίας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους "ἐβάστασε," καὶ τὴν φύσιν ἡμῶν ἐπεσκέψατο. ταῦτα τοίνυν τοῦ Παύλου σαφῶς ἐπὶ τὸν Σωτῆρα ἡμῶν ἐξειληφότος, ἀρκεῖσθαι τῇ ἐκδόσει χρὴ, εἶτα τῇ προφητικῇ μαρτυρίᾳ τὴν ἑρμηνείαν προσάγων ἐπάγει,

Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον.

Καὶ ἐπειδὴ εἰκὸς ἦν εἰπεῖν τινὰς, καὶ μὴν πλείστους ὁρῶμεν ἀντιλέγοντας, καὶ προσκυνεῖν αὐτὸν οὐκ ἐθέλοντας, ἐπήγαγε,

Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

Τοῦτο δὲ καὶ ἤδη εἴρηκεν, οὐ γὰρ Ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν· ἀντὶ τοῦ ἐν ἐκείνῳ τῷ βίῳ πάντων κρατήσει· ὑποταγήσονται γὰρ τότε καὶ οἱ νῦν ἀντιλέγοντες.

Χρυσοστόμου. Ὃ δὲ λέγει τοιοῦτον ἐστίν· ἐπειδὴ εἶπεν "ἕως "ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου," εἰκὸς δὲ ἦν τοὺς ἐξ Ἑβραίων πιστεύσαντας ἔτι ἀσχάλλειν· εἶτα μετὰ ταῦτα ὀλίγα τινὰ παρενέθηκε, ταύτην τὴν μαρτυρίαν παρήγαγεν, ἵνα βεβαιώσῃ ἐκεῖνο. ἵνα γὰρ μὴ λέγωσι, πῶς τοὺς ἐχθροὺς ἔθηκεν ὑπὸ τοὺς πόδας αὐτοῦ, τοσαῦτα παθόντων ἡμῶν; ἱκανῶς μὲν καὶ ἐν τῷ προτέρῳ ᾐνίξατο. τὸ γὰρ ἕως οὔτε εὐθέως ἐδήλου γινόμενον, ἀλλὰ τὸ ἐν χρόνῳ. ἐνταῦθα δὲ αὐτὸ ἐπεξέρχεται καὶ φησὶν, μὴ ἐπειδὴ οὐδέπω ὑπετάγησαν νομίσῃς μηδὲ ὑποτάττεσθαι. ὅτι μὲν γὰρ δέον ὑποταγῆναι, δῆλον. καὶ γὰρ ἡ προφητεία διὰ τοῦτο εἴρηται. "ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ," φησὶ, "τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ "ἀνυπότακτον." πῶς οὖν οὔπω πάντα ὑποτέτακται; ὅτι μέλλει

ὑποτάσσεσθαι. εἰ τοίνυν πάντα μὲν ὑποταγῆναι ὀφείλει, οὔπω δὲ ὑποτέτακται, μὴ ἄσχαλλε, μηδὲ θορυβοῦ. εἰ μὲν γὰρ τοῦ τέλους παραγενομένου, καὶ πάντων ὑποταγέντων ταῦτα ἔπασχεν, εἰκότως ἤλγεις. "νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα." οὔπω ἐκράτησεν ὁ βασιλεὺς καθαρῶς. τί τοίνυν θορυβῇ πάσχων κακῶς; οὔπω πάντων περιγέγονε τὸ κήρυγμα, οὔπω καιρὸς τέλεον ὑποταγῆναι.

ΚΥΡΙΛΛΟΥ. Σὺ δέ μοι πάλιν ὅρα ὅτι εἰς Χριστὸν ἀναφέρων ὁ μακάριος Παῦλος τὸ ἐν ὀγδόῳ Ψαλμῷ λέγει, "τί ἐστιν ἄνθρωπος" καὶ τὰ ἑξῆς. εἶτα τούτοις ἐπισυνάπτει, "ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον." ἆρ' οὖν οὐχὶ καὶ βασιλέα καὶ κύριον, καὶ τὴν θεοπρεπῆ περικεῖσθαι δόξαν ὁμολογήσαιμεν τὸν ᾧ τὰ πάντα ὑποτέτακται; πῶς οὖν ὁ Θεός; πῶς δὲ ἐν τοῖς πᾶσιν ὁ ὑπὲρ πάντα καὶ τοσοῦτον τῶν γεννητῶν τὴν φύσιν ὑπερκείμενος, ὡς τὰ μὲν ὑποτετάχθαι καὶ τῷ τῆς δουλείας ἐνέχεσθαι ζυγῷ, τὸν δὲ αὖ πάλιν περικεῖσθαι μὲν τῆς κυριότητος τὸ ἐλεύθερον ἀξίωμα, πάντα δὲ ἔχειν ὑπὸ πόδας, ὡς καὶ αὐτός που φησὶ δι' ἑνὸς τῶν προφητῶν, "ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου;"

ΘΕΟΔΩΡΗΤΟΥ. Τέλος γε μήν, ἐπειδὴ τῶν Ἀγγέλων αὐτῶν ὁ Παῦλος καὶ ποιητὴν εἴρηκε καὶ δεσπότην, ἀπίθανον δὲ εἶναι τοῦτο πως ἐδόκει τοῖς ἀθάνατον μὲν διδασκομένοις τὴν φύσιν, τὸ δὲ τοῦ δεσπότου Χριστοῦ μανθάνουσι πάθος, ἀναγκαίως καὶ τὴν περὶ τούτου διδασκαλίαν προσφέρει λέγων,

9 Τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γένηται θανάτου.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοῦτο πάλιν ἑτέρα παράκλησις. εἰ δὴ ὁ μέλλων πάντας ἔχειν ὑποτεταγμένους καὶ αὐτὸς ἀπέθανε, καὶ μυρία πέπονθεν. εἶτα χρηστὰ πάλιν, τουτέστι δόξα καὶ στέφανος. εἶδες πῶς αὐτῷ πάντα ἥρμοσε; τὸ γὰρ βραχὺ αὐτῷ ἂν ἁρμόσειε, μᾶλλον τὸ τρεῖς ἡμέρας ἐν ᾅδῃ γενομένῳ μόνας, ἀλλ' οὐχ ἡμῖν

τοῖς ἐπὶ πολὺ φθειρομένοις· ὁμοίως καὶ τὸ δόξῃ καὶ τιμῇ ἐστεφανῶσθαι, ἐκείνῳ πολλῷ πλέον ἢ ἡμῖν ἁρμόσει. πάλιν μέν τοι αὐτοὺς ἀναμιμνήσκει τοῦ σταυροῦ· δύο ταῦτα κατορθῶσαι σπουδάζων, καὶ τὴν κηδεμονίαν αὐτοῦ δεῖξαι, καὶ πεῖσαι αὐτοὺς πάντα φέρειν γενναίως, εἰς τὸν διδάσκαλον ἀφορῶντας. εἰ γὰρ ὁ προσκυνούμενος ὑπ' Ἀγγέλων φησὶν, ἠνέσχετο βραχύ τι παρ' Ἀγγέλους ἔχειν διὰ σὲ, πολλῷ μᾶλλον σὺ ὁ τῶν Ἀγγέλων ἐλάττων πάντα φέρειν ὀφείλεις δι' αὐτόν. εἶτα δείκνυσιν ὅτι δόξα καὶ τιμὴ ὁ σταυρός ἐστιν· ὥσπερ οὖν καὶ αὐτὸς δόξαν αὐτὸν καλεῖ λέγων, "ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου." εἰ οὖν ἐκεῖνος τὰ διὰ τοὺς δούλους δόξαν καλεῖ, πολλῷ μᾶλλον σὺ τὰ διὰ τὸν δεσπότην. ὁρᾷς τοῦ σταυροῦ τὸν καρπὸν ὅσος; μὴ φοβηθῇς τὸ πρᾶγμα· σκυθρωπὸν μὲν γὰρ εἶναι δοκεῖ, μυρία δὲ τίκτει ἀγαθά. τί δέ ἐστιν, "ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται "θανάτου; δείκνυσιν ἐκ τούτων τοῦ πειρασμοῦ τὸ ὄφελος, καὶ ὅτι κἀκεῖ διὰ χάριν τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς ταῦτα πέπονθεν. "ὅς "γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο," φησὶν, "ἀλλ' ὑπὲρ ἡμῶν "πάντων παρέδωκεν αὐτόν." τίνος δὲ ἕνεκεν οὕτως εἶπε; δεικνὺς ὅτι οὐκ ὤφειλε τοῦτο, εἶπεν, ἀλλὰ χάριτι πεποίηκεν. οὕτω καὶ ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ φησίν· "πολλῷ μᾶλλον ἡ χάρις "τοῦ Θεοῦ ἐν χάριτι, τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς "τοὺς πολλοὺς ἐπερίσσευσε." τὸ δὲ "ὑπὲρ παντὸς" εἶπε, τουτέστιν οὐχὶ τῶν ποιητῶν μόνον, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης. αὐτὸς μὲν γὰρ ὑπὲρ πάντων ἀπέθανε. τί δὲ εἰ μὴ πάντες ἐπίστευσαν; αὐτὸς τὸ ἑαυτοῦ πεπλήρωκε· καὶ κυρίως εἶπε τὸ "γεύσηται "θανάτου," ἀλλ' οὐκ εἶπεν ἀποθάνῃ· ὥσπερ γὰρ ὄντως γευσάμενος, οὕτω μικρὸν ἐν αὐτῷ ποιήσας διάστημα, εὐθέως ἀνέστη· καθάπερ γὰρ ἰατρὸς οὐκ ἔχων ἀναγκὴν τῶν τῷ ἀρρώστῳ παρεσκευασμένων σιτίων ἀπογεύσασθαι, διὰ τὴν περὶ ἐκεῖνον κηδεμονίαν, πρότερος αὐτὸς ἀπογεύεται, ἵνα πείσῃ τὸν ἄρρωστον θαρροῦντα κατατολμῆσαι τῆς βρώσεως· οὕτως ἐπειδὴ πάντες ἄνθρωποι τὸν θάνατον ἐδεδοίκεσαν, πείθων αὐτοὺς κατατολμᾷν τοῦ θανάτου, καὶ αὐτὸς ἀπεγεύσατο αὐτοῦ, οὐκ ἔχων ἀνάγκην, ὅτι μηδὲ ἥμαρτεν. "ἔρχεται "γάρ," φησιν, "ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν."

τῷ μὲν οὖν εἰπεῖν "διὰ τὸ πάθημα τοῦ θανάτου," τὸν ὄντως θάνατον ἐσήμανεν· τῷ δὲ "Ἀγγέλων κρείττων," τὴν ἀνάπαυσιν ἐδήλωσεν.

Θεοδωρήτου. Τὸ δὲ συναγόμενον τοιοῦτον ἐστὶν, ὅτι οὐ τῇ φύσει τῆς θεότητος ἠλάττωται τῶν Ἀγγέλων ὁ μονογενὴς, ἀλλὰ τῷ πάθει τῆς ἀνθρωπότητος· καὶ αὐτὴ δὲ μετὰ τὴν ἀνάστασιν τῆς θείας μετέλαχε δόξης. τὸ μέντοι πάθος ὑπὲρ ἁπάντων ὑπέμεινεν, οὐ κατὰ ὀφειλὴν, ἀλλὰ κατὰ χάριν Θεοῦ.

Οἰκουμενίου. Οἱ δὲ Νεστοριανοὶ τὴν γραφὴν περιξέοντες, ἀντὶ τοῦ "χάριτι Θεοῦ" "χωρὶς Θεοῦ" ἀναγινώσκουσιν. οὕτως αὐτὸ δεξόμεθα, ὅτι χωρὶς Θεοῦ ὑπὲρ πάντων ἀπέθανεν ὁ Χριστὸς, οὐ μόνον ὑπὲρ ἀνθρώπων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄνω δυνάμεων, ἵνα λύσῃ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ ἑνώσῃ τὰ κάτω τοῖς ἄνω.

Θεοδωρήτου. Μόνη, φησὶν, ἡ θεία φύσις ἀνενδεὴς, τἆλλα δὲ πάντα τοῦ τῆς ἐνανθρωπήσεως ἐδεῖτο φαρμάκου· ἐνανθρωπήσας γὰρ ὁ Θεὸς Λόγος, κατέλυσε τοῦ θανάτου τὸ κράτος. καταλύσας δὲ, ἐπηγγείλατο ἡμῖν τὴν ἀνάστασιν. τῇ δὲ ἀναστάσει ἀφθαρσία καὶ ἀθανασία συνέζευκται. τῆς δὲ ἀφθαρσίας μεθέξει καὶ τὰ ὁρώμενα· τοῦτο γὰρ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἔφη· "ὅτι καὶ αὐτὴ "ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν "ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ." καὶ οἱ Ἄγγελοι δὲ ἐν θυμηδίᾳ διατελοῦσι, τὴν τῶν ἀνθρώπων θεώμενοι σωτηρίαν. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσι, πολλῷ μᾶλλον τοσαύτας ὁρῶντες μυριάδας τῆς σωτηρίας ἀξιουμένας, θυμηδίας πλησθήσονται. ὑπὲρ ἁπάντων τοίνυν τὸ σωτήριον ὑπέμεινε πάθος, χωρὶς Θεοῦ. μόνη γὰρ ἡ θεία φύσις, τῆς ἐντεῦθεν γενομένης θεραπείας ἀνενδεής.

Κυρίλλου. Σὺ δέ μοι λογίζου ὡς εἰ διὰ τὸ πάθημα τοῦ θανάτου βλέπομεν ἠλαττωμένον τὸν Κύριον, κατὰ τὴν τοῦ Παύλου φωνὴν, πρὸ τοῦ πάθους ἆρα τὸ ἔλαττον οὐκ ἦν ἐν αὐτῷ. ἀπόντος δὲ τούτου, τὸ εἶναι τέλειον αὐτὸν εἰσβαίνειν ἀνάγκη. τέλειος δὲ ὢν ὁ Υἱὸς, καὶ τῇ τοῦ Πατρὸς τελειότητι παρισούμενος, οὐκ ἐπιδέξεται δηλονότι τῶν ἀνομοίων τὸ ἔλαττον.

Θεοδωρήτου. Ὅρα δὲ πῶς δείκνυσιν ὁ Παῦλος τοῦ αναληφθέντος ἀνθρώπου τὸ τέλειον, "Κύριε," γάρ φησι, "τί ἐστιν "ἄνθρωπος;" οὐκ εἶπε τί ἐστι σάρξ; ὅτι ἐστι σῶμα, ἀλλὰ τί

ἐστιν ἄνθρωπος; πᾶσαν ὁμοῦ τὴν φύσιν περιλαβὼν, καὶ Κύριον μὲν προσαγορεύσας τὸν ἐνοικίσαντα Θεὸν Λόγον, ἄνθρωπον δὲ τὸν ἐξ ἡμῶν ἀναληφθέντα ναὸν, ὃν ἐπεσκέψατο τῇ παρουσίᾳ, καὶ ἑαυτὸν συνῆψε, καὶ τῇ ἑνώσει τὴν σωτηρίαν εἰργάσατο· καὶ τοῦτο ἑρμηνεύων ἔφη, "τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον "Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου." ἀπέθανε δὲ οὐχ ὁ ἀθάνατος Θεὸς Λόγος, ἀλλ' ἡ θνητὴ φύσις· διὸ καὶ ἠλαττοῦτο βραχύ τι παρ' Ἀγγέλους, τῷ τοὺς μὲν ἀθανάτους εἶναι, τὴν δὲ θνητήν. ὁ δὲ Θεὸς Λόγος, οὐκ ἐλάττων Ἀγγέλων, ἀλλὰ δεσπότης Ἀγγέλων. "ἐν αὐτῷ γὰρ ἐκτίσθη τὰ πάντα, εἴτε ὁρατὰ, εἴτε ἀόρατα."

10 Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, διὰ παθημάτων τελειῶσαι.

Χρυσοστόμου. Περὶ τοῦ Πατρὸς ἐνταῦθα λέγει· ὁρᾷς πῶς πάλιν τὸ δι' οὗ αὐτῷ ἁρμόζει, οὐκ ἂν τοῦτο ποιήσας, εἴγε ἐλαττώσεως ἦν καὶ τῷ Υἱῷ προσῆκον μόνῳ.

Κυρίλλου. Ἔπρεπε τῷ δι' οὗ τὰ πάντα Πατρὶ, διὰ παθημάτων τελειῶσαι ἐνανθρωπήσαντα τὸν Υἱόν. ὑπέμεινε γὰρ σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν εὐδοκίᾳ πάντως τοῦ Θεοῦ καὶ Πατρὸς, ἵνα καὶ ἡμᾶς τοῖς ἴχνεσιν αὐτοῦ ἀκολουθοῦντας νεανικοὺς ἀποφήνῃ, λέγων· "μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα." ἐλάσας γὰρ αὐτὸς διὰ παθημάτων, καὶ ἡμᾶς ἐκδυσωπεῖ λέγων, "οὐκ ἔστι "μαθητὴς ὑπὲρ τὸν διδάσκαλον." αὐτὸς οὖν ἄρα ἐστὶν ὁ σαρκὶ τελειούμενος δι' ἡμᾶς ἀνθρωπίνως· τελειῶν δὲ ἡμᾶς θεϊκῶς διὰ τοῦ καταργῆσαι τοῦ θανάτου τὸ κράτος. ἐλείπετο γὰρ τῇ ἀνθρωπίνῃ φύσει τὸ ἄφθαρτον [y], οὕτω γενομένῃ καὶ ἐν ἀρχῇ, ὁ γὰρ Θεὸς θάνατον οὐκ ἐποίησεν· οὕτως ἡμᾶς τελειώσας, ἔλεγε πρὸς τὸν Πατέρα· "ἐγώ σε ἐδόξασα, τὸ ἔργον τελειώσας ὃ δέδωκάς μοι, "ἵνα ποιήσω αὐτό." δόξα γὰρ τῷ Πατρὶ διὰ τοῦ ἰδίου γεννήματος καταργῆσαι τὸν θάνατον. οὐκοῦν ἡ μὲν τελείωσις αὐτῷ διὰ παθημάτων, ἡμῖν δὲ προσθήκη τοῦ λείποντος τὸ γεγενημένον. "καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῷ." ὅτι δὲ οὐκ ἄνθρωπον ἁπλῶς ἐξῃρημένου τοῦ λόγου τετελειῶσθαι φησὶν ὑπὲρ ἡμῶν, ἐν ἀνθρωπείᾳ

[y] Cod. αφθεν (τ written above)

δὲ μᾶλλον μορφῇ πεφηνότα τὸν μονογενῆ ἐπάγει· ὅ τε γὰρ ἁγιάζων Υἱὸς, ἅγιος ὢν κατὰ φύσιν ὡς Θεὸς, καὶ ἡμεῖς ἐξ ἑνὸς ὡς ποιητοῦ καὶ δημιουργοῦ· ὥστε καὶ ἐντεῦθεν ἡμᾶς πρὸς ἀλλήλους ἔχειν τὴν ἀδελφότητα. γενητῷ γὰρ πρὸς γενητὸν, καθὸ γενητὰ, φυσική τις ἡ ἀδελφότης.

Βασιλείου. Ἔστι γάρ τι τοῖς Εὐνομιανοῖς παλαιὸν σόφισμα, ὑπὸ Ἀετίου τοῦ προστάτου τῆς αἱρέσεως ταύτης ἐξευρεθὲν, ὃς ἔγραψέ που τῶν αὐτοῦ Ἐπιστολῶν λέγων, "τὰ ἀνόμοια κατὰ τὴν "φύσιν ἀνομοίως ἐκφέρεσθαι, καὶ ἀνάπαλιν τὰ ἀνομοίως φερό- "μενα, ἀνόμοια εἶναι κατὰ τὴν φύσιν·" καὶ εἰς μαρτυρίαν τοῦ λόγου, τὸν ἀπόστολον ἀπεσπάσατο λέγοντα· "εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. "ὡς οὖν ἔχουσιν αἱ φωναὶ πρὸς ἀλλήλας, οὕτως ἕξουσι, φησὶ, καὶ "αἱ δι' αὐτῶν σημαινόμεναι φύσεις, ἀνόμοιον δὲ τὸ ἐξ οὗ τὸ δι' "οὗ. ἀνόμοιος ἄρα καὶ τῷ Πατρὶ ὁ Υἱός." ἐντεῦθεν οὗτοι ὁρμώμενοι, τῷ μὲν Θεῷ καὶ Πατρὶ ὥσπέρ τινα κλῆρον ἐξαίρετον προσνέμουσι τὸ ἐξ οὗ, τῷ δὲ Υἱῷ καὶ Θεῷ ἀφιέρωσαν τὸ δι' οὗ, τῷ δὲ Ἁγίῳ Πνεύματι τὸ ἐν ᾧ, καί φασι, μηδέποτε τὴν χρῆσιν ταύτην τῶν συλλαβῶν ἐπαμείβεσθαι· ἵν' ὥσπερ ἔφην, τῷ παρηλλαγμένῳ τῆς ἐκφωνήσεως καὶ ἡ τῆς φύσεως παραλλαγὴ συνεκφαίνηται. βούλονται δὲ, τὸ μὲν ἐξ οὗ, τὸν δημιουργὸν σημαίνειν, τὸ δὲ δι' οὗ, τὸν ὑπουργὸν, ἢ τὸ ὄργανον, τὸ δὲ ἐν ᾧ τὸν χρόνον δηλοῦν, καὶ τὸν τόπον. ἵνα μηδὲν μὲν ὀργάνου σεμνότερος ὁ δημιουργὸς τῶν ὅλων νοῆται, μηδὲν δὲ τῆς ἀπὸ τόπου ἢ χρόνου συνεισφορᾶς εἰς τὰ ὄντα πλεῖον φαίνηται τὸ Πνεῦμα τὸ Ἅγιον παρεχόμενον. τῷ μὲν γὰρ Υἱῷ τὴν τοῦ ὀργάνου προσηγορίαν ἐπέθηκαν· τῷ δὲ Πνεύματι, τὴν τοῦ τόπου, τῷ δὲ Πατρὶ, τὴν τοῦ αἰτίου. τί οὖν αὐτοῖς ἐντεῦθεν τὸ συναγόμενον; ἄλλη φύσις αἰτίου, καὶ ἄλλη ὀργάνου, καὶ ἄλλη τόπου· ἀλλότριος ἄρα κατὰ τὴν φύσιν ὁ Υἱὸς τῷ Πατρὶ, ἐπειδὴ καὶ τὸ ὄργανον τῷ τεχνίτῃ· ἀλλότριον δὲ καὶ τὸ Πνεῦμα, καθόσον κεχώρισται τόπος καὶ χρόνος τῆς τῶν ὀργάνων φύσεως, ἢ τῆς τῶν μεταχειριζομένων αὐτά.

Τὰ μὲν δὴ ἐκείνων τοιαῦτα. ἡμεῖς δὲ εὑρίσκομεν τὸν Ἀπόστολον τὰ τρία συναγαγόντα, τουτέστιν ἐπὶ τοῦ Χριστοῦ, καὶ εἰπόντα· "ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα." "ἐξ αὐτοῦ"

γὰρ τοῖς οὖσιν, ἡ αἰτία τοῦ εἶναι, “δι᾽ αὐτοῦ” τοῖς πᾶσιν ἡ διαμονὴ καὶ ἡ σύστασις. διὸ δὴ καὶ “εἰς αὐτὸν” ἐπέστραπται ἀρρήτῳ στοργῇ, πρὸς τὸν χορηγὸν τῆς ζωῆς ἀποβλέποντα. ἔστι δὲ πολλαχοῦ εὑρεῖν καὶ περὶ τοῦ Υἱοῦ καὶ περὶ τοῦ Πνεύματος τὸ ἐξ οὗ κείμενον, ὡς τὸ “ἐξ οὗ πᾶν τὸ σῶμα ἐπιχορηγούμενον αὔξει “τὴν αὔξησιν τοῦ Θεοῦ.” καὶ πάλιν, “ἐκ τοῦ ἐμοῦ λήψεται,” καὶ αὖθις “ἔγνων δύναμιν ἐξελθοῦσαν ἐξ ἐμοῦ,” καὶ “ἐκ τοῦ “Πνεύματος θερίσει ζωὴν,” καὶ “ἐκ Πνεύματος ἐστὶν Ἁγίου·” ὁμοίως καὶ τὴν δι᾽ οὗ φωνὴν, οὐ μόνον ἐπὶ τοῦ Υἱοῦ ἀλλὰ καὶ ἐπὶ τοῦ Πατρὸς κειμένην εὑρήσομεν, ὡς τὸ “Παῦλος Ἀπόστολος “Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ.” καὶ “πιστὸς ὁ Θεὸς, δι᾽ “οὗ ἐκλήθετε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ.” καὶ “ἡμῖν ὁ Θεὸς “ἀπεκάλυψε διὰ τοῦ Πνεύματος·” καὶ ἑτέρωθι “τὴν καλὴν παρα“θήκην φύλαξον διὰ Πνεύματος Ἁγίου.” τὰ αὐτὰ καὶ περὶ τῆς ἐν συλλαβῆς ἔχομεν εἰπεῖν, ὅτι καὶ ἐπὶ τοῦ Πατρὸς εὕρηται, οἷον, “ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν,” “ἐν σοὶ ἡ ὕμνησίς μου.” “ἐν “τῷ ὀνόματί σου ἀγαλλιάσομαι.” “ἐν τῷ Θεῷ τῷ τὰ πάντα “κτίσαντι·” ἤδη δὲ καὶ ἀντ᾽ ἀλλήλων παραλαμβάνονται, οἷον “ἐκτισάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ,” ἀντὶ τοῦ ἐκ τοῦ Θεοῦ. ἀνάπαλιν δὲ, τῇ ἐξ οὗ λέξει, ἀντὶ τῆς δι᾽ οὗ ὁ Παῦλος κέχρηται, ὡς ὅταν λέγῃ “γενόμενος ἐκ γυναικὸς,” ἀντὶ τοῦ διὰ γυναικός. οὕτω ῥᾳδίως ἀλλήλαις ἀντεπιχωριάζουσιν αἱ φωναί. ὁπότε τοίνυν καὶ ἐφ᾽ ὧν διωρίσθη τὸ δι᾽ οὗ κυρίως λέγεται, ἐπὶ τῶν αὐτῶν τούτων, τὸ ἐξ οὗ μετελήφθη, τίνα ἂν ἔχῃ λόγον ἐπὶ συκοφαντίᾳ τῆς εὐσεβείας πάντη ἀλλήλων ἀφορίζειν τὰς λέξεις; ἀλλὰ γὰρ πρὸς ἑαυτὸν ἡμᾶς καλεῖ ὁ Ἀπόστολος ἐμβοῶν,

Ἔπρεπε γὰρ αὐτῷ, δι᾽ ὃν τὰ πάντα, καὶ δι᾽ οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

Χρυσοστόμου. *Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἄξιον, φησὶ, τῆς φιλανθρωπίας αὐτοῦ πεποίηκε, τὸ τὸν πρωτότοκον λαμπρότερον ἀποδεῖξαι πάντων, καὶ ὥσπερ ἀθλητὴν γενναῖον καὶ τοὺς ἄλλους ὑπερβαίνοντα, τοῖς ἑτέροις ὑπόδειγμα θεῖναι, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, τουτέστι τὸν αἴτιον. ὁρᾷς ὅσον τὸ μέσον; καὶ*

οὗτος Υἱὸς, καὶ ἡμεῖς υἱοί· ἀλλ' ὁ μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα. εἶδες πῶς ἡμᾶς συνάγει, καὶ διΐστησι, "πολλούς," φησιν, "υἱοὺς εἰς δόξαν ἀγαγόντα." ἐνταῦθα συνήγαγε τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, πάλιν διέστησε, "διὰ παθημάτων τελειῶσαι." ἰδοὺ τὰ παθήματα τελείωσις καὶ αἰτία τῆς σωτηρίας. ὁρᾷς ὅτι τὸ παθεῖν κακῶς, οὐκ ἔστιν ἐγκαταλελειμμένων, εἰ δὴ τούτῳ πρῶτον τετίμηκε τὸν Υἱὸν ὁ Θεὸς, τῷ διὰ παθημάτων αὐτὸν ἀγαγεῖν· καὶ ὄντως τοῦ τὸν κόσμον ποιῆσαι, καὶ ἐκ μὴ ὄντων παραγαγεῖν, τὸ σάρκα ἀναλαβόντα παθεῖν ἅπερ ἔπαθε, πολλῷ μεῖζον ἐστί. καὶ τοῦτο μὲν γὰρ φιλανθρωπίας, ἐκεῖνο δὲ πολλῷ πλέον, ὃ καὶ αὐτὸς δείκνυσιν ἐν οἷς φησιν· "ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερ"χομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ, "καὶ συνήγειρε, καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν "Χριστῷ," ἔπρεπε τοίνυν αὐτῷ, φησι, τῷ κηδεμόνι καὶ πάντα εἰς τὸ εἶναι παραγαγόντι, ἐκδοῦναι τὸν Υἱὸν ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας, τὸν ἕνα ὑπὲρ τῶν πολλῶν. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ "διὰ παθημάτων τελειῶσαι," ἵνα δείξῃ ὅτι ὁ παθὼν ὑπέρ τινος, οὐκ ἐκεῖνον ὠφελεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς λαμπρότερος γίνεται καὶ τελειότερος. καὶ τοῦτο δὲ πρὸς τοὺς πιστοὺς φησὶ παραθαρρύνων αὐτούς. καὶ γὰρ ὁ Χριστὸς τότε ἐδοξάσθη, ὅτε ἔπαθεν. ὅταν δὲ εἴπω ὅτι ἐδοξάσθη, μὴ νομίσῃς δόξης πρόσληψιν αὐτῷ γίνεσθαι. ἐκείνην γὰρ τὴν τῆς φύσεως εἶχεν ἀεὶ, καὶ οὐδὲν προσέλαβεν.

Θεοδωρήτου. Οὐκοῦν ἔδειξε τὸν Θεὸν Λόγον ἣν ἀνέλαβε τελειώσαντα φύσιν. ἀρχηγὸς γὰρ τῆς ἡμετέρας σωτηρίας ἡ ληφθεῖσα φύσις· ἐκείνη γὰρ ἐκ νεκρῶν ἀναστᾶσα, πᾶσιν ἡμῖν ἐπραγματεύσατο τὴν ἀνάστασιν.

Κυρίλλου. Καὶ τοῦτο ἐστὶ τὸ διὰ παθημάτων τὸν Χριστὸν τελειῶσαι, τουτέστι τὸ ἐλλεῖπον αὐτῷ ἀναπληρῶσαι. τί δὲ ἐνέλειπε τῷ Χριστῷ, καθὸ νοεῖται ἄνθρωπος; τὸ ἀθάνατον δηλαδὴ, ἵνα τὸ κατ' εἰκόνα ἔχῃ ἀνελλειπῶς. ἀνεπλήρωσεν οὖν αὐτῷ τὸ λεῖπον ὁ Πατὴρ, διὰ τὴν ἀναστάσεως· διὰ μέσου αὐτοῦ πάντας ἀνθρώπους ἀναπληρῶν, καθὼς καὶ ἀλλαχοῦ φησὶν ὁ Ἀπόστολος, "καὶ τελειωθεὶς γέγονε τοῖς εἰς αὐτὸν ἐλπίζουσι πρόξενος ζωῆς "ἀκαταλύτου."

Ὁμιλίαι. Ὁ πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγὼν, οὐκ ἂν ὀλισθήσειε τοῦ εἶναι κατὰ ἀλήθειαν Υἱός. οὐ γὰρ ἠμέλησε τοῦ εἶναι ὅ ἐστιν, ὅπερ οὐκ ἦν γεγονώς. μένει δὲ Κύριος ἐν τῇ τοῦ δούλου μορφῇ.

Ἀθανασίου. Εἰ μὴ ἦλθε καὶ ἐφόρεσε τὸ ἡμέτερον σῶμα, οὐδεὶς ἂν ἐτελειώθη, ἀλλ' ἔμενον οἱ πάντες φθαρτοί. νῦν δὲ λυτρωθέντες ὑπὸ τῆς ἁμαρτίας, οὐκέτι μένουσι νεκροί. καὶ αὕτη ἡ αἰτία τοῦ μὴ ἄλλον ἀλλ' αὐτὸν τὸν Θεὸν Λόγον ἐνανθρωπίσαι· ὅτι οὐκ ἄλλου ἦν ἀπὸ τῆς γενομένης φθορᾶς τοὺς ἀνθρώπους ἀνενεγκεῖν, ἢ τοῦ Θεοῦ Λόγου, τοῦ καὶ τὴν ἀρχὴν πεποιηκότος αὐτούς. ἀλλὰ πῶς τοῦ Ἀπόστολου λέγοντος, περὶ τοῦ Υἱοῦ, "δι' ὃν τὰ πάντα," Ἀρειανοί φασιν, οὐχ ἡμεῖς δι' αὐτὸν, ἀλλ' ἐκεῖνος δι' ἡμᾶς γέγονεν; ἔδει γὰρ εἴπερ οὕτως ἦν, εἰπεῖν αὐτὸν, δι' οὓς γέγονεν ὁ Λόγος. νῦν δὲ μὴ τοῦτο λέγων, ἀλλὰ "δι' ὃν τὰ πάντα," δείκνυσι τούτους αἱρετικοὺς καὶ συκοφάντας, οἳ πλέον ἡμῖν ἢ τῷ Υἱῷ χαρίζονται. οὐ γὰρ ἡμεῖς δι' ἐκεῖνον φησὶν, ἀλλ' ἐκεῖνος δι' ἡμᾶς γέγονεν. εἴγε διὰ τοῦτο ὑπέστη, ἵνα δι' αὐτοῦ κτίσῃ ἡμᾶς ὁ Θεός.

11 Ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες.

Τοῦτο κατὰ τὸ ἀνθρώπινον τέθεικε· κτιστὴ γὰρ ἡ ληφθεῖσα φύσις, εἷς δέ γε καὶ ἡμῶν καὶ αὐτῆς ποιητής. ἀλλὰ δι' ἐκείνης ἁγιαζόμεθα. εἰ δὲ καὶ κατὰ τὴν θείαν φύσιν οἱ αἱρετικοὶ τοῦτο νοῆσαι θελήσαιεν, οὐδὲ οὕτω λυμανοῦνται τῇ τοῦ μονογενοῦς δόξῃ. ἕνα γάρ, φησιν, ἔχομεν πατέρα καὶ ἡμεῖς καὶ αὐτὸς, ἀλλ' εὔδηλον ὡς ὁ μέν ἐστι φύσει Υἱὸς, ἡμεῖς δὲ χάριτι. ταύτην γὰρ ἡμᾶς διδάσκει τὴν διαφορὰν τὸ τὸν μὲν ἁγιάζειν, ἡμᾶς δὲ ἁγιάζεσθαι. ἄμεινον δὲ κατὰ τὸ ἀνθρώπινον τοῦτο νοεῖν.

Χρυσοστόμου. Ἰδοὺ τοίνυν πάλιν συνάγει, τιμῶν αὐτοὺς καὶ παραμυθούμενος, καὶ ἀδελφοὺς αὐτοὺς ποιῶν τοῦ Χριστοῦ κατὰ τοῦτο, ἐξ ἑνὸς εἶναι. "εἷς γὰρ Θεὸς ἐξ οὗ τὰ πάντα." εἶτα πάλιν ἀσφαλιζόμενος καὶ δεικνὺς τὸ κατὰ σάρκα, ἐπήγαγε τὸ "ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι." ὁ μὲν οὖν ἁγιάζων ἐστὶν ὁ Χριστὸς, ἡμεῖς δὲ οἱ ἁγιαζόμενοι. ὁρᾷς ὅσον τὸ μέσον; ὁ μὲν ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. καὶ ἀνωτέρω ἔφη, "τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν."

Κυρίλλου. Λέγεται δὲ καὶ ἡγιάσθαι μεθ' ἡμῶν ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν, ὅτε κεκένωκεν ἑαυτὸν, καὶ γέγονε σάρξ. ἐπεὶ δὲ κατὰ πολλοὺς τρόπους ἡ Γραφὴ τὸ ἡγίασε δέχεται, χρὴ μαθεῖν τὴν διαφοράν. ἁγιάζεσθαι γὰρ λέγονταί τινες ὡς ἐν προγνώσει Θεοῦ, προαναθροῦντος ὅτι τὴν εὐδόκιμον κατωρθωκότες ζωὴν ἐπιτηδείως ἕξουσιν εἰς τὸ μεταλαχεῖν Ἁγίου Πνεύματος. ὁποῖοι τινὲς εἶεν ἂν περὶ ὧν ὁ σοφὸς ἐπιστέλλει Παῦλος, "ὅτι οὓς προέγνω καὶ "προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι "αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς." ἔφη δὲ Θεὸς καὶ πρὸς τὸν σοφώτατον Ἱερεμίαν, "πρὸ τοῦ με πλάσαι ἐν κοιλίᾳ ἐπίσταμαί "σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε." ἁγιάζονται δὲ ἕτεροί τινες, καί τοι τὸν φύσει Θεὸν οὐκ ἐπεγνωκότες, ἀλλ' οὐ σχέσιν τινὰ καὶ οἰκειότητα τὴν πρὸς τὸ Ἅγιον Πνεῦμα κατασημήνειεν ὁ ἐν τούτοις ἁγιασμὸς, ἀλλ' οἱονεί πως ἀνάδειξιν καὶ παραγωγὴν τὴν εἰς τὸ πληροῦν ἅπερ ἂν βούλοιτο Θεός. καὶ γοῦν Κύρου τε καὶ Μήδων κατακράτος αἱρήσειν τὴν Βαβυλῶνα μελλόντων, καὶ ὑπὸ θείας εἰς τοῦτο παρενηνεγμένων ὀργῆς, φησὶ, "γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ "ὑβρίζοντες· ἡγιασμένοι εἰσὶ, καὶ ἐγὼ ἄγω αὐτούς." Ἀγγαίῳ δὲ τῷ προφήτῃ φησὶν ὁ Θεός· "ἐὰν δὲ λάβῃ ἄνθρωπος κρέας ἅγιον," τὸ προσκομισθὲν οἶμαι ἄμωμον θῦμα, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνατεθειμένον τῷ Θεῷ, κρέας ἅγιον ὀνομάζων. φαμὲν δὲ ἁγίους καὶ τοὺς ἀληθῶς διὰ Πνεύματος Ἁγίου ἡγιασμένους, οὕτω τὲ θείας φύσεως κοινωνοὺς ἀναδεδειγμένους.

Ἐπεὶ οὖν ἁγιάζεσθαι λέγεται καὶ τὸ ἀνατεθειμένον τῷ Θεῷ κατὰ τὸ πρὸς Μωσέα εἰρημένον· "ἁγίασόν μοι πᾶν πρωτότοκον "διανοῖγον μήτραν, τὰ ἀρσενικὰ τῷ Κυρίῳ·" ἁγιάζεται δὲ πάλιν τὸ προχειρισθὲν παρὰ Θεοῦ πρὸς τὸ πράξαι τι τῶν κατὰ γνώμην αὐτῷ, ὡς Μῆδοι καὶ Κῦρος· ἁγιάζεται δὲ καὶ τὸ ἐν μεθέξει γεγονὼς τοῦ Ἁγίου Πνεύματος· τίνα δὴ τρόπον ἡγιάσθαι ὑπονοήσομεν τὸν Υἱὸν, ὧδε γὰρ αὐτὸς ἔφη, "ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστει"λεν εἰς τὸν κόσμον·" συμπαρέζευκται γὰρ τὸ ἡγιάσθαι, καὶ ἡ εἰς τόνδε τὸν κόσμον ἀποστολή. εἰ μὲν οὖν πρὸ τῆς σαρκώσεως καὶ τῆς ἀποστολῆς ἐν μεθέξει Πνεύματος ἦν ὁ Λόγος, τί πάλιν

αὐτὸ καὶ μετὰ σαρκὸς ἐδέχετο; εἰ δὲ ἐπεί τοι πέφηνε καθ' ἡμᾶς, καὶ ἀπεστάλει μετὰ σαρκὸς, ἐν τῷδε τῷ κόσμῳ τὸ Πνεῦμα πλουτεῖ, καινὴν δὲ ὥσπέρ τινα τὴν ὧδε λαμπρὰν κεκέρδακε χάριν, ποῦ κεκένωκεν ἑαυτόν; πῶς δὲ ἀφῖκται εἰς ὑποβιβασμὸν καὶ ταπείνωσιν γεγονὼς ἐν ἀμείνοσιν; εἰ μὴ ἄρα φήσομεν ὡς ἦν ἐν αἰσχίοσι τὸ Πνεῦμα λαβὼν, καὶ τὸ ἁγιάζειν πεφυκὼς κατωθεῖ πρὸς τὸ χεῖρον τοὺς ἐν οἷς ἂν γένοιτο. ἀλλὰ τοῦτο μὲν οὐ φήσομεν.

Ἀναμετρεῖν δὲ δεῖ τὸν τοῦ ἡγιάσθαι χρόνον· οὐ γάρ τοι πρὸ τῆς ἐπιδημίας ἡγιάζετο Θεὸς ὢν ὁ Λόγος, ἀλλ' ὅτε γέγονε καθ' ἡμᾶς, οἷς οὐ φύσεως καρπὸς ἰδίας, ἀλλ' ἔξωθέν τε καὶ ἐπακτὸς ὁ ἁγιασμός. πεπλούτηκε μὲν γὰρ ἐν ἀρχαῖς ἡ ἀνθρώπου φύσις τὸ καὶ θείου μεταλαχεῖν Πνεύματος, καὶ τὸν δι' ἁγιασμοῦ πρὸς Θεὸν ἐξεικονισμόν· ἀπεμπολήσας δὲ τῇ παραβάσει τὸ δῶρον, θανάτῳ κατεδικάζετο, καὶ τὸν τῆς ἁμαρτίας ὑπέδυ ζυγόν. ἔδει τοίνυν ἐπείπερ ἐξ ἡμερότητος τὸ διολισθῆσαν γένος ἀναστοιχειοῦν εἰς τὸ ἐν ἀρχαῖς ἐβούλετο Θεὸς, δευτέραν ὥσπερ τοῦ γένους ἀρχὴν ἀναφῦναι Χριστὸν, καὶ ἀπότεξιν μὲν ἀνατλῆναι τὴν διὰ τῆς ἁγίας παρθένου· μὴ μὴν ἔτι καὶ πατέρα σαρκικὸν ἀνασχέσθαι λαβεῖν, ἵνα καὶ σὺν αὐτῷ Θεὸν ἔχωμεν οἱ πάντες πατέρα, δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τῆς τοιαύτης δόξης εἰς ἀρχὰς ἀναβαίνοντες, ἔδει γενόμενον ἄνθρωπον τὸ Πνεῦμα λαβεῖν, ἵν' ἐπείπερ ἐστὶν οὐκ εἰδὼς ἁμαρτίαν, ἐμφιλοχωροίη λοιπὸν ἐν αὐτῷ τὸ Πνεῦμα καὶ ἀναπαύηται. ὥσπερ δὲ ὑπάρχων ἀεὶ βασιλεὺς καὶ ὁμόθρονος τῷ Θεῷ καὶ Πατρὶ, κεχειροτονεῖσθαι λέγεται βασιλεὺς, ὅτι καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ᾧ καὶ δοτὸν ἄνωθεν τὸ βασιλεύειν ἐστὶ, καὶ ὥσπερ ἀεὶ συνυπάρχων τῷ Πατρὶ, εἰς υἱὸν ὁρίζεται διὰ Πνεύματος, διὰ τὸ τοῖς κατὰ θέσιν υἱοῖς ἐξωμοιῶσθαι κατὰ τὴν σάρκα, καὶ ὥσπερ ἡμῖν τοῖς ὑπὸ Θεὸν συμμορφούμενος, Θεὸν ἑαυτοῦ τὸν Πατέρα ἐκάλει. καί τοι Θεὸς ὑπάρχων αὐτὸς, οὕτω καὶ ἡγιάσθαι λέγεται, χωροῦντος εἰς τὸ ἀνθρώπινον, ἤτοι περὶ τήνδε τὴν σάρκα τοῦ ἁγιασμοῦ, διὰ τὸ μὴ οἴκοθεν ἔχειν δύνασθαι τὴν ἀνθρώπου φύσιν τὸν ἁγιασμόν. ἔνεστι γὰρ τοῦτο μόνῃ τῇ θείᾳ καὶ ὑπὲρ πάντα φύσει, ἧς ἐπείπερ ἐστὶ καρπὸς ὁ Λόγος, ἕξει δὴ πάντως ὡς ἴδιον ἑαυτῷ τῆς τεκούσης αὐτὸν φύσεως τὸν ἁγιασμόν.

Ἀνακυκλήσας δὴ οὖν ὅπερ ἔφην ἀρτίως, καὶ αὖθις ἐρῶ. εἰ μὲν γὰρ καθὸ ἄνθρωπος ὡς ἄνθρωπον ἡγιάσθαι φαμὲν, ἀδιαφορήσειεν ἂν ὁ Λόγος ὡς ἔν γε δὴ τούτῳ, τὸ βλάβος οὐδέν. εἰ δὲ παρέντες τὸ ἀληθὲς αὐτὸν ἡγιάσθαι φήσομεν τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον, ἀτοπίας ὁ λόγος ἐπέκεινα. σκόπει δὲ ὧδε. εἰ προχεῖται μὲν οἷα περ ἀπὸ πηγῆς τοῦ Πατρὸς τὸ Πνεῦμα, ἔστι γεμὴν οὐκ ἀλλότριον τοῦ Υἱοῦ, πῶς ἂν νοοῖτο γυμνὸς τῶν τῆς θεότητος ἀγαθῶν; ἴδιον δὲ θεότητος ὁ ἁγιασμός· πῶς δ' ἂν τὸν ἐκ Θεοῦ Πατρὸς διὰ Πνεύματος ἁγιασμὸν εἰσκεκρίσθαί τε φῶμεν, καὶ δοτὸν ὡς οὐκ ἔχον τι γενέσθαι ποτὲ, καθάπερ τῇ κτίσει οἴκοθεν αὐτὸν οὐκ ἐχούσῃ, καὶ διὰ τοῦτο πασχούσῃ τὴν παρατροπήν; οὐκοῦν κατὰ φύσιν ἅγιος ὢν ὡς Θεὸς, ἡγιάζετο μεθ' ἡμῶν καθὸ ἄνθρωπος, τῷ ἰδίῳ Πνεύματι τὸν οἰκεῖον αὐτὸς καταχρίων ναόν. πῶς οὖν ὁ Πατὴρ αὐτὸν ἁγιάσαι λέγεται; ὅτι πάντα παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγιάζοντα δὲ καὶ ἁγιαζόμενον τὸν φύσει τε καὶ ἀληθῶς Υἱὸν ὅτε γέγονεν ἄνθρωπος, εἰσκεκόμικεν ἡμῖν ὁ τοῦ Παύλου λόγος· "ὅ τε γὰρ ἁγιάζων," φησὶ, "καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες." ἁγιάζει μὲν γὰρ αὐτὸς ἅγιος ὢν κατὰ φύσιν ὡς Θεὸς, ἁγιάζεται δὲ μεθ' ἡμῶν κατὰ τὸ ἀνθρώπινον, ὅτε τὴν πρὸν ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, καὶ κατ' αὐτὸ δὴ τοῦτο ἡγιάσθαι φημὶ, καί τοι τῶν ὅλων κατεξουσιάζων ὡς Θεὸς, ἀδελφοὺς ἡμᾶς οὐκ ἐπαισχύνεται καλεῖν. ναί φησιν, οὐκ ἂν διαψεύσεται λέγων, ἡγιάσθαι παρὰ τοῦ Πατρὸς, καὶ τῆς καθ' ἡμᾶς οἰκονομίας ἐξηρημένης. καὶ γὰρ ἐν ἐσχάτοις μὲν τοῦ αἰῶνος καιροῖς πέφηνεν ἄνθρωπος· ἀλλ' ἦν καὶ πρὸ τούτου τοῖς εἰς τὸ εἶναι κεκλημένοις ὁμογενὴς, καὶ ἀδελφὸς τῶν πεποιημένων, καθὸ καὶ αὐτὸς οὐκ ἀγένητός ἐστι τῇ φύσει, πεποίηται δὲ παρὰ τοῦ Πατρός. ἀληθεύει δὴ οὖν καὶ ἀδελφοὺς ἡμᾶς ἀποκαλῶν, καὶ συνηγιάσθαι λέγων.

Ἀλλ' ὦ πρὸς πάντα ἰόντες ἑτοίμως, καὶ τὰ πέρα λόγου καὶ τοῦ καθήκοντος λογισμοῦ, ποῖ ποτε ἄρα ὁ θρασὺς ὑμῖν οὑτοσὶ καὶ ἀπόπληκτος ἐκτελευτήσει λόγος, ἐννοεῖν οὐκ ἔχω· ὅτι μὲν γὰρ οὐ γενητὸς ὁ Υἱὸς, οὐ τοῖς ὑμῶν μαντεύμασιν, ἀλλὰ τοῖς ἱεροῖς πιστεύω μυσταγωγοῖς. ἔφη τοίνυν ὁ Ἰωάννης ἡμῖν ἐναργῶς περὶ τοῦ Ἰησοῦ ὅτι Θεοῦ Υἱός ἐστι, καὶ Θεὸς ἀληθινὸς, Θεὸς δὲ ἀληθινὸς, τοῖς κτίσμασιν οὐχ ὁμογενής. ὅτε τοίνυν κατά γε τὸ τοῖς αἱρετι-

κοῖς ἀβουλότατα δοκοῦν, ἐν μεθέξει γέγονεν ἁγιασμοῦ, καί τοι Θεὸς ἀληθινὸς ὢν ὁ Λόγος, καὶ εἰ νοοῖτο καθ' ἑαυτὸν καὶ δίχα σαρκὸς, ἡκέτωσαν εἰς μέσον, καὶ Θεὸν ἡμῖν τὸν ἀληθινὸν ἐπακτὸν ἔχοντα τὸν ἁγιασμὸν, οἷσπερ ἂν βούλοιντο λόγοις, καταδεικνύτωσαν. εἰ δὲ ἔστιν ἐν Υἱῷ, τὸ ἡγιάσθαι δοτὸν Θεῷ κατὰ φύσιν ὄντι καὶ ἀληθινῷ, οὐδὲν ἔτι τὸ ἀπεῖργον καὶ αὐτὸν ἡγιάσθαι ὑπονοεῖν τὸν ἐξ οὗ πάρεστι Πατέρα, καὶ εἰ Θεὸς ἀληθινὸς εἶναι πεπίστευται. ἵνα πανταχόθεν τὸ ἀνόσιον αὐτῶν ἐκπολιορκῆται θράσος, οὐ παραιτήσομαι καί τι τῶν εἰς ἀτοπίαν ἡκόντων εἰπεῖν. ἢ γὰρ οὐ μόνῳ καὶ ἐξαιρέτως ἀνακείσεται τὸ ἁγιάζειν δύνασθαι τῷ κατὰ φύσιν Θεῷ, καθάπερ καὶ τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ ὄντα καλεῖν; φαίης ἄν.

Οὐκοῦν εἰ τοῖς κτίσμασιν ἐναρίθμιος ὑπάρχων ὁ Υἱὸς, κατά γε τὸν παρ' ἐκείνοις λόγον, τὰ τῆς κατὰ φύσιν θεότητος ἴδια καὶ ἐξαίρετα διαπεραίνεται, καὶ φύσεως τῆς ἰδίας ποιεῖται δόξαν· ἑαυτὸν γὰρ ἁγιάσαι φησὶ λέγων, "ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυ-"τὸν," κατεκομίσθη μὲν ὡς ἔοικε τὰ τῆς ἐπέκεινα πασῶν οὐσίας ἐπὶ τὴν κτίσιν. οὐκ ἀπίθανον δὲ οἶμαι τὸ καὶ ἡμᾶς αὐτοὺς ἁγιάζειν δύνασθαι κατατολμᾶν εἰπεῖν, καθ' ὁμοιότητα τοῦ Υἱοῦ. εἰ γὰρ γενητὸς ὑπάρχων αὐτὸς, τὰ τῆς τοσοῦτον ἀνῳκισμένης οὐσίας ἴδια ποιεῖται πλεονεκτήματα, τί τὸ ἐμποδὼν εἰς τὸ καὶ ἡμᾶς αὐτοὺς τὰ αὐτοῦ δύνασθαι πληροῦν; ἅτε δὴ καὶ ἀγχοῦ καὶ οὔτι που διεστηκότας τῆς πρὸς αὐτὸν οἰκειότητος· εἴπερ ἐστί τις παντὶ γενητῷ πρὸς γενητὸν συγγένειά τε καὶ σχέσις. κατ' αὐτὸ δὴ τοῦτο γεγενῆσθαι φημί. εἴη δ' ἂν καὶ ἑτέρως δυσεβὲς τὸ ἡγιάσθαι πιστεύειν αὐτὸν τίνα τρόπον τὸ ἁγιαζόμενον, ἆρ' οὐχὶ τῷ ὑπερκειμένῳ καὶ ἀμείνονι τῆς ἰδίας φύσεως ἁγιάζεται; οὐ γάρ που τῷ αἰσχίονι φαῖεν ἂν, εἴπερ εἴς τι τῶν τελούντων εἰς ὄνησιν ἀναβιβάζει τὸ ἁγιάζεσθαι.

Οὐκοῦν εἴπέρ ἐστιν ἀληθὲς ὡς ἡγίασται κατ' ἐκείνους διὰ τοῦ Πνεύματος ὁ Υἱὸς, ὡς ἀμείνονι πάντως που κατεχρίετο καὶ τὴν φύσιν ἔχοντι παρ' αὐτὸν ἑτέραν. μετάσχοι γὰρ ἂν ἑαυτοῦ τῶν ὄντων οὐδὲν, ἀλλ' ἕτερον ἐν ἑτέρῳ τὸ μετεχόμενον, κατά γε τὸν τοῦ πῶς εἶναι λόγον. εἶτα πῶς ἡμῖν ὁ Υἱὸς διὰ τοῦ Πνεύματος ἐναυλίζεται; πῶς δὲ τὸ ἄμεινον κατὰ φύσιν τὴν τοῦ χείρονος

ἐμποιήσει μέθεξιν δι' ἑαυτοῦ; ἡμεῖς δὲ τὸ μακροὺς ἀντεξάγειν λόγους ὡς περιττὸν ἀφέντες, φαμὲν ὅτι ἐπειδὴ τὸ ἀμετρήτως διεστηκὸς τῆς θείας αὐτοῦ καὶ ὑπερτάτης οὐσίας ἴδιον ἐποιήσατο, φημὶ δὴ τὴν σάρκα, τότε δὴ τότε καὶ ἡγιάσθαι λέγεται σοφῶς τὲ καὶ πρεπωδέστερον ἐπὶ τὸ ἀνθρώπινον τοῦ ἡγιάσθαι διάττοντος. τήν γε μὴν τοῦ ἡγιάσθαι πλήρωσιν ἤτοι τὴν ἐνέργειαν, ὡς ἐν προσώπῳ Πατρὸς τῇ τῆς θεότητος ἀνετέθει φύσει. μόνῃ γὰρ αὐτῇ τὸ ἁγιάζειν οἰκεῖον. ὁ μέν τοι Ἀπόστολος δεικνὺς ὅτι ἅμα τὲ τὴν σάρκα ἥνωσεν ἑαυτῷ ὁ Λόγος, καὶ τὴν ἀδελφότητα ἐνεδύσατο, ἐπάγει,

Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς κα-
12 λεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς
μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

Χρυσοστόμου. Ὁρᾷς πῶς δείκνυσι πάλιν τὴν ὑπεροχήν; τὸ γὰρ εἰπεῖν "οὐκ ἐπαισχύνεται" δείκνυσιν οὐ τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς φιλοστοργίας τοῦ μὴ ἐπαισχυνομένου τὸ πᾶν ὄν, τῆς ταπεινοφροσύνης τῆς πολλῆς. εἰ γὰρ καὶ ἐξ ἑνὸς, ἀλλ' ὁ μὲν ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα· πολὺ δὲ τὸ μέσον. καὶ ὁ μὲν ἐκ τοῦ Πατρὸς ὡς Υἱὸς γνήσιος, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ· ἡμεῖς δὲ ὡς κτίσμα, τουτέστιν ἐξ οὐκ ὄντων. ὥστε πολὺ τὸ μέσον. τὴν σάρκα μέν τοι ἐνδυσάμενος, ἐνεδύσατο καὶ τὴν ἀδελφότητα, καὶ συνῆλθεν ὁμοῦ τῇ προσλήψει τῆς σαρκὸς καὶ ἡ ἀδελφότης, ἀλλὰ τὸ μὲν "ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς "μου," καὶ τὸ "ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεὸς," εἰκότως παράγει. ὥσπερ γὰρ ἐνταῦθα πατέρα δείκνυσιν ἑαυτὸν, οὕτως ἐκεῖ ἀδελφόν.

Φωτίου. Τὸ δὲ "ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ," τί βούλεται; ἢ τάχα ἐπειδὴ ἄνω εἶπεν αὐτὸν ἀδελφὸν καὶ κάτω πατέρα, ἐν μέσῳ ἐσήμανεν, ὅτι ταῦτα μὲν φιλανθρωπίας ὀνόματα καὶ χάριτος τῆς αὐτοῦ. τὸ δὲ φύσει καὶ ἀληθῶς Θεὸς ἔστη φησί. τίς γὰρ πέποιθεν ἐπὶ ἑτέρῳ τινὶ, εἰ μὴ ἐπὶ μόνῳ Θεῷ, ὡσεὶ ἔλεγε, μὴ ἀκούοντες αὐτὸν ἀδελφὸν καὶ πατέρα, νομίσητε ἕνα εἶναι τῶν πολλῶν, Θεός ἐστιν ἐφ' ὃν γέγραπται πεποιθέναι χρεών.

Ἀθανασίου. Ἀπόχρη μὲν οὖν καὶ τὸ "οὐκ ἐπαισχύνεται"

δεῖξαι τὴν διαφορὰν τῆς υἱότητος. περὶ δεσπότου γὰρ καὶ δούλων διαλεγόμενοι καὶ τὴν τῶν δεσποτῶν ταπεινοφροσύνην διδάσκοντα εἰώθαμεν λέγειν, οὐκ ἐπαισχύνεται μετὰ τῶν οἰκετῶν ἐσθίων καὶ πίνων καὶ συγκαθήμενος, καὶ τοὺς τούτων ἀρρώστους δι' ἑαυτοῦ θεραπεύων. τοῦτο τοίνυν κἀνταῦθα αἰνίττεται, ὡς ὁ τὸ ὑπὲρ ἡμῶν καταδεξάμενος πάθος, οὐκ ἐπαισχύνεται καλεῖν ἀδελφοὺς, τούτους ὑπὲρ ὧν τὸ πάθος ὑπέμεινε, λέγων πρὸς τὸν πατέρα ἐν Ψαλμοῖς, "διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου."

Κυρίλλου. Ὄνομα δὲ ἐνταῦθα τὴν δόξαν λέγει, κατὰ τὸ "ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις." κατέστησε γὰρ ἐναργῆ τὴν δόξαν αὐτοῦ, οὐχ ὅτι μόνον Πατήρ ἐστιν εἰπὼν καὶ διδάξας, ἀλλ' ἐμφανῆ καθιστὰς τήν τε ἡμερότητα καὶ τὴν δόξαν αὐτοῦ ἡμῖν τοῖς γενομένοις αὐτοῦ ἀδελφοῖς, καθὸ γέγονε καθ' ἡμᾶς· ἔφη γὰρ, ὅτι "οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ "τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, "ἀλλ' ἔχῃ ζωὴν αἰώνιον." πεφανέρωκε δὲ καὶ ἑτέρως ἡμῖν τὴν τοῦ Πατρὸς δόξαν. ὅσοι γὰρ τεθέανται τὸν Υἱὸν τοῖς τῆς διανοίας ὄμμασι, θεοπρεπεστάτην ἔχοντα τὴν ἐξουσίαν καὶ τὸ ἐφ' ἅπασι παναλκὲς, τεθέανται τὸν Πατέρα, καὶ ἐγνώκασιν αὐτόν. ἔφη γοῦν καὶ αὐτὸς ὅτι "ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα," ἀλλὰ καὶ "ἐν μέσῳ," φησὶν, "ἐκκλησίας ὑμνήσω σε." ἐκκλησίας δὲ ποίας ἢ ἐκείνης πάντως, ἣν αὐτὸς ἑαυτῷ παρέστησεν ὁ Υἱὸς, "μὴ ἔχουσαν "σπῖλον ἢ ῥυτίδα, ἁγίαν δὲ καὶ ἄμωμον;" ὑμνεῖ γε μὴν τὸν Πατέρα, τὴν δόξαν αὐτοῦ καθιστὰς φανέραν· τοῦτο γὰρ δηλοῖ τὸ ὄνομα.

Γρηγορίου Νύσσης. Ἰδοὺ ἐκ τῆς Μαρίας ἀδελφοῖς διαλέγεται· ὁ δὲ μονογενὴς, ἀδελφοὺς οὐκ ἔχει. πῶς γὰρ ἂν ἀδελφοῖς τὸ μονογενὲς διασώζοιτο; ἀλλ' ἐπειδὴ γέγονεν ὁ Λόγος ὅπερ ἡμεῖς, δι' ἑαυτοῦ πάλιν συνῆψε Θεῷ τὸ ἀνθρώπινον· καὶ τὸν καινὸν ἐκεῖνον ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα, τοῦτον διὰ καθαρότητα τῇ συγγενείᾳ τοῦ Πατρὸς τῆς φύσεως ἡμῶν προσοικειώσας, πᾶσαν τὴν κοινωνὸν τοῦ σώματος αὐτοῦ καὶ συγγενῆ φύσιν, πρὸς τὴν αὐτὴν χάριν συνεφειλκύσατο· ὥστε οὐκέτι ἐν ἀποκηρύκτοις ὁ ἄνθρωπος, οὐδὲ τῆς τοῦ Θεοῦ βασιλείας ἀπόβλητος, ἀλλὰ πάλιν υἱὸς, πάλιν ὑπὸ τὸν Θεὸν τετιμένος, τῇ ἀπαρχῇ τῆς ἀνθρωπότητος συναγι-

ασθέντος καὶ τοῦ φυράματος. ὅθεν γὰρ ἀπεφοιτήσαμεν, σάρκες διὰ τὴν ἁμαρτίαν γενόμενοι, ἐκεῖ πάλιν ἡμᾶς ἀναλαβὼν, ἐπανήγαγεν ὁ δι' ἡμᾶς κεκοινωνηκὼς σαρκός τε καὶ αἵματος. καὶ οὕτω γέγονε καὶ ἡμέτερος Πατὴρ ὁ Θεὸς, ἐπειδὴ καὶ τῆς ἡμετέρας ἀπαρχῆς.

ΘΕΟΔΩΡΗΤΟΥ. Καὶ πάλιν "ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ," ἔδειξε τὰ ταπεινῶς εἰρημένα, οἰκονομικῶς εἰρημένα. τῷ γὰρ "οὐκ "ἐπαισχύνεται" συνέζευξε τὸ "ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ." οὐκ ἐπαισχύνεται γὰρ διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν, καὶ ταπεινοῖς παρὰ τὴν οἰκείαν ἀξίαν κεχρῆσθαι λόγοις.

13 Καὶ πάλιν ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός.

ΒΑΣΙΛΕΙΟΥ. Ἐκ προσώπου τοῦ Χριστοῦ καὶ οὗτος ἐστὶν ὁ λόγος· ἀπὸ γὰρ τοῦ ἰδίου προσώπου διαλεγόμενος, λέγει ἐν Ἡσαΐᾳ, ὅτι ἐγὼ τοὺς εἰς ἐμὲ πεπιστευκότας ἄρτι ἀναγεννηθέντας ἐν τῷ ἀποθέσθαι τὸν παλαιὸν ἄνθρωπον, καὶ ἀναλαβεῖν τὸν νέον, οἱονεὶ παῖδας ἀρτιγενεῖς, ἁπαλοὺς τὸν τρόπον καὶ ἀπειροκάκους, ἀπογεγαλακτισμένους λοιπὸν ἀπὸ τῶν εἰσαγωγικῶν λόγων, καὶ ἐπὶ τὴν τελεωτέραν τροφὴν τῶν μυστηρίων χωροῦντας, τούτους προσλαβόμενος, καὶ θάλπων τῷ κόλπῳ τῆς εὐσπλαγχνίας, προσάγει τῷ Πατρί. δι' ἐμοῦ γὰρ ἡ ὁδὸς τῆς πρὸς αὐτὸν ἐπιγνώσεως.

ΘΕΟΔΩΡΗΤΟΥ. Εἶτα τῆς περὶ τῶν παιδίων μαρτυρίας ἐπιλαβόμενος, ἐξυφαίνει τὸν λόγον ὁ Παῦλος.

14 Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵμα-
τος, παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θα-
νάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου,
15 τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι
φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δου-
λείας.

ΚΥΡΙΛΛΟΥ. Τὰ παιδία, φησὶν, ἐν τούτοις, ἡμᾶς δηλονότι τοὺς ὄντας ἐπὶ τῆς γῆς, κατὰ τὸ "ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψί-"στου." ὅσον γὰρ ἧκεν εἰς τὸ Θεῷ δοκοῦν, πάντες ἂν ἦμεν τέκνα. νῦν δὲ ὡς ἄνθρωποι ἀποθνήσκομεν, καὶ πίπτομεν τοῖς τῆς σαρκὸς πάθεσι τὸν νοῦν ὑποφέροντες. πῶς οὖν ἄρα κεκοινώνηκεν αἵματος

καὶ σαρκός; ψυχὴ γὰρ ἡ ἀνθρωπίνη φύσιν ἑτέραν ἔχουσα, τὴν σάρκα τῇ πρὸς αὐτὴν συνθέσει καθ' ἕνωσιν, τὸ ἕν τε καὶ λογικὸν ἀποτετέλεκε ζῶον, τουτέστιν τὸν ἄνθρωπον· οὕτω καὶ ὁ τοῦ Θεοῦ Λόγος ἐψυχωμένῃ σαρκὶ ἑαυτὸν ἑνώσας, μετέσχεν αἵματος καὶ σαρκὸς παραπλήσιος ἡμῖν, διὰ γεννήσεως δηλονότι τῆς ἐκ γυναικός. εἷς οὖν Κύριος Ἰησοῦς Χριστὸς, ὡς ἑνώσαντος μὲν ἑαυτῷ τοῦ Θεοῦ Λόγου τὸ ἀνθρώπινον, μεμενηκότος δὲ καὶ οὕτως ὅπερ ἦν Θεός. εἰ δὲ αὐτὸς κατήργηκε τοῦ θανάτου τὸ κράτος ὡς ζωὴ καὶ Θεὸς, ἴδιον αὐτοῦ νοεῖσθαι πρέπει τὸ πεπονθὸς τὸν θάνατον· ἵν' ὡς αὐτὸς ἀναστὰς καταργῆσαι λέγοιτο τὴν φθορὰν, καὶ εἰς ἅπαν ἡμῶν παραπέμψῃ τὸ νέον τῆς ἀφθαρσίας τὴν χάριν. ἐπειδὴ δέ ἐστι τῶν τῆς καθ' ἡμᾶς ἀνθρωπότητος μέτρων ἐπέκεινα τὸ πατῆσαι θάνατον, ἑνώσει φαμὲν ἤγουν κοινωνίᾳ τῇ πρὸς σάρκα τε καὶ αἷμα τὸν Λόγον γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον. ἀπομεμενηκέναι δὲ καὶ οὕτω θανάτου κρείττω· Θεὸς γὰρ ἦν ἐν σαρκί.

Πῶς οἷόν τε ἦν φησὶν, ἢ ἀδελφὸν ἡμῶν αὐτὸν χρηματίσαι, ἢ παῖδας ἡμᾶς γνησίως καλέσαι, μὴ τὴν αὐτὴν περικείμενον φύσιν; οὗ δὴ χάριν ταύτην ἀναλαβὼν, τὴν τοῦ θανάτου κατέλυσε δυναστείαν, καὶ τὸ ἐπικείμενον ἡμῖν διέλυσε δέος. δειμαίνοντες γὰρ ἀεὶ διετελοῦμεν τὸν θάνατον· ἐπειδή περ ἕλκειν ἠναγκαζόμεθα τῆς θνητότητος τὸν ζυγόν. σφόδρα δὲ ἀναγκαίως καὶ τὸ "παραπλησίως" τέθεικεν, ἵνα τὴν τῆς φαντασίας διελέγξῃ συκοφαντίαν. ταῦτα δὲ ἅπαντα διεξῆλθε διδάσκων τοὺς ἐλάττονα τῶν Ἀγγέλων τὸν Υἱὸν διὰ τὸ πάθος ὑπολαμβάνοντας, ὡς ἀναγκαίως τὸ πάθος ὑπέμεινε. τοῦτο δὲ καὶ διὰ τῶν ἑξῆς ἐκπαιδεύει σαφέστερον.

Χρυσοστόμου. Ἀλλ' ἐγκαλυπτέσθωσαν οἱ δοκήσει λέγοντες αὐτὸν παραγεγενῆσθαι καὶ οὐκ ἀληθείᾳ. οὐ γὰρ εἶπεν ὅτι μετέσχε τούτων μόνον, καὶ ἐσίγησε· καί τοι καὶ εἰ οὕτως εἶπεν, ἱκανὸν ἦν, ἀλλ' ἕτερόν τι μεῖζον ἔθηκε, τὸ "παραπλησίως" προσθεὶς, οὐ φαντασίᾳ, οὐδὲ εἰκόνι φησὶν, ἐπεὶ τὸ παραπλησίως οὐ σώζεται, ἀλλ' ἀληθείᾳ δεικνὺς τὴν ἀδελφότητα· εἶτα καὶ τὴν αἰτίαν τίθησι τῆς οἰκονομίας, "ὅπως διὰ τοῦ θανάτου," φησὶ, "καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον." ἐνταῦθα τὸ θαυμαστὸν δείκνυσιν, ὅτι δι' οὗ ἐκράτησεν ὁ διάβολος, διὰ τούτου ἡττήθη, καὶ ὅπερ ἰσχυρὸν ἦν αὐτῷ ὅπλον κατὰ τῆς οἰκουμένης

ὁ θάνατος, τούτῳ αὐτὸν ἔπληξεν ὁ Χριστός. ἐνταῦθα τὸ πολὺ τῆς δυνάμεως τοῦ νικήσαντος ἐμφαίνει· ὁρᾷς ὅσον ὁ θάνατος εἰργάσατο καλόν; "καὶ ἀπαλλάξῃ," φησὶ, "τούτους, ὅσοι φόβῳ θανάτου διὰ "παντὸς τοῦ ζῆν, ἔνοχοι ἦσαν δουλείας." τίνος ἕνεκεν φρίττετε φησίν; τί δεδοίκετε τὸν καταργηθέντα; οὐκέτι φοβερός ἐστιν, ἀλλὰ πεπάτηται, καταπεφρόνηται· εὐτελής ἐστι καὶ οὐδενὸς ἄξιος. τί δέ ἐστι, "φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας;" ἢ τοῦτο φησὶν, ὅτι ὁ τὸν θάνατον δεδοικὼς, δοῦλος ἐστὶ καὶ πάντα ὑφίσταται ὑπὲρ τοῦ μὴ ἀποθανεῖν· ἢ ἐκεῖνο, ὅτι πάντες δοῦλοι ἦσαν τοῦ θανάτου, καὶ τῷ μηδέπω αὐτὸν λελύσθαι, ἐκρατοῦντο· ἢ ὅτι φόβῳ διηνεκεῖ συνέζων οἱ ἄνθρωποι, ἀεὶ ἀποτεθνήξεσθαι προσδοκῶντες, καὶ τὸν θάνατον δεδοικότες, οὐδεμιᾶς ἡδονῆς αἴσθησιν λαβεῖν ἠδύναντο, τοῦ φόβου τούτου παρόντος αὐτοῖς. τοῦτο γὰρ ἠνίξατο εἰπὼν "διὰ παντὸς τοῦ ζῆν." δείκνυσι δὲ ἐνταῦθα τοὺς θλιβομένους, τοὺς ἐλαυνομένους, τοὺς καὶ πατρίδος καὶ οὐσίας καὶ τῶν ἄλλων ἀποστερουμένους ἤδη[y] διάγοντας καὶ ἐλευθεριώτερον ἐκείνων, τῶν ἐν τρυφῇ τὸ πάλαι διαγόντων, τῶν μηδὲν τοιοῦτον παθόντων, τῶν εὐθηνουμένων. εἴγε ἐκεῖνοι μὲν διὰ παντὸς τοῦ ζῆν ὑπὸ τῷ φόβῳ τούτῳ ἦσαν καὶ δοῦλοι· αὐτοὶ δὲ τούτου εἰσὶν ἀπηλλαγμένοι, καὶ γελῶντες τοῦτο ὅπερ ἐκεῖνοι πεφρίκεσαν. ταυτὸν γάρ ἐστιν νῦν, ὥσπερ ἂν εἴ τις δεσμώτην μέλλοντα τὴν ἐπὶ θάνατον ἄγεσθαι καὶ ἀεὶ τοῦτο προσδοκῶντα λιπαίνοι πολλῇ τῇ τρυφῇ. τοιοῦτόν τι ἦν τὸ παλαιὸν ὁ θάνατος. νῦν δὲ ὥσπερ ἂν εἴ τις τὸν φόβον ἐκεῖνον ἐκβαλὼν, μετὰ τῆς τρυφῆς ἐπαγγέλοιτο ἀθλεῖν, καὶ προτιθείη τὸν ἀγῶνα ὥστε μηκέτι εἰς θάνατον, ἀλλ' εἰς βασιλείαν ἀγαγεῖν. τίνων ἂν ἠθέλησας γενέσθαι, τῶν ἐν τῷ δεσμωτηρίῳ λιπαινομένων μετὰ τοῦ καθ' ἑκάστην ἡμέραν τὴν ἀπόφασιν προσδοκᾷν, ἢ τῶν ἀθλούντων καὶ πονούντων ἑκοντὶ ὥστε τὸ διάδημα τῆς βασιλείας ἀναδήσασθαι; ὁρᾷς πῶς αὐτῶν ἦρε τὴν ψυχὴν, καὶ μετεώρους εἰργάσατο; δείκνυσι δὲ, οὐ τὸν θάνατον πεπαυμένον μόνον, ἀλλὰ διὰ τούτου κἀκεῖνον τὸν ἄσπονδον, τὸν διάβολον λέγω καταργηθέντα. ὁ γὰρ θάνατον μὴ δεδοικὼς, ἔξω τῆς τυραννίδος ἐστὶ τοῦ διαβόλου. εἰ γὰρ δέρμα ὑπὲρ δέρματος καὶ πάντα δώσει τίς ὑπὲρ τῆς ψυχῆς αὐτοῦ, ὅταν καὶ ταύτης τίς κρίνει καταφρο-

[y] An ἡδονῇ.

νεῖν, τίνος ἔσται δοῦλος λοιπὸν, ὁ τοιοῦτος πάντων ἐστὶν ἀνώτερος, καὶ πάντων ἐλευθεριώτερος; πάντα γὰρ μικρὰ τῷ μηδὲ τὴν ψυχὴν τιμίαν τιθεμένῳ κατὰ τὸν μακάριον Παῦλον. ὅταν δὲ εὕρῃ ψυχὴν τοιαύτην ὁ διάβολος, οὐδὲν ἐργάσασθαι δυνήσεται ἐν αὐτῇ τῶν αὐτοῦ. ὁρᾷς ὅτι τοῦ θανάτου τὴν τυραννίδα ἐκβαλὼν, κατέλυσε καὶ τοῦ διαβόλου τὴν ἰσχύν. ὁ γὰρ περὶ ἀναστάσεως μυρία φιλοσοφεῖν εἰδὼς, πῶς δέδοικε λοιπὸν θάνατον;

Ἰσιδώρου. Εἰ δὲ πυνθάνῃ τί ἐστι, "καὶ ἀπαλλάξῃ αὐτοὺς "ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἦσαν ἔνοχοι δουλείας," ἄκουε. οὐχ ὁ θάνατος, ὦ βέλτιστε, ἀλλὰ τὸ δικαστήριον τὸ μετὰ τὸν θάνατον, ἀποτρέπει τῶν ἁμαρτημάτων. οἱ γὰρ ἀσεβεῖς σπινθῆρα νομίσαντες εἶναι τὴν ψυχὴν, οὗ ἀποσβεσθέντος, ὡς ἔφασαν, τέφρα ἀποβήσεται, τὸ σῶμα μόνον τεθνάναι νομίζοντες, μὴ κρίνεσθαι δὲ, ταῦτα γάρ ἐν τῇ ἐπιγεγραμμένῃ σοφίᾳ Σολομῶντος εἰρήκασιν, οὐδὲν ἄπρακτον εἴασαν. ὡς γὰρ μηκέτι ὄντες μετὰ θάνατον πάντα δρᾷν τὰ αἰσχύνης καὶ θανάτων καὶ κολάσεων ἄξια ἐπεχείρουν, λέγοντες, "αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος οὗτος." ἦλθε τοίνυν ὁ Σωτὴρ μετὰ τῶν ἄλλων ὧν κατώρθωσε, καὶ ταύτης ἀπαλλάξων τοὺς ἀνθρώπους τῆς ἐπινοίας τὴν γὰρ τῆς ψυχῆς ἀθανασίαν ὁρισάμενος ἐν τῷ φάναι, "τὴν δὲ ψυχὴν μὴ δυναμένων "ἀποκτεῖναι," καὶ τὴν τῶν σωμάτων ἀνάστασιν εὐαγγελισάμενος διὰ τοῦ εἰπεῖν ὅτι "ἐν τῇ ἀναστάσει οὐκέτι γάμος, ἀλλ' ἔσονται ὡς "Ἄγγελοι," τήν τε κρίσιν καὶ τὴν κόλασιν προμηνύσας, διὰ πολλῶν μὲν ἄλλων καὶ ἐν τῷ φράσαι δὲ, "φοβήθητε τὸν δυνάμενον "καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ," πάσης ἐκείνης ἠλευθέρωσεν ἅπαντας τῆς ὑπονοίας, μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν τῆς δουλείας. τὸ γὰρ θεῖον δεκαστήριον ἐν νῷ λαμβάνοντες, καὶ ὡς πρὸς σκοπὸν τὸ ὄμμα τείνοντες, οὐδὲν φαῦλον πρᾶξαι τολμήσειαν. οἶμαι μὲν οὖν σεσαφηνίσθαι τὸ ῥητόν. εἰ δὲ καὶ μεταφρασθῆναι αὐτῷ[z] βούλει, φήσαιμι. ἐπειδὴ ὡς μέλλοντες ἀποθνήσκειν ἐδούλευον ἀφειδῶς ταῖς ἁμαρτίαις, ὁ γὰρ τοῦ θανάτου φόβος βλοσυρὸν αὐτοῖς ἐνορῶν, καὶ τὴν τοῦ μηκέτ' εἶναι ἔννοιαν τίκτον, εἰς πᾶσαν αὐτοὺς δουλείαν ἁμαρτίας ἀπέπεμπε. διὰ τοῦτ' ἦλθεν ὁ Χριστὸς καὶ ταύτης αὐτοὺς ἀπαλλάξων τῆς δουλείας. εἰ δὲ μηδ'

z Leg. αὐτό.

οὕτως νενόηται, σαφέστερον εἰρήσεται. πολλοῖς γὰρ ἁλώσιμον οὐκ ἔστι τὸ νόημα τὸ ἀποστολικόν. ἀπαλλάξῃ, φησὶ, τούτους τοῦ φόβου τοῦ θανάτου, τοῦ ἀνυπαρξίαν αὐτοῖς ἀπειλοῦντος, καὶ ἀγάγοι εἰς ἔννοιαν τοῦ μετὰ τὴν ἐντεῦθεν τελευτὴν ἀδεκάστου κριτηρίου. οὕτω γὰρ ἄσμενοι τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδὸν τρέχοιεν, τῇ ἐλπίδι τῶν στεφάνων πτερούμενοι· καὶ τὴν ἁμαρτίαν φεύγοιεν τῷ φόβῳ τῶν ἐσομένων τιμωριῶν. εἰ δὲ καὶ εἰς ἄλλο ἐνθύμημα βλέπει ὁ νοῦς ὁ ἀποστολικὸς, τῆς συνέσεως τῆς σῆς ἐστὶ κρῖναι. εἰκὸς γὰρ καί τι τοιοῦτον αὐτὸν ἐμφαίνειν. ἐπειδὴ πολλοὶ τὸν θάνατον δεδιότες ὡς εἰς ἀνυπαρξίαν παραπέμποντα, πολλὰ καὶ παρὰ γνώμην καὶ δρᾶσαι καὶ παθεῖν αἰσχρὰ ὑπέμενον. ἵνα μὴ μόνον τιμωρηθεῖεν παρὰ τῶν δυνατωτέρων. ἐρῶντες γὰρ καὶ μὴ τυγχάνοντες τοῦ σκοποῦ, δόλους καὶ ἐπιβουλὰς θάνατον τίκτοντας κατεσκεύαζον, ὡς δηλοῦσιν, εἴτε κατὰ τὸν Ἰωσὴφ, εἴτε κατὰ τὴν Σωσάνναν ἱστορίαι. ἧκε παιδεύσων τοὺς ἀνθρώπους ὅτι ὁ θάνατος αἱρετώτερός ἐστι τῆς κακίας, καὶ χρὴ μᾶλλον τοῦτον καταδέχεσθαι, ἤ τι τῶν αἰσχίστων δρᾶσαι τὲ καὶ παθεῖν. ὁ μὲν γὰρ ὑπὸ τῆς ἀναστάσεως σβεσθήσεται, τὰ δὲ, εἰς κολάσεις καταλήξουσιν.

Ἀθανασίου. Ἄνωθεν δὲ πάλιν περὶ τοῦ αὐτοῦ ῥητέον πλατύτερον. ὁ Θεὸς ἀγαθὸς ὢν, οὐδενὶ τοῦ εἶναι φθονήσας, ἐξ οὐκ ὄντων τὰ πάντα πεποίηκε διὰ τοῦ ἰδίου Λόγου αὐτοῦ. ἐν οἷς πάντων μάλιστα τῶν ἐπὶ γῆς, τὸ ἀνθρώπινον γένος ἐλεήσας, καὶ θεωρήσας ὡς οὐχ ἱκανὸν εἴη κατὰ τὸν τῆς ἰδίας γενέσεως λόγον διαμένειν, ἀεὶ πλέον τί χαριζόμενος αὐτοῖς, οὐχ ἁπλῶς ὡς τὰ ἄλογα ζῶα ἔκτισε τοὺς ἀνθρώπους, ἀλλὰ κατὰ τὴν ἑαυτοῦ εἰκόνα ἐποίησεν αὐτοὺς, μεταδοὺς αὐτοῖς καὶ τῆς τοῦ ἰδίου λόγου δυνάμεως, ἵνα ὥσπερ σκιάς τινας ἔχοντες τοῦ λόγου καὶ γενόμενοι λογικοὶ, διαμένειν ἐν μακαριότητι δυνηθῶσι, ζῶντες τὸν ἀληθινὸν καὶ ὄντως τῶν ἁγίων ἐν παραδείσῳ βίον. εἰδὼς δὲ πάλιν τὴν ἀνθρώπων εἰς ἀμφότερα νεύειν δυναμένην προαίρεσιν, προλαβὼν ἠσφαλίσατο νόμῳ, τὴν δοθεῖσαν αὐτοῖς χάριν. εἰς τὸν ἑαυτοῦ γὰρ παράδεισον αὐτοὺς εἰσαγαγὼν, ἔδωκεν αὐτοῖς νόμον ἵνα εἰ μὲν φυλάξαιεν τὴν χάριν, καὶ μένοιεν καλοὶ, ἔχωσι τὴν ἐν παραδείσῳ ἄλυπον ζωὴν, πρὸς τὸ καὶ τῆς ἐν οὐρανοῖς ἀφθαρσίας αὐτοὺς τὴν ἐπαγγελίαν

ἔχειν. εἰ δὲ παραβαῖεν καὶ στραφέντες γένοιντο φαῦλοι, γινώσκοιεν ἑαυτοὺς τὴν ἐν θανάτῳ κατὰ φύσιν φθορὰν ὑπομένειν, καὶ μένειν ἐν τῷ θανάτῳ. τὸ γὰρ "θανάτῳ ἀποθανεῖσθε," τί ἂν ἄλλο εἴη ἢ τὸ μὴ μόνον ἀποθνήσκειν, ἀλλὰ καὶ ἐν τῇ τοῦ θανάτου φθορᾷ διαμένειν;

Οὕτω μὲν οὖν ὁ Θεὸς τὸν ἄνθρωπον πεποίηκε, καὶ μένειν ἠθέλησεν ἐν ἀφθαρσίᾳ. ἄνθρωποι δὲ ἀποστραφέντες τὴν πρὸς τὸν Θεὸν κατανόησιν, ἐπινοήσαντες δὲ ἑαυτοῖς τὴν κακίαν, ἔσχον τὴν προαπειληθεῖσαν τοῦ θανάτου κατάκρισιν, καὶ ὁ θάνατος αὐτῶν ἐκράτει βασιλεύων. ἡ μὲν γὰρ παράβασις τῆς ἐντολῆς, εἰς τὸ κατὰ φύσιν αὐτοὺς ἐπέστρεφεν, ἵνα ὥσπερ οὐκ ὄντες γεγόνασιν, οὕτως καὶ τὴν εἰς τὸ μὴ εἶναι φθορὰν ὑπομείνωσιν· εἰ γὰρ φύσιν ἔχοντες τὸ μὴ εἶναί ποτε τῇ τοῦ Λόγου παρουσίᾳ καὶ φιλανθρωπίᾳ εἰς τὸ εἶναι ἐκλήθησαν, ἀκόλουθον ἦν κενωθέντας τῆς περὶ Θεοῦ ἐννοίας καὶ εἰς τὰ οὐκ ὄντα ἀποστραφέντας· οὐκ ὄντα γάρ ἐστι τὰ κακὰ, ὄντα δὲ τὰ καλά· ἐπειδή περ ἀπὸ τοῦ ὄντως Θεοῦ γεγόνασιν, κενωθῆναι καὶ τοῦ εἶναι ἀεί· τοῦτο δέ ἐστι τὸ διαλυθέντας μένειν ἐν τῷ θανάτῳ καὶ τῇ φθορᾷ. ἔστι μὲν δὴ κατὰ φύσιν ὁ ἄνθρωπος θνητὸς, ἅτε δὴ ἐξ οὐκ ὄντων γεγονὼς, διὰ δὲ τὴν πρὸς τὸν ὄντα ὁμοιότητα, ἣν διεφύλαττε διὰ τῆς πρὸς αὐτὸν κατανοήσεως, ἤμβλυνεν ἂν τὴν κατὰ φύσιν φθορὰν, καὶ ἔμεινεν ἄφθαρτος· διὰ γὰρ τὸν συνόντα Λόγον καὶ ἡ κατὰ φύσιν φθορὰ τούτῳ οὐκ ἤγγιζεν. ἐπεὶ δὲ φθόνῳ διαβόλου εἰς τὰ τῆς φθορᾶς ἀπεστράφησαν, ἀπέθνησκον. ἡ δὲ φθορὰ λοιπὸν κατ' αὐτῶν ἤκμαζεν, ὅσῳ καὶ τὰ τῆς κακίας ἐπετείνετο· καὶ νόμῳ ἴσχυε καθ' ἡμῶν ὁ θάνατος, καὶ οὐχ οἷόν τε ἦν τὸν νόμον ἐκφυγεῖν, διὰ τὸ ὑπὸ Θεοῦ τεθεῖσθαι τοῦτον, τῆς παραβάσεως χάριν. καὶ ἦν ἄτοπον ὁμοῦ καὶ ἀπρεπὲς ἐν τοῖς γινομένοις. ἄτοπον μὲν γὰρ ἦν εἰπόντα τὸν Θεὸν ψεύσασθαι, ἀπρεπὲς δὲ τὰ ἅπαξ γενόμενα λογικὰ καὶ τοῦ λόγου αὐτοῦ μετασχόντα, παραπόλλυσθαι, καὶ τὴν τοῦ Θεοῦ τέχνην ἐν τοῖς ἀνθρώποις ἀφανίζεσθαι, ἢ διὰ τὴν αὐτῶν ἀτέλειαν, ἢ διὰ τὴν τῶν δαιμόνων ἀπάτην. φθειρομένων τοίνυν τῶν λογικῶν, τί ἔδει τὸν Θεὸν ποιεῖν ἀγαθὸν ὄντα; ἀφεῖναι τὴν φθορὰν κατ' αὐτῶν ἰσχύειν; καὶ τίς ἡ χρεία τοῦ καὶ ἐξ ἀρχῆς αὐτὰ γενέσθαι; ἔδει γὰρ αὐτὰ μὴ γενέσθαι, ἢ γενόμενα, παραμεληθῆναι καὶ ἀπολέσθαι· ἀσθένεια

γὰρ μᾶλλον καὶ οὐκ ἀγαθότης ἐκ τῆς ἀμελείας γινώσκεται τοῦ Θεοῦ. οὐκοῦν ἔδει τοὺς ἀνθρώπους μὴ ἀφιέναι φέρεσθαι τῇ φθορᾷ. ἀλλὰ πάλιν ἀντίκειται τὸ δεῖν ἀληθῆ φανῆναι τὸν Θεὸν ἐν τῇ περὶ τοῦ θανάτου νομοθεσίᾳ. τί οὖν ἔδει καὶ ἐν τούτῳ ποιῆσαι τὸν Θεόν; μετάνοιαν ἐπὶ τῇ παραβάσει τοὺς ἀνθρώπους ἀπαιτῆσαι, ἵν᾽ ὥσπερ ἐκ τῆς παραβάσεως εἰς φθορὰν, οὕτως ἐκ τῆς μετανοίας εἰς ἀφθαρσίαν γένοιντο. ἀλλ᾽ ἡ μετάνοια οὔτε τὸ εὔλογον τὸ πρὸς Θεὸν ἐφύλαττεν. ἔμενε γὰρ πάλιν οὐκ ἀληθὴς, μὴ κρατουμένων ἐν τῷ θανάτῳ τῶν ἀνθρώπων. οὔτε δὲ ἡ μετάνοια ἀπὸ τῶν κατὰ φύσιν ἀνακαλεῖται, ἀλλὰ μόνον παύει τῶν ἁμαρτημάτων.

Εἰ μὲν οὖν μόνον ἦν πλημμέλημα, καὶ μὴ φθορᾶς ἐπακολούθησις, καλῶς ἂν ἦν ἡ μετάνοια. εἰ δὲ ἅπαξ προλαβούσης τῆς παραβάσεως εἰς τὴν κατὰ φύσιν φθορὰν ἐκρατοῦντο οἱ ἄνθρωποι, καὶ τὴν τοῦ κατ᾽ εἰκόνα χάριν ἀφαιρεθέντες ἦσαν, τί ἄλλο ἔδει γενέσθαι; ἢ τίνος ἦν χρεία πρὸς τὴν τοιαύτην χάριν καὶ ἀνάκλησιν, ἢ τοῦ καὶ κατὰ τὴν ἀρχὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάντα πεποιηκότος, τοῦ Θεοῦ Λόγου; αὐτοῦ γὰρ ἦν πάλιν καὶ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν ἐνεγκεῖν, καὶ τὸ ὑπὲρ πάντων εὔλογον ἀποσῶσαι πρὸς τὸν Πατέρα. τούτου δὴ ἕνεκεν ὁ ἄφθαρτος τοῦ Θεοῦ Λόγος παραγίνεται εἰς τὴν ἡμετέραν χώραν· οὔτε γε μακρὰν ὢν πρότερον· οὐδὲν γὰρ αὐτοῦ καινὸν ὑπολέλειπται τῆς κτίσεως μέρος, ἀλλὰ παραγίνεται συγκαταβαίνων τῇ εἰς ἡμᾶς αὐτοῦ φιλανθρωπίᾳ καὶ ἐπιφανείᾳ· καὶ ἰδὼν τὸ λογικὸν ἀπολλύμενον γένος, καὶ τὸν θάνατον κατ᾽ αὐτῶν βασιλεύοντα τῇ φθορᾷ, ὁρῶν δὲ καὶ τὴν ἀπειλὴν τῆς παραβάσεως διακρατοῦσαν τὴν καθ᾽ ἡμῶν φθορὰν, καὶ ὅτι ἄτοπον ἦν πρὸ τοῦ πληρωθῆναι τὸν νόμον λυθῆναι· ὁρῶν δὲ καὶ τὸ ἀπρεπὲς ἐν τῷ συμβεβηκότι, ὅτι ὧν αὐτὸς ἦν δημιουργὸς ταῦτα παρηφανίζετο· ὁρῶν δὲ καὶ τὴν ὑπερβάλλουσαν τῶν ἀνθρώπων κακίαν, καὶ τὸ ὑπεύθυνον πάντων πρὸς τὸν θάνατον· ἐλεήσας ἡμῶν τὴν ἀσθένειαν, καὶ τῇ φθορᾷ ἡμῶν συγκαταβὰς, καὶ τὴν τοῦ θανάτου κράτησιν κατενέγκας, ἵνα μὴ τὸ γενόμενον ἀπόληται, λαμβάνει ἑαυτῷ σῶμα, καὶ τοῦτο οὐκ ἀλλότριον τοῦ ἡμετέρου, ἀλλὰ τὸ ἡμέτερον· καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ᾽ ἐν ἀχράντῳ παρθένῳ κατασκευάζει ἑαυτῷ ναὸν τὸ σῶμα, καὶ ἰδιοποιεῖται αὐτὸ, καὶ οὕτως ἀπὸ τῶν ἡμετέρων τὸ ὅμοιον λαβὼν διὰ τὸ πάντας ὑπευθύνους εἶναι τῇ τοῦ θανάτου

φθορᾷ, ἀντὶ πάντων αὐτὸ θανάτῳ παραδοὺς, προσῆγε τῷ Πατρί. καὶ τοῦτο φιλανθρώπως ποιῶν, ἵνα ὡς μὲν πάντων ἀποθανόντων, ἐν αὐτῷ λυθῇ ὁ κατὰ τῆς φθορᾶς τῶν ἀνθρώπων νόμος, ἅτε δὴ πληρωθείσης τῆς ἐξουσίας ἐν τῷ Κυριακῷ σώματι, καὶ μηκέτι χώραν ἔχοντος κατὰ τῶν ὁμοίων ἀνθρώπων, ὡς δὲ εἰς φθορὰν ἀναστρέψαντας τοὺς ἀνθρώπους, πάλιν εἰς τὴν ἀφθαρσίαν ἐπιστρέψει, καὶ ζωοποιήσει τούτους ἀπὸ τοῦ θανάτου τῇ τοῦ σώματος ζωοποιήσει, καὶ τῇ τῆς ἀναστάσεως χάριτι τὸν θάνατον ἀπ᾽ αὐτῶν ὡς καλάμην ἀπὸ πυρὸς ἐξαφανίζων. συνιδὼν γὰρ ὁ Λόγος ὅτι ἄλλως οὐκ ἂν λυθείη τῶν ἀνθρώπων ἡ φθορὰ, εἰ μὴ διὰ τοῦ πάντως ἀποθανεῖν, οὐχ οἷόν τε δὲ ἦν τὸν Λόγον ἀποθανεῖν ἀθάνατον ὄντα, τούτου ἕνεκεν τὸ δυνάμενον ἀποθανεῖν ἑαυτῷ λαμβάνει σῶμα, ἵνα τοῦτο τοῦ Λόγου μεταλαβὸν, ἀντὶ πάντων ἱκανὸν γένηται τῷ θανάτῳ, καὶ διὰ τὸν ἐνοικήσαντα Λόγον ἄφθαρτον διαμείνῃ, καὶ λοιπὸν ἀπὸ πάντων ἡ φθορὰ παύσηται τῇ τῆς ἀναστάσεως χάριτι.

Ὅθεν ὡς ἱερεῖον καὶ θῦμα παντὸς ἐλεύθερον σπίλου ὃ αὐτὸς ἑαυτῷ ἔλαβε σῶμα προσάγων εἰς θάνατον, ἀπὸ πάντων εὐθὺς τῶν ὁμοίων ἠφάνιζε τὸν θάνατον τῇ προσφορᾷ τοῦ καταλλήλου. ὑπὲρ πάντας γὰρ ὢν ὁ Λόγος τοῦ Θεοῦ, εἰκότως τὸν ἑαυτοῦ ναὸν καὶ τὸ σωματικὸν ὄργανον προσάγων ἀντίψυχον, ὑπὲρ τοῦ Δαβὶδ καὶ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἀδὰμ ὡς γέγραπται· εἶτα καὶ τῆς ἐνανθρωπήσεως λέγει τὴν αἰτίαν, ὅτι τῆς ἐκείνου ἐνσωματώσεως ἡμεῖς γεγόναμεν ὑπόθεσις, καὶ διὰ τὴν ἡμῶν σωτηρίαν ἐφιλανθρωπεύσατο καὶ ἐν ἀνθρωπίνῳ γενέσθαι καὶ φανῆναι σώματι, ἵνα διὰ τοῦ θανάτου αὐτοῦ καταλυθῇ, ὁ τῆς ἁμαρτίας ἄρχων διάβολος, ἥτις ἐστὶ κράτος καὶ ἰσχὺς τοῦ θανάτου. δι᾽ αὐτῆς γὰρ ὁ θάνατος εἰς τὸν κόσμον εἰσῆλθε. τῇ γὰρ τοῦ ἰδίου σώματος θυσίᾳ, καὶ τέλος ἐπέθηκε τῷ καθ᾽ ἡμᾶς νόμῳ, καὶ ἀρχὴν ζωῆς ἡμῖν ἀνεκαίνησεν, ἐλπίδα τῆς ἀναστάσεως δεδωκώς. οὐκέτι γὰρ νῦν ὡς κατακρινόμενοι ἀποθνήσκομεν, ἀλλ᾽ ὡς ἐγειρόμενοι περιμένομεν τὴν κοινὴν πάντων ἀνάστασιν.

Κυρίλλου. Νοοῖτο δ᾽ ἂν πρὸς ἡμῶν ὁ παραπλησίως ἡμῖν μετεσχηκὼς αἵματος καὶ σαρκὸς, ὡς ἕτερος ὢν παρ᾽ ἡμᾶς κατὰ φύσιν· οὐ γάρ τοι φαίη τίς ἂν ἀνθρώπῳ βλέπειν τὸ ἀνθρωπότητος μετασχεῖν· ὃ γάρ ἐστι κατὰ φύσιν, πῶς ἄν τις νοοῖτο λαβὼν ὡς ἕτερον

ὄντι παρ' ὅπερ ἐστί; τί δέ ἐστι "παραπλησίως μετέσχε τῶν "αὐτῶν;" ἢ ἐκεῖνό που πάντως, ὅτι γέγονε καθ' ἡμᾶς ἐν αἵματι καὶ σαρκὶ, σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου, οὐκ ἄψυχον, καθάπερ ἔδοξέ τισι τῶν αἱρετικῶν, ἐμψυχωμένον δὲ ψυχῇ λογικῇ· καὶ οὕτω προῆλθεν ἄνθρωπος ἐκ γυναικὸς, οὐκ ὀλιγωρήσας τοῦ εἶναι Θεὸς, ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς, μεμενηκὼς ὅπερ ἦν ἀεί. ἐπειδὴ δὲ βαθὺς ὁ λόγος, πρόσεχε διεγηγερμένῳ νοῒ πῶς ἡμεῖς κεκοινωνήκαμεν αἵματος καὶ σαρκὸς, ἑτεροφυὴς γὰρ ἡ ψυχὴ πρὸς αἷμα καὶ σάρκα. ἀλλ' εἰς ἄνθρωπον ἕνα δι' ἀμφοῖν συντεθείμεθα, ταῖς τοῦ πλάσαντος ἡμᾶς εὐτεχνίαις, εἰς ἄφραστόν τινα συνδεδραμηκότων ἑνότητα τῶν ἀλλήλοις ἐναντίων κατὰ τὴν φύσιν. "βούλῃ," καθά φησιν Ἡσαΐας, "μετρήσωμεν τῇ χειρὶ τὸ ὕδωρ, "καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί;" βούλῃ τὰ ὑπὲρ ἡμᾶς ἴδωμεν ἐκ τῶν καθ' ἡμᾶς; οὐκοῦν παραθέντες εἰς παράδειγμα βραχὺ τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον, ἀναπηδήσωμεν εἰς ἐννοίας τὰς ἐπὶ Χριστῷ. ἕνωσιν ἀληθῆ γενέσθαι φαμὲν προσλαβόντος τοῦ Λόγου τὸ ἀνθρώπινον. ἴδιον γὰρ ἐποιήσατο σῶμα τὸ ἐκ τῆς ἁγίας παρθένου, ἴδιον δὲ ὡσὰν εἰ λέγοιτο τυχὸν καὶ ἡμῶν ἑκάστου τὸ αὐτοῦ· καὶ τοῦτο οἶμαι δηλοῦν τὸ γενέσθαι σάρκα αὐτὸν, οὐ κατὰ τροπὴν ἢ μετάστασιν· ἄτρεπτος γὰρ ἡ θεία φύσις· ἀλλ' ὅτι τῇ θείᾳ γραφῇ σύνηθές πως ἀεὶ καὶ ὅλον ἔσθ' ὅτε τὸν ἄνθρωπον, τὸν ἐκ ψυχῆς δὴ λέγω καὶ σώματος, καὶ ὡς ἀπὸ μόνης καταδηλοῦν τῆς σαρκὸς, οἷον ἐστὶ τὸ "ἐκχεῶ "ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα." ἕνα τοίνυν ὁμολογοῦμεν Υἱὸν, γεννηθέντα μὲν θεϊκῶς ἐκ Πατρὸς, καθὸ νοεῖται καὶ ἔστι Λόγος, ἀποτεχθέντα δὲ αὐτὸν ἐκ γυναικὸς κατὰ σάρκα· νοηθήσεται γὰρ οὕτω, κεκοινωνηκὼς αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, ἵνα διὰ τοῦ οἰκείου θανάτου καταργήσῃ τὸν διάβολον, οὗ φθόνῳ θάνατος εἰς τὸν κόσμον εἰσῆλθε· ῥίζα γὰρ ὥσπερ ζωῆς ὁ Χριστοῦ γέγονε θάνατος, καὶ φθορᾶς ἀναίρεσις, καὶ ἁμαρτίας ἀποτροπὴ καὶ πέρας ὀργῆς. γεγόναμεν ἐπάρατοι, καὶ ὑπὸ θανάτου δίκην ἐν Ἀδὰμ, ἀλλὰ κεχρημάτικεν ὁ Λόγος, ὁ μὴ εἰδὼς ἁμαρτίαν, υἱὸς Ἀδὰμ, καὶ λέλυται δι' αὐτοῦ τῆς τοῦ πρώτου παραβάσεως τὰ ἐγκλήματα· ὤφθη γὰρ ἡ ἀνθρώπου φύσις ἐν Χριστῷ ὑγιῶς ἔχουσα, τὸ ἀπλημμελὲς τοῦτο σέσωκε τοὺς ἐπὶ γῆς.

16 Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.

Κυρίλλου. Σπέρματος Ἀβραὰμ ἐπιλαβέσθαι φαμὲν τὸν τοῦ Θεοῦ Λόγον· ἀνέφυ γὰρ ἐξ Ἰούδα τὸ κατὰ σάρκα. τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὁ Παῦλος δεῖξαι βουλόμενος, καὶ τὴν ἀγάπην ἣν περὶ τὸ γένος ἔσχε τὸ ἀνθρώπινον, μετὰ τὸ εἰπεῖν "ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς "παραπλησίως μετέσχε τῶν αὐτῶν," ἐπεξέρχεται τούτῳ τῷ χωρίῳ· μὴ γὰρ ἁπλῶς πρόσχῃς τῷ λεχθέντι, μηδὲ ψιλόν τι μόνον τοῦτο εἶναι νομίσῃς, τὸ τὴν ἐξ ἡμῶν σάρκα ἀναλαβεῖν αὐτόν· Ἀγγέλοις τοῦτο οὐκ ἐχαρίσατο. οὐ γὰρ δὴ Ἀγγέλου φύσιν ἀνεδέξατο, ἀλλ' ἀνθρώπου. τί δέ ἐστιν "ἐπιλαμβάνεται;" οὐκ ἐκείνης φησὶ τῆς φύσεως ἐδράξατο τῶν Ἀγγέλων, ἀλλὰ τῆς ἡμετέρας. διατί δὲ οὐκ εἶπεν ἀνέλαβεν, ἀλλὰ ταύτῃ τῇ λέξει ἐχρήσατο, τῇ "ἐπιλαμβάνεται;" ἀπὸ μεταφορᾶς τῶν διωκόντων τοὺς ἀποστρεφομένους αὐτοὺς καὶ πάντα ποιούντων ὥστε καταλαβεῖν φεύγοντας, καὶ ἐπιλαβέσθαι ἀποπηδώντων· φεύγουσαν γὰρ ἀπ' αὐτοῦ τὴν ἀνθρωπίνην φύσιν, καὶ πόρρω φεύγουσαν, ἦμεν γὰρ μακρὰν, καταδιώξας κατέλαβεν. ἔδειξε δὲ ὅτι τοῦτο ἀγάπῃ μόνῃ καὶ κηδεμονίᾳ πεποίηκε. καὶ ὥσπερ ὅταν λέγῃ, "οὐχὶ πάντες εἰσὶ λειτουργικὰ "πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας "κληρονομεῖν σωτηρίαν," τὸ περισπούδαστον αὐτῷ τῆς ἀνθρωπίνης φύσεως δείκνυσι, καὶ ὅτι πολὺς τῷ Θεῷ Λόγος αὐτῆς, οὕτω καὶ ἐνταῦθα τὸ πολὺ μεῖζον τίθησιν ἀπὸ συγκρίσεως. "οὐ γὰρ Ἀγ-"γέλων," φησὶν, "ἐπιλαμβάνεται." καὶ γὰρ ὄντως μέγα καὶ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, τὴν ἐξ ἡμῶν σάρκα ἄνω καθῆσθαι, καὶ προσκυνεῖσθαι ὑπ' Ἀγγέλων καὶ τῶν Ἀρχαγγέλων καὶ τῶν Χερουβὶμ καὶ τῶν Σεραφίμ. τοῦτο πολλάκις ἐγὼ εἰς νοῦν λαβὼν ἐξίσταμαι, καὶ μεγάλα περὶ τοῦ γένους τοῦ ἀνθρωπίνου φαντάζομαι. μεγάλα γὰρ ὁρῶ καὶ λαμπρὰ τὰ προοίμια, καὶ πολλὴν τῷ Θεῷ τὴν σπουδὴν ὑπὲρ τῆς φύσεως τῆς ἡμετέρας. ὅρα δὲ οὐκ εἶπεν ἀνθρώπων ἁπλῶς ἐπιλαμβάνεται, ἀλλὰ βουλόμενος τοὺς ἐξ Ἑβραίων πιστοὺς ἐπᾶραι, καὶ δεῖξαι μέγα καὶ τίμιον τὸ γένος αὐτῶν φησὶν, "ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται."

Θεοδωρήτου. Εἰ γὰρ Ἀγγέλων ἀνειλήφει φύσιν, κρείττων

ἂν ἐγεγόνει θανάτου. ἐπειδὴ δὲ ἀνθρώπειον ἦν ὃ ἀνέλαβε, διὰ μὲν τοῦ πάθους τὸ τῶν ἀνθρώπων ἀπέδωκε χρέος, διὰ δὲ τῆς τοῦ πεπονθότος σώματος ἀναστάσεως, τὴν οἰκείαν ἐπέδειξε δύναμιν. ἄγαν δὲ σοφῶς ὁ θεῖος Ἀπόστολος ἀντὶ τοῦ γενικοῦ ὀνόματος τὸ ἴδιον τέθεικεν· οὐ γὰρ εἶπε σπέρματος ἀνθρώπου ἐπιλαμβάνεται, ἀλλὰ "σπέρματος Ἀβραάμ," ἀναμιμνήσκων αὐτοὺς καὶ τῆς πρὸς τὸν Ἀβραὰμ γεγενημένης ἐπαγγελίας.

Ἰσιδώρου. Διὰ τοῦτο καὶ Ἀβραὰμ τελευτῶν ἐνετείλατο τῷ οἰκέτῃ, "ὑπόθες τὴν χεῖρα σου ὑπὸ τὸν μηρόν μου, καὶ ἐξορκιῶ "σε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ," τὸν ἐκ τῶν μηρῶν αὐτοῦ μέλλοντα σαρκοῦσθαι Θεὸν, τοῦ οὐρανοῦ καὶ τῆς γῆς τὸν Κύριον καὶ δεσπότην Χριστὸν, καθαρότητι διανοίας ὁρῶν μέλλοντα τοῦ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεσθαι, ὡς προφήτης καὶ βλέπων τὰ ἔμπροσθεν.

Κυρίλλου. Ἀλλ' ἴδωμεν καὶ τὰ παρ' ἑκάστῳ τῶν αἱρετικῶν μυθάρια. οἱ μὲν γάρ φασιν, ὅτι πέφηνεν ἄνθρωπος, ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, οὐ μὴν ὅτι πεφόρηκε τὴν ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου σάρκα. ἕτεροι δὲ, νόθον νοσοῦντες εὐλάβειαν, ἵνα μὴ δοκοῖεν ἀνθρώπῳ προσκυνεῖν, καὶ τὴν ἀπὸ γῆς σάρκα ταῖς ἀνωτάτω δόξαις στεφανοῦν, προτετράφθαι φασὶν τὸν ἐκ Θεοῦ Πατρὸς φύντα Λόγον, εἰς ὀστέων καὶ νεύρων καὶ σαρκὸς φύσιν, τὴν ἐκ παρθένου γέννησιν πλατὺ γελῶντες οἱ τάλανες. οἱ δὲ καὶ ὀψιγενῆ τὸν συναΐδιον τῷ Πατρὶ εἶναι πεπιστεύκασι, καὶ εἰς τὸ μόλις ὑπάρξαι διακεκλῆσθαι τότε, ὅτε καὶ τῆς κατὰ σάρκα γεννήσεως ἔλαχε τὴν ἀρχήν. εἰσὶ δὲ οἳ καὶ ἀνυπόστατον τὸν ἐκ Θεοῦ φασι Λόγον εἶναι, ῥῆμα δὲ ἁπλῶς τὸ κατὰ μόνην νοούμενον προφορὰν ἐν ἀνθρώπῳ γενέσθαι. Μάρκελλος δὲ οὗτοι καὶ Φωτεινός. δοκεῖ γε μὴν ἑτέροις ἐνανθρωπῆσαι μὲν ἀληθῶς τὸν μονογενῆ καὶ ἐν σαρκὶ γενέσθαι πιστεύειν, μὴ μὴν ἔτι καὶ ἐμψυχῶσθαι τελείως τὴν ἀναληφθεῖσαν σάρκα, ψυχῇ λογικῇ καὶ νοῦν ἐχούσῃ τὸν καθ' ἡμᾶς, εἰς ἑνότητα δὲ τὴν εἰς ἅπαν. ὥσπερ οὖν οἴονται κατασφίγγοντες τόν τε ἐκ Θεοῦ Λόγον, καὶ τὸν ἐκ τῆς ἁγίας παρθένου ναὸν, κατοικῆσαι φασὶν ἐν αὐτῷ τὸν Λόγον, καὶ ἴδιον μὲν ποιῆσαι σῶμα τὸ ἀναληφθὲν, ψυχῆς δὲ αὐτὸν τῆς νοερᾶς τε καὶ λογικῆς

ἀποπληροῦν τὸν τόπον. ἕτεροι δὲ τούτοις μὲν ἀντιφέρονται ἔκ τε Θεοῦ Λόγου καὶ ψυχῆς τῆς λογικῆς καὶ σώματος ἤτοι τελείας ἀνθρωπότητος συνεστάναι, καὶ ἀναπεπλέχθαι διαβεβαιούμενοι τὸν Ἐμμανουὴλ, οὐ μὴν ἔτι καὶ ὑγιᾶ πάντη τὴν ἐπ' αὐτῷ τετηρήκασι δόξαν. καταδιΐστᾶσι γὰρ εἰς δύο τὸν ἕνα Χριστὸν, καὶ παχεῖαν αὐτοῖς ὥσπερ ἐνιέντες τὴν διατομὴν, ἀνὰ μέρος ἑκάτερον μονονουχὶ καὶ ἑστῶτα παραδεικνύουσιν· ἕτερον μὲν εἶναι διατεινόμενοι τὸν ἐκ παρθένου τεχθέντα τελείως ἄνθρωπον· ἕτερον δὲ αὖ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, οὐχ ὅτι ποτε ἐστὶν ἡ τοῦ Λόγου φύσις καὶ τῆς σαρκὸς διακρίνοντες, οὐδὲ μόναις ταῖς εἰς τοῦτο διαφοραῖς ἐμφιλοχωρεῖν ἐθέλοντες· οὐ γὰρ ἂν ἐννοίας τῆς ἀληθοῦς εἰς τοῦτο διήμαρτον, ἐπεὶ μὴ φύσις ἡ αὐτὴ σαρκός τε καὶ θεότητος, ἀλλὰ τὸν μὲν ὡς ἄνθρωπον ἰδίᾳ τιθέντες καὶ ἀνὰ μέρος· τὸν δὲ, ὡς Θεὸν φύσει τὲ καὶ ἀληθῶς Υἱὸν ὀνομάζουσι, καί τοι θέλοντες εἶναι Χριστιανοὶ, καὶ γράφειν τετολμήκασιν ὧδε. ὁ μὲν γὰρ φύσει καὶ ἀληθῶς Υἱὸς, ἐκ Θεοῦ Πατρὸς Λόγος ἐστὶν, ὁ δὲ, ὁμωνύμως τῷ Υἱῷ υἱός. ἀλλὰ ταυτὶ μὲν ἐκεῖνοι. ἡμεῖς δὲ ὀλίγην κομιδῆ τὴν βάσανον ἐπιρριπτοῦντες ἑκάστῳ φέρε λέγωμεν· καὶ πρό γε τῶν ἄλλων τοῖς Δοκήταις πλανᾶσθαι, μὴ εἰδότες τὰς γραφὰς μήτε μὴν τὸ μέγα τῆς εὐσεβείας μυστήριον τουτέστι Χριστὸν, ὃς γεννηθεὶς ἐκ παρθένου, ἐφανερώθη ἐν σαρκὶ, ὤφθη τὲ καὶ Ἀγγέλοις. οὗ δὲ τόκος ὁ διὰ παρθένου καὶ φανέρωσις ἐν σαρκὶ, πῶς οὐ μανία τὸ τῆς δοκήσεως ὄνομα τῆς οὕτως ἐναργοῦς καταγράφειν οἰκονομίας; ἡ γὰρ σκιὰ καὶ δόκησις ἦν, καὶ οὔτε σάρκωσις ἀληθῶς, οὔτε μὴν τέτοκεν ἡ παρθένος, οὐκ ἐπελάβετο σπέρματος Ἀβραὰμ ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, οὐχ ὡμοιώθη τοῖς ἀδελφοῖς· σκιὰ γὰρ οὔτι πως τὰ καθ' ἡμᾶς ἡ δόκησις, ἀλλὰ ἐσμὲν ἐν σώμασιν αὐτοῖς τε καὶ ὁρατοῖς, καὶ τὴν γηγενῆ δὴ ταύτην σάρκα κατημφιεσμένοι, καὶ φθορᾶς καὶ παθῶν ἡττώμεθα.

Οὐκοῦν εἰ μὴ γέγονε σὰρξ ὁ Λόγος, οὐδὲ ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθεὶς δύναται τοῖς πειραζομένοις βοηθεῖν. οὐδὲ γὰρ ἄν τι πάθοι σκιά. οἴχεται δὴ οὖν τὸ σύμπαν ἡμῶν εἰς τὸ μηδὲν ἀληθῶς. ποῖον γὰρ ἔτι νῶτον δέδωκεν ὑπὲρ ἡμῶν; ἢ ποίαν τοῖς πταίουσι παρειὰν ὑποστρώσας πρὸς τὰς ἐκ τῶν Ἰουδαίων διεκαρτέρει πλη-

γάς; ἥλοις δὲ διαπεπάρθαι χεῖράς τε καὶ πόδας τὸν οὐκ ἐν σαρκὶ πεφηνότα τίνα δὴ τρόπον οἰηθείη τις ἄν; ἢ ποίαν πλευρὰν διανύττοιτο; καὶ εἰ χρὴ τούτων τὸ ἐπέκεινα λέγειν, οὔτε ἀπέθανεν ὑπὲρ ἡμῶν, οὔτε μὴν ἠγέρθη Χριστός. οὗ παραδεχθέντος, ἡ πίστις κεκένωται. τεθναίη γὰρ ἂν εἰπέ μοι τίνα δὴ τρόπον ἡ σκιά; πῶς οὖν ἀνέστησεν τὸν Χριστὸν ὁ Πατὴρ σκιὰν ὄντα καὶ δόκησιν, καὶ τοῖς τοῦ θανάτου δεσμοῖς οὐχ ἁλώσιμον; οἰχέσθω δὴ οὖν ἐκείνων ἔμετος.

Τὸ δὲ δὴ καὶ ἑτέρους οἴεσθαι γέννησιν μὲν ἀνῆφθαι τὴν διὰ τῆς ἁγίας παρθένου τὸν ἐκ Θεοῦ φῦντα Λόγον, παρατετράφθαι δὲ αὐτὸν εἰς τὴν ἀπὸ γῆς σάρκα, δυσφημούντων ἐστὶ τὴν οἰκονομίαν, καὶ τοῖς θείοις ἐπιτιμώντων σκέμμασιν. ὁ μὲν γὰρ πολὺς εἰς ἔλεον κεκένωκεν ἑαυτὸν δι' ἡμᾶς, γενόμενος ἄνθρωπος ἐκ γυναικός, ἵν' "ἐπείπερ αἵματος καὶ σαρκὸς κεκοινώνηκε τὰ παιδία" τουτέστιν ἡμεῖς, παραπλησίως μετάσχῃ τῶν αὐτῶν, "ἵνα διὰ θανάτου "καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου." οἱ δὲ τῆς οὕτω παγκάλης βουλῆς τὸ ἀπρεπὲς καθορίζουσι. καὶ ὥσπερ ἐνὸν αὐτοῖς τὰ ἀμείνω φρονεῖν, μὴ χρῆναι λέγουσιν ὠδῖνα καὶ τόκον ἐκ γυναικὸς καταγράφειν ἡμᾶς τοῦ μονογενοῦς, οἴεσθαι δὲ μᾶλλον τὴν τοῦ Λόγου φύσιν εἰς τὸ σαθρὸν δὴ τοῦτο καὶ γηγενὲς μετεστοιχειῶσθαι σῶμα, καὶ τροπὴν φαντάζονται, τοῦ τροπὴν οὐκ εἰδότος. τὸ μὲν γὰρ ἀρχὴν τοῦ εἶναι λαχὸν, οἱονεί πως ἤδη καὶ συνεσπαρμένον ἔχει τὸ ἀλλοιοῦσθαι. Θεὸς δὲ ὁ παντὸς ἐπέκεινα νοῦ γενέσεως καὶ φθορᾶς τὴν ὕπαρξιν ἔχων ἐξῃρημένην, ἀμείνων ἔσται καὶ τροπῆς. διὸ ψάλλει πρὸς αὐτὸν ὁ Δαβὶδ, "σὺ δὲ ὁ αὐτὸς εἶ." ποῦ τοιγαροῦν ἔτι μεμένηκεν ὁ αὐτὸς, εἰ μεταπεποίηται εἰς σαρκὸς φύσιν; οὐκ ἔστι δὲ κατ' αὐτοὺς ἀπεικὸς καὶ τὴν ἀπὸ γῆς σάρκα πρὸς τὴν τῆς θεότητος φύσιν ἀναφοιτᾶν δύνασθαι. εἰ γὰρ ἡ τῆς θεότητος φύσις εἰς τὴν τῆς σαρκὸς μετακεχώρηκε φύσιν, οὐδέν ἐστι τὸ ἀπεῖργον, ὑπερπέτεσθαι μὲν τὴν ἰδίαν φύσιν τὴν σάρκα, μεταπλάττεσθαι δὲ πρὸς θεότητα καὶ εἰς οὐσίαν τὴν ἀνωτάτω.

Ἡμεῖς δὲ ταῖς θείαις μᾶλλον γραφαῖς ἑπόμενοι, ἐκ γυναικὸς γεγεννῆσθαι πιστεύομεν τὸν Ἐμμανουὴλ, καὶ τὸ ἀξιάγαστον τῆς ἑαυτῶν φύσεως οὐ διωσόμεθα καύχημα φρονοῦντες ὀρθῶς. ἐπεδράξατο γὰρ ὁ μονογενὴς οὐχὶ τῆς ἰδίας φύσεως, ἣν γὰρ ἂν οὐδέν τι

μᾶλλον τὰ καθ' ἡμᾶς ἐναμείνωσιν[x]· ἀλλ' οὐδὲ τῆς ἀγγελικῆς, ἀλλὰ σπέρματος Ἀβραάμ· ἦν γὰρ οὕτως καὶ οὐχ ἑτέρως, τὸ διολισθῆσαν εἰς φθορὰν ἀνασώσασθαι γένος. τὸ δὲ οἴεσθαι τινὰς τὸν τῶν αἰώνων δημιουργὸν τῇ τῆς σαρκὸς γενέσει συμπαρομαρτοῦσαν ἔχειν τὴν ἀρχὴν τῆς ὑπάρξεως, ὡς ἐν ἐσχάτοις μόλις καιροῖς τοῖς τῆς ἐνανθρωπήσεως, πατέρα μὲν γενέσθαι τὸν Θεὸν, συνεισβαλεῖν δὲ ὥσπερ εἰς τὸ εἶναί τε καὶ ὑφεστάναι τῷ ἐκ τῆς παρθένου ναῷ τὸν "δι' οὗ τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα," ἆρ' οὐ μῦθος γραώδης καὶ βδελυρός; τὶ δὲ δὴ καὶ δρῷεν ἂν, Ἰωάννου μὲν γράφοντος, "ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ πάντα δι' αὐτοῦ ἐγένετο," καὶ πάλιν, "ὃ ἦν ἀπ' ἀρχῆς·" αὐτοῦ δὲ Χριστοῦ τῆς ἰδίας ὑπάρξεως τὴν ἄποπτον ἀρχαιότητα τοῖς Ἰουδαίοις κατασημαίνοντος, "πρὶν γάρ," φησιν, "Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι;" οὗ δὲ τὸ ἦν ἐστιν ἐπενηνεγμένου μηδαμῶς τινὸς, καὶ μὴν καὶ τὸ "εἰμὶ" τέτακται σαφῶς, τίνα τῆς γενέσεως κατίδοι τις ἂν τὴν ἀρχήν; ἢ τίνα δὴ τρόπον ὁ ὢν ἐν ἀρχῇ παραδέξαιτο ἂν τὸ ἐν καιρῷ κεκλῆσθαι πρὸς ὕπαρξιν;

Τίνα δ' ἂν εἴποιμεν πρὸς τοὺς ἀνύπαρκτον καὶ ἰδικῶς οὐχ ὑφεστῶτα φανταζομένους τὸν μονογενῆ; καὶ οὐκ εἶναι μὲν ἐν ὑποστάσει τῇ καθ' ἑαυτὸν, ῥῆμα δὲ ἁπλῶς καὶ λόγον, τὸν κατὰ μόνην τὴν προφορὰν γενέσθαι παρὰ Θεῷ καὶ ἐν ἀνθρώπῳ κατοικῆσαι φάσκοντας; οἵ τινες συνθέντες οὕτω τὸν Ἰησοῦν, ἁγίων μὲν εἶναι φασὶν ἁγιώτερον, οὐ μὴν ἔτι καὶ Θεὸν, οὗτοι ἀρνοῦνται καὶ τὸν Πατέρα καὶ τὸν Υἱόν. εἰ γάρ ἐστιν ἀνύπαρκτος ὁ Υἱὸς, οὐδὲ τὸν Πατέρα, πατέρα κατὰ τὸ ἀληθὲς νοῆσαι μὲν ἄν. ποῦ γάρ ἐστι πατὴρ, εἰ μὴ τέτοκεν ἀληθῶς; ἢ εἴπερ γεγέννηκε τὸ μὴ ὑφεστὼς ἐν ἴσῳ τῷ μηδενὶ, παντελῶς δὲ μᾶλλον μηδὲν, εἶτα τοῦ μηδενὸς ἔσται πατὴρ ὁ Θεός. καὶ εἰ δέδωκεν ὑπὲρ ἡμῶν τὸν Υἱὸν, τὸν καθ' ὑμᾶς οὐχ ὑφεστηκότα, τὸ μηδὲν ἄρα δέδωκεν ὑπὲρ ἡμῶν. καὶ οὔτε γέγονε σὰρξ ὁ Λόγος, οὔτε τὸν τίμιον ὑπέστη σταυρὸν, οὔτε κατήργηκε τοῦ θανάτου τὸ κράτος, οὔτε μὴν ἀνεβίω πάλιν. εἰ γάρ ἐστι τὸ μηδὲν καὶ ἀνύπαρκτος καθ' ὑμᾶς, πῶς ἐν τούτοις γένοιτ' ἄν; πεφενάκικεν οὖν ἄρα τῆς ἁγίας Γραφῆς ὁ λόγος τοὺς πεπιστευκότας. τί δὲ οὐκ ἐν μορφῇ Θεοῦ ὑπάρχειν τὸν Υἱὸν τὸ ἱερὸν ἡμῖν κατεσήμηνε γράμμα; εἰκόνα τε αὐτὸν καὶ χαρακτῆρα

[x] Leg. ἐν ἀμείνοσιν.

φησὶ τοῦ γεγεννηκότος; αἱ δὲ εἰκόνες ὡς τὰ ἀρχέτυπα. οὐκοῦν εἰ μὴ ἐνυπόστατος ἦν ἡ εἰκὼν, μήτε μὴν ἐν ὑπάρξει τῇ καθ' ἑαυτὸν ὁ χαρακτὴρ, ἀνυπόστατον εἶναι δώσουσιν ὡς ἐξ ἀναγκαίου λόγου καὶ τὸν οὗπερ ἐστὶ χαρακτὴρ, καὶ τὸ τῆς εἰκόνος ἀκαλλὲς ἀναδραμεῖται πάντως ἐπὶ τὸ ἀρχέτυπον. πῶς δὲ ἐν τῷ Υἱῷ τῷ μὴ λαχόντι τὸ εἶναι τὰ ὄντα πεποίηκεν ὁ Πατήρ; πῶς δὲ οὐκ ἐν ἀμείνοσιν ἡ κτίσις, ἥπερ[y] ὁ δι' οὗ τὰ πάντα παρήχθη πρὸς γένεσιν; ὁ μὲν γὰρ οὐχ ὑφεστηκέναι λέγεται, τὰ δὲ ὑφέστηκέ τε καὶ ἐν τῷ εἶναι νοεῖται. ἄπαγε τῆς δυσφημίας. ζῶν γὰρ ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς, καθὰ γέγραπται, διὸ καὶ ἔλεγεν "ἐγὼ εἰμὶ ἡ ζωὴ," ἀλλ' οὐκ ἂν νοοῖτο ζωὴ, μὴ ὑφεστηκώς· καὶ τῷ Μωσῇ πάλιν, "ἐγώ εἰμι ὁ ὢν," τὸ δὲ ὢν ἀληθῶς, πῶς ἂν νοοῖτο οὐκ ἐν ὑποστάσει τῇ καθ' ἑαυτὸν σωζόμενον;

Οὐ μὴν οὐδὲ ἐκείνους ἐπαινέσομεν ἂν οἱ τητᾶσθαι λέγουσι ψυχῆς λογικῆς τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα. σαρκὶ γάρ που μόνῃ τὴν ζωτικήν τε καὶ αἰσθητικὴν λαχοῦσι κίνησιν ἀμφιεννῦντες τὸν Λόγον παραφέρουσιν εἰς τὸν κόσμον τὴν νοῦ καὶ ψυχῆς ἐνέργειαν, ἀπονέμοντες τὸν μονογενῆ. καταπεφρίκασι γὰρ οὐκ οἶδ' ὅπως ψυχωθείσῃ ψυχῇ λογικῇ τῇ ἀνθρωπίνῃ σαρκὶ κατὰ φύσιν ἡνῶσθαι τῷ Λόγῳ ὁμολογεῖν. καὶ τίς ὁ λόγος αὐτοῖς τοῦ τοιοῦδε δόγματος, ἐγὼ φράσω· τὸν Θεοῦ μεσίτην καὶ ἀνθρώπων κατὰ τὰς γραφὰς, συγκεῖσθαι φαμὲν ἔκ τε τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον, καὶ ἐκ τοῦ πεφηνότος ἐκ Θεοῦ κατὰ φύσιν Υἱοῦ, τουτέστι τοῦ μονογενοῦς· διαβεβαιούμεθα δὲ σύνοδον μέν τινα καὶ τὴν ὑπὲρ λόγον συνδρομὴν εἰς ἕνωσιν ἀνίσων τε καὶ ἀνομοίων πεπράχθαι φύσεων. ἕνα δ' οὖν ὅμως Χριστὸν καὶ Κύριον καὶ Υἱὸν ἐπιγινώσκομεν, ἐν ταυτῷ καὶ ὑπάρχοντα καὶ νοούμενον, Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον. οἱ δὲ ἕνα μὲν ὁμολογουμένως παραδέχονται καὶ αὐτοὶ Χριστὸν Ἰησοῦν, καὶ οὐ διϊστῶσιν εἰς δύο τὸν Ἐμμανουήλ. ψυχῆς δ' οὖν ὅμως τῆς ἀνθρωπίνης καὶ λογικῆς τὴν σάρκα γυμνώσαντες, ἡνῶσθαι φασὶν αὐτῇ τὸν ἐκ Θεοῦ Λόγον.

Ἐξεύρηται δέ τις αὐτοῖς πιθανὸς ὡς οἴονται πρὸς τοῦτο λόγος. τὰ γάρ τοι φασὶν κατὰ σύνθεσιν πρὸς ἑνὸς τελείου σύστασιν

[y] Leg. vid. ἧπερ.

δεδραμηκότα μέρη τε καὶ ἐξαντλῶν ὁρᾶσθαι φιλεῖ, τοῦ τελείως ἔχοντος καθ' ἑαυτὸ καὶ ὡς ἐν ἰδίᾳ φύσει τῆς ἐκ μερῶν συνθέσεως οὐ δεδεημένου. τοιγάρτοι φασὶ παραιτητέον εἰκότως ἄνθρωπον δοῦναι τέλειον, τὸν συνενωθέντα τῷ λόγῳ ναὸν, ἵνα καὶ ἡ ἕνωσις, ἥπερ ἂν ἐπὶ Χριστῷ νοοῖτο τυχὸν, ἀκριβῆ καὶ ἀδιάβλητον ἐπ' αὐτῆς ἀποσώζει λόγον. καὶ μὴν κακεῖνο προσθεῖεν ἄν. εἰ γὰρ ἐξ ἀνθρώπου τελείου φασὶ καὶ τοῦ ἐκ τοῦ Πατρὸς ὄντος Λόγου φήσομεν εἶναι τὸν Ἐμμανουὴλ, ἀδιάφυκτον φανεῖται τὸ καὶ ἀβουλήτως δύο μὲν υἱοὺς, Χριστοὺς δὲ αὖ δύο φρονεῖν τε καὶ λέγειν. εἶτά τι τούτοις ἀντεροῦμεν ἡμεῖς. πρῶτον μὲν ὅτι τῆς πίστεως τὴν οὕτω ἀρχαιοτάτην παράδοσιν, οὐ ταῖς ὑπερμέτροις ἀκριβείαις καταλύειν ἄξιον. ἔπειτα ὅτι που δύο υἱοὺς προσκυνήσομεν, κἂν ἐμψυχῶσθαι πιστεύωμεν ψυχῇ λογικῇ τὸν ἑνωθέντα τῷ Λόγῳ ναόν. ὥσπερ γὰρ κἂν εἰ ἐκ μόνης λέγοιτο τῆς σαρκὸς καὶ τοῦ ἐκ Θεοῦ Πατρὸς πεφηνότος Λόγου, οὐδεὶς αὐτοὺς ἀναπείσει τρόπος, ἀνὰ μέρος τὴν σάρκα τιθέντας καὶ ἀνὰ μέρος αὖ τὸν μονογενῆ δυάδα Χριστῶν ὁμολογεῖν.

Οὕτως κἂν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τελείως ἐχούσῃ κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον οἱονεὶ συνενηνέχθαί τε καὶ ἡνῶσθαι λέγομεν τὸν ἐκ Θεοῦ Λόγον, οὐχ υἱῶν δυάδα νοήσομεν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν, φύσει μὲν ὄντα Θεὸν, καὶ ἐξ αὐτῆς πεφηνότα τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς γενόμενον ἄνθρωπον, καὶ διὰ τῆς ἁγίας θεοτόκου γεγεννημένον. εἰ δὲ φαῖεν ὅτι κόσμος μὲν ἐδεῖτο τὰ καθ ἡμᾶς τῆς τοῦ μονογενοῦς ἐπιδημίας, ἐθελήσας δὲ ὀφθῆναι τοῖς ἐπὶ γῆς, παραδεῖξαί τε ἡμῖν τῆς ἀγγελικῆς πολιτείας τὴν ὁδὸν οἰκονομικῶς ἠμπίσχετο τὴν ὁμοίαν ἡμῖν σάρκα. τὸ γάρ τοι θεῖον κατὰ φύσιν θείαν οὐχ ὁρατὸν ἠγνοηκότες, ἁλώσονται τῆς ἐνανθρωπήσεως τὸν σκοπόν. εἰ γὰρ δὴ μόνην ἔχει τὴν ἀφορμὴν τὸ ὀφθῆναι τοῖς ἐπὶ τῆς γῆς τοῦ μονογενοῦς ἡ σάρκωσις, προσετέθει γεμὴν ἕτερον οὐδὲν τῇ ἀνθρώπου φύσει, πῶς οὐκ ἄμεινον τῷ τῶν Δοκητῶν συμφέρεσθαι δόξῃ καὶ ἡμᾶς αὐτοὺς, οἳ σαρκός τε ὁμοῦ καὶ γηΐνου σώματος ἀπαμφιεννῦντες τὸν Λόγον, ὦφθαι μὲν ἐπὶ γῆς ὡς ἄνθρωπον μυθοπλαστοῦσιν οἱ δείλαιοι, ἡμαρτηκότες δὲ τἀληθοῦς ἁλῶεν; ἢ οὐκ ἄμεινον ἐροῦσιν, εἰ μηδὲν ὀνίνησι τὴν ἀνθρώπου φύσιν ὁ Λόγος, εἰ καὶ γέγονε

σὰρξ, ἀπαλλάττεσθαι μὲν ἀκαθαρσίας σαρκικῆς, δόξαι δ' οὖν ἅπαξ τῷ γηΐνῳ προσκεχρῆσθαι σώματι, διαπεράναι τε οὕτω τὸν προτεθέντα σκοπόν.

Τίς οὖν ὁ λόγος τῆς ἐπιδημίας, πύθου τοῦ Παύλου, καὶ ἀκούσῃ ὅτι "ἐπειδὴ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ "αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ θανάτου καταρ"γήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου," καὶ τὰ ἑξῆς. ἆρ' οὐχὶ πρόδηλον ὅτι καθ' ἡμᾶς γέγονεν ὁ μονογενής; τουτέστι τέλειος ἄνθρωπος, ἵνα τῆς μὲν ἐπεισάκτου φθορᾶς τὸ γήϊνον ἡμῶν ἀπαλλάξῃ σῶμα, τῇ καθ' ἕνωσιν οἰκονομίᾳ τὴν ἰδίαν αὐτῷ ζωὴν ἐνιεὶς, ψυχὴν δὲ ἰδίαν τὴν ἀνθρωπίνην ποιούμενος, ἁμαρτίας αὐτὴν ἀποφήνῃ κρείττονα, τῆς ἰδίας φύσεως τὸ πεπηγός τε καὶ ἄτρεπτον· οἷα περ ἐρίῳ βαφὴν ἐγκαταχρώσας αὐτῇ. ὥσπερ οὖν ἐπειδὴ γέγονε σὰρξ τοῦ ζωοποιοῦντος τὰ πάντα Λόγου τὸ θανάτου καὶ φθορᾶς ὑποφέρεται κράτος· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ἐπείτοι γέγονε ψυχὴ τοῦ πλημμελεῖν οὐκ εἰδότος, ἐρηρεισμένην ἔχει λοιπὸν τὴν ἐφ' ἅπασιν τοῖς ἀγαθοῖς ἀμεταποίητον στάσιν, καὶ τῆς πάλαι καθ' ἡμῶν τυραννούσης ἁμαρτίας ἀσυγκρίτως ἀσθενεστέραν. πρῶτος τὲ γὰρ καὶ μόνος ἄνθρωπος ἐπὶ γῆς ὁ Χριστὸς ἁμαρτίαν οὐκ ἐποίησεν. ῥίζα δὲ ὥσπερ καὶ ἀπαρχὴ τεθειμένος τῶν εἰς καινότητα ζώων ἀναμορφουμένων ἐν Πνεύματι, καὶ τὴν τοῦ σώματος ἀφθαρσίαν καὶ τὸ τῆς θεότητος ἀσφαλὲς ὡς ἐν μεθέξει καὶ κατὰ χάριν, εἰς ἅπαν εἴδη (sic) τὸ ἀνθρώπινον παρέπεμψε γένος.

Ὅλον οὖν ὅλῃ συνηνῶσθαι φαμὲν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ Θεοῦ Λόγον. οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν τουτέστι τὴν ψυχὴν οὐδενὸς ἂν ἠξίωσε λόγου, μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τὴν χάριν. ἐπράττετο δὲ δι' ἄμφω καλῶς τῆς οἰκονομίας τὸ μυστήριον. προσεχρήσατο δὲ καθάπερ ὀργάνῳ, τῇ μὲν ἰδίᾳ σαρκὶ πρὸς τὰ σαρκὸς ἔργα, καὶ ἀρρωστήματα φυσικὰ, καὶ ὅσα μώμου μακράν· ψυχῇ δὲ αὐτῇ ἰδίᾳ πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη. πεινῆσαι γὰρ λέγεται, κόπους τὲ ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιποριῶν, πτοίας τε καὶ φόβους καὶ λύπας καὶ ἀγωνίας, καὶ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. ἐπαναγκάζοντος γὰρ οὐδενὸς, τέθεικεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, σάρκα μὲν τὴν ἰδίαν τῆς ἁπάντων

σαρκὸς ἀνταποτιννὺς δῶρον ἀληθῶς ἀντάξιον, ψυχὴν δὲ ψυχῆς ἀντίλυτρον τῆς ἁπάντων ποιούμενος· καὶ ἀνεβίω πάλιν, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεός· καὶ ἵνα τὸν λόγον ἀνακεφαλαιώσωμαι, Θεὸς ὑπάρχων ὁ μονογενὴς, ἐπέλαμψε τοῖς ἐν σκότει γενόμενος ἄνθρωπος, οὐ δοκήσει, μὴ γένοιτο, μανία γὰρ τὸ οὕτω φρονεῖν, οὔτε μὴν εἰς σάρκα παρενεχθεὶς κατὰ μετάστασιν ἢ τροπήν· ἀναλλοίωτος γὰρ καὶ ἀεὶ κατὰ τὸ αὐτὸ ὡσαύτως ἔχων ὁ τοῦ Θεοῦ Λόγος. ἀλλ' οὐδὲ ὁμόχρονον τῇ σαρκὶ τὴν ὕπαρξιν ἔχων, αὐτὸς γάρ ἐστι τῶν αἰώνων ὁ ποιητής· οὔτε μὴν ὡς Λόγος ἀνυπόστατος οὐδὲ ὡς ῥῆμα ψιλὸν ἐν ἀνθρώπῳ γεγονὼς, ὁ γάρ τοι καλῶν τὰ οὐκ ὄντα ποτὲ πρὸς ὕπαρξιν καὶ γένεσιν, προϋφέστηκεν ἀναγκαίως· ἀλλ' οὐδὲ μόνην ἠμπέσχετο σάρκα ψυχῆς ἐρήμην τῆς λογικῆς, γεγέννηται δὲ κατὰ ἀλήθειαν ἐκ γυναικὸς μορφὴν δούλου λαβὼν, καὶ ἔστιν ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος· οὐκ ἐκ μόνης θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ Κύριον καὶ υἱὸν συγκείμενος, ἀλλ' ἐκ δυοῖν τελείων, ἀνθρωπότητος δὴ λέγω καὶ θεότητος, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδεόμενος. σφαλερὸν γὰρ τὸ διατέμνειν εἰς δύο καὶ ἀνὰ μέρος ἱστᾶν ἄνθρωπόν τε καὶ Λόγον, ἕνα Χριστὸν βοώσης τῆς θεοπνεύστου Γραφῆς. ἐχρῆν γὰρ μήτε τὸν ἐκ Θεοῦ Λόγον ἀνθρωπότητος δίχα, μήτε μὴν τὸν ἐκ γυναικὸς ἀποτεχθέντα ναὸν ὡς ἑνωθέντα τῷ Λόγῳ Χριστὸν Ἰησοῦν ὀνομάζεσθαι· ἀνθρωπότητα γὰρ καθ' ἕνωσιν οἰκονομικὴν ἀπορρήτως συνενηνεγμένος ὁ ἐκ Θεοῦ Λόγος νοεῖται Χριστὸς, ἀνώτερος μὲν ἀνθρωπότητος ὡς φύσει Θεὸς καὶ Υἱὸς, οὐκ ἀτιμάζων δὲ τὸ ἐν ὑφέσει γενέσθαι δοκεῖν διὰ τὸ ἀνθρώπινον.

ΘΕΟΔΩΡΗΤΟΥ ἘΡΑΝΙΣΤΗΙ[z]. Εἰ δὲ τὴν σάρκα τροπὴν ὁ Θεὸς Λόγος ὑπομεμένηκε, μὴ καλείσθω Θεὸς ἀλλὰ σάρξ. ἁρμόττει γὰρ τῇ ἀλλοιώσει τῆς φύσεως ἡ τῆς προσηγορίας ἐναλλαγή. εἰ γὰρ ἔνθα τὰ μεταβαλλόμενα ἔχει τινὰ πρὸς ἃ πρότερον ἦν συγγένεια, πελάζει γάρ πως καὶ τὸ ὄξος τῷ οἴνῳ, καὶ ὁ οἶνος τῷ τῆς ἀμπέλου καρπῷ, καὶ τῇ ψάμμῳ ὁ ὕελος, ἑτέρας ταῦτα μετὰ τὴν ἀλλοίωσιν μεταλαγχάνει προσηγορίας, ὅπου τὸ διάφορον ἄπειρον καὶ τοσοῦτον, ὅσον ἐμπίδος πρὸς τὴν κτίσιν ἅπασαν· τοσοῦτο γὰρ

[z] Cod. $\overset{\epsilon\nu}{\epsilon\rho\alpha}$.

μᾶλλον δὲ καὶ πολλῷ πλέον τὸ μέσον φύσεως σαρκὸς καὶ θεότητος, πῶς οἷόν τε μετὰ τὴν τροπὴν τὴν προτέραν μεῖναι προσηγορίαν; ἄκουε δὲ καὶ τοῦ Ἀποστόλου, "οὐκ εἶπε σπέρμα Ἀβραὰμ "ἐγένετο, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται." σπέρμα δὲ τοῦ Ἀβραάμ. οὐκοῦν ὅπερ εἶχε κατὰ φύσιν ὁ Ἀβραὰμ, εἶχε καὶ τὸ σπέρμα τοῦ Ἀβραὰμ, τουτέστι σῶμα καὶ ψυχὴν λογικήν· οὐκ ἐναντίον γεμὴν τὸ "ὁ Λόγος σὰρξ ἐγένετο," τοῦ "σπέρματος "Ἀβραὰμ ἐπελάβετο." διδάσκει γὰρ ὁ θεῖος Ἀπόστολος, ὡς οὐ τραπεὶς ὁ Θεὸς Λόγος σὰρξ ἐγένετο, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος. κατὰ ταυτὸν δὲ καὶ τῆς πρὸς τὸν Ἀβραὰμ γεγενημένης ἐπαγγελίας ἀναμιμνήσκει. ἔφη γὰρ πρὸς αὐτὸν ὁ Θεὸς, "ἐν τῷ σπέρματί σου εὐλογηθήσεται πάντα τὰ ἔθνη." ταύτην οὖν πεπερασμένην ἐπιδεικνὺς ὁ Παῦλος, τὴν θαυμασίαν ταύτην ἀφῆκε φωνήν· "οὐ γὰρ δή που ἀγγέλων ἐπιλαμβάνεται·" μονονουχὶ λέγων, ἀψευδὴς ἡ ὑπόσχεσις ἐπέθηκε ταῖς ἐπαγγελίαις ὁ δεσπότης τὸ πέρας, ἀνεώγη τοῖς ἔθνεσιν ἡ τῆς εὐλογίας πηγή. τοῦ Ἀβραμιαίου σπέρματος ὁ Θεὸς Λόγος ἐπείληπται, διὰ τούτου τὴν ἄνωθεν ἐπηγγελμένην πραγματεύεται σωτηρίαν· διὰ τούτου τὴν ἐθνῶν ἀπεδοῖ[a] προσδοκίαν. οὕτως οὖν δείξας τῆς σαρκὸς τὴν συγγένειαν ἐπάγει,

17 Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι.

Κυρίλλου. Ὡμοιώθη κατὰ πάντα τοῖς ἀδελφοῖς, κατά γε τὸ ἀνασχέσθαι λαβεῖν τὴν τοῦ δούλου μορφήν. κεχρημάτικε γὰρ οὕτω καὶ υἱὸς ἀνθρώπου, καὶ γέγονεν ἀδελφὸς τοῖς ἐκ σπέρματος Ἀβραὰμ, ἤγουν τοῖς ἐν αἵματι καὶ σαρκί.

Χρυσοστόμου. Τί ἐστι "κατὰ πάντα;" ἅπερ ἐχρῆν, τέλος ἀπέθανε. τοῦτό ἐστι κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. ἐπειδὴ γὰρ πολλὰ διηλέχθη περὶ τῆς μεγαλειότητος αὐτοῦ καὶ τῆς ἄνω δόξης, λοιπὸν τὸν περὶ τῆς οἰκονομίας λόγον κινεῖ. καὶ θέα πῶς αὐτὸν δείκνυσι, πολλὴν τὴν σπουδὴν τιθέμενος ὥστε ἡμῖν ὁμοιωθῆναι, ὅπερ κηδεμονίας ἦν πολλῆς· μονονουχὶ λέγων, ὁ οὕτω μέγας, ὁ ὢν ἀπαύγασμα τῆς δόξης, ὁ ὢν χαρακτὴρ τῆς ὑποστά-

[a] Leg. ἐμπεδοῖ.

σεως, ὁ τοὺς αἰῶνας πεποιηκὼς, ὁ ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενος, οὕτως ἠθέλησε καὶ ἐσπούδασεν ἀδελφὸς ἡμῶν ἐν ἅπασι γενέσθαι. καὶ διὰ τοῦτο Ἀγγέλους ἀφῆκε, καὶ τὰς ἄλλας δυνάμεις, καὶ πρὸς ἡμᾶς κατῆλθε, καὶ ἡμῶν ἐπελάβετο, καὶ μυρία εἰργάσατο ἀγαθὰ, θάνατον ἔλυσε, τὸν διάβολον τῆς τυραννίδος ἐξέβαλεν, ἡμᾶς δουλείας ἀπήλλαξεν, οὐ τῇ ἀδελφότητι μόνον τετίμηκεν, ἀλλὰ καὶ ἑτέροις μυρίοις.

Θεοδωρήτου. Ὁμοίως ἡμῖν τροφῆς μετέλαβε, καὶ πόνους ὑπέμεινε καὶ ἠθύμησε, καὶ ἐδάκρυσε, καὶ θάνατον κατεδέξατο.

Κλήμεντος. Μεγαλόδωρος οὖν ὁ τὸ μέγιστον ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἐπιδιδοὺς, καὶ μεγαλωφελὴς καὶ φιλάνθρωπος, ὅτι καὶ ἄνθρωπος· ἐξὸν εἶναι κύριον, ἀδελφὸς εἶναι βεβούληται. ὁ δὲ καὶ εἰς τοσοῦτον ἀγαθὸς, ὥστε καὶ ἡμῶν ὑπεραποθανεῖν, καὶ τὸ κατὰ τοῦ θανάτου ἐπιδείξασθαι τρόπαιον.

Εὐσεβίου Εὐαγγελικῆς ἀποδείξεως. Ἦν μὲν γὰρ πάλαι πρότερον φοβερὸς τοῖς πᾶσιν ὁ τοῦ θνητοῦ γένους ὀλετὴρ θάνατος, καὶ λύμη ἐνομίζετο τῆς ὅλης ἀνθρώπου φύσεως, ψυχῆς ὁμοῦ καὶ σώματος ἡ τούτου δυναστεία· οὐδέ τις ἦν τῶν ἐξ αἰῶνος οἷός τε τουτὶ τὸ φόβητρον ἐξ ἀνθρώπων ἀνελεῖν, πάντες δ' ἐπτήχεσαν φόβῳ μικροὶ καὶ μεγάλοι τὸν θάνατον. οὐκ ἦν τε τοῦ κακοῦ παραμύθιον ἀνθρώποις, οὐ λόγος, οὐ τρόπος, οὐ βίος, οὐ σοφῶν λογισμὸς, οὐ παλαιῶν συγγράμματα, οὐ προφητῶν θεσπίσματα, οὐκ Ἀγγέλων ἐπιφάνεια. πάντων δὲ κρείττων καὶ ἀνώτερος τὴν κατὰ πάντων νίκην ἐπεῖχεν ὁ θάνατος, ὑψηλὸς, μεγάλαυχος, ὑπερήφανος, ᾧ δὴ καταδεδουλωμένον τὸ θνητὸν γένος, παντοίαις ἐκαλινδεῖτο παρανομίαις, μιαιφονίαις, ἀθεμιτουργίαις, δυσσεβείαις, πολυπλόκῳ πλάνῃ. τούτων γὰρ ἦν ἁπάντων θάνατος αἴτιος. ὡς γὰρ μηκέτι ὄντες μετὰ θάνατον, τὰ μυρία θανάτων ἄξια δρῶντες διῆγον· καὶ ὡς εὐθύναις οὐδαμῶς ὑποκείμενοι διὰ τὴν ἐκ τοῦ θανάτου λύσιν, βίον ἔζων ἀβίωτον. οὓς δὴ κατελεήσας ὁ παμβασιλεὺς τοῦ Θεοῦ Λόγος, ἐπὶ τὴν ἄμυναν ἔσπευσε, καὶ τὸν κατὰ τοῦ θανάτου ἔλεγχον δι' ἀνθρώπου φύσεως ἐμηχανᾶτο. ζωὴ μὲν αὐτὸς τυγχάνων καὶ Θεοῦ Λόγος καὶ Θεοῦ δύναμις, ἀλλ' οὐ δίχα τοῦ βοηθουμένου, τὸ τῶν ἀνθρώπων φόβητρον διελέγξαι κρίνας.

διὸ δὴ ὅπλῳ χρησάμενος ἀνθρωπείῳ καὶ θνητῷ ὁ ἀσώματος, τὸν θάνατον διὰ τοῦ θνητοῦ κατηγωνίσατο, καὶ μέγα θαῦμα τοῖς πᾶσιν ἀπέδειξε. θνητῷ γὰρ ὅπλῳ κεχρημένος, τρόπαιον ἀθανασίας κατὰ τοῦ θανάτου ἔστησεν.

Κυρίλλου ὅτι εἷς Κύριος. Ἀλλ' εἰπάτωσαν ἡμῖν οἱ αἱρετικοὶ, τίνα τρόπον ὡμοιῶσθαι φασὶν αὐτὸν κατὰ πάντα τοῖς ἀδελφοῖς, τουτέστιν ἡμῖν. ἢ καὶ τίς ἂν ὅλως νοοῖτο ὁ τὴν ὁμοίωσιν ὑπελθὼν, εἰ μὴ κατὰ φύσιν ἕτερος ἦν, καὶ οὐκ ἐν τοῖς καθ' ἡμᾶς; τὸ γάρ τοι τισὶν ὁμοιούμενον εἶναί που πάντως ἀνάγκη διάφορον παρ' αὐτοὺς, καὶ οὐκ ἐοικὸς αὐτοῖς, ἑτεροειδὲς δὲ μᾶλλον εἴτουν ἑτεροφυές. ἀνόμοιος τοίνυν ὑπάρχων ἡμῖν κατὰ φύσιν ὁ μονογενὴς, ὡμοιῶσθαι λέγεται, γεγονὼς καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος. ἡ δὲ κατὰ πάντα ὁμοίωσις ἀρχὴν ὥσπέρ τινα καὶ παρεισβολὴν τοῦ πράγματος τὴν ἐκ γυναικὸς ἔχει ἀπόταξιν, καὶ τὴν ἐν σαρκὶ φανέρωσιν ἰδίαν, οὐχ ὁρατοῦ, καὶ τὴν ἐν τοῖς καθ' ἡμᾶς κάθεσιν οἰκονομικὴν, τοῦ ἐν ὑπερτάτοις ὄντος ὑψώμασιν, καὶ τὸ ἐν ἀνθρωπότητι ταπεινὸν, τοῦ τοῖς ἀνωτάτω θρόνοις ἐμπρέποντος, καὶ τὸ ἐν μέτροις γενέσθαι τοῖς ἱκετικοῖς, τὸν ἐν κυριότητι φυσικῇ. τὸ μὲν οὖν ὡμοιῶσθαι γένοιτ' ἂν καὶ μάλα ὀρθῶς ἐν ἀποτάξει τῇ καθ' ἡμᾶς, εἰ καὶ παραδόξως ἐπ' αὐτοῦ. Θεὸς γὰρ ἦν ὁ σαρκούμενος. ὁμολογείσθω γεμὴν, ὡς ἐψύχωτο νοερῶς τὸ ἑνωθὲν αὐτῷ σῶμα. οὐ γάρ τοι τὸ κρεῖττον τῶν ἐν ἡμῖν ἀφεὶς, τουτέστι ψυχὴν, μόνου πεποίηται φειδὼ γηΐνου σώματος, ἀλλ' ὁμοῦ ψυχῆς καὶ σώματος προενόησεν. εἶτα δείκνυσιν ὁ Ἀπόστολος ὅτι καὶ ἀρχιερεὺς ἡμῶν πρὸς τὸν Πατέρα ὁ Υἱὸς γενέσθαι ἠθέλησεν, ἐπάγει γὰρ,

Ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ.

Χρυσοστόμου. Διὰ τοῦτο φησὶ, τὴν σάρκα ἀνέλαβε τὴν ἡμετέραν διὰ φιλανθρωπίαν μόνον, ἵνα ἐλεήσῃ ἡμᾶς. οὐδὲ γάρ ἐστιν ἄλλη τις αἰτία τῆς οἰκονομίας, ἢ αὕτη μόνη. εἶδε γὰρ χαμαὶ ἐρριμμένους, ἀπολλυμένους, ὑπὸ τοῦ θανάτου τυραννουμένους, καὶ ἠλέησε. τί δέ ἐστι πιστός; ἀληθὴς, δυνάμενος· ἀρχιερεὺς γάρ ἐστι πιστὸς ὁ Υἱὸς, δυνάμενος τοὺς ὧν ἐστιν ἀρχιερεὺς ἀπαλλάξαι τῶν ἁμαρτημάτων. ἵν' οὖν προσενέγκῃ θυσίαν δυνα-

μένην ἡμᾶς καθαρίσαι, διὰ τοῦτο γέγονεν ἄνθρωπος· ἐπήγαγε γοῦν τὰ πρὸς τὸν Θεὸν, τουτέστι τῶν πρὸς τὸν Θεὸν ἕνεκεν, ἐκπεπολεμωμένοι ἦμεν φησὶ τῷ Θεῷ, κατεγνωσμένοι, ἠτιμωμένοι, οὐδεὶς ἦν ὁ προσοίσων ὑπὲρ ἡμῶν θυσίαν. εἶδεν ἡμᾶς ἐν τούτοις καὶ ἠλέησεν, οὐ καταστήσας ἡμῖν ἀρχιερέα, ἀλλ' αὐτὸς γενόμενος ἡμῖν ἀρχιερεύς. πῶς δὲ πιστὸς, ἐπήγαγεν "εἰς τὸ ἱλάσκεσθαι τὰς "ἁμαρτίας τοῦ λαοῦ."

ΚΥΡΙΛΛΟΥ. Αὐτὸς γενόμενος ἀρχιερεὺς κατὰ τὸ ἀνθρώπινον. καί τοι παρὰ πάντων τὰς θυσίας δεχόμενος θεϊκῶς, αὐτὸς τὸ θῦμα κατὰ τὴν σάρκα· αὐτὸς ὁ ταῖς ἁμαρτίαις ἡμῶν ἱλασκόμενος, κατά γε τὴν τῆς θεότητος ἐξουσίαν. εἷς οὖν ἄρα Κύριος Ἰησοῦς Χριστός.

ΘΕΟΔΩΡΗΤΟΥ. Ἔδειξεν ἐν τούτοις προσφορὰν γεγενημένον αὐτοῦ τὸν σωτήριον θάνατον· ὑπὲρ ἁπάσης γὰρ τῆς κτίσεως ὃ ἀνέλαβε προσενήνοχε σῶμα.

ΚΥΡΙΛΛΟΥ ὁμιλία. Οὐκ αὐτῇ μέντοι τῇ τοῦ Λόγου φύσει, τὸ ἀρχιερέα κεκλῆσθαι καὶ τὰ τοιάδε τῶν ὀνομάτων, ἀλλὰ τῇ μετὰ σαρκὸς οἰκονομίᾳ καὶ μέτροις τοῖς καθ' ἡμᾶς. καὶ φέρε πρῶτον ἐκεῖνο ζητήσωμεν. τίς ἦν ὁ δυνάμενος μὲν καὶ ἐξουσίαν ἔχων ἐπιλαβέσθαι Ἀγγέλων, εἰ τοῦτο χρήσιμον ἦν, οὐκ ἐπιλαβόμενος δὲ μᾶλλον ἐκείνων, ἀλλὰ σπέρματος Ἀβραάμ. εἰ μὲν οἴονταί τινες περὶ ἀνθρώπου ταῦτα λέγεσθαι κοινοῦ, πῶς ἀνεδέχετο τὸν οὔπω γεγεννημένον μηδὲ ὑπάρχοντα, φύσεως ἐπιλαμβάνεσθαι τῆς τῶν ἁγίων Ἀγγέλων, εἴπερ ἤθελε τοῦτο δρᾶν, ἀλλ' ἐκεῖνο μὲν οὐ πεποιηκότα, ἐπιλαβόμενον δὲ μᾶλλον σπέρματος Ἀβραάμ. ἄλλως τε, κἀκεῖνο γὰρ οἶμαι κατιδεῖν ἀναγκαῖον, τὸ λέγειν ἄνθρωπον ἀνθρωπότητος ἐπιλαβέσθαι, ἀσύνετον παντελῶς. οὐκοῦν ὁ ἔξω τῆς ἀνθρώπου φύσεως ὢν ὡς Θεὸς, ἐπιλαμβάνεται σπέρματος Ἀβραάμ. σῶμα γὰρ οὕτω λαβὼν ἔμψυχόν τε καὶ ἔννουν ἐκ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας, ὡμοιώθη τε τοῖς ἀδελφοῖς κατὰ πάντα, τουτέστιν ἡμῖν. τότε γέγονεν ἐφ' ἡμᾶς ἀρχιερεὺς ἐλεήμων, καὶ πρός γε τούτῳ πιστός. πῶς οὖν γέγονεν, ἀκόλουθον ἰδεῖν. οὐ γὰρ ἦν ἐλεήμων καὶ πρὶν γένηται καθ' ἡμᾶς· οὐκ ἦν ἀγαθὸς ὡς ἐξ ἀγαθοῦ Πατρὸς, ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τότε καὶ ἐλεήμων· προέκοψεν οὖν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ κρείττων ἑαυτοῦ

γέγονεν, ὅτε σπέρματος Ἀβραὰμ ἐπελάβετο. οὐκοῦν ὅπερ οὐκ ἦν, ἐγένετο, καὶ ὠφέληται μᾶλλον γενόμενος ἄνθρωπος. πῶς οὖν ἄτρεπτος ἔτι κατὰ φύσιν εἰ γέγονεν ὅπερ οὐκ ἦν; πῶς μεμένηκεν ὁ αὐτός; πῶς δὲ κεκένωκε καὶ καθῆκεν ἑαυτὸν εἰς ταπείνωσιν, εἰ γέγονεν ἑαυτοῦ καλλίων; ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει, μὴ γένοιτο· ἦν γὰρ ἐλεήμων καὶ ἔστιν ἀεί· καὶ ἐπειδὴ τοῦτό ἐστιν, ἐπελάβετο σπέρματος Ἀβραὰμ, ἵν' εἰς ἡμᾶς ἱερεὺς ἐλεήμων γένηται· καὶ τίνα τρόπον ἐρῶ. οὐκ ἦν ἐν νόμῳ δικαιωθῆναι τὸν ἄνθρωπον· οὐκ ἦν παραβῆναι τὴν δοθεῖσαν ἐντολὴν, καὶ μὴ δίκας ὑποσχεῖν παραχρῆμα καὶ μέχρι θανάτου. πιστώσεται δὲ γράφων ὁ Παῦλος, "ἀθετήσας τίς νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ "τρισὶν μάρτυσιν ἀποθνήσκει." ἀρχιερεὺς εἰς ἡμᾶς γέγονεν ὁ Χριστὸς, οὐκέτι ταῖς νομικαῖς ἀποτομίαις κρατεῖν ἐπιτρέπων, ἀνιεὶς δὲ μᾶλλον τῶν ἀρχαίων αἰτιαμάτων τοὺς ἠσθενηκότας. πιστὸς δὲ ὅτι μόνιμος καὶ διηνεκὲς, καὶ ἀξιόχρεως εἰς πίστιν τῶν ἐπηγγελμένων, καὶ ἀπαράβατον ἔχων τὴν ἱερωσύνην. ἐλεήμων, ἵνα τοίνυν ἀπαλλάξῃ ἡμᾶς τῆς ἐν νόμῳ δίκης καὶ ἀρᾶς καὶ ἀποτομίας· κεχρημάτικεν ἡμῶν ἱερεὺς, οὐ δίκας αἰτῶν τῶν ἡμαρτημένων, οὐκ ἐνόχους τῇ κρίσει καθιστὰς τοὺς ἐξ ἀσθενείας ἀνθρωπίνης πεπλημμεληκότας. δικαιῶν δὲ μᾶλλον τῇ πίστει καὶ ἐγκλημάτων ἀνιεὶς καὶ ἁγίους ἀποφαίνων, καὶ τῆς ἑαυτοῦ φύσεως κοινωνοὺς, οὕτω τὲ συνάπτων δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί. ἐλεήμων γὰρ τοίνυν καὶ πιστὸς, τουτέστιν ἀεὶ μένων γέγονεν ἱερεὺς ὅτε σπέρματος Ἀβραὰμ ἐπελάβετο, Θεὸς ὢν ὁ Λόγος, καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρός. τί τοίνυν συκοφαντοῦσι τὴν ἀλήθειαν; τί παραιτοῦνται τὸν Υἱὸν τοῦ εἶναι ὅ ἐστι, διὰ τὴν εἰς ἡμᾶς ἀγάπην;

Ἀθανασίου κατὰ Ἀρειανῶν. Τίς δὲ τὴν περικοπὴν ταύτην, οὐ τῶν μὲν Ἀρειανῶν καταγινώσκει, τὸν δὲ μακάριον Ἀπόστολον θαυμάζει καλῶς εἰρηκότα; πότε γὰρ πεποίηται καὶ πότε ἀπόστολος γέγονεν, εἰ μὴ ὅτε παραπλησίως ἡμῖν μετέσχεν αὐτὸς αἵματος καὶ σαρκός. καὶ πότε γέγονεν ἐλεήμων καὶ πιστὸς ἀρχιερεὺς ἢ ὅτε κατὰ πάντα τοῖς ἀδελφοῖς ὡμοιώθη; ὡμοιώθη δὲ τότε, ὅτε γέγονεν ἄνθρωπος, ἐνδυσάμενος τὴν ἡμετέραν σάρκα.

οὐκοῦν περὶ τῆς κατὰ ἄνθρωπον οἰκονομίας τοῦ Λόγου γράφων ὁ Παῦλος ἔλεγε. μηκέτι τοίνυν μαίνεσθε, ποίημα εἶναι λέγοντες τὸν Λόγον. ἔστι γὰρ αὐτὸς Υἱὸς φύσει μονογενὴς, τότε δὲ ἔσχεν ἀδελφοὺς, ὅτε τὴν ὁμοίαν ἡμῖν ἐνεδύσατο σάρκα, ἣν καὶ προσφέρων αὐτὸς δι᾽ ἑαυτοῦ ἀρχιερεὺς ὠνομάσθη, καὶ γέγονεν ἐλεήμων καὶ πιστός· ἐλεήμων μὲν, ὅτι περὶ ἡμῶν προσενέγκας ἠλέησεν ἡμᾶς· πιστὸς δὲ, οὐ πίστεως μετέχων, οὐδὲ εἴς τινα πιστεύων ὥσπερ ἡμεῖς, ἀλλὰ πιστεύεσθαι ὀφείλει περὶ ὧν ἂν λέγει καὶ ποιεῖ, καὶ ὅτι πιστὴν θυσίαν προσφέρει, τὴν μένουσαν καὶ μὴ διαπίπτουσαν. "αἱ μὲν γὰρ κατὰ νόμον προσφερόμεναι, οὐκ εἶχον "τὸ πιστὸν καθ᾽ ἡμέραν παρεχόμεναι, καὶ δεόμεναι πάλιν καθαρ-"σίου," ἡ δὲ τοῦ Σωτῆρος θυσία ἅπαξ γενομένη τετελείωκε τὸ πᾶν, καὶ πιστὴ γέγονε, μένουσα διὰ παντός. καὶ Ἀαρὼν μὲν ἔσχε τοὺς διαδεχομένους· καὶ ὄντως ἡ κατὰ νόμον ἱερατεία χρόνῳ καὶ θανάτῳ παρήμειβε τοὺς προτέρους, ὁ δὲ Κύριος ἀπαράβατον καὶ ἀδιάδοχον ἔχων τὴν ἀρχιερωσύνην, πιστὸς γέγονεν ἀρχιερεὺς, παραμένων ἀεὶ, καὶ τῇ ἐπαγγελίᾳ πιστὸς γενόμενος εἰς τὸ ἐπακούειν καὶ μὴ πλανᾷν τοὺς προσερχομένους· πιστὸς γάρ ἐστιν, οὐκ ἀλλασσόμενος, ἀλλὰ διαμένων, καὶ ἀποδιδοὺς ἃ ἐπηγγείλατο. Ἑλλήνων μὲν οὖν οἱ λεγόμενοι παρ᾽ αὐτοῖς ψευδώνυμοι θεοὶ, οὔτε τὸ εἶναι οὔτε τὸ ἐπαγγέλλεσθαι εἰσὶ πιστοί· οὔτε γὰρ οἱ αὐτοὶ εἰσὶ πανταχοῦ, ἀλλὰ καὶ οἱ κατὰ τόπους τῷ χρόνῳ διαφθείρονται καὶ περὶ ἑαυτοὺς καταρρέουσι. διὸ καὶ κατ᾽ αὐτῶν ὁ λόγος βοᾷ, ὅτι πίστις οὐκ ἔστιν ἐν αὐτοῖς. ὁ δὲ τῶν ὅλων καὶ μόνος τῷ ὄντι καὶ ἀληθινὸς Θεὸς, πιστός ἐστιν ὁ αὐτὸς ὢν καὶ λέγων, "ἴδετε ὅτι "ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι·" διὸ καὶ ὁ τούτου Υἱὸς πιστός ἐστιν ἀεὶ καὶ οὐκ ἀλλοιούμενος, οὐδὲ διαψευδόμενος, οὔτε ἐν τῷ εἶναι, οὔτε ἐν τῷ ἐπαγγέλλεσθαι· τοιοῦτον τὸ "πιστὸς ὁ καλῶν ἡμᾶς, "ὃς καὶ ποιήσει." ἐν γὰρ τῷ ποιεῖν ἃ ἐπαγγέλλεται, πιστός ἐστι λαλῶν. καὶ πάλιν τὸ ἀναλλοίωτον τῇ λέξει ταύτῃ σημαίνων, "εἰ "ἀπιστήσομεν," φησὶν, "ἐκεῖνος πιστὸς μένει."

Κυρίλλου. Ἄθρει δὲ ὅπως οὐκ εἰς κατάκρισιν τῶν ἡμαρτηκότων γέγονεν ἱερεὺς, εἰς τὸ ἱλάσκεσθαι δὲ μᾶλλον τὰς ἁμαρτίας αὐτῶν. ὁ δέ γε τοῦ πειρασμοῦ καὶ τῆς θυσίας, ὁποῖος ἂν εἴη

τρόπος; διεκαρτέρησε φησὶ πειραζόμενος, καὶ ὑπέμεινε σταυρον. πλὴν ἑαυτὸν ὁ Υἱὸς ὡς ἄμωμον ἱερεῖον προσεκόμισε τῷ Πατρὶ, ἵνα διὰ τῆς ἑαυτοῦ σαρκὸς βοηθήσῃ τοῖς κάμνουσι καὶ πειραζομένοις. μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

ΚΥΡΙΛΛΟΥ γρᾶ. Ἐξιλάσεται δὲ Χριστὸς ἥκιστα μὲν ὑπὲρ ἑαυτοῦ· καὶ ἀληθὴς ὁ λόγος, οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, ὑπὲρ ἡμῶν δὲ μᾶλλον· προσέθετο γὰρ αὐτὸν ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως.

Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθεῖν.

18 ΧΡΥΣΟΣΤΟΜΟΥ. Πάνυ ταπεινὸν τοῦτο καὶ εὐτελὲς καὶ ἀνάξιον Θεοῦ. περὶ τοῦ σαρκωθέντος μέντοι ἐνταῦθα φησὶ, καὶ πρὸς πληροφορίαν τῶν ἀκουόντων εἴρηται, καὶ διὰ τὴν αὐτῶν ἀσθένειαν. δι' αὐτῆς φησὶ τῆς πείρας ὧν ἐπάθομεν ἦλθεν. οὐκ ἀγνοεῖ οὖν τὰ πάθη τὰ ἡμέτερα. οὐχ ὡς Θεὸς μόνον οἶδεν, ἀλλὰ καὶ ὡς ἄνθρωπος ἔγνω διὰ τῆς πείρας ἧς ἐπειράσθη· ἔπαθε πολλὰ, οἶδε συμπάσχειν· καί τοι γε ἀπαθὴς ὁ Θεός ἐστιν, ἀλλὰ τὰ τῆς σαρκώσεως ἐνταῦθα διηγεῖται, ὡς ἂν εἰ ἔλεγε, καὶ αὐτὴ ἡ σὰρξ τοῦ Χριστοῦ πολλὰ δεινὰ ἔπαθεν. οἶδε τί ἐστι θλίψις, οἶδε τί ἐστι πειρασμὸς τῶν παθόντων οὐχ ἧττον ἡμῶν. καὶ γὰρ καὶ αὐτὸς ἔπαθεν. τί οὖν ἐστι τὸ δύναται τοῖς πειραζομένοις βοηθῆσαι; ὡς ἂν τις εἴποι μετὰ πολλῆς προθυμίας ὀρέξει χεῖρα, συμπαθὴς ἔσται. ἐπειδὴ γὰρ ἐβούλοντο μέγα τι καὶ πλέον ἔχειν τῶν ἐξ ἐθνῶν, δείκνυσιν ἐν τούτῳ πλέον ἔχοντας, ἔνθα οὐδὲν κατέβλαπται τοὺς ἐξ ἐθνῶν. ἐν ποίῳ δὴ τούτῳ; ὅτι ἐξ αὐτῶν ἐστὶν ἡ σωτηρία, ὅτι ἐκείνων ἐπελάβετο πρῶτον, ὅτι ἐκεῖθεν ἀνέλαβε σάρκα. σπέρματος γάρ φησιν Ἀβραὰμ ἐπιλαμβάνεσθαι. τιμᾷ καὶ τὸν πατριάρχην διὰ τούτου, ἀναμιμνήσκει αὐτοὺς καὶ τῆς πρὸς αὐτὸν ἐπαγγελίας τῆς λεγούσης, "σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν "ταύτην." διὰ τοῦ μικροτάτου δείκνυσι τὴν ἐγγύτητα, τῷ ἐξ ἑνὸς εἶναι πάντας. ἀλλ' οὐ πολλὴ ἐκείνη ἦν ἐγγύτης. ἔρχεται πάλιν ἐπὶ ταύτην καὶ ἐνδιατρίβει λοιπὸν τῇ κατὰ σάρκα οἰκονομίᾳ, καὶ φησὶν, ἦν μὲν καὶ αὐτὸ τὸ θελῆσαι γενέσθαι ἄνθρωπον, πολλῆς κηδεμονίας καὶ ἀγάπης. νῦν δὲ οὐ τοῦτο μόνον ἐστὶν, ἀλλὰ καὶ

τὰ ἀθάνατα ἀγαθὰ τὰ δι' αὐτοῦ ἡμῖν παραχθέντα· "εἰς τὸ ἱλά-"σκεσθαι," γάρ φησι, "τὰς ἁμαρτίας τοῦ λαοῦ." διατί μὴ εἶπε τῆς οἰκουμένης ἀλλὰ τοῦ λαοῦ; τὰς γὰρ πάντων ἁμαρτίας ἀνήνεγκεν, ὅτι τέως περὶ αὐτῶν ἦν ὁ λόγος αὐτῷ, ἐπεὶ καὶ ὁ Ἄγγελος πρὸς τὸν Ἰωσὴφ ἔλεγε, "καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς "γὰρ σώσει τὸν λαὸν αὐτοῦ." τοῦτο γὰρ καὶ πρῶτον ἔδει γενέσθαι. καὶ διὰ τοῦτο ἦλθεν, ὥστε τούτους σῶσαι, καὶ τότε διὰ τούτων ἐκείνους, εἰ καὶ τοὐναντίον γέγονεν. τοῦτο καὶ οἱ Ἀπόστολοι ἔλεγον, "ὑμῖν ἀναστήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν εὐλογοῦντα "ὑμᾶς." καὶ πάλιν· "ὁ λόγος τῆς σωτηρίας ὑμῖν ἀπεστάλει." οὐκοῦν τὴν εὐγένειαν ἐνταῦθα δείκνυσι τὴν Ἰουδαϊκὴν λέγων, "εἰς τὸ "ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ." καὶ τέως μὲν οὕτω φησὶν, ὅτι γὰρ αὐτός ἐστιν ὁ τὰς ἁμαρτίας πάντων ἀφιεὶς, ἐδήλωσε καὶ ἐν τῷ παραλυτικῷ καὶ ἐν τῷ βαπτίσματι. τὸ δὲ "πειρασθεὶς δύνα-"ται βοηθεῖν," ταπεινὸν σφόδρα, πλὴν οὐκ ἔξω τῶν τῆς σαρκώσεως μέτρων. ἔπειτα καὶ διὰ τὸ νηπιῶδες τῶν ἀκουόντων εἴρηται εἰς ψυχαγωγίαν ἐκείνων. ἐπειδὴ γάρ φησι, πέπονθεν αὐτὸς εἰς τὸ οἰκεῖον σῶμα πειρασθεὶς, προθυμότερον βοηθήσει τοῖς πειραζομένοις.

Θεοδωρήτου. Ὡσεὶ ἔλεγε, πείρᾳ μαθὼν τί ἐστι τὸ πειρασμοῖς περιπεσεῖν, καὶ αὐτοπαθῶς πειράσας τῆς ἀνθρωπείας φύσεως τὴν ἀσθένειαν, ἅτε δὴ καὶ κατὰ νόμον καὶ κατὰ χάριν πολιτευσάμενος, τοῖς πολεμουμένοις ἐπικουρίαν ὀρέγει. καὶ ταῦτα δὲ κατὰ τὸ ἀνθρώπειον εἴρηται. οὔτε γὰρ ἀρχιερεὺς ἡμῶν ὡς Θεὸς ἀλλ' ὡς ἄνθρωπος· οὔτε ὡς Θεὸς πέπονθεν, ἀλλ' ὡς ἄνθρωπος· οὔτε διὰ τῆς πείρας μεμάθηκε τὰ ἡμέτερα, ἀλλ' καὶ Θεὸς καὶ δημιουργὸς γινώσκει πάντα καλῶς.

Χρυσοστόμου. Πλὴν εἰ περὶ τοῦ Πατρὸς τοῦ μὴ σαρκωθέντος φησὶν ἡ γραφὴ, "ἐκ τοῦ οὐρανοῦ διέκυψεν ὁ Κύριος, εἶδε πάντας "τοὺς υἱοὺς τῶν ἀνθρώπων," τουτέστιν ἀκριβῶς πάντα κατέμαθε. καὶ πάλιν, "καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντε-"λεῖται," πολλῷ μᾶλλον περὶ τοῦ Χριστοῦ, τοῦ καὶ παθόντος ἐν σαρκὶ λέγεται ταῦτα. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων τὴν πεῖραν πάντων πιστοτέραν εἶναι νομίζουσι πρὸς γνῶσιν, βούλεται δεῖξαι ὅτι ὁ παθὼν οἶδε τί πάσχει ἡ ἀνθρωπίνη φύσις.

Θεοδωρήτου. Οὕτω τὴν πρὸς τοὺς Ἀγγέλους παρεξέτασιν συμπεράνας, τὸν μείζονα τῶν προφητῶν Μωϋσῆν τὸν μέγαν ἐκ παραλλήλου τίθησιν, ἵνα δείξας ἄπειρον τὸ διάφορον, δείξῃ κατὰ ταυτὸν καὶ τῶν διαθηκῶν καὶ τῶν ἐπαγγελιῶν, καὶ μέν τοι καὶ τῶν ἱερέων τὸ μέσον. πάλιν δὲ τῇ συγκρίσει παραίνεσιν ἀναμίγνυσιν, ἵνα μὴ δόξῃ ὥσπερ ἐξεπίτηδες τοῦτο ποιεῖν, ἀλλ' ὑπό τινος ἀνάγκης ὠθούμενος.

Χρυσοστόμου. Ὅταν δὲ τῆς σαρκὸς ἐπιλάβηται ὁ Παῦλος, πάντα ταπεινὰ φθέγγεται οὐδὲν δεδοικώς. ὅρα γὰρ λοιπὸν τί φησι,

1 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι,
κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας
2 ἡμῶν Ἰησοῦν Χριστόν· πιστὸν ὄντα τῷ ποιήσαντι
αὐτὸν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

Χρυσοστόμου. Μέλλων αὐτὸν προτιθέναι τοῦ Μωϋσέως, κατὰ σύγκρισιν εἰς τὸν ἀρχιερωσύνης νόμον τὸν λόγον ἐδέξατο. οὐ γὰρ μικρὰν περὶ Μωσέως δόξαν εἶχον ἅπαντες, καὶ προκαταβάλλεται ἤδη τὰ σπέρματα τῆς ὑπεροχῆς. καὶ ἄρχεται μὲν ἀπὸ τῆς σαρκὸς, ἄνεισι δὲ εἰς τὴν θεότητα, ἔνθα οὐκέτι σύγκρισις ἦν. ἤρξατο δὲ ἀπὸ τῆς σαρκὸς τέως τὸ ἴσον τιθέναι καί φησίν· "ὡς καὶ "Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ." καὶ οὐ παρὰ τὴν ἀρχὴν δείκνυσι τὴν ὑπεροχὴν, ἵνα μὴ ἀποπηδήσῃ ὁ ἀκροατὴς, καὶ εὐθέως ἐμφράξῃ τὰς ἀκοάς. εἰ γὰρ καὶ πιστοὶ ἦσαν, ἀλλ' ὅμως πολὺ ἔτι τὸ συνειδὸς εἶχον πρὸς Μωϋσέα. "πιστὸν ὄντα," φησὶ, "τῷ "ποιήσαντι αὐτόν." τί ποιήσαντι; ἀπόστολον καὶ ἀρχιερέα· οὐδὲν γὰρ ἐνταῦθα περὶ οὐσίας φησὶν, οὐδὲ περὶ τῆς θεότητος, ἀλλὰ τέως περὶ ἀξιωμάτων ἀνθρωπίνων· "ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ "οἴκῳ αὐτοῦ," τουτέστιν ἐν τῷ λαῷ ἢ ἐν τῷ ἱερῷ. ἐνταῦθα δὲ τὸ ἐν τῷ οἴκῳ αὐτοῦ φησὶν, ὡσανεί τις εἴποι περὶ τῶν ἐν τῇ οἰκίᾳ, καθάπερ τίς ἐπίτροπος καὶ οἰκονόμος οἰκίας, οὕτως ἦν ὁ Μωϋσῆς ἐν τῷ λαῷ. ὅτι γὰρ οἶκον τὸν λαὸν φησὶν, ἐπήγαγεν, "οὗ οἶκος ἐσμὲν ἡμεῖς," τουτέστιν ἐν τῇ κτίσει αὐτοῦ ἐσμέν.

Θεοδωρήτου. Πάλιν μέντοι ἀρχιερέα καὶ ἀπόστολον αὐτὸν, ὡς ἄνθρωπον κέκληκεν. εἰ γὰρ ὡς Θεὸς ἀρχιερεύς ἐστιν, καὶ πρὸ

τῆς ἐνανθρωπήσεως τοῦτο ἂν ἦν. ὅτι δὲ καὶ ἀπόστολος τῆς ὁμολογίας ἡμῶν μετὰ τὴν ἐνανθρώπησιν γέγονεν, ἐν τῇ πρὸς Γαλάτας ἐδίδαξεν· " ὅτε γὰρ ἦλθε," φησὶ, " τὸ πλήρωμα τοῦ χρόνου, ἐξα- " πέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς," οὐκ εἶπεν ἀπέστειλεν αὐτὸν γενέσθαι ἐκ γυναικὸς, ἀλλὰ γενόμενον ἐκ γυναικὸς, ἀπέστειλεν. ὡς εἶναι δῆλον ὅτι τῇ ἐνανθρωπίσει πρόσφορον τὸ τῆς ἀποστολῆς ὄνομα. ὁμολογίαν δὲ ἡμῶν τὴν πίστιν ἐκάλεσε. ποίησιν δὲ οὐ τὴν δημιουργίαν ἀλλὰ τὴν χειροτονίαν κέκληκε. πιστὸν γὰρ ὄντα φησὶ τῷ ποιήσαντι αὐτὸν ἀρχιερέα· εἶτα καὶ τῶν περὶ τοῦ Μωσέως ὑπὸ τοῦ Θεοῦ εἰρημένων ἀναμιμνήσας, τοῦ γὰρ Θεοῦ ἐστι φωνὴ, " ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός " ἐστι," δείκνυσιν ἐν τοῖς ἑξῆς τὸ διάφορον καὶ τὴν ὑπεροχήν.

3 *Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.*

Θεοδωρήτου. *Ὅση, φησὶ, ποιήματος πρὸς ποιητὴν διαφορὰ, τοσαύτη Μωϋσέως πρὸς τὸν Χριστόν. τοῦτο γὰρ καὶ τὰ ἑξῆς διδάσκει σαφέστερον.*

4 *Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ πάντα κατασκευάσας, Θεός.*

Χρυσοστόμου. *Καὶ αὐτός φησι τῆς οἰκίας ἦν, καὶ οὐκ εἶπεν, οὗτος μὲν γὰρ δοῦλος ἦν, ἐκεῖνος δὲ δεσπότης, ἀλλὰ τοῦτο λανθανόντως ἔφηνεν. εἰ γὰρ οἶκος ἦν ὁ λαὸς, καὶ αὐτὸς δὲ τοῦ λαοῦ ἦν, καὶ αὐτὸς ἄρα τῆς οἰκίας ἦν. οὕτω καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα τῆς οἰκίας ἐστὶ τῆς τοῦ δεῖνος· ἐνταῦθα γὰρ οἶκον, καὶ τὸν ναὸν λέγει· οὐ γὰρ ὁ Θεὸς αὐτὸν κατεσκεύασεν, ἀλλ' ἄνθρωποι. ὁ δὲ ποιήσας αὐτὸν ὁ Θεὸς, τὸν Μωϋσέα φησί. καὶ ὅρα πῶς δείκνυσι τὴν ὑπεροχὴν λανθανόντως. " πιστὸς," φησὶν, " ἐν ὅλῳ τῷ οἴκῳ " αὐτοῦ." καὶ αὐτὸς ὢν τοῦ οἴκου, τουτέστι τοῦ λαοῦ. πλείονα τιμὴν ἔχει τῶν ἔργων ὁ τεχνίτης ἀλλὰ καὶ τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. " ὁ δὲ πάντα κατασκευάσας Θεός." ὁρᾷς ὅτι οὐ περὶ τοῦ ναοῦ λέγει, ἀλλὰ περὶ παντὸς τοῦ λαοῦ.*

Θεοδωρήτου. *Εἰδέναι μέντοι χρὴ, ὡς τὴν μὲν ὑπεροχὴν ἀπὸ τῆς θείας ἔδειξε φύσεως, πλείονος δὲ αὐτὸν ἠξιῶσθαι δόξης κατὰ*

τὸ ἀνθρώπειον εἴρηκεν. ἐπειδὴ γὰρ καὶ Θεὸς καὶ ἄνθρωπος ὁ δεσπότης Χριστὸς, ἀμφότερα δὲ τῷ ἑνὶ θεωρεῖται προσώπῳ, ἀνάγκη καὶ τὰ ταπεινὰ καὶ τὰ ὑψηλὰ περὶ αὐτοῦ λέγειν εἰς δήλωσιν τῶν δύο φύσεων.

Κυρίλλου. Ἀλλὰ γὰρ οἱ χριστομάχοι τὰ ἐκ πανουργίας εὑρήματα πανταχόθεν ἑαυτοῖς συλλέγοντες εἰς ἐπικουρίαν, καὶ αὐτὰς τὰς θείας συκοφαντοῦσι γραφάς. καὶ δὴ φασὶ τὸν μακάριον Παῦλον Ἀπόστολον καὶ ἀρχιερέα καλέσαι τὸν Ἰησοῦν· ἀποστολὴ δέ φασι καὶ ἱερωσύνη, λειτουργίας εἰσὶ τρόποι. καὶ γοῦν ἀπεστάλησαν μὲν οἱ μαθηταὶ, ἱερατεῦσαι δὲ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ. καὶ εἴπερ ἐν τούτοις ἐστί φασι τὸ τοῦ υἱοῦ μέτρον, πῶς ὁμοούσιος εἶναι δύναται τῷ Θεῷ καὶ Πατρί; ὢ πολλῆς δυστροπίας. ἀποπροσποιοῦνται τὸ εἰδέναι τὴν ἀλήθειαν, καὶ σκοπὸς αὐτοῖς μηδὲν ὑγιὲς φρονεῖν ἢ λέγειν. ὁμολογοῦντες γὰρ μεθ' ἡμῶν, ὅτι καί περ ὑπάρχων ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, κεκένωκεν ἑαυτὸν ἑκὼν, οὐκ ἐπαινοῦσι τῆς μετὰ σαρκὸς οἰκονομίας μυστήριον. ἀκούοντες δὲ τοῦ Ἀποστόλου λέγοντος, "ἀρχιερέα καὶ ἀπόστολον "Ἰησοῦν," οὐκ εἰσδέχονται κατὰ νοῦν ὅτι γεγονὼς καθ' ἡμᾶς ὁ μονογενὴς, ὠνόμασται τότε καὶ Ἰησοῦς, διὰ τῆς τοῦ Ἀγγέλου φωνῆς. τότε κεχρημάτικε καὶ Ἀπόστολος καὶ ἱερεύς. οὐκοῦν ἢ ἀρνείσθωσαν ἐναργῶς, ὅτι γέγονε σὰρξ ὁ Λόγος, τουτέστιν ἄνθρωπος, ἐμψυχωμένον τε καὶ ἔννουν σῶμα λαβὼν, καὶ τότε πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα περιαγέτωσαν εἰς τὸν οἰκεῖον σκοπόν. ἢ εἰ φοβοῦνται τὸ ἀρνεῖσθαι τὸ μυστήριον, θαυμαζέτωσαν μεθ' ἡμῶν, τὸν δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς γεγονότα, μεμενηκότα δὲ καὶ οὕτω Θεόν. τότε γὰρ τὸ τῆς κενώσεως πολυπραγμονοῦντες μέτρον, τὸν αὐτὸν εὑρήσουσι καὶ Ἀπόστολον ἀνθρωπίνως, καὶ κηρυσσόμενον θεϊκῶς παρὰ τῶν ἀπεσταλμένων. τίνα γὰρ ἐκήρυττον τοῖς ἔθνεσιν οἱ μακάριοι μαθηταὶ, καὶ τοῦτο ὡς Θεὸν ἀληθινόν; ἆρ' οὐχὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν; οὐκ ἀπόστολον διὰ τὸ ἀνθρώπινον; οὐκ αὐτὸν ὄντα Θεὸν, ὅτι Λόγος ἦν τοῦ Πατρός; πῶς αὐτὸν ἀρχιερέα γεγονότα θεωρήσομεν; ἆρα κατὰ τὸν Ἀαρών; ἆρα κατὰ τὸν Μωσέως νόμον, τοὺς ἐξ ἀγέλης ἀμνοὺς καταθύοντα τῷ Θεῷ; τρυγόνας προσάγοντα καὶ περιστερὰς, καὶ σεμίδαλιν ἐλαίῳ

βραχεῖ; καίτοι τῶν τοιούτων οὐδὲν πέπραχεν ὁ Ἐμμανουήλ· ἱερατεύει γὰρ ὑπὲρ νόμον· αὐτὸς ἦν τὸ θῦμα, ὁ ἀμνὸς ὁ ἀληθινὸς, ὁ αὐτὸς ὁ ἄμωμός τε καὶ ἄκακος ἀρχιερεὺς, οὐχ ὑπὲρ ἰδίων πλημμελημάτων ἱερουργῶν, κρείσσων γὰρ ἦν ἁμαρτίας ὡς Θεὸς, ἀλλ' ἵνα λύσῃ τὴν ἁμαρτίαν τοῦ κόσμου. γέγονε τοίνυν αὐτὸς τῆς ἰδίας προσφορᾶς ἱερουργός. οὐ γὰρ ἔδει κοινὸν ἄνθρωπον τὴν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς θυσίαν προσενεγκεῖν.

ἌΛΛΩΣ. Τί φησιν ὁ μακάριος Παῦλος, δοκιμάσωμεν ἀκριβέστερον. "κατανοήσατε τὸν Ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν." τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· τί τοίνυν ἱερουργεῖ ἑαυτῷ καὶ τῷ Πατρὶ, "πιστεύομεν γὰρ εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, πάντων ὁράτων τε καὶ ἀοράτων ποιητὴν, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ." οὐκοῦν οἱ λέγοντες ὅτι γέγονεν ἱερεὺς, διά τε τοῦτο σκανδαλιζόμενοι, διδασκέτωσαν ἡμᾶς ποῖος ἱερεὺς ἑαυτῷ ποιεῖται τὴν ἱερουργίαν, ἑαυτῷ προσφέρει τὴν θυσίαν· ποῖος ἱερεὺς ἐν ἴσῃ τάξει καὶ ἐν δόξῃ φαίνεται τῷ παρ' αὐτοῦ δεχομένῳ τὴν λειτουργίαν. ἀλλὰ καίτοι γεγονὼς ἀρχιερεὺς ὁ Υἱὸς διὰ τὸ ἀνθρώπινον, ἑαυτῷ προσκεκόμικε, καὶ δι' ἑαυτοῦ τῷ Πατρὶ τὴν ὁμολογίαν ἡμῶν, καὶ ἐν τοῖς τῆς θεότητος ὁρᾶται θρόνοις. καὶ πιστώσεται γράφων ὁ Παῦλος, "κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις. τοιοῦτον ἔχομεν ἀρχιερέα ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος." οὐκοῦν ἱερατεύει μὲν ἀνθρωπίνως ὅτι γέγονεν ἄνθρωπος, συνεδρεύει δὲ θεϊκῶς ὅτι μεμένηκε Λόγος.

ἈΘΑΝΑΣΊΟΥ ΚΑΤᾺ ἈΡΕΙΑΝΩ͂Ν. Εἶδ' ὅτι γέγραπται "πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν," ταράττει πάλιν αὐτοὺς νομίζοντας ὡς ἐπὶ πάντων λέγεσθαι καὶ ἐπ' αὐτοῦ τὸ πιστὸν, ὅτι πιστεύων ἐκδέχεται τῆς πίστεως τὸν μισθὸν, ὥρα δὲ καὶ διὰ τοῦτο πάλιν αὐτοὺς ἐγκαλεῖν Μωϋσεῖ μὲν λέγοντι, "Θεὸς πιστὸς καὶ ἀληθινός·" Παύλῳ δὲ γράφοντι, "πιστὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε." ἀλλὰ ταῦτα λέγοντες οἱ ἅγιοι, οὐκ ἀνθρώπινα περὶ Θεοῦ διενοοῦντο, ἀλλ' ἐγίνωσκον διπλοῦν εἶναι τὸν

νοῦν ἐν τῇ Γραφῇ περὶ τοῦ πιστοῦ· τὸ μὲν ὡς πιστεύοντος, τὸ δὲ, ὡς ἀξιοπίστου. καὶ τὸ μὲν, ἐπ' ἀνθρώπων· τὸ δὲ, ἐπὶ Θεοῦ ἁρμόζειν. πιστὸς γοῦν ὁ Ἀβραὰμ ὅτι τῷ λαλοῦντι πεπίστευκε Θεῷ. πιστὸς δὲ ὁ Θεὸς, ὅτι καθὼς ψάλλει Δαβὶδ, πιστός ἐστιν ἐν τοῖς λόγοις αὐτοῦ ὁ Κύριος, καὶ ἀξιόπιστος, καὶ ἀδύνατον αὐτὸν ψεύσασθαι. καὶ πιστὸς ὁ λόγος, ὅτι ὃ εἴρηκεν ὀφείλει πιστεύεσθαι. ἀληθὲς γάρ ἐστι καὶ οὐκ ἔστιν ἄλλως. καὶ τὸ γεγράφθαι τοίνυν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, οὐ πρὸς ἄλλους ἔχει τὴν ὁμοιότητα, οὐδ' ὅτι πιστεύων εὐάρεστος γέγονεν· ἀλλ' ὅτι Υἱὸς ὢν τοῦ ἀληθινοῦ Θεοῦ, πιστός ἐστι, καὶ αὐτὸς ὀφείλων πιστεύεσθαι ἐν οἷς ἂν λέγῃ καὶ ποιῇ, αὐτὸς ἄτρεπτος μένων καὶ μὴ ἀλλοιούμενος ἐν τῇ ἀνθρωπίνῃ οἰκονομίᾳ καὶ τῇ ἐνσάρκῳ οἰκονομίᾳ καὶ τῇ ἐνσάρκῳ παρουσίᾳ.

Οὕτως μὲν οὖν ἄντις πρὸς τὴν ἀναίδειαν χωρῶν, δύναται καὶ ἐκ μόνης τῆς "ἐποίησε" λέξεως διελέγχειν αὐτοὺς πλανωμένους καὶ νομίζοντας ποίημα εἶναι τὸν τοῦ Θεοῦ Λόγον. ἐπειδὴ δὲ καὶ ἡ διάνοια τῶν γεγραμμένων ἐστὶν ὀρθὴ δεικνύουσα τὴν "ἐποίησε" λέξιν πότε καὶ πρὸς τίνα λεγομένη σημαίνεται, ἀναγκαῖον καὶ ἐξ αὐτῆς δεῖξαι τῶν αἱρετικῶν τὴν ἀλογίαν, ἐὰν μάλιστα κἀνταῦθα τὸν καιρὸν καὶ τὴν χρείαν λάβωμεν. οὐ τοίνυν τὰ πρὸ τῆς κτίσεως διηγούμενος ὁ Ἀπόστολος ταῦτα εἴρηκεν, ἀλλ' ὅτε ὁ Λόγος σὰρξ ἐγένετο. "κατανοήσατε" γάρ φησι, "τὸν Ἀπόστολον καὶ ἀρχιερέα "τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν." πότε οὖν ἀπεστάλη, ἢ ὁπηνίκα τὴν ἡμετέραν ἐνεδύσατο σάρκα; πότε δὲ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν γέγονεν, ἢ ὅτε προσενέγκας ἑαυτὸν ὑπὲρ ἡμῶν, ἤγειρεν ἐκ νεκρῶν τὸ σῶμα; καὶ νῦν αὐτὸς τοὺς προσερχομένους αὐτὸν τῇ πίστει προάγει, καὶ προσφέρει τῷ Πατρὶ, λυτρούμενος πάντας, καὶ ὑπὲρ πάντων ἱλασκόμενος τὰ πρὸς τὸν Θεόν; οὐ τὴν οὐσίαν ἄρα τοῦ Λόγου, οὐδὲ τὴν ἐκ τοῦ Πατρὸς αὐτοῦ φύσιν, γέννησιν σημαίνειν θέλων ὁ Ἀπόστολος εἴρηκε, "πιστὸν "ὄντα τῷ ποιήσαντι αὐτὸν," μὴ γένοιτο· ποιῶν, γάρ ἐστιν ὁ λόγος, οὐ ποιούμενος αὐτὸς, ἀλλὰ τὴν εἰς ἀνθρώπους αὐτοῦ κάθοδον καὶ ἀρχιερωσύνην γενομένην, ἣν καλῶς ἄν τις ἴδοι ἐκ τῆς κατὰ τὸν νόμον καὶ τὸν Ἀαρὼν ἱστορίας· οὕτως ὁ Ἀαρὼν οὐ γεγένηται ἀρχιερεὺς, ἀλλὰ καὶ ἄνθρωπος καὶ μετὰ χρόνον, ὅτε ὁ Θεὸς ἠθέλησε,

γέγονεν ἀρχιερεύς, καὶ γέγονεν οὐχ ἁπλῶς, οὐδὲ ἐκ τῶν συνήθων ἱματίων γνωριζόμενος, ἀλλ' ἐπενδυδισκόμενος τὴν ἐπωμίδα, τὸ λογεῖον, τὸν ποδήρη, ἃ αἱ γυναῖκες μὲν εἰργάσαντο προστάξει τοῦ Θεοῦ· ἐν τούτοις δὲ εἰσερχόμενος εἰς τὰ ἅγια, τὴν ὑπὲρ τοῦ λαοῦ θυσίαν προσέφερε, καὶ ἐν τούτοις ὥσπερ ἐμεσίτευε τῇ ὀπτασίᾳ τοῦ Θεοῦ καὶ ταῖς τῶν ἀνθρώπων θυσίαις.

Οὕτω τοίνυν καὶ ὁ Κύριος, ἐν ἀρχῇ μὲν ἦν ὁ Λόγος, ὅτε δὲ ἠθέλησεν ὁ Πατὴρ ὑπὲρ πάντων λύτρα δοθῆναι, καὶ πᾶσι χαρίσασθαι, τότε δὴ ὁ Λόγος ὡς Ἀαρὼν τὸν ποδήρη, οὕτω καὶ αὐτὸς ἔλαβε τὴν ἀπὸ γῆς σάρκα· Μαρίαν ἀντὶ τῆς ἀνεργάτου γῆς ἐσχηκὼς μητέρα τοῦ σώματος, ἵνα ἔχων τὸ προσφερόμενον, αὐτὸς ὡς ἀρχιερεὺς ἑαυτὸν προσενέγκῃ τῷ Πατρὶ, καὶ τῷ ἰδίῳ αἵματι πάντας ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν καθαρίσῃ, καὶ ἀπὸ τῶν νεκρῶν ἀναστήσῃ. τούτου γὰρ αὖ τὰ παλαιὰ σκιά. καὶ ὅπερ ἐλθὼν πεποίηκεν ὁ Σωτὴρ, τοῦτο κατὰ τὸν νόμον σκιαγραφεῖ ὁ Ἀαρών. ὁ αὐτὸς γὰρ ὢν οὐκ ἠλλάσσετο περιτιθέμενος τὴν ἱερατικὴν ἐσθῆτα, ἀλλὰ μένων ὁ αὐτὸς, ἐκαλύπτετο μόνον. καὶ εἰ ἔλεγέ τις ἑωρακὼς αὐτὸν προσφέροντα, ἰδοὺ γέγονε σήμερον ὁ Ἀαρὼν ἀρχιερεὺς, οὐκ ἐσήμαινεν αὐτὸν ἄνθρωπον τότε γεγενῆσθαι, ἦν γὰρ καὶ πρὸ τοῦ ἀρχιερέα γενέσθαι ἄνθρωπος, ἀλλ' ὅτι τῇ λειτουργίᾳ πεποίηται ἀρχιερεὺς περιθέμενος τὰ πεποιημένα καὶ κατασκευασθέντα ἱμάτια τῇ ἱερατείᾳ· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ Κυρίου δυνατόν ἐστι καλῶς νοεῖν, ὡς οὐκ ἄλλως γέγονε τὴν σάρκα λαβὼν, ἀλλ' ὁ αὐτὸς ὢν, ἐκαλύπτετο ταύτῃ. καὶ τὸ γέγονε καὶ τὸ πεποίηται, οὐχ ὅτι ὁ Λόγος ᾗ Λόγος ἐστὶ, πεποίηται νοεῖν θέμις, ἀλλ' ὅτι Λόγος ὢν δημιουργὸς, ὕστερον πεποίηται ἀρχιερεὺς, ἐνδυσάμενος σῶμα τὸ γεννητὸν καὶ ποιητὸν, ὅπερ καὶ προσενεγκεῖν ὑπὲρ ἡμῶν δύναται. διὸ καὶ λέγεται πεποιῆσθαι. τίς γοῦν ἰδὼν τὸν Κύριον ἄνθρωπον περιπατοῦντα, καὶ Θεὸν ἐκ τῶν ἔργων δεικνύμενον, οὐκ ἂν ἠρώτησε, τίς ἐποίησε τοῦτον ἄνθρωπον, καὶ ἀπέστειλεν ἡμῖν ἀρχιερέα; τὴν δὲ τοιαύτην διάνοιαν καὶ τὸν καιρὸν καὶ τὸ πρόσωπον, αὐτὸς ὁ Ἀπόστολος ὁ καὶ γράψας "πιστὸν ὄντα τῷ ποιήσαντι "αὐτὸν," δηλῶσαι μᾶλλον ἱκανός ἐστιν. εἰπὼν γὰρ ὅτι παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς, καὶ σπέρματος Ἀβραὰμ ἐπελάβετο, μετὰ ταῦτα ἐπήγαγεν, ὅτι Ἀπόστολος γέγονε καὶ

ἀρχιερεύς. οὐκοῦν εἰκότως τὴν σωματικὴν τοῦ Λόγου παρουσίαν διηγούμενος, ἔφησεν "ἀπόστολον καὶ πιστὸν ὄντα τῷ ποιήσαντι "αὐτόν·" δεικνὺς ὅτι καὶ ἄνθρωπος γενόμενος Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, ἀναλλοίωτός ἐστι.

Διὸ καὶ ὡς περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ, διὰ τῆς ἀρχιερωσύνης μνημονεύει γράφων· οὕτω πάλιν οὐκ ἐσιώπησε μακρὰν, ἀλλ' εὐθὺς, περὶ τῆς θεότητος αὐτοῦ μνημονεύει πανταχοῦ τῆς ἀσφαλείας γινόμενος, ἔνθα μάλιστα τὸ ταπεινὸν ὀνομάζει, ἵν' εὐθὺς αὐτοῦ τὴν ὑψηλότητα καὶ τὴν πατρικὴν μεγαλειότητα γινώσκωμεν. φησὶ γοῦν ὅτι ὁ μὲν Μωϋσῆς θεράπων, ὁ δὲ Χριστὸς Υἱός· κἀκεῖνος μὲν πιστὸς εἰς τὸν οἶκον, οὗτος δὲ ἐπὶ τὸν οἶκον· ὡς αὐτὸς αὐτὸν κατασκευάσας, καὶ Κύριος αὐτοῦ καὶ δημιουργὸς ὑπάρχων, καὶ ὡς Θεὸς ἁγιάζων αὐτόν. ὁ μὲν γὰρ Μωσῆς, ἄνθρωπος φύσει ὢν, πιστὸς ἐγένετο· πιστεύων τῷ διὰ τοῦ λόγου λαλοῦντι αὐτῷ Θεῷ· ὁ δὲ Λόγος, οὐχ ὥσπερ τις τῶν γενητῶν ἦν ἐν σώματι, οὐδὲ ὡς κτίσμα ἐν κτίσματι, ἀλλὰ Θεὸς ἐν σαρκὶ, καὶ δημιουργὸς καὶ κατασκευαστὴς ἐν τῷ κατασκευασθέντι ὑπ' αὐτοῦ. καὶ οἱ μὲν ἄνθρωποι ἕνεκα τοῦ εἶναι καὶ ὑφεστάναι σάρκα περιβέβληνται, ὁ δὲ τοῦ Θεοῦ Λόγος ἕνεκεν τοῦ ἁγιάζειν τὴν σάρκα γενόμενος ἄνθρωπος καὶ Κύριος ὢν, ἐν τῇ μορφῇ τοῦ δούλου ἦν. δούλη γὰρ τοῦ Λόγου πᾶσα ἡ κτίσις δι' αὐτοῦ γενομένη καὶ ποιηθεῖσα. ἐκ δὲ τούτου συνέστηκεν ὅτι καὶ τὸ λεγόμενον παρὰ τῷ Ἀποστόλῳ "ἐποίησεν," οὐ ποιούμενον δείκνυσι τὸν Λόγον, ἀλλ' ὅπερ ἔλαβεν ὅμοιον ἡμῶν σῶμα· διὸ καὶ ἀδελφὸς ἡμῶν ἐχρημάτισε γενόμενος. εἰ δὲ δέδεικται ὅτι κἂν ἐπ' αὐτοῦ τοῦ Λόγου τίς λέγῃ τὸ "ἐποίησεν," ἀντὶ τοῦ ἐγέννησε λέγει, ποίαν ἄρα παρεξευρεῖν ἐπίνοιαν εἰς τοῦτο δυνήσονται, ὅπου γε πανταχόθεν ὁ λόγος τὸ ῥητὸν διακαθάρας, ἔδειξε μὴ εἶναι ποίημα τὸν Υἱὸν, ἀλλὰ τῇ μὲν οὐσίᾳ γέννημα τοῦ Πατρὸς, τῇ δὲ οἰκονομίᾳ, κατ' εὐδοκίαν τοῦ Πατρὸς ἐποιήθη δι' ἡμᾶς ἄνθρωπος.

Κυρίλλου Θησαυρικῶν κα'. Δέδεικται τοίνυν ὅτι οὐ τὴν τοῦ Λόγου φύσιν ὁ Ἀπόστολος ἐξηγούμενος τοιαῦτα φησὶν, ἀλλὰ μετὰ τὴν τῆς σαρκὸς οἰκονομίαν. πότε γὰρ γέγονεν ἀρχιερεὺς καὶ Ἀπόστολος τῆς ὁμολογίας ἡμῶν καὶ πιστὸς τῷ ποιήσαντι αὐτὸν, ἢ ὅτε δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν γέγονεν ἄνθρωπος; τότε τῷ ποιή-

σαντι αὐτὸν ὡς ἄνθρωπος καὶ πιστὸς ἐγένετο, πληρῶν αὐτοῦ τὸ ἔργον καθάπερ αὐτὸς ἔλεγε· τότε γέγονεν Ἀπόστολος ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ἀποσταλείς· τότε γέγονε τῆς ὁμολογίας ἡμῶν ἀρχιερεὺς προσφέρων τῆς πίστεως ἡμῶν τὴν ὁμολογίαν τῷ Πατρὶ, καὶ τὸ ἴδιον σῶμα καθάπερ τι θῦμα προσάγων ἄμωμον, ἵνα πάντας ἡμᾶς δι' αὐτοῦ καθαρίσῃ. ἂν τοίνυν λέγηται περὶ αὐτοῦ τοῦ Υἱοῦ ὅτι γέγονε πιστὸς, καὶ Ἀπόστολος καὶ ἀρχιερεὺς, μὴ κατὰ τῆς οὐσίας αὐτοῦ φερέσθω τὸ ῥῆμα, ἀλλὰ κατὰ τῆς τῶν πραγμάτων ποιότητος· ἐπειδὴ καὶ Παῦλος ἄνθρωπος ὢν, καὶ ὑπάρχων ἤδη, γέγονεν Ἀπόστολος, καὶ Μωσῆς ὡσαύτως γέγονε πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ Ἀαρὼν ὡσαύτως γέγονεν ἀρχιερεὺς ἐν ἑαυτῷ, καὶ πάλιν τὸν Σωτῆρα μορφῶν. ὅν περ γὰρ τρόπον ὁ Ἀαρὼν, οὐκ ἐγεννήθη μὲν ἀρχιερεὺς, πολλοῖς δὲ ὕστερον χρόνοις τοῦτο γέγονε, τὸν ποδήρη περιβαλλόμενος, καὶ τὴν ἐπωμίδα, καὶ τὰ ἄλλα τῆς ἱερατικῆς ἐσθῆτος σχήματα, ἅπερ ἦν ἔργα γυναικῶν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ Χριστοῦ. ἦν μὲν γὰρ ὁ Λόγος ἐν ἀρχῇ, πολλῷ δὲ ὕστερον χρόνῳ γέγονεν ὑπὲρ ἡμῶν ἀρχιερεὺς, ὥσπέρ τινα ποδήρη, τὸν ἐκ γυναικὸς ἄνθρωπον ἤτοι ναὸν ἀναλαβὼν, ἵνα τῷ ἰδίῳ αἵματι καθαρίσῃ τὸν λαὸν, ἑαυτὸν προσενεγκὼν ὡς ἀμνὸν ἄμωμον τῷ Θεῷ· "οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ "στόματι αὐτοῦ."

Γρηγορίου Νύσσης κατὰ Εὐνομίου. Ὥσπερ ἐνταῦθα τῷ ἰδίῳ αἵματι περὶ τῶν ἁμαρτιῶν ἡμῶν ἱερατικῶς ἱλεωσάμενον ἀρχιερέα κατονομάσας ὁ Παῦλος τὸν Κύριον, οὐ τὴν πρώτην τοῦ μονογενοῦς ὑπόστασιν διὰ τῆς "ἐποίησε" λέξεως καταγγέλλει, ἀλλὰ τὴν συνήθως ἐπὶ τῆς τῶν ἱερέων ἀναδείξεως ὀνομαζομένην χάριν παραστῆσαι θέλων, φησὶ τὸ "ἐποίησεν·" Ἰησοῦς γὰρ, καθώς φησι Ζαχαρίας, ὁ ἱερεὺς ὁ μέγας, ὁ τὸν ἴδιον ἀμνὸν, τουτέστι τὸ ἴδιον σῶμα ὑπὲρ τῆς κοσμικῆς ἁμαρτίας ἱερουργήσας, ὁ διὰ τὰ παιδία τὰ κεκοινωνηκότα σαρκὸς καὶ αἵματος καὶ αὐτὸς παραπλησίως συμμετασχὼν τοῦ αἵματος, οὐ καθὸ ἦν ἐν ἀρχῇ, ἀλλὰ καθὸ ἐκένωσεν ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ, καὶ προσήγαγε προσφορὰν καὶ θυσίαν ὑπὲρ ἡμῶν, οὗτος ἐγένετο ἱερεὺς πολλαῖς ὕστερον γενεαῖς κατὰ τὴν τάξιν Μελχισεδέκ.

Κυρίλλου Θησαυρικῶν λβ΄. Ἀλλ' ἀκουέτωσαν οἱ Χριστομά-

χοι, ὅτι ὁ μακάριος Ἀπόστολος οὐκ ἐν ἴσῳ μέτρῳ τὸν ποιηθέντα τῷ πεποιηκότι τιμᾶσθαι δεῖν ἐκδιδάσκων, δῆλος ἂν εἴη δήπουθεν οὐκ ἐπιτρέπων ἐν ποιήμασι κατατάττεσθαι τὸν Υἱόν. "πλείονα "γάρ," φησι, "τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν." καὶ τίς ὁ τόδε τὸ σύμπαν τεχνησάμενος, λεγέτω πάλιν αὐτὸς περὶ τοῦ Υἱοῦ, ὅτι "δι' αὐτοῦ ἐκτίσθη τὰ πάντα, τὰ ὁρατὰ καὶ "τὰ ἀόρατα." πῶς οὖν ἐν ποιήμασιν ὁ ποιητής; καὶ εἰ ἐν τοῖς πᾶσι καὶ αὐτὸς ὁ χρόνος ἐστὶ καὶ ἓν τῶν πάντων· ἔστι δὲ πρὸ πάντων αὐτὸς δηλονότι καὶ τοῦ χρόνου πρεσβύτερος ὁ Υἱός. "δι' "αὐτοῦ," γάρ φησιν, "ἐποίησε τοὺς αἰῶνας." πῶς οὖν ὁ πρὸ αἰώνων ἐν τοῖς ἐν χρόνῳ γενομένοις συναριθμεῖται; ἐπεὶ καὶ πᾶν ὅπερ ἂν εἴη ποιηθὲν ὡς ἐν γενέσει, τοῦτο πάντως ἔσται καὶ ἐν χρόνῳ τοῦ εἶναι ἀρξάμενον, εἴπερ μόνῃ σώζεται τὸ ἀΐδιον τῇ θείᾳ καὶ ἀκηράτῳ φύσει.

5 Καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς
6 θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων· Χριστὸς
δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν ἡμεῖς ἐάν
περ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι
τέλους βεβαίαν κατάσχωμεν.

Χρυσοστόμου. Εἰρηκὼς ἀδελφοὶ κλήσεως οὐρανίου μέτοχοι, καὶ παιδεύσας μηδὲν ἐνταῦθα ζητεῖν, εἰ ἐκεῖ κέκληνται, ἐκεῖ ὁ μισθὸς, ἐκεῖ ἡ ἀνταπόδοσις. εἶτα προτρεψάμενος κατανοῆσαι Χριστὸν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ἀρχιερέα, τουτέστιν εὐνοϊκὸν, προϊστάμενον τῶν αὐτοῦ, οὐκ ἐῶντα φέρεσθαι ἁπλῶς, καὶ μονονουχὶ φήσας, γνῶτε τίς ἐστιν ἀρχιερεὺς καὶ ποταπὸς, καὶ οὐ δεήσεσθε παραμυθίας ἑτέρας οὐδὲ παρακλήσεως· καὶ ἀρχιερέα καλέσας αὐτὸν τῆς πίστεως ἡμῶν, καὶ ἀπόστολον διὰ τὸ ἀπεστάλθαι ὑπὲρ ἡμῶν, ὑπερτίθησι νῦν αὐτὸν τοῦ Μωσέως, τοσαύτην δεικνὺς τὴν ὑπεροχὴν, ὅσον υἱοῦ πρὸς δοῦλον. γνησιότητα δὲ πάλιν διὰ τῆς υἱοῦ προσηγορίας αἰνίττεται. εἶδες πῶς ποιήματα καὶ ποιητὴν διΐστησι, πῶς δοῦλον καὶ υἱόν· ἐκεῖνος μέν φησιν, εἰς τὰ πατρῷα ὡς δεσπότης εἰσέρχεται, οὗτος δὲ ὡς δοῦλος. καὶ οὗτος φησὶ λαὸν ἐγχειρίζεται, καθάπερ ἐκεῖνος προστασίαν λαοῦ, ἀλλὰ

μείζων καὶ ἐπὶ μείζονι. καὶ ὁ μὲν, ὡς θεράπων, ὁ δὲ, ὡς Υἱός. ὁ μὲν γὰρ ἀλλοτρίων κήδεται, οὗτος δὲ τῶν αὐτοῦ. εἶτα προτρέπεται πάλιν αὐτοὺς ἑστάναι γενναίως, καὶ μὴ καταπίπτειν· οἶκος γάρ, φησιν, ἐσόμεθα τοῦ Θεοῦ, ὅπερ ἦν Μωϋσῆς, ἐὰν τὸ καύχημα μέχρι τέλους φυλάξωμεν. ὁ μέν τοι ἀλγῶν φησιν ἐν τοῖς πειρασμοῖς καὶ καταπίπτων, οὐ καυχᾶται· ὁ αἰσχυνόμενος, ὁ κρυπτόμενος, παρρησίαν οὐκ ἔχει, ὁ ἀλύων, οὐ καυχᾶται· οὐ μὴν ἀλλὰ καὶ ἐγκωμιάζει αὐτούς. εἰπὼν γὰρ "ἐὰν βεβαίαν κατάσχωμεν τὴν "παρρησίαν," ἔδειξεν ὅτι ἤρξαντο. δεῖ δὲ τοῦ τέλους, καὶ οὐχ ἁπλῶς ἑστάναι, ἀλλὰ βεβαίαν ἔχειν τὴν ἐλπίδα, οὐ πληροφορίᾳ πίστεως, μὴ σαλευομένους ὑπὸ τῶν πειρασμῶν.

Καλῶς *εἶπε "τὸ καύχημα τῆς ἐλπίδος·" ἐπειδὴ γὰρ πάντα ἐν ἐλπίσιν ἦν τὰ ἀγαθὰ, οὕτω δὲ αὐτὴν δεῖ κατέχειν ὡς ἤδη καυχᾶσθαι ἐπιγεγενημένην, διὰ τοῦτο φησὶ "τὸ καύχημα τῆς "ἐλπίδος." τῇ γὰρ ἐλπίδι ἐσώθημεν. οὐκοῦν μὴ ἀσχάλλωμεν ἐπὶ τοῖς παροῦσι, μηδὲ ἤδη ζητῶμεν τὰ μετὰ ταῦτα ἐπαγγελθέντα. ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ἐπειδὴ γὰρ μεγάλα ἐστὶ τὰ ἀγαθὰ, ἐνταῦθα λαβεῖν αὐτὰ οὐ δυνάμεθα, ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ. τίνος οὖν ἕνεκεν καὶ προεῖπεν ἡμῖν; οὐ μέλλων αὐτὰ ἐνταῦθα διδόναι, ἵνα τῇ ἐπαγγελίᾳ τὰς ψυχὰς ἀνακτήσηται. τί δέ ἐστιν "εἰς μαρτύριον τῶν λαληθησομένων; τουτέστιν ἵνα ὦσι μάρτυρες ὅταν ἀναισχυντῶσιν αὐτοί. τί λέγεις; μαρτυρίαν ἀνθρώπου λαμβάνει ὁ Θεός; καὶ πάνυ. εἰ γὰρ οὐρανὸν μαρτύρεται καὶ γῆν, καὶ βουνοὺς, λέγων διὰ τοῦ προφήτου, "ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου "ἡ γῆ, ὅτι* Κύριος *ἐλάλησε," καὶ "ἀκούσατε φάραγγες, θεμέλια "τῆς γῆς, ὅτι κρίσις τῷ* Κυρίῳ *πρὸς τὸν λαὸν αὐτοῦ," πολλῷ μᾶλλον ἀνθρώπους.*

Θεοδωρίτου. *Σὺ δέ μοι ἐπισήμηναι, ὅτι ἀπὸ τῆς παλαιᾶς γραφῆς τὰ ὀνόματα τέθεικε. καὶ γὰρ τὸν* Μωϋσῆν *θεράποντα κέκληκεν ὁ* Θεός. "Μωϋσῆς," *γάρ φησιν, "ὁ θεράπων μου τετε- "λεύτηκε," καὶ πάλιν, "οὐχ οὕτως ὡς ὁ θεράπων μου* Μωϋσῆς." *καὶ αὐτὸν δὲ τὸν δεσπότην* Χριστὸν Υἱὸν *ἡ παλαιὰ καλεῖ γραφή. "τί ὄνομα αὐτῷ, ἢ τί ὄνομα τῷ* Υἱῷ *αὐτοῦ;" καὶ "*Υἱός *μου εἶ "σὺ, ἐγὼ σήμερον γεγέννηκά σε." γινώσκετε τοίνυν φησὶν τούτου*

κἀκείνου τὸ μέσον. ὁ μὲν γὰρ θεράπων, ὁ δὲ Υἱὸς, καὶ ἐκεῖνος μὲν πιστὸς ἐκλήθη, ἵνα δειχθῇ ἀξιόχρεως νομοθέτης. τοῦτο γὰρ εἶπεν εἰς μαρτύριον τῶν λαληθησομένων. ὁ δὲ Χριστὸς, ὡς Υἱὸς καλεῖται πιστός. εἰ δὲ εὐτελείας τήνδε τὴν προσηγορίαν οἱ αἱρετικοὶ σημαντικὴν εἶναι νομίζουσιν, ἀκουέτωσαν τοῦ Ἀποστόλου περὶ τοῦ Θεοῦ καὶ Πατρὸς λέγοντος. "πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς "κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ·" καὶ τοῦ Δαβὶδ, "πιστὸς Κύριος ἐν "πᾶσι τοῖς λόγοις αὐτοῦ." καὶ πάλιν· "καὶ ὁ μάρτυς ἐν οὐρανῷ "πιστός. καὶ ὁ Μωσῆς δὲ οὕτω λέγει· "Θεὸς πιστὸς, καὶ οὐκ "ἔστιν ἀδικία ἐν αὐτῷ." οἶκον δὲ τοῦ Θεοῦ κέκληκε τοὺς πιστεύοντας κατὰ τὴν προφητείαν τὴν λέγουσαν, "ἐνοικήσω ἐν αὐτοῖς "καὶ ἐμπεριπατήσω." ταύτης δέ φησιν ἀπολαυσόμεθα τῆς τιμῆς, ἐὰν τὴν παρρησίαν ἧς τετυχήκαμεν, καὶ τὴν ἀξιέραστον ἐλπίδα διὰ τῶν τῆς ἀρετῆς κατορθωμάτων διατηρήσωμεν.

Κυρίλλου Θησαυρικῶν λβ΄. Ἀκουέτωσαν δὲ πάλιν Ἀρειανοὶ, ὡς ὁ θεῖος Παῦλος ἀπὸ τῶν ὀνομάτων καὶ τῶν ἀποτελεσμάτων τῆς ὑπεροχῆς ποιεῖται τὴν σύγκρισιν, καὶ τῆς οὐσιώδους, ἵν' οὕτως εἴπω, ποιότητος τὴν διαφορὰν δεικνύει, ἣν ἔχει Χριστὸς καὶ πρὸς Μωσέα, καὶ δι' αὐτοῦ πρὸς πάντα τὰ πεποιημένα. τρέχει γὰρ ὁ λόγος εἰς τουτὶ τὸ συμπέρασμα. εἰ τοίνυν ὁ μὲν, ὡς θεράπων καὶ ὑπὸ ζυγὸν δουλείας καὶ δοῦλος, ὁ δὲ ὡς Υἱὸς καὶ κατὰ φύσιν ἐλεύθερος ὡς Θεὸς, καὶ ὁ μὲν ὡς οἰκέτης ἐν τῷ οἴκῳ πιστὸς, ὁ δὲ ὡς κληρονόμος, οὐκ ἐν τῷ οἴκῳ ἀλλ' ἐπὶ τὸν οἶκον αὐτοῦ, τουτέστιν ἡμᾶς. καὶ ὁ μὲν ἐν τοῖς κατεσκευασμένοις, καὶ ἐν ποιήμασιν, ὁ δὲ τῶν ὅλων κατασκευαστής. πῶς ὁ Θεὸς ἀληθινὸς ἀνενδοιάστως ἐστί; πῶς δὲ ἔσται ὁμογενὴς, ὁ τοσοῦτον αὐτοῦ διενεγκών; ὁ δὲ Μωσεῖ μήτε ὁμογενὴς ὑπάρχων γενητῆς ὄντι φύσεως, μήτε μὴν ἄλλως ὁμόδουλος, οὐκ ἂν ἑτέρῳ τινὶ κατὰ τὸν τῆς φύσεως λόγον ὡς ὁμοφυὴς συντάττοιτο. πρὸς γὰρ τὰ πεποιημένα καὶ οὐ πρὸς Μωσέα πάντως ἡ σύγκρισις, εἰ καὶ τὸ Μωσέως πρόσωπον ἐπὶ τοῦ παρόντος ἐξετάζεται. ἔτι εἰ ὁ Θεός ἐστιν ὁ ἐν προφήταις εἰπὼν, "ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν "Θεὸς, καὶ αὐτοὶ ἔσονταί μου λαὸς," πῶς νῦν ἡμεῖς οἶκος ἐσμὲν τοῦ Υἱοῦ, εἴπερ μὴ ἔστι φύσει Θεός; ἀλλ' εὐχόμεθα, καθά φησιν ὁ Παῦλος, κατοικῆσαι τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον, καὶ

οἶκος τοῦ Θεοῦ ἐσμέν τε καὶ χρηματίζομεν. Θεὸς ἄρα ὁ Χριστός. εἰ δὲ τοῦτο, οὐ ποίημα. ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς Χριστομάχους.

Χρυσοστόμου. *Ὁ μέν τοι Παῦλος διαλεχθεὶς περὶ ἐλπίδος, καὶ εἰπὼν ὅτι "οἶκος αὐτοῦ ἐσμὲν, ἐὰν τὴν ἐλπίδα βεβαίαν κατάσχωμεν," δείκνυσι λοιπὸν ὅτι βεβαίως χρὴ προσδοκᾷν, καὶ τοῦτο πιστοῦται ἀπὸ τῶν γραφῶν. προσέχετε δὲ, δυσκολώτερον γάρ πως αὐτὸ ἔφρασε. διὸ χρὴ τὰ παρ' ἡμῶν εἰπόντας καὶ συντομώτερον τὴν πᾶσαν ὑμᾶς ὑπόθεσιν διδάξαντας, οὕτως ἐπαφεῖναι τὸν λόγον τοῖς γεγραμμένοις· οὐκέτι γὰρ ἡμῶν δεηθήσεσθε, ἐὰν τὸν ἀποστολικὸν σκοπὸν μάθητε. περὶ ἐλπίδος ἦν αὐτῷ ὁ λόγος, καὶ ὅτι χρὴ ἐλπίζειν τὰ μέλλοντα, καὶ ὅτι ἔσται τοῖς ἐνταῦθα πονήσασι, μισθός τις καὶ καρπὸς καὶ ἀνάπαυσις. τοῦτο οὖν ἀπὸ τοῦ προφήτου δείκνυσι, καὶ τί φησιν;*

7 Διὸ καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον, σήμερον, ἐὰν
8 τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας
ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, ἐν τῇ ἡμέρᾳ τοῦ πει-
9 ρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν,
ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη.
10 διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶν-
ται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου·
11 ὡς ὤμοσα ἐν ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατά-
παυσίν μου.

Θεοδωρίτου. *Ἐπειδὴ τῆς ἐλπίδος ἐμνήσθη, ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπὶς, ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; ὑπέσχετο δὲ ἡμῖν ὁ δεσπότης τὴν βασιλείαν τῶν οὐρανῶν, σύγκρισιν πάλιν ποιεῖται τῶν Ἰουδαίοις δεδομένων, καὶ τῶν ἡμῖν ἐπηγγελμένων. καὶ τέθηκε μὲν τὴν μαρτυρίαν δεδιττόμενος δῆθεν αὐτοὺς, ἵνα φυλάξωσι διὰ σπουδῆς τὴν δεδομένην ἐλπίδα. πλὴν ἕτερον κατασκευάζει ἀνυπόπτως πάλιν μεθοδεύων τὸν λόγον, ἐπιμένει δὲ τῇ παραινέσει.*

Χρυσοστόμου. *Τρεῖς μέν τοι φησὶ καταπαύσεις εἶναι, μίαν τὴν τοῦ σαββάτου, ἐν ᾗ ὁ Θεὸς κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· δευτέραν τὴν τῆς Παλαιστίνης εἰς ἣν εἰσελθόντες οἱ*

Ἰουδαῖοι, ἔμελλον ἀναπαύεσθαι ἀπὸ τῆς πολλῆς ταλαιπωρίας καὶ τῶν πόνων· τρίτην, τὴν ὄντως ἀνάπαυσιν τὴν βασιλείαν τῶν οὐρανῶν, ἧς οἱ τυχόντες ἀναπαύονται ὄντως τῶν πόνων καὶ τῶν μόχθων. τῶν τριῶν τοίνυν ἐνταῦθα μέμνηται, καὶ τίνος ἕνεκεν περὶ τῆς μιᾶς διαλεγόμενος τῶν τριῶν ἐμνημόνευσεν; ἵνα δείξῃ τὸν προφήτην περὶ ταύτης λέγοντα. περὶ μὲν γὰρ τῆς πρώτης, οὐκ εἶπε φησὶ, πῶς γὰρ τῆς πάλαι γεγενημένης; ἀλλ' οὐδὲ περὶ τῆς δευτέρας τῆς ἐν Παλαιστίνῃ. πῶς γάρ; "οὐ γὰρ εἰσελεύσονται," φησὶν, "εἰς τὴν κατάπαυσίν μου." λείπεται δὴ τὴν τρίτην εἶναι ταύτην λοιπόν. ἀναγκαῖον δὲ καὶ τὴν ἱστορίαν ἀναπτύξαι, ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον.

Ἐπειδὴ γὰρ ἀπὸ τῆς Αἰγύπτου ἐξελθόντες Ἑβραῖοι, πολλὴν ὁδὸν διανύσαντες, καὶ μυρία τῆς τοῦ Θεοῦ δυνάμεως λαβόντες τεκμήρια, ἔν τε τῇ Αἰγύπτῳ, ἔν τε τῇ ἐρυθρᾷ, ἔν τε τῇ ἐρήμῳ, ἐβουλεύσαντο πέμψαι κατασκόπους τοὺς διασκεψομένους τὴν φύσιν τῆς ἐπηγγελμένης γῆς· οἱ δὲ ἀπελθόντες ἐπανῆλθον, τὴν μὲν χώραν θαυμάζοντες, καὶ γενναίων καρπῶν εὔφορον εἶναι λέγοντες· ἀνθρώπων μέν τοι ἀκαταμαχήτων εἶναι χώραν καὶ ἰσχυρῶν. οἱ δὲ ἀγνώμονες Ἰουδαῖοι καὶ ἀναίσθητοι, δέον αὐτοὺς τῶν προτέρων εὐεργεσιῶν τοῦ Θεοῦ ἀναμνησθῆναι, καὶ πῶς αὐτοὺς εἰς μέσον ἀπειλημμένους στρατοπέδων τοσούτων Αἰγυπτιακῶν, ἐξήρπασε τῶν κινδύνων, καὶ τῶν λαφύρων αὐτῶν ἐποίησε κυρίους, καὶ πάλιν ἐν τῇ ἐρήμῳ πέτρας ἔρρηξε, καὶ τῶν ὑδάτων τὴν ἀφθονίαν ἐχαρίσατο, καὶ τὸ μάννα παρέσχε, καὶ τὰ ἄλλα εἰργάσατο θαυμάσια, καὶ πιστεῦσαι τῷ Θεῷ· τούτων μὲν οὐδὲν ἐνενόησαν. ὡς μηδενὸς δὲ γενομένου οὕτω καταπλαγέντες, πάλιν εἰς Αἴγυπτον εἰσιέναι ἐβούλοντο. "ἐξήγαγε γάρ," φησιν, "ὧδε "ὁ Θεὸς καὶ ἡμᾶς, ὥστε ἀνελεῖν ἡμᾶς μετὰ παίδων καὶ γυναι"κῶν." ὁ τοίνυν Θεὸς ὀργιζόμενος ὅτι οὕτω ταχέως ἐξέβαλον τὴν μνήμην τῶν γεγενημένων, ὤμοσε μὴ εἰσελθεῖν τὴν γενεὰν ἐκείνην τὴν ταῦτα εἰρηκυῖαν εἰς τὴν κατάπαυσιν. καὶ πάντες ἀπώλοντο ἐν τῇ ἐρήμῳ. ἐπεὶ οὖν ὁ Δαβὶδ φησὶν ὕστερον καὶ μετὰ ταῦτα, μετὰ τὴν ἐκείνων γενεὰν διαλεγόμενος ἔλεγεν, "ὅτι σήμερον ἐὰν "τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν," ἵνα μὴ τὰ αὐτὰ πάθητε ἅπερ οἱ πρόγονοι οἱ ἡμέτεροι, καὶ ἀπο-

στερηθῆτε τῆς καταπαύσεως, δηλονότι ὡς οὔσης ἄλλης τινὸς καταπαύσεως ταῦτα λέγει. ἐπεὶ εἰ ἀπειληφότες ἦσαν τὴν κατάπαυσιν φησὶν, τίνος ἕνεκεν αὐτοῖς πάλιν λέγει, τὸ "σήμερον ἐὰν "τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν "ὡς οἱ πατέρες ὑμῶν;" τίς οὖν ἐστιν ἄλλη κατάπαυσις, ἀλλ' ἢ ἡ βασιλεία τῶν οὐρανῶν, ἧς εἰκών ἐστι καὶ τύπος τὸ σάββατον;

Γρηγορίου Νύσσης Ψαλμῶν. *Καταφορικωτέραν δὲ ἀπειλὴν ὁ ψαλμὸς κατὰ τῶν ἀπιστούντων ἔχει, τῶν τὴν αὐτὴν ἐπιδειξαμένων κακόνοιαν, ἔν τε τοῖς τεσσαράκοντα ἔτεσι τῆς ἐν ἐρήμῳ διαγωγῆς, ἐν οἷς τὸν εὐεργέτην παρώξυναν, καὶ μετὰ ταῦτα τὴν δοθεῖσαν ἡμῖν διὰ τοῦ εὐαγγελίου κατάπαυσιν τῆς ἁμαρτίας μὴ προσδεχόμενοι, οἷς ἐξῆν σήμερον ἀκούσασι τῆς φωνῆς τοῦ δι' ἡμᾶς εἰς τὸ σήμερον ἐλθόντος, καὶ ἐκ τῆς προαιωνίου τε καὶ ἀϊδίου μεγαλειότητος εἰς χρονικὴν γένεσιν καταβάντος, ἀνοῖξαι αὐτοῖς τὴν εἴσοδον τῆς ἀναπαύσεως· ἀλλ' ἀεὶ τὴν πλάνην καὶ τὴν ἀπιστίαν ὁδηγὸν ἑαυτῶν προβαλλόμενοι ἔν τε τοῖς πρώτοις καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις, ὅρκῳ τῆς εἰσόδου τῆς εἰς τὴν κατάπαυσιν τοῦ Θεοῦ ἀπεκλείσθησαν. πῶς γὰρ ἂν εἰσέλθοιεν εἰς τὴν κατάπαυσιν οἱ ἑκουσίως ἑαυτοὺς τῆς εὐλογίας ἀλλοτριώσαντες;*

Χρυσοστόμου. *Ὁ μέν τοι Παῦλος θεὶς τὴν μαρτυρίαν πᾶσαν, αὕτη δέ ἐστιν, "σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ "σκληρύνητε τὰς καρδίας ὑμῶν" καὶ τὰ ἑξῆς, τότε ἐπάγει,*

12 Βλέπετε ἀδελφοὶ, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος.

Τοῦ αὐτοῦ. *Πολλῆς φησὶν, ἐπιμελείας ὑμῖν δεῖ καὶ σπουδῆς, ὥστε φυλάξαι τὴν πίστιν, καὶ μὴ τὴν λώβην τῆς ἀπιστίας εἰσδέξασθαι. αὕτη γὰρ χωρίζει τοῦ ζῶντος Θεοῦ.*

Τοῦ αὐτοῦ. *Ἀπὸ δὲ σκληρότητος ἡ ἀπιστία γίνεται. καὶ καθάπερ τὰ πεπωρωμένα τῶν σωμάτων καὶ σκληρὰ, οὐκ εἴκει ταῖς τῶν ἰατρῶν χερσὶν, οὕτω καὶ αἱ ψυχαὶ αἱ σκληρυνθεῖσαι οὐκ εἴκουσι τῷ λόγῳ τοῦ Θεοῦ· εἰκὸς γάρ τινας καὶ ἀπιστεῖν λοιπὸν ὡς οὐκ ὄντων ἀληθῶν τῶν γενομένων. διὰ τοῦτο φησὶν, βλέπετε μὴ ἀπιστήσητε. ἐπειδὴ γὰρ ὁ τῶν μελλόντων λόγος οὐκ ἔστιν οὕτω πιθανὸς ὡς ὁ τῶν παρελθόντων, ἀναμιμνήσκει αὐτοὺς ἱστο-*

ρίας ἐν ᾗ πίστεως ἐδεήθησαν. εἰ γὰρ οἱ πατέρες ὑμῶν φησιν, ἐπειδὴ οὐκ ἤλπισαν ὥσπερ ἐχρῆν ἐλπίσαι, ταῦτα ἔπαθον, πολλῷ μᾶλλον ὑμεῖς.

Κυρίλλου Ὁμιλία, καὶ Θησαυρικῶν λβ΄. Θεὸν μέν τοι ζῶντα φησὶ τὸν Χριστὸν, οὗ πάντη τε καὶ πάντως ἀφίστανται τῶν τῆς ἀληθείας δογμάτων ἀποπηδῶντες τινές. ἀλλὰ τί φησιν ὁ αὐτοῦ μαθητής; "ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν Κύριον, "ἐν αὐτῷ περιπατεῖτε." παρελάβομεν δὲ ζῶντα Θεὸν καὶ Κύριον ἀληθῶς τὸν Χριστόν. καί γε εἰς Χριστὸν ἡ πίστις, καὶ ἐπ' αὐτῇ τοῖς ἁγίοις τὰ γέρα καὶ ἡ ἀπέραντος χρεωστεῖται ζωή. τοῦτο γὰρ ἐκδιδάσκων ἡμᾶς αὐτός που φησίν· "ἀμὴν ἀμὴν λέγω ὑμῖν, "ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον." εἴπερ οὖν ὁ τὴν πίστιν τὴν εἰς αὐτὸν ἀρνούμενος, καὶ καρδίαν ἀναλαβὼν πονηρὰν Θεοῦ ζῶντος ἀποστατεῖ, πῶς οὐ κατὰ φύσιν Θεὸς ὁ Υἱός; πῶς δὲ κτίσμα ἢ ποίημα τοῦτο ὑπάρχων; ὅπερ ἂν εἴη καὶ ὁ Πατὴρ, οὗ καὶ ἔστιν Υἱὸς, πάντα φέρων τὰ τοῦ γεννήσαντος ἴδια καὶ ἐξαίρετα. ζῶν γοῦν Θεὸς ὁ Πατὴρ, ζῶν δὲ ὁμοίως καὶ ὁ Υἱός.

13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλῆται, ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τὶς ἀπάτῃ τῆς ἁμαρτίας.

Τοῦ αὐτοῦ. Καθ' ἑκάστην γὰρ ἡμέραν τοὺς ἔτι ζῶντας προσήκει πᾶσαν ἑαυτῶν ποιεῖσθαι φροντίδα, ἵνα μὴ χώραν ἡ ἁμαρτία λαβοῦσα, ἀντίτυπον τὴν ἡμετέραν καρδίαν ἐργάσηται. σήμερον δὲ τὸν παρόντα κέκληκε βίον, καὶ ἀεί ἐστι τὸ σήμερον, ἕως ἂν συνεστήκῃ ὁ κόσμος. παρακαλεῖτε οὖν αὐτοὺς, τουτέστιν οἰκοδομεῖτε ἀλλήλους, ἀνορθώσατε ἑαυτοὺς ἵνα μὴ τὰ αὐτὰ γένηται, "ἵνα μὴ σκληρυνθῇ τίς ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας." ὁρᾷς ὅτι τὴν ἀπιστίαν ἡ ἁμαρτία ποιεῖ. ὥσπερ γὰρ ἡ ἀπιστία βίον τίκτει πονηρὸν, οὕτω καὶ ψυχὴ, ὅταν εἰς βάθος ἔλθῃ κακῶν, καταφρονεῖ. καταφρονήσασα δὲ, οὐδὲ πιστεύειν ἀνέχεται, ὥστε ἀπαλλάξαι φόβου ἑαυτήν. "εἶπον γάρ," φησιν, "οὐκ ὄψεται Κύριος, οὐδὲ "συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ." καὶ πάλιν, "τὰ χείλη ἡμῶν παρ' "ἡμῖν ἐστι, τίς ἡμῶν Κύριος ἐστί;" καὶ πάλιν, "ἕνεκεν τίνος "παρώργισεν ὁ ἀσεβὴς τὸν Θεὸν, εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐκ

“ ἐκζητήσει.” καὶ πάλιν, “ εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ “ ἔστι Θεός.” “ διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμα- “ σιν,” “ οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. “ ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ “ μισῆσαι.” καὶ ὁ Χριστὸς δὲ, τοῦτο αὐτό φησι· “ πᾶς ὁ φαῦλα “ πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς.” οὐκοῦν κἂν τις ἡμαρτηκὼς ᾖ, μηδέποτε ἀπελπιζέτω ἕως ἂν ζῇ. ἕως γὰρ ἂν ᾖ τὸ σήμερον, ἐλπίδας ἔχει. μάλιστα μὲν οὖν, φησὶν, μηδὲ ἔστω καρδία πονηρὰ ἀπιστίας· εἰ δὲ καὶ γένοιτο, μηδεὶς ἀπογινω-σκέτω ἀλλὰ ἀναλαμβανέτω ἑαυτόν· ἕως γὰρ ἐσμὲν ἐν τῷδε τῷ κόσμῳ, τὸ σήμερον ἔχει καιρόν. ἐνταῦθα δὲ οὐ τὴν ἀπιστίαν μόνον λέγει ἀλλὰ καὶ τοὺς γογγυσμούς. ἀπάτην δὲ ἁμαρτίας ἢ τὴν ἀπάτην τοῦ διαβόλου φησὶν, ἀπάτη γάρ ἐστιν ὄντως τὸ μηδὲν περὶ τῶν μελλόντων προσδοκᾶν, τὸ νομίζειν ὅτι ἀνεύθυνα ἔσται τὰ ἡμέτερα, καὶ ὅτι τῶν πεπραγμένων ἡμῖν ἐνταῦθα, οὐ δώσομεν δίκην, οὐδὲ ἔσται ἀνάστασις· ἢ ἑτέρως ἀπάτη ἐστὶν ἡ ἀναλγησία, ἡ ἀπόγνωσις· τὸ γὰρ λέγειν, τί λοιπόν; ἅπαξ ἥμαρτον, οὐκ ἔχω ἐλπίδα τοῦ ἀνακτήσασθαι ἐμαυτὸν, ἀπάτη ἐστί. καθάπερ δὲ οἱ τύλοι τοῦ σώματος νεκροῦνται λοιπὸν, καὶ οὐδεμίαν αἴσθησιν ἔχουσιν, οὕτω καὶ ψυχὴ ὅταν πολλοῖς κατασχεθῇ πάθεσιν, νε-κροῦται πρὸς τὴν ἀρετήν. κἂν ὁτιοῦν προσενέγκῃς, οὐ λαμβάνει τοῦ πράγματος αἴσθησιν, ἀλλὰ κἂν κόλασιν, κἂν ὁτιοῦν ἀπει-λήσῃς, ἀνάλγητος μένει. “ διὰ τοῦτο,” φησὶ, “ παρακαλεῖτε “ ἑαυτούς· ὅρα τὸ ἥμερον καὶ προσηνὲς, οὐκ εἶπεν ἐπιτιμᾶτε, ἀλλὰ “ παρακαλεῖτε.” οὕτως ἡμᾶς χρὴ τοῖς ἀπὸ θλίψεως στενο-χωρουμένοις προσφέρεσθαι. τοῦτο καὶ Θεσσαλονικεῦσι γράφων φησὶ, “ νουθετεῖτε τοὺς ἀτάκτους.” περὶ δὲ τῶν ὀλιγοψύχων οὐχ οὕτως, ἀλλὰ τί; “ παραμυθεῖτε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν “ ἀσθενούντων, μακροθυμεῖτε πρὸς πάντας,” τουτέστι μὴ ἀπελπί-σητε, μὴ ἀπογνῶτε. τὸν γὰρ ἀπὸ θλίψεως στενοχωρούμενον ὁ μὴ παρακαλῶν σκληρότερον ποιεῖ. εἶτα ἐλπίδας αὐτοῖς ἐντίθησι λέγων,

14 Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ.

Μονονουχὶ λέγων, ὁ οὕτως ἡμᾶς ἀγαπήσας, ὁ τοσούτων κατα-ξιώσας, ὥστε αὐτοῦ σῶμα ποιῆσαι, οὐ περιόψεται ἀπολλυμένους. ἐννοήσωμεν τίνων κατηξιώθημεν, ἡμεῖς καὶ ὁ Χριστὸς ἓν ἐσμὲν,

μετέχομεν αὐτοῦ, ἓν ἐγενόμεθα ἡμεῖς καὶ αὐτὸς, εἴπερ αὐτὸς μὲν κεφαλὴ, ἡμεῖς δὲ σῶμα, συγκληρονόμοι καὶ σύσσωμοι ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ. μὴ τοίνυν ἀποστῶμεν αὐτοῦ. κἀκεῖνο δὲ αἰνίττεται τὸ εἰρημένον ἑτέρωθι, ὅτι εἰ ὑπομένωμεν, καὶ συμβουλεύσομεν[z]. τοῦτο γάρ ἐστι μέτοχοι γεγόναμεν, τῶν αὐτῶν μετέχομεν.

Ἐάν περ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν.

"Ἀρχὴν ὑποστάσεως" τὴν πίστιν λέγει, δι' ἧς ὑπέστημεν καὶ γεγεννήμεθα καὶ συνουσιώθημεν ὡσάν τις εἴποι· ἢ καὶ οὕτω κεκοινωνήκαμεν τῷ δεσπότῃ Χριστῷ διὰ τοῦ παναγίου βαπτίσματος τοῦ θανάτου, καὶ συνταφέντες αὐτῷ ἐν τῷ τύπῳ τῆς ἀναστάσεως γεγεννήμεθα. εἴ περ ἄρα βεβαίαν τὴν πίστιν φυλάξαιμεν, δι' ἧς ἐνεουργήθημεν καὶ συνήφθημεν τῷ δεσπότῃ Χριστῷ, καὶ τῆς τοῦ παναγίου Πνεύματος μετειλήφαμεν χάριτος. εἶτα πάλιν τὸν προφητικὸν ἀναλαμβάνει λόγον, καὶ φοβεῖ ἀπὸ τῶν σκυθρωποτέρων λέγων,

15 Ἐν τῷ λέγεσθαι, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ
ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ
16 παραπικρασμῷ. τίνες γὰρ ἀκούσαντες παρεπίκραναν;
ἀλλ' οὐ πάντες οἱ ἐξ Αἰγύπτου ἐξελθόντες διὰ Μωσέως.
17 τίσι δὲ προσώχθησε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἀπει-
18 θήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; τίσι δὲ
ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ
19 μὴ τοῖς ἀπειθήσασι; καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν
1 εἰσελθεῖν δι' ἀπιστίαν. φοβηθῶμεν οὖν μή ποτε κατα-
λειπομένης ἐπαγγελίας εἰσελθὼν εἰς τὴν κατάβασιν
αὐτοῦ, δοκῇ τίς ἐξ ὑμῶν ὑστερηκέναι.

Χρυσοστόμου. Καθ' ὑπερβατόν ἐστι τοῦτο, τὸ ἀκόλουθον δὲ οὕτως ἔχει, ἐν τῷ λέγεσθαι "σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ "ἀκούσητε μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. φοβηθῶμεν μή

[z] Leg. συμβασιλεύσομεν.

“ποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐς ὑμῶν ὑστερηκέναι.” τὰ δὲ λοιπὰ μεταξὺ ἔγκειται. εἰπὼν γὰρ πάλιν τὴν μαρτυρίαν, εἶτα βουλόμενος αὐτοὺς φοβῆσαι, δείκνυσι τοῦτο αὐτὸ δι' ὧν φησὶ, “τίνες γὰρ παρεπίκραναν” καὶ τὰ ἑξῆς. ἐπάγει δὲ τὴν ἐρώτησιν ὅπερ ποιεῖ τὸν λόγον σαφῆ. εἶπε, γάρ φησι, “σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ.” τίνων, φησὶ, μέμνηται σκληρυνθέντων; τίνων δὲ ἀπειθησάντων; οὐ τῶν Ἰουδαίων;

Θεοδωρίτου. Ὥστε τὸ μέν “τινες ἀκούσαντες παρεπίκραναν,” κατ' ἐρώτησιν ἀναγνωστέον, τὸ δὲ “ἀλλ' οὐ πάντες,” μὴ ἀποφαντικῶς ἀλλὰ καθ' ὑπόκρισιν. οὕτω γὰρ νοεῖν τὰ ἑξῆς παρασκευάζει. πλὴν γὰρ Χαλὲβ τοῦ Ἰεφονῆ, καὶ Ἰησοῦ τοῦ Ναβῆ, ἑξακόσιαι διεφθάρησαν χιλιάδες. τούτους γὰρ εἶπεν ἐξεληλυθότας ἐξ Αἰγύπτου, ἀπειθήσαντας δὲ πάλιν ὠνόμασε, τοὺς μὴ πιστεύσαντας ταῖς θείαις ἐπαγγελίαις. τοῦ γὰρ Θεοῦ παρεγγυήσαντος εἰς τὴν ἐπηγγελμένην ἀπᾶραι γῆν, ἀντεῖπον ἐκεῖνοι προβαλλόμενοι τὸ χρέως καὶ τῶν πολεμίων τὸ μέγεθος. οὗ δὴ χάριν ὁ τῶν ὅλων Θεὸς ἅπαντας κατὰ μέρος ἐν τῇ ἐρήμῳ καταναλώσας, τοὺς ἐκείνων παῖδας ἀντ' ἐκείνων εἰσήγαγε. ταῦτα παρενθεὶς ὁ Παῦλος, ὥστε διὰ τούτων δειδίξασθαι καὶ παρασκευάσαι προσμεῖναι τὰς δεδομένας ἐλπίδας, περὶ τῆς καταπαύσεως λοιπὸν ποιεῖται τὸν λόγον, διδάσκων ὡς ἄνωθεν ὁ προφήτης Δαβὶδ ταύτην ἡμῖν προεθέσπισεν, ἐπηγγείλατό φησιν ἡμῖν ὁ Δαβὶδ ὡς ἑτέρα ἐστὶ κατάπαυσις. σπουδάσωμεν τοίνυν ταύτης τυχεῖν, ἵνα μὴ ἐκείνοις τὰ ὅμοια πάθωμεν. “καὶ γὰρ ἐσμὲν εὐηγγελισμένοι καθάπερ ἐκεῖνοι.” ἐν τῷ λέγεσθαι, “σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,” τὸ γὰρ σήμερον ἀεί ἐστιν.

Χρυσοστόμου. Εἶτα δεικνὺς ὅτι οὐκ ἀπόχρη εἰς σωτηρίαν ἡ τῶν λόγων ἀκρόασις, ἀλλὰ προσήκει ταύτην καὶ μετὰ πίστεως δέξασθαι, καὶ βεβαίως φυλάξαι, ἐπάγει,

2 Ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμμένους τῇ πίστει τοῖς ἀκούσασι.

Θεοδωρίτου. Τί γὰρ ὤνησεν ἡ τοῦ Θεοῦ ἐπαγγελία τοὺς ταύτην δεξαμένους μὴ πιστῶς δεξαμένους, καὶ τῇ τοῦ Θεοῦ δυνάμει τεθαρρηκότας, καὶ οἷον τοῖς τοῦ Θεοῦ λόγοις ἀνακραθέντας;

Χρυσοστόμου. Ἐνταῦθα δείκνυσιν πῶς ὁ λόγος οὐκ ὠφέλησεν, ὅτι ἐκ τοῦ μὴ συγκραθῆναι αὐτοὺς τῇ πίστει τοῖς ἀκούσασιν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ἤκουσαν κἀκεῖνοι ὥσπερ ἡμεῖς ἠκούσαμεν· ἀλλ' οὐδὲν ὄφελος αὐτοῖς γέγονε. μὴ τοίνυν νομίσητε ὅτι ἀπὸ τοῦ ἀκούειν τοῦ κηρύγματος ὠφεληθήσεσθε. ἐπεὶ κἀκεῖνοι ἤκουσαν, ἀλλ' οὐδὲν ἀπώναντο, ἐπειδὴ μὴ ἐπίστευσαν· οἱ δὲ περὶ Χαλὲβ καὶ Ἰησοῦν, ἐπειδὴ μὴ συνεκράθησαν τοῖς ἀπιστήσασι, τουτέστιν συνεφώνησαν, διέφυγον τὴν κατ' ἐκείνων ἐναχθεῖσαν τιμωρίαν. ὅρα τὸ θαυμαστὸν, οὐκ εἶπεν οὐ συνεφώνησαν, ἀλλ' "οὐ συνεκράθησαν," δηλῶν ἐντεῦθεν ὅτι ἀστασιάστως διέστησαν, ἐκείνων πάντων μίαν καὶ τὴν αὐτὴν γνώμην ἐσχηκότων. ἐνταῦθά μοι δοκεῖ καὶ στάσιν αἰνίττεσθαι, εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, εἶτα τοῦτο βεβαιῶν ἐπήγαγε,

Καθὼς εἴρηκεν, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Ἐπεὶ δὲ εἰκὸς ἦν εἰπεῖν τινα, καὶ μὴν τοῦτο οὐ τοῦ ἡμᾶς εἰσελεύσεσθαι δηλωτικόν ἐστιν, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσεληλυθέναι, τί ποιεῖ; σπουδάζει δεῖξαι τέως ὅτι ὥσπερ ἡ κατάπαυσις ἐκείνη οὐ κωλύει ἑτέραν κατάπαυσιν λέγεσθαι, οὕτως οὐδὲ αὕτη τὴν τῶν οὐρανῶν.

Θεοδωρίτου. Τρεῖς γὰρ δεῖξαι βούλεται καταπαύσεις ἐν τῇ θείᾳ γραφῇ. καὶ πρῶτον μὲν, τὴν ἑβδόμην ἡμέραν ἐν ᾗ τὴν κτίσιν πεπλήρωκεν ὁ Θεὸς, δευτέραν δὲ, τῆς ἐπαγγελίας τὴν γῆν, τρίτην δέ γε τὴν βασιλείαν τῶν οὐρανῶν. κατασκευάζει δὲ τὴν ταύτης ἀπόδειξιν, ἀπὸ τῆς προφητικῆς μαρτυρίας, εἰ γὰρ μὴ ἀληθῶς φησὶν, ἐστὶν ἑτέρα κατάπαυσις. τί δήποτε τοὺς τὴν δευτέραν δεξαμένους· καὶ παρεγγυᾷ μὴ σκληρῦναι τὴν καρδίαν, καὶ ἀπειλεῖ τιμωρίαν, καὶ τῶν τῆς δευτέρας καταπαύσεως καταπεφρονηκότων ποιεῖται τὴν μνήμην. κατὰ τάξιν δὲ ταύτας τίθησι, καὶ πρώτην μὲν τῆς δευτέρας ἡμέρας.

3 Καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέν-
4 των. εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτως· καὶ κατέ-
παυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν
ἔργων αὐτοῦ.

Ὅτι, φησὶν, οὐ περὶ ἐκείνης ὁ μακάριος λέγει Δαβὶδ, δῆλον. πρὸ πολλῶν γὰρ γενεῶν ἐκείνη γεγένηται τοῦ Δαβίδ. ἐν γὰρ τῇ ἑβδόμῃ ἡμέρᾳ πεπλήρωκε τὴν φύσιν ὁ τῶν ὅλων Θεός.

Χρυσοστόμου. Τέως οὖν δείκνυσιν ὅτι οὐκ ἔτυχον ἐκεῖνοι τῆς καταπαύσεως, ὅτι γὰρ τοῦτο λέγει, δῆλον ἐξ ὧν ἐπάγει,

5 Καὶ ἐν τούτῳ πάλιν, εἰ εἰσελεύσονται εἰς τὴν κατά-
παυσίν μου.

Θεοδωρίτου. Ὁρᾷς ὅπως οὐ κωλύει ἐκείνη, ταύτην εἶναι κατάπαυσιν.

Ἀλλ' ὅμως καὶ ταῦτα σαφῶς ἐπιστάμενος ὁ προφήτης, οὐδὲν ἧττον ἑτέραν κατάπαυσιν ἐπαγγέλλεται,

6 Ἐπεὶ οὖν ὑπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτὴν, καὶ
οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν,
7 πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον ἐν Δαβὶδ λέγων,
μετὰ τοσοῦτον χρόνον, καθὼς εἴρηται.

Χρυσοστόμου. Τί ἐστιν ὅ φησιν; ἐπεὶ ὀφείλουσι τινὲς εἰσελθεῖν πάντως, ἐκεῖνοι δὲ οὐκ εἰσῆλθον, πάλιν ὁρίζει τρίτην ἄλλην κατάπαυσιν. ὅτι δὲ εἰσελθεῖν χρὴ, καὶ δεῖ τινὰς εἰσελθεῖν, ἀκούσομεν πόθεν τοῦτο κατασκευάζει, ὅτι μετὰ τοσαῦτα ἔτη φησὶν λέγει πάλιν ὁ Δαβὶδ, "σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ "ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν."

Θεοδωρίτου. Εἶτα διδάσκων ὡς οὐ περὶ τῆς Παλαιστίνης ταῦτα φησὶν ὁ προφήτης, ἐπισυλλογίζεται,

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλ-
λης ἐλάλει μετὰ ταῦτα ἡμέρας.

Οὐκ ἄν, φησι, περὶ ἐκείνης εἶπε τῆς γῆς. εἰς ἐκείνην γὰρ αὐτοὺς εἰσήγαγεν Ἰησοῦς ὁ τοῦ Ναβῆ. ἐν αὐτῇ δὲ ἦν καὶ ὁ θεῖος Δαβὶδ ὅτε ταύτην ἐπηγγέλλετο τὴν κατάπαυσιν. δῆλον οὖν ὡς

μελλόντων τινῶν τεύξεσθαί τινος ἀμοιβῆς, ταῦτα λέγει, εἶτα συλλογιστικῶς,

9 Ἄρα οὖν ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.

Οὐ κατ' ἐρώτησιν τὸ ἆρα, ἀλλὰ κατὰ ἀπόφασιν ἀναγνωστέον. σαββατισμὸν δὲ τὴν κατάπαυσιν κέκληκεν. ἐπειδὴ ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων ὧν ἐποίησεν, ἐν τῷ μέλλοντι δὲ βίῳ ἄλυπος ἔσται ζωὴ καὶ πόνων ἐλευθέρα καὶ φροντίδων ἀπηλλαγμένη, σαββατισμὸν τοίνυν ὠνόμασε τὴν τῶν σωματικῶν ἔργων ἀπαλλαγήν· τοῦτο γὰρ δηλοῖ τὰ ἑξῆς,

10 Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

Καὶ πῶς ἐν τῷ Εὐαγγελίῳ φησὶν, "ὁ Πατήρ μου ἕως ἄρτι "ἐργάζεται, κἀγὼ ἐργάζομαι;" οὐκ ἐναντία λέγων, ἄπαγε. ἐνταῦθα μὲν γὰρ τὸ κατέπαυσε δηλοῖ, ὅτι τοῦ παράγειν εἰς τὸ εἶναι ἐπαύσατο, ἐκεῖ δὲ τὴν διηνεκῆ αὐτοῦ δηλοῖ πρόνοιαν, καὶ τὸ διακρατεῖν τὰ γεγενημένα. ὥσπερ οὖν ὁ τῶν ὅλων Θεὸς ἐν τῇ ἕκτῃ ἡμέρᾳ πᾶσαν τὴν κτίσιν πεπληρωκὼς, ἐν τῇ ἑβδόμῃ ἐπαύσατο τοῦ δημιουργεῖν, οὕτως οἱ τόνδε τὸν βίον ὑπεξελθόντες καὶ εἰς ἐκεῖνον μεταβάντες, τῶν παρόντων ἀπαλλαγήσονται πόνων. καὶ Ἰουδαίοις δὲ ὁ νόμος ἐκέλευσε τῷ σαββάτῳ τῶν μὲν σωματικῶν ἔργων ἀπέχεσθαι, μόναις δὲ προσφέρειν ταῖς ψυχαῖς ἐπιμέλειαν.

Χρυσοστόμου. Καλῶς οὖν συνεπέρανε τὸν λόγον· οὐ γὰρ εἶπε κατάπαυσις, ἀλλὰ "σαββατισμὸς," τὸ οἰκεῖον ὄνομα, καὶ ᾧ ἔχαιρον καὶ ἐπέτρεχον, σαββατισμὸν τὴν βασιλείαν καλῶν. ὥσπερ γὰρ ἐν τῷ σαββάτῳ πάντων μὲν τῶν πονηρῶν ἀπέχεσθαι κελεύει, ἐκεῖνα δὲ μόνα γίνεσθαι τὰ πρὸς λατρείαν τοῦ Θεοῦ, ἅπερ οἱ ἱερεῖς ἐπετέλουν, καὶ ὅσα ψυχὴν ὠφελεῖ καὶ μηδὲν ἕτερον, οὕτω καὶ τότε. ἀλλ' αὐτὸς οὐχ οὕτως εἶπεν, ἀλλὰ τί; ὥσπερ ὁ Θεός, φησι, κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, οὕτως ὁ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ. ἐπειδὴ γὰρ περὶ ἀναπαύσεως αὐτοῖς ὁ λόγος ἦν, καὶ τοῦτο ἐπεθύμουν ἀκοῦσαι πότε ἔσται, εἰς τοῦτο τὸν

λόγον κατέκλεισεν. ὅρα δὲ πῶς ὅλον τὸν λόγον συνελογίσατο. ὤμοσε φησὶ τοῖς προτέροις μὴ εἰσελθεῖν αὐτοὺς εἰς τὴν κατάπαυσιν, καὶ οὐκ εἰσῆλθον, εἶτα μετ᾽ ἐκείνους χρόνῳ πολλῷ ὕστερον διαλεγόμενος τοῖς Ἰουδαίοις φησὶ, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς οἱ πατέρες ὑμῶν, δηλονότι ἔστιν ἄλλη κατάπαυσις. περὶ μὲν γὰρ τῆς Παλαιστίνης οὐκ ἔχομεν εἰπεῖν· εἶχον γὰρ αὐτὴν, περὶ δὲ τῆς ἑβδόμης, οὐκ ἔστιν εἰπεῖν. οὐ γὰρ δή που περὶ ταύτης διελέγετο τῆς πάλαι γεγενημένης. ἄρα ἑτέραν τινὰ αἰνίττεται τὴν ὄντως ἀνάπαυσιν, ἔνθα ἀπέδρα ὀδύνη, καὶ λύπη καὶ στεναγμός· ἔνθα οὐ φροντίδες, οὐ πόνος, οὐκ ἀγωνία, ἀλλ᾽ εἰρήνη, χαρὰ, εὐφροσύνη, ἀγαθοσύνη. οὐκ ἔστιν ἐκεῖ ζηλοτυπία, οὐ βασκανία, οὐ θάνατος οὗτος ὁ τοῦ σώματος, οὐκ ἐκεῖνος ὁ τῆς ψυχῆς, οὐ σκότος, οὐ νὺξ, ἀλλὰ πάντα ἡμέρα λαμπρὰ, πάντα φῶς· οὐκ ἔστι καμεῖν, οὐκ ἔστι κόρον λαβεῖν, ἀεὶ ἐν ἐπιθυμίᾳ τῶν ἀγαθῶν διατελέσομεν.

Ἰσιδώρου καὶ Χρυσοστόμου. *Οὐ τοίνυν περὶ τῆς καταπαύσεως τῶν Ἑβραίων τῆς γενομένης ἐν τῇ Παλαιστίνῃ, διὰ τῆς Ἰησοῦ τοῦ υἱοῦ Ναυῆ στρατηγίας, τῷ θεσπεσίῳ Παύλῳ ὁ λόγος. ἐκείνης γὰρ οὐδεὶς λόγος αὐτῷ. εἰς δὲ τὴν προσδοκωμένην ἔσεσθαι βλέπει, καὶ κατ᾽ ἐκείνης ὁ τῶν νοημάτων σκοπὸς συντείνεται. ὅτι δὲ τοῦτ᾽ ἔστιν ἀληθὲς, αὐτὸς ἑαυτὸν ἑρμηνεύει λέγων, "εἰ γὰρ "αὐτοὺς Ἰησοῦς," δηλονότι ὁ τοῦ Ναυῆ, "κατέπαυσεν, οὐκ ἂν "περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. ἄρα ἀπολείπεται σαβ-"βατισμὸς τῷ λαῷ τοῦ Θεοῦ." εἰ γὰρ αὐτοὺς φησὶν ἐκεῖνος κατέπαυσεν, οὐκ ἂν ὁ Δαβὶδ μετὰ τοσαύτας γενεὰς γενόμενος, περὶ τῆς καταπαύσεως διαλεγόμενος ἔλεγε, "σήμερον ἐὰν τῆς "φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν "τῷ παραπικρασμῷ." οὐκοῦν φησὶν ἡ ἀληθινὴ ἀνάπαυσις τῷ λαῷ τοῦ Θεοῦ, τουτέστι τοῖς εὐδοκίμως μετὰ τὴν πίστιν πολιτευσαμένοις, ἀπόκειται, οὐκ ἐν τῇ Παλαιστίνῃ, ἀλλ᾽ ἐν τῇ ὑπερκοσμίῳ Ἱερουσαλὴμ εὐτρεπισθεῖσα.*

Βασιλείου ἐν Ἡσαΐᾳ. *Σάββατα γὰρ ἀληθινὰ ἡ προκειμένη ἀνάπαυσις τῷ λαῷ τοῦ Θεοῦ, καὶ φθάνει γε ἐπ᾽ ἐκεῖνα τὰ σάββατα τὰ τῆς ἀναπαύσεως, παρ᾽ ᾧ ὁ κόσμος ἐσταύρωται. ὁ ἀποστὰς δηλονότι τῶν κοσμικῶν, καὶ ἐπὶ τὸν ἴδιον τόπον τῆς πνευματικῆς ἀναπαύσεως καταντήσας, ἐν οἷς ὁ γενόμενος οὐκέτι κινηθή-*

σεται ἀπὸ τοῦ ἰδίου τόπου, ἡσυχίας καὶ ἀπραξίας περὶ τὴν κάτω στάσιν ἐκείνην ὑπαρχούσης· καὶ πῦρ οὐ καύσει ἐν τῇ αἰωνίᾳ καὶ οἰκείᾳ κατοικήσει; διὰ τὸ μὴ ἐπικομίζεσθαι ὕλην πῦρ ἀνάπτουσαν, ξύλον, χόρτον, καλάμην· καὶ βάσταγμα οὐκ ἀρεῖ ὁ μὴ ἔχων τὸ βαρὺ φορτίον τῆς ἀνομίας αὐτῷ ἐπικείμενον, ἀλλ᾽ ὄντως σάββατα τρυφερὰ ἀναπαύσεται.

Κλήμεντος πρὸς Ἕλληνας. Ἀλλὰ γὰρ βοᾷ καὶ νῦν ὁ Κύριος, "σήμερον ἐὰν τῆς φωνῆς μου ἀκούσητέ, μὴ σκληρύνητε "τὰς καρδίας ὑμῶν," μὴ οὖν περιφρονείτω τίς τοῦ λόγου, μὴ λάθῃ καταφρονῶν ἑαυτοῦ, ὡς οἱ πειράσοντες τὸν Θεὸν ἐν δοκιμασίᾳ. εἰ δὲ δοκιμασία τίς ἐστιν, εἰ θέλεις μαθεῖν, τὸ Ἅγιόν σοι Πνεῦμα ἐξηγήσεται. "εἶδον γὰρ ἔργα μου," φησὶν, "τεσσαράκοντα ἔτη, καὶ "οὐκ ἔγνωσαν τὰς ὁδούς μου, διὸ οὐκ εἰσελεύσονται εἰς τὴν κατά- "παυσίν μου." ὁρᾶτε τὴν ἀπειλὴν, ὁρᾶτε τὴν προτροπήν· μεγάλη τῆς ἐπαγγελίας αὐτοῦ ἡ χάρις. ἐὰν σήμερον τῆς φωνῆς αὐτοῦ ἀκούσωμεν. τὸ δὲ σήμερον καθ᾽ ἑκάστην αὔξεται τὴν ἡμέραν, ἔστ᾽ ἂν ἡ σήμερον ὀνομάζεται. μέχρι δὲ συντελείας ἡ σήμερον διαμένει, καὶ τότε ἡ ὄντως σήμερον, ἡ ἀνελλιπὴς τοῦ Θεοῦ ἡμέρα τοῖς αἰῶσι συνεκτείνεται. ἀεὶ οὖν τῆς φωνῆς ὑπακούσωμεν τοῦ θείου λόγου. ἡ σήμερον γὰρ ἀΐδιος αἰών ἐστι. καί γε πιστεύσασι μὲν καὶ ὑπακούουσιν, ἡ χάρις ὑπερπλεονάσει, ἀπειθήσασι δὲ καὶ πλανωμένοις κατὰ καρδίαν, ὁδούς τε τὰς κυριακὰς μὴ ἐγνωκόσιν, ἃς εὐθείας ποιεῖν καὶ εὐτρεπίζειν παρήγγειλεν ὁ Ἰωάννης, τούτοις προσώχθισεν ὁ Θεὸς καὶ ἀπειλεῖ. καὶ δὴ καὶ τὸ τέλος τῆς ἀπειλῆς αἰνιγματωδῶς ἀπειλήν φασιν οἱ παλαιοὶ τῶν Ἑβραίων πλανῆται. οὐ γὰρ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν λέγονται διὰ τὴν ἀπιστίαν, πρὶν ἢ σφᾶς αὐτοὺς κατακολουθήσαντας τῷ Μωσέως διαδόχῳ, ὀψέ ποτε ἔργῳ μαθεῖν, οὐκ ἂν ἄλλως σωθῆναι μὴ οὐχὶ ὡς Ἰησοῦς πεπιστευκότας.

Χρυσοστόμου. "Ἐδοκίμασάν με," φησὶ, "καὶ εἶδον τὰ "ἔργα μου τεσσαράκοντα ἔτη." ὁρᾷς ὅτι οὐ δεῖ τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας ἀλλ᾽ ἀντιπροΐστασθαι, ἄν τε μὴ, πιστεύειν αὐτῷ. ἐκείνοις γὰρ τοῦτο ἐγκαλεῖ νῦν, ὅτι ἐπείρασαν τὸν Θεόν. ὁ γὰρ βουλόμενος ἀποδείξεις λαβεῖν τῆς δυνάμεως ἢ τῆς προνοίας ἢ τῆς

κηδεμονίας αὐτοῦ, οὔπω πιστεύει, οὔτε δυνατὸν αὐτὸν εἶναι οὔτε φιλάνθρωπον.

Τοῦτο καὶ πρὸς τοὺς ἐξ Ἑβραίων πιστοὺς γράφων ὁ Παῦλος αἰνίττεται, βουλομένους ἴσως ἤδη τῆς δυνάμεως αὐτοῦ καὶ τῆς ὑπὲρ αὐτῶν προνοίας τὴν ἐξέτασιν καὶ τὸν ἔλεγχον λαβεῖν ἐν τοῖς πειρασμοῖς. προετρέψατο μὲν οὖν αὐτοὺς ἀπὸ τῶν χρηστῶν εἰπὼν, "μέτοχοι ἐσμὲν τοῦ Χριστοῦ," εἶτα πάλιν ἀπὸ τῶν σκυθρωπῶν φήσας, "φοβηθῶμεν μήποτε καταλειπομένης ἐπαγγελίας, εἰσελ-"θεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ ὑστερήσωμεν." ὅτι γὰρ ἐπήγγελται τίς κατάπαυσις, δῆλον καὶ ὁμολογούμενόν ἐστι. τὸ δὲ σήμερον φησὶν, ὥστε μηδέποτε ἀπελπίζειν αὐτούς· ἀεὶ δέ ἐστι τὸ σήμερον.

Βασιλείου. Τοῦτο δὲ ἀποσυλᾷ καθ' ἑκάστην ὁ πονηρός. ἢ γὰρ οὐχὶ τὴν ἁμαρτίαν σήμερον ποιεῖν ὑποβάλλει, τὴν δὲ δικαιοσύνην εἰς τὴν αὔριον πείθει ἡμᾶς ταμιεύσασθαι; διὰ τοῦτο ὁ Κύριος ἀναλύων αὐτοῦ τὰς πονηρὰς συμβουλίας, "σήμερον," φησὶν, "ἐὰν τῆς φωνῆς μου ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας "ὑμῶν." ἐκεῖνος λέγει, σήμερον ἐμοὶ, καὶ τὴν αὔριον τῷ Κυρίῳ. ὁ Κύριος ἀντιβοᾷ, σήμερον τῆς ἐμῆς φωνῆς ἀκούσατε. νόησον τὸν ἐχθρὸν, οὐ τολμᾷ συμβουλεῦσαι καθόλου ἀποστῆναι Θεοῦ, οἶδεν ὅτι βαρὺ ἀκοῦσαι τοῦτο Χριστιανοῖς, ἀλλὰ τέχναις ἀπατηλαῖς μεθοδεύει τὴν ἐπιχείρησιν. σοφός ἐστι τοῦ κακοποιῆσαι. συνορᾷ, ὅτι κατὰ τὸ παρὸν ζῶμεν οἱ ἄνθρωποι, καὶ πᾶσα πρᾶξις κατὰ τὸ ἐνεστὼς ἐνεργεῖται. τὰ οὖν σήμερον κλέπτει ἡμῶν διὰ τῆς μεθοδείας, εἰς τὴν αὔριον ἡμῖν τὰς ἐλπίδας περιαφίησιν. εἶτα, ἐπειδὰν ἡ αὔριον ἔλθῃ, πάλιν ἔρχεται ὁ κακὸς συμμεριστὴς ἡμῶν, ἀξιῶν τὴν σήμερον ἑαυτῷ, τὴν δὲ αὔριον τῷ Κυρίῳ. καὶ οὕτως ἀεὶ τὸ μὲν παρὸν δι' ἡδονῆς, τὸ δὲ μέλλον ταῖς ἐλπίσιν ἡμῶν προσαφιεὶς, λανθάνει ἡμᾶς ἀποβουκολῶν τῆς ζωῆς. ἀλλ' ἡμεῖς αὐτοῦ μὴ ἀγνοήσωμεν τὰ νοήματα, ἀλλὰ τὸν θεῖον ζηλῶμεν Ἀντώνιον. ἦν ἐκείνῳ παράδοξος οὗτος ὁ λογισμός· οὐ γὰρ ἠξίου χρόνῳ μετρεῖν τὴν τῆς ἀρετῆς ὁδὸν, ἀλλὰ πόθῳ καὶ τῇ προαιρέσει· αὐτὸς οὖν οὐκ ἐμνημόνευε τοῦ παρελθόντος χρόνου, ἀλλὰ καθ' ἡμέραν ὡς ἀρχὴν ἔχων τῆς ἀσκήσεως, μείζω τὸν πόνον εἶχεν εἰς προκοπὴν, ἐπιλέγων

ἑαυτῷ τῶν ὄπισθεν ἐπιλανθανόμενοι, καὶ τὸ τοῦ Ἠλιοῦ, "ζῇ Κύ-"ριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον." παρετηρείτω γὰρ ὅτι σήμερον λέγων, οὐκ ἐμέτρει τὸν παρελθόντα χρόνον, ἀλλ' ὡς ἀεὶ ἀρχὴν καταβαλλόμενος, καθημέραν ἐσπούδαζεν ἑαυτῷ τῷ Θεῷ παρεστάνειν τοιοῦτον οἷον χρὴ φαίνεσθαι τῷ Θεῷ.

11 Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.

Χρυσοστόμου. Μέγα μὲν πίστις καὶ σωτήριον, καὶ ταύτης ἄνευ οὐκ ἔνι σωθῆναι ποτέ. ἀλλ' οὐκ ἀρκεῖ καθ' ἑαυτὴν τοῦτο ἐργάσασθαι, ἀλλὰ δεῖ καὶ πολιτείας ὀρθῆς. ὥστε διὰ τοῦτο καὶ Παῦλος τοῖς ἤδη μυστηρίων καταξιωθεῖσι παραινεῖ λέγων, "σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν." σπουδάσωμεν φησὶν, ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφείλοντος προστεθῆναι καὶ τοῦ βίου. δεῖ γὰρ ὄντως πολλῆς σπουδῆς ὥστε ἀνελθεῖν εἰς τὸν οὐρανόν. εἰ γὰρ γῆς οὐκ ἠξιώθησαν οἱ τοσαῦτα ταλαιπωρηθέντες ἐν τῇ ἐρήμῳ, ἐπειδὴ ἐγόγγυσαν καὶ ἐπόρνευσαν, πῶς τῶν οὐρανῶν ἡμεῖς καταξιωθησόμεθα, ἀδιαφόρως ζῶντες καὶ ῥαθύμως. ὅρα δὲ τὴν ζημίαν. οὐ μόνον μέχρι τοῦ μὴ εἰσελθεῖν. οὐ γὰρ εἶπε σπουδάσωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν, ἵνα μὴ ἐκπέσωμεν τοσούτων ἀγαθῶν, ἀλλ' ὃ μάλιστα τοὺς ἀνθρώπους διεγείρει, τοῦτο προσέθηκε. ποῖον δὴ τοῦτο; τὸ "ἵνα μὴ ἐν τῷ "αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας." τί ἐστι τοῦτο; τουτέστιν ἵνα τὸν νοῦ ἔχωμεν ἐκεῖ, τὴν ἐλπίδα, τὴν προσδοκίαν, ἵνα μὴ ὁμοίως ἐκπέσωμεν. ὅτι γὰρ ἐκπεσούμεθα, τὸ ὑπόδειγμα δηλοῖ.

Θεοδωρίτου. Ὁ γὰρ ῥαστώνῃ συζῶν, καὶ μὴ ποθῶν τῶν ἐπηγγελμένων ἀγαθῶν ἀπολαῦσαι, ταῖς ἐκείνων τῶν ἀπειθησάντων ὑπεύθυνος ἔσται κατηγορίαις.

Τί δέ ἐστιν ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας; ὡς ἂν τις εἴποι διατί οὐκ εἶδον ἐκεῖνοι τὴν γῆν, ἔλαβον ἀρραβῶνα τῆς θείας δυνάμεως, δέον πιστεῦσαι, πλέον τῷ φόβῳ ἐνδόντες, καὶ μηδὲν μέγα περὶ τοῦ Θεοῦ φαντασθέντες, καὶ ὀλιγοψυχήσαντες, οὕτως ἀπώλοντο. ἔστι δὲ καὶ ἕτερόν τι ἐρεῖν, οἷον ὅτι τὸ πλέον ἀνύσαντες

τῆς ὁδοῦ, ὅτε πρὸς αὐταῖς ταῖς θύραις ἐγένοντο, πρὸς αὐτῷ τῷ λιμένι κατεποντίσθησαν, τοῦτο καὶ περὶ ὑμῶν δέδοικά φησιν. ὅτι γὰρ καὶ οὗτοι πολλὰ ἔπαθον, ὕστερον αὐτοῖς μαρτυρεῖ λέγων, "ἀναμνήσθητε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπομείναντες παθημάτων." μηδεὶς οὖν ὀλιγοψυχείτω, μηδὲ πρὸς τὸ τέλος ἀπαγορεύων καταπιπτέτω. εἰσὶ γὰρ εἰσὶν οἳ παρὰ τὴν ἀρχὴν μὲν, μετὰ ἀκμαζούσης προθυμίας προσβάλλουσιν, ὕστερον δὲ, μικρὸν τῷ παντὶ προσθῆναι μὴ βουληθέντες, τὸ πᾶν ἀπώλεσαν. ἱκανοί φησιν οἱ πρόγονοι παιδεῦσαι ὑμᾶς μὴ τοῖς αὐτοῖς περιπεσεῖν, μὴ τὰ αὐτὰ παθεῖν. τουτό ἐστιν, "ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας." μὴ ἐκλυώμεθα φησὶν ὃ καὶ πρὸς τῷ τέλει λέγει, "τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε." κάλλιστα δὲ εἴρηται καὶ τὸ "πέσῃ," τοῦτο γὰρ πεσεῖν ὄντως ἐστίν. εἶτα ἵνα μὴ ἀκούσας "ἐν τῷ αὐτῷ ὑποδείγματι πέσῃ" τὸν αὐτὸν θάνατον ὑπολάβῃς ὅν περ κακεῖνοι ὑπέμειναν, μηδὲ νομίσῃς ὅτι ἁπλῶς τῆς ἀναστάσεως ἀποστερηθήσονται μόνον, ἐπάγει καὶ κόλασιν, καὶ τὸ φρίκης γέμον ἐπιδείκνυσι μυστήριον, καὶ ὅρα τί φησιν,

12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον.

Χρυσοστόμου. Δείκνυσιν ἐνταῦθα ὅτι κακεῖνα αὐτὸς εἰργάσατο ὁ τοῦ Θεοῦ λόγος, καὶ ζῇ, καὶ οὐκ ἐσβέσθη. μὴ τοίνυν ἐπειδὴ λόγον ἤκουσας, ἁπλῶς νομίσῃς· μαχαίρας γάρ ἐστι φησι τομώτερος. ὅρα τὴν συγκατάβασιν, καὶ ἐνταῦθα σκόπει τίνος ἕνεκεν ἐδεήθησαν καὶ οἱ προφῆται εἰπεῖν, τόξον καὶ ῥομφαίαν καὶ μάχαιραν, λέγοντες, "ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό." εἰ γὰρ νῦν μετὰ τοσοῦτον χρόνον οὐ δύναται τὸ τοῦ λόγου ὀνόματι καταπλῆξαι μόνον, ἀλλὰ δεῖται τούτων τῶν ῥητῶν ἵνα δείξῃ τὴν ὑπεροχὴν τῆς συγκρίσεως, πολλῷ μᾶλλον τότε. πάσης οὖν φησι μαχαίρας χαλεπώτερον εἰς τὰς τούτων ψυχὰς ἐμπίπτει ὁ λόγος, χαλεπὰς πληγὰς ἐργαζόμενος, καὶ καιρίας δίδωσι τομὰς, καὶ τούτων ἀπόδειξιν οὐ δεῖται παρασχεῖν, οὐδὲ κατασκευάσαι, ἔχων οὕτω τὴν διήγησιν φοβεράν. ποῖος γὰρ πόλεμος ἐκείνους ἀπώλεσε φησὶ, ποῖα μάχαιρα· καὶ

οὐχ ἁπλῶς αὐτόματοι κατέπιπτον, μηδὲ γὰρ ἐπειδὴ μὴ ἐπάθωμεν τὰ αὐτὰ, ἀμεριμνήσωμεν, μέχρις οὗ τὸ σήμερον λέγεται, ἔξεστιν ἡμῖν ἀνακτήσασθαι.

Ἰσιδώρου. *Ὁ θειότατος μέν τοι καὶ ἄρρητος τοῦ Πατρὸς Υἱὸς, ὁ παρ' ἡμῶν προσκυνούμενος, εἰκότως Λόγος προσαγορεύεται· οὐχ ὅτι Λόγος μόνον ἐστὶ, καὶ τοῦ Πατρὸς ἑρμηνευτὴς, ὥς τινες οἴονται, ἀλλ' ὅτι καὶ θᾶττον ἢ λόγος δημιουργεῖ, καὶ ἀπαθῶς ἐτέχθη. Λόγος δὲ ὢν ἐνυπόστατός ἐστι, καὶ οἰκείαν ἰδιότητα ἔχει. ὅτι δὲ οὐκ ἔστιν ἀνυπόστατος, αὐτὸς ὁ Λόγος λόγους ἔχειν φράζει, λέγων, "ὁ ἀκούων μου τοὺς λόγους καὶ ποιῶν αὐτούς." εἰ οὖν ὁ λόγος λόγους ἔχει, οὐκ ἔστιν ἀνυπόστατος, ἀλλ' ἐνυπόστατος ὢν, διὰ τὸ ἀπαθῶς προεληλυθέναι Λόγος προσαγορεύεται.*

Ἀθανασίου κατὰ εἰδώλων. *Λόγον γάρ φαμεν Θεοῦ, οὐ τὸν ἐν ἑκάστῳ τῶν γινομένων συμπεπλεγμένον καὶ συμπεφυκότα, ὃν δὴ καὶ σπερματικὸν τινὲς εἰώθασι καλεῖν, ἄψυχον ὄντα καὶ μηδὲν λογιζόμενον, μήτε νοοῦντα, ἀλλὰ τῇ ἔξωθεν τέχνῃ μόνον ἐνεργοῦντα, κατὰ τὴν τοῦ ἐπιβάλλοντος αὐτῷ ἐπιστήμην. οὐδὲ οἷον ἔχει τὸ λογικὸν γένος λόγον τὸν ἐκ συλλαβῶν συγκείμενον, καὶ ἐν ἀέρι σημαινόμενον, ἀλλὰ τὸν τοῦ ἀγαθοῦ καὶ Θεοῦ τῶν ὅλων ζῶντα καὶ ἐνεργῆ Θεὸν, αὐτολόγον λέγω, ὃς ἄλλος μέν ἐστι τῶν γενητῶν καὶ πάσης τῆς κτίσεως, ἴδιος δὲ καὶ μόνος τοῦ ἀγαθοῦ Πατρὸς ὑπάρχει Λόγος, ὃς τόδε τὸ πᾶν διεκόσμησε· Λόγος δὲ ὢν, οὐ κατὰ τὴν τῶν ἀνθρώπων ὁμοιότητα, ὥσπερ εἶπον, συγκείμενός ἐστιν ἐκ συλλαβῶν, ἀλλὰ τοῦ ἑαυτοῦ Πατρὸς εἰκών ἐστιν ἀπαράλλακτος. ἄνθρωποι μὲν γὰρ ἐκ μερῶν συγκείμενοι, καὶ ἐκ τοῦ μὴ ὄντος γενόμενοι, συγκείμενον ἔχουσι καὶ διαλυόμενον τὸν ἑαυτῶν λόγον· ὁ δὲ Θεὸς ὢν ἐστιν καὶ οὐ σύνθετος· διὸ καὶ ὁ τούτου Υἱὸς, ὢν ἐστι καὶ οὐ σύνθετος, ἀλλ' εἷς καὶ μονογενὴς Θεὸς ἐκ Πατρὸς οἷα πηγῆς ἀγαθῆς ἀγαθὸς προελθὼν, τὰ πάντα διακοσμεῖ καὶ συνέχει.*

Εὐσεβίου Εὐαγγελικὰ Θεοφάνεια. *Ὥσπερ δὲ ἐπὶ τοῦ καθ' ἡμᾶς παραδείγματος, ὁ μὲν ἀόρατος καὶ ἀφανὴς ἐν ἡμῖν νοῦς, ὃν ὅστίς ποτε καὶ ὁποῖος ὢν τὴν οὐσίαν ὑπάρχει, οὐδεὶς πώποτε ἀνθρώπων ἔγνω, βασιλεὺς δ' οἷα ἐν ἀπορρήτοις εἴσω τοῖς αὐτοῦ ταμείοις καθιδρυμένος τὰ πρακταῖα βούλεται· λόγος δ' ἐξ αὐτοῦ*

πρόεισι μονογενὴς, οἷα πατρὸς ἐξ ἀδύτων μυχῶν γεγεννημένος, ὃς δὴ καὶ πρῶτος τῶν πατρικῶν τοῖς πᾶσι καθίσταται νοημάτων ἄγγελος, εἰς φανερόν τις κηρύττει τὰ ἐν ἀπορρήτοις τῷ πατρὶ βεβουλευμένα, ἔργοις τε ἐπιτελεῖ τὰ βουλεύματα, προϊὼν εἰς τὰς πάντων ἀκοάς· εἶθ' οἱ μὲν τῆς ἐκ τοῦ λόγου μεταλαμβάνουσιν ὠφελείας, τὸν δ' ἀφανῆ καὶ ἀόρατον νοῦν τὸν τοῦ λόγου πατέρα, οὐδεὶς πώποτε ὀφθαλμῶν εἶδε· κατὰ ταῦτα δὴ, μᾶλλον δ' ἐπέκεινα πάσης εἰκόνος καὶ παραδείγματος, ὁ τοῦ παμβασιλέως Θεοῦ τέλειος Λόγος, οἷα μονογενὴς, οὐ προφορικῇ δυνάμει συνεστὼς, οὐδ' ἐκ συλλαβῶν ὀνομάτων τε καὶ ῥημάτων τὴν φύσιν κατεσκευασμένος, οὐδ' ἐν φωνῇ δι' ἀέρος πληττομένη σημαινόμενος, Θεοῦ δὲ τοῦ ἐπὶ πάντων ζῶν καὶ ἐνεργὴς ὑπάρχων Υἱὸς Λόγος, κατ' οὐσίαν τε ὑφεστὼς οἷα Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, πρόεισι μὲν τῆς πατρικῆς θεότητος, ἀγαθοῦ δὲ Πατρὸς ἀγαθὸν τυγχάνει γέννημα, αὐτοζωὴ, αὐτοφῶς, γέννημα νοερὸν φωτὸς ἀλήκτου, διὰ πάντων χωρῶν, ἐν πᾶσί τε ὢν καὶ πάντα ἐπιπορευόμενος.

Γρηγορίου Νύσσης κατηχητικόν. Ἀλλὰ μὴν καὶ ὁ ἀνθρώπινος ὁμωνύμως λέγεται λόγος, οὐκοῦν εἴτις λέγοι καθ' ὁμοιότητα τὴν παρ' ἡμῖν, καὶ τὸν τοῦ Θεοῦ λόγον ὑπονοεῖν, οὕτω μεταχθήσεται πρὸς τὴν ὑψηλοτέραν ὑπόληψιν. ἀνάγκη γὰρ πᾶσα κατάλληλον εἶναι πιστεύειν τῇ φύσει τὸν Λόγον ὡς καὶ τὰ ἄλλα πάντα. καὶ γὰρ δύναμίς τε καὶ ζωὴ καὶ σοφία περὶ τὸ ἀνθρώπινον βλέπεται, ἀλλ' οὐκ ἄν τις ἐκ τῆς ὁμωνυμίας τοιαύτην καὶ ἐπὶ τοῦ Θεοῦ τὴν ζωὴν καὶ τὴν δύναμιν ἢ τὴν σοφίαν ὑπονοήσειεν. ἀλλὰ πρὸς τὸ τῆς φύσεως τῆς ἡμετέρας μέτρον συνταπεινοῦνται καὶ αἱ τῶν τοιούτων ὀνομάτων ἐμφάσεις. ἐπειδὴ γὰρ φθαρτὴ καὶ ἀσθενὴς ἡμῶν ἡ φύσις, διὰ τοῦτο ὠκύμορος ἡ ζωὴ, ἀνυπόστατος ἡ δύναμις, ἀπαγὴς ὁ λόγος. ἐπὶ δὲ τῆς ὑπερκειμένης φύσεως τῷ μεγαλείῳ τοῦ θεωρουμένου πᾶν τὸ περὶ αὐτῆς λεγόμενον συνεπαίρεται. οὐκοῦν κἂν Λόγος Θεοῦ λέγηται, οὐκ ἐν τῇ ὁρμῇ τοῦ φθεγγομένου τὴν ὑπόστασιν ἔχειν νομισθήσεται, καθ' ὁμοιότητα τοῦ ἡμετέρου μεταχωρῶν εἰς ἀνύπαρκτον. ἀλλ' ὥσπερ ἡ ἡμετέρα φύσις ἐπίκοπος οὖσα καὶ τὸν λόγον ἐπίκηρον ἔχει, οὕτως ἡ ἄφθαρτος καὶ ἀεὶ ἑστῶσα φύσις, ἀΐδιον ἔχει καὶ ὑφεστῶτα τὸν Λόγον.

Εἰ δὴ τοῦτο κατὰ τὸ ἀκόλουθον ὁμολογηθείη τὸ ὑφεστάναι τὸν τοῦ Θεοῦ Λόγον ἀϊδίως, ἀνάγκη πᾶσα ἐν ζωῇ τὴν ὑπόστασιν τοῦ Λόγου ὁμολογεῖν. οὐ γὰρ καθ' ὁμοιότητα τῶν λίθων ἀψύχως ὑφεστάναι τὸν λόγον εὐαγές ἐστιν οἴεσθαι. ἀλλ' εἰ ὑφέστηκε νοερόν τι χρῆμα καὶ ἀσώματον ὤν, ζῇ πάντως. εἰ δὲ τοῦ ζῆν κεχώρισται, οὐδὲν ἐν ὑποστάσει πάντως ἐστίν. ἀλλαμὴν ἀσεβὲς ἀπεδείχθη τὸν τοῦ Θεοῦ Λόγον ἀνυπόστατον εἶναι· οὐκοῦν συναπεδείχθη κατὰ τὸ ἀκόλουθον ἐν ζωῇ τοῦτον θεωρεῖσθαι τὸν Λόγον. ἁπλῶς δὲ τῆς τοῦ Λόγου φύσεως κατὰ τὸ εἰκὸς εἶναι πιστευομένης, καὶ οὐδὲ μίαν διπλόην καὶ σύνθεσιν ἐν ἑαυτῇ δεικνυούσης, οὐκέτ' ἂν τις κατὰ μετουσίαν ζωῆς τὸν Λόγον ἐν ζωῇ θεωροίη. οὐ γὰρ ἂν ἐκτὸς εἴη συνθέσεως ἡ τοιαύτη ὑπόληψις τὸ ἕτερον ἐν ἑτέρῳ λέγειν εἶναι, ἀλλ' ἀνάγκη πᾶσα τῆς ἁπλότητος ὁμολογουμένης, αὐτοζωὴν εἶναι τὸν Λόγον οἴεσθαι, οὐ ζωῆς μετουσίαν. εἰ οὖν ζῇ ὁ Λόγος ὡς ζωὴ ὤν, καὶ προαιρετικὴν πάντως δύναμιν ἔχει, οὐδὲν γὰρ ἀπροαίρετον τῶν ζώντων ἐστι. τὴν δὲ προαίρεσιν ταύτην καὶ δυνατὴν εἶναι κατὰ τὸ ἀκόλουθον, ἐσεβές ἐστι λογίζεσθαι· εἰ γὰρ μή τις τὸ δυνατὸν ὁμολογοίη, τὸ ἀδύνατον πάντως κατασκευάσει. ἀλλαμὴν πόρρω πάντως τῆς περὶ τὸ θεῖον ὑπολήψεως ἐστὶ τὸ ἀδύνατον· οὐδὲν γὰρ τῶν ἀπεμφαινόντων περὶ τὴν θείαν θεωρεῖται φύσιν. ἀνάγκη δὲ πᾶσα τοσαύτην εἶναι ὁμολογεῖν τοῦ Λόγου τὴν δύναμιν, ὅση ἐστὶ καὶ ἡ πρόθεσις, ἵνα μή τις μίξις τῶν ἐναντίων καὶ συνδρομὴ περὶ τὸ ἁπλοῦν θεωροῖτο, ἀδυναμίας τε καὶ δυνάμεως ἐν τῇ αὐτῇ προθέσει θεωρουμένων, εἴπερ τὸ μέν τι δύναιτο, πρὸς δ' ἔτι ἀδυνάτως ἔχει, πάντα δὲ δυναμένην τὴν τοῦ Λόγου προαίρεσιν, πρὸς οὐδὲν τῶν κακῶν τὴν ῥοπὴν ἔχειν. ἀλλοτρία γὰρ τῆς θείας φύσεως ἡ πρὸς κακίαν ὁδμὴ, ἀλλὰ πᾶν ὅτι πέρ ἐστιν ἀγαθὸν, τοῦτο καὶ βούλεσθαι, βουλομένην δὲ πάντως καὶ δύνασθαι, δυναμένην δὲ μὴ ἀνενέργητον εἶναι, ἀλλὰ πᾶσαν ἀγαθοῦ πρόθεσιν εἰς ἐνέργειαν ἀγαγεῖν. ἀγαθὸν δὲ ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ πάντα, σοφῶς τε καὶ τεχνικῶς θεωρούμενα. τοῦ Λόγου ἄρα ἔργα τὰ πάντα, τοῦ ζῶντος μὲν καὶ ὑφεστῶτος, ὅτι Θεοῦ Λόγος ἐστί. προαιραμένου δὲ ὅτι ζῇ, δυναμένου δὲ πᾶν ὅτι περ ἂν ἕληται.. αἱρουμένου δὲ πᾶν εἴτι τῆς κρείττονος σημασίας ἐστίν.

Ἐπεὶ δὲ ὁ Λόγος οὗτος ἕτερος ἐστι παρὰ τὸ οὗ ἐστι Λόγος, τρόπον γάρ τινα τῶν πρός τι λεγομένων καὶ τοῦτο ἐστί. χρὴ γὰρ πάντως τῷ Λόγῳ καὶ τὸν Πατέρα συνυπακούεσθαι. οὐ γὰρ ἂν εἴη Λόγος, μή τινος ὢν Λόγος. εἰ οὖν διακρίνει τῷ σχετικῷ τῆς σημασίας ἡ τῶν ἀκουόντων διάνοια, αὐτόν τε τὸν Λόγον καὶ τὸν ὅθεν ἐστὶν, οὐκέτ᾽ ἂν ἡμῖν κινδυνεύει τὸ μυστήριον ταῖς Ἑλληνικαῖς μαχόμενον ὑπολήψεσι, τοῖς τὰ τῶν Ἰουδαίων πρεσβεύουσι συνενεχθῆναι. ἀλλ᾽ ἐπίσης ἑκατέρων τὴν ἀτοπίαν ἐκφεύξεται, τόν τε ζῶντα τοῦ Θεοῦ Λόγον καὶ ἐνεργὸν καὶ ποιητικὸν ὁμολογῶν· ὅπερ ὁ Ἰουδαῖος οὐ δέχεται, καὶ τὸ διαφέρειν κατὰ τὴν φύσιν αὐτόν τε τὸν Λόγον καὶ τὸν ὅθεν ἐστίν. ὥσπερ γὰρ ἐφ᾽ ἡμῶν ἐκ τοῦ νοῦ φαμὲν εἶναι τὸν λόγον, οὔτε δι᾽ ὅλου τὸν αὐτὸν εἶναι τῷ νῷ, οὔτε παντάπασιν ἕτερον. τῷ μὲν γὰρ ἐξ ἐκείνου εἶναι, ἀλλ᾽ ὅτι καὶ οὐκ ἐκείνῳ ἐστί. τῷ δὲ αὐτὸν τὸν νοῦν εἰς τὸ ἐμφανὲς ἄγειν, οὐκέτ᾽ ἂν ἕτερόν τι παρ᾽ ἐκείνων ὑπονοοῖτο, ἀλλὰ κατὰ τὴν φύσιν ἓν ὢν, ἕτερον τῷ ὑποκειμένῳ ἐστὶν, οὕτω καὶ ὁ τοῦ Θεοῦ Λόγος τῷ μὲν ὑφεστάναι καθ᾽ ἑαυτὸν, διήρηται πρὸς ἐκεῖνον παρ᾽ οὗ τὴν ὑπόστασιν ἔχει, τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἃ περὶ τὸν Θεὸν καθορᾶται, ὁ αὐτός ἐστι κατὰ τὴν φύσιν ἐκείνῳ τῷ διὰ τῶν αὐτῶν γνωρισμάτων εὑρισκομένῳ.

Κυρίλλου Θησαυρικῶν ιθʹ. Ἀλλ᾽ εὑρίσκομεν, φησὶν, ἐν τοῖς Εὐαγγελίοις λέγοντα τὸν Υἱὸν ὡς πρὸς τὸν Πατέρα, "Πάτερ "δόξασόν σου τὸν Υἱὸν," ἀντακούοντα παρ᾽ αὐτοῦ, "καὶ ἐδόξασα "καὶ πάλιν δοξάσω," καὶ πῶς ἂν εἶναι δύναιτο Λόγος τοῦ Πατρὸς κατὰ ἀλήθειαν ὁ Υἱὸς, ὅπου φαίνεται πρὸς αὐτὸν διαλεγόμενος ὁ Πατὴρ, διάλεξις δὲ λόγου χωρὶς, οὐκ ἂν γένοιτο; ἢ τοίνυν αὐτὸς ἑαυτῷ ἔσται διαλεγόμενος ὁ Υἱὸς [ἐστὶν], εἴπερ[a] ὄντως λέγει τί πρὸς αὐτὸν ὁ Πατὴρ, ἕτερος ἐστὶ παρὰ τὸν ἐνδιάθετον καὶ ἐνυπάρχοντα τῷ Θεῷ κατὰ φύσιν λόγον, ὃς καὶ λαλεῖ πρὸς αὐτὸν κατὰ βούλησιν τοῦ Πατρός.

Οὐ παύσῃ συκοφαντῶν τὴν ἀσώματον οὐσίαν, Εὐνόμιε, λόγον ἐξ αὐτῆς ἀποτελεῖσθαι πιστεύων τοιοῦτον, ὁποῖος ἂν εἴη καὶ ὁ ἀνθρώπινος, διὰ χειλέων καὶ γλώττης ἀποκτυπούμενος, καὶ τὴν

[a] Leg. ἢ εἴπερ.

τοῦ πέλας προσράσσων ἀκοήν; ἵνα δὴ καὶ γένοιτο σαφὴς τοῦ λαλοῦντος ἡ βούλησις. εἰ γὰρ ἐθελήσαις ἀποσώζειν τῇ ἀσωμάτῳ φύσει τὸν αὐτῇ κατάλληλον λόγον, οὐ τοιαύτην εἶναι νομιεῖς τοῦ Πατρὸς τὴν φωνὴν ὡς εἰς ἀκοὴν φέρεσθαι σωματικήν. οὐ γὰρ μόνος ὁ Κύριος ἠκροάσατο τοῦ Πατρὸς λέγοντος "καὶ ἐδόξασα καὶ "πάλιν δοξάσω," ἀλλὰ γὰρ καὶ οἱ συνόντες αὐτῷ. διδάσκων δὲ σοφῶς ὁ Χριστὸς, ὅτι κυρίως καὶ φυσικῶς οὐκ ἐκείνη τοῦ Πατρὸς ἦν ἡ φωνὴ, ἀλλά τις κτύπος φωνῇ προσεοικὼς, ἐξήγγειλε τοῦ Πατρὸς τὴν ἐφ' Υἱῷ βούλησιν, καὶ ὅτι περ εἴη τίμιος παρ' αὐτῷ, λέγει πρὸς τοὺς ἀκροωμένους, "οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, "ἀλλὰ δι' ὑμᾶς." πρόσχες, οὐκ εἶπε λελάληκεν ὁ πατὴρ, ἢ ἐβόησεν, ἢ ἕτερόν τι τοιοῦτον, ἀλλὰ "δι' ὑμᾶς γέγονεν ἡ φωνή," οὓς ἀμήχανον ἦν ἀνθρώπους ὄντας ἑτέρως δύνασθαι μαθεῖν τοῦ Πατρὸς τὴν βούλησιν, εἰ μὴ ἀνθρωπεία πρὸς αὐτοὺς ἐγένετο φωνὴ, διά τινος θείας ἐνεργείας. τί τοίνυν μάτην τὰ οἰκονομικῶς γεγονότα δι' ἡμᾶς ἀναφέρεις ἐπὶ τὴν ἀσώματον οὐσίαν, τὰ τῇ γενητῇ πρέποντα ῥιψοκινδύνως καὶ ἐπὶ τὴν ἀγένητον ἀνατιθείς;

Εἰ δὲ καὶ διὰ ταύτην ὑπειλήφασι τὴν αἰτίαν οἱ Χριστομάχοι, μὴ εἶναι τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, ἐπεὶ μήτε ὁ Πατὴρ Λόγος ἐστι, μήτε ὁ Λόγος Πατὴρ, καὶ τὴν ἑνότητα τῆς φύσεως, τῷ διαφόρῳ τῶν ὀνομάτων διατέμνειν δύνασθαι πεπιστεύκασι, λεγέτωσαν ἡμῖν πῶς ὁ προπάτωρ Ἀδὰμ ὁμοούσιος ἔσται πρὸς τὸν ἐξ αὐτοῦ γεγονότα, οὔτε αὐτὸς Ἄβελ εἶναι δυνάμενος, οὔτε μὴν τοῦ Ἄβελ ἐσομένου ποτὲ Ἀδάμ· ἀλλ' οὐκ ἐκβάλλει τῆς οὐσίας τὴν ταυτότητα ἡ τῶν ὀνομάτων διαφορά. εἰ δὲ πάλιν καθ' ὑμᾶς ἕτερός ἐστιν ὁ ἐνυπάρχων τῷ Πατρὶ κατὰ φύσιν Θεὸς Λόγος, παρὰ τὸν ἐν ταῖς θείαις γραφαῖς σημαινόμενον, καὶ κεῖται μέν τις ἐν Πατρὶ κεκρυμμένος καὶ ἐνδιάθετος, ἕτερος δέ τις ἐστὶν ἐξαγγελτικὸς τῶν παρ' αὐτοῦ λεγομένων, ὃν καὶ Ἰωάννης Θεὸν Λόγον εἶναι φησὶν, πῶς ἔτι τῷ Θεῷ καὶ Πατρὶ, τὸ ἁπλοῦν καὶ ἀσύνθετον σωθήσεται, εἴπερ ἀναγκαίως ὁ κεκρυμμένον τι καὶ ἐμφανὲς ἔχων, ἁπλοῦς οὐκ ἂν εἴη, σύνθετος δὲ μᾶλλον καὶ ἐκ δύο συγκείμενος; ἔστι δὲ ἁπλοῦς κατὰ φύσιν ὁ Θεὸς, καὶ οὐδὲν αὐτῷ σύνθετον. εἷς ἄρα Λόγος ἐν αὐτῷ φυσικός τε καὶ ἐνδιάθετος ὁ Υἱός. καὶ πῶς ἂν δύναιτό φησιν Λόγος εἶναι τοῦ Πατρὸς ὁ Υἱὸς, εἴπερ

ὁ μὲν Λόγος ῥήματός ἐστιν ἀργὴ προφορὰ, ὁ δὲ υἱὸς ζῶον ἐστί; σκανδαλίζῃ μάτην οὐκ ἀναβαίνων τὰ ἀνθρώπινα. ἢ οὐκ οἶσθα ὅτι τοῖς καθ' ἡμᾶς ὀνόμασι τὸ θεῖον ἀποκαλεῖται· πάντα δὲ ἑτέρως ἐστὶν ἢ καθάπερ ἡμεῖς; οὐ γὰρ ἐπειδή περ ὁ τοῦ ἀνθρώπου Λόγος ἀνυπόστατος, καὶ γλώττης ἐξήχημα πρὸς ἀέρα πεμπόμενον. διὰ τοῦτο καὶ ὁ θεῖος ὡσαύτως ἕξει λόγος, ἀλλὰ ζῶν ἐκ ζῶντος, καὶ ὑφεστηκὼς ἐξ ὑφεστηκότος ἐστίν. εἰ δὲ Λόγος ἐκλήθη, κατὰ τὴν σὴν δυσφημίαν, οὐχ ὅτι κατὰ φύσιν τοῦτο ἐστὶν ἐκ Πατρὸς προελθὼν, καὶ τῆς τοῦ τεκόντος οὐσίας ἐμφαντικὸς, ἀλλ' ὅτι τὸν παρὰ Πατρὸς ἀκούσας λόγον, ἐξαγγέλλει τοῦτον εἰς ἡμᾶς, τήρει καὶ ἐν τοῖς ἄλλοις τὴν ἴσην ἀκολουθίαν, ἵνα καὶ μειζόνως ἀσχημονήσῃς. εἰ γὰρ λόγος ἐστὶν ὅτι λόγον ἀκήκοεν, ἀναγκαίως εἰπεῖν ὅτι καὶ δικαιοσύνη καὶ ἁγιασμός ἐστιν, ὡς δικαιοσύνης καὶ ἁγιασμοῦ μέτοχος, καὶ οὐ κατὰ φύσιν ταῦτα ὑπάρχων· τὰ δὲ μὴ κατὰ φύσιν, ῥαδίως ἀποσυμβήσεται, καὶ ποτὲ δικαιοσύνης καὶ ἁγιασμοῦ ἔρημος καθ' ὑμᾶς ὁ τοῦ Θεοῦ Λόγος φανεῖται. εἰ οὖν διὰ τοῦτο κεκλῆσθαι φησὶν ἑαυτὸν λόγον, ἐπειδή περ ἀκούσας παρὰ τοῦ Πατρὸς τοῦτον εἰς ἡμᾶς ἐξήγγειλεν, οὐκέτι Λόγος ἐστὶν, ἀλλὰ λόγου μέτοχος. οὐκοῦν μηδὲ Λόγος ὀνομαζέσθω, ἢ εἰ Λόγος, μὴ μέτοχος λόγου.

Ἀθανασίου. Ἀλλ' ἡμεῖς τούτοις ἐρρῶσθαι φράσαντες, φαμὲν ὅτι οὐκ ἔστιν ὁ Υἱὸς Λόγος ἐν καρδίᾳ τοῦ Πατρὸς, ἀλλὰ Λόγος ζῶν, ἀπὸ ζῶντος Θεοῦ ἐκλάμψας, ἀνάρχως τῷ Πατρὶ συνὼν, ὡς μηδέποτε μόνον ἐπινοεῖσθαι τὸν Πατέρα. περὶ τούτου καὶ Παῦλος φησὶ, "ζῶν γὰρ ὁ τοῦ Θεοῦ Λόγος καὶ ἐνεργής." ἵνα δὲ μὴ λόγον ἀκούσαντες, μηδὲν φοβερὸν ὑποπτεύσωσιν, ἐπεξηγεῖται τὸ εἰρημένον, τῶν παρ' ἡμῖν δεηθεὶς ὑποδειγμάτων· ἐπάγει γοῦν, "καὶ "τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος "ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, "καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας."

Χρυσοστόμου. Ἐνταῦθα φοβερόν τι ἠνίξατο, ἢ ὅτι τὸ πνεῦμα διαιρεῖ ἀπὸ τῆς ψυχῆς, ὅπέρ ἐστιν ἡ ἐν τοῖς Εὐαγγελίοις ἀπειλουμένη διχοτομία, ἡ τελεία τοῦ Ἁγίου Πνεύματος ἐγκατάλειψις· οὗ γενομένου λοιπὸν πάντα ἕψεται τὰ χαλεπά. ἢ ὅτι καὶ αὐτῶν τῶν ἀσωμάτων διϊκνεῖται, οὐ καθὼς ἡ μάχαιρα μόνον τῶν σωμάτων.

δείκνυσιν ἐνταῦθα ὅτι καὶ ψυχὴ κολάζεται, καὶ ὅτι τὰ ἐνδότατα διερευνᾶται, ὅλον δι' ὅλου διϊκνουμένη τὸν ἄνθρωπον. καὶ ἵνα μὴ τὰ τῆς ψυχῆς ἀκούσαντες ῥαθυμήσωσι, προστίθησι καὶ τὰ τοῦ σώματος. τότε γὰρ οὕτω γίνεται, καθάπερ τίς βασιλεὺς ἄρχοντας ἁμαρτῶντας μεγάλα πρότερον ἀπογυμνοῖ οἷον τῆς στρατείας, καὶ τὴν ζώνην ἀφελόμενος καὶ τὸ ἀξίωμα, καὶ τὸν κήρυκα τότε κολάζει, οὕτω καὶ ἐνταῦθα τοῦ Πνεύματος ἡ μάχαιρα ἐργάζεται. εἰπὼν δὲ "κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας," μάλιστα αὐτοὺς ἐφόβησε. μὴ γὰρ εἰ ἔτι, φησὶν, ἐν τῇ πίστει ἑστήκατε, μὴ μετὰ πληροφορίας δὲ θαρρεῖτε, αὐτὸς τὰ ἐγκάρδια κρίνει, ἐκεῖ γὰρ διαβαίνει καὶ κολάζων καὶ ἐξετάζων.

13 Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ.

Τοῦ αὐτοῦ. Τί λέγω περὶ ἀνθρώπων φησὶν, κἂν γὰρ Ἀγγέλους εἴπῃς, κἂν Ἀρχαγγέλους, κἂν τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, κἂν οἱανδήποτε κτίσιν, πάντα ἐκκεκάλυπται τῷ ὀφθαλμῷ ἐκείνῳ, πάντα δῆλα ἐστὶ καὶ φανερά.

Θεοδωρίτου. Οὐδέν ἐστι τὸ λαθεῖν αὐτὸν δυνατὸν τὸν ἀδέκαστον δικαστὴν, πάντα δὲ ἀκριβῶς ἐπίσταται καὶ αὐτῶν τῶν λογισμῶν τὰ κινήματα. οἶδε τὰ ἐν τῷ σκότει γινόμενα. οἶδε τὰ κρύβδην τολμώμενα. οὐ λέληθεν αὐτὸν τὰ πονηρὰ βουλεύματα τῆς ψυχῆς· ἀσώματος γὰρ ὢν, μέσος καὶ ψιθυρισμῶν καὶ βλεμμάτων καὶ νοημάτων ἕστηκεν.

Πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

Χρυσοστόμου. Τὸ τετραχηλισμένα εἴρηται ἀπὸ μεταφορᾶς τῶν δερμάτων τῶν ἀπὸ τῶν ἱερείων ἐξελκομένων. ὥσπερ γὰρ ἐκεῖνα ἐπειδάν τις σφάξας ἀπὸ τῆς σαρκὸς παρελκύσει τὸ δέρμα, πάντα τὰ ἔνδον ἀποκαλύπτει, καὶ δῆλα ποιεῖ τοῖς ἡμετέροις ὀφθαλμοῖς, οὕτω καὶ τῷ Θεῷ δῆλα πρόκειται πάντα. "πρὸς ὅν," φησιν, "ἡμῖν ὁ λόγος," τουτέστιν ᾧ μέλλομεν δοῦναι εὐθύνας τῶν πεπραγμένων· ἡ γὰρ ἡμέρα δηλώσει ἐκείνη, ὅταν ὁ ζῶν τοῦ Θεοῦ Λόγος τὰ κρυπτὰ τῶν ἀνθρώπων εἰς μέσον ἄγων, καὶ τοῖς λάθρα γινομένοις παρὼν, πάντα γυμνὰ καὶ τετραχηλισμένα πρὸ τῶν ἁπάντων ὀφθαλμῶν θῇ. σὺ δέ μοι θέα πῶς ἀεὶ τῶν σωματικῶν εἰκόνων δεῖται,

ὅπερ ἦν τῆς ἀσθενείας τῶν ἀκουόντων. ὅτι γὰρ ἀσθενεῖς ἦσαν, ἐδήλωσεν εἰπὼν νωθροὺς αὐτοὺς εἶναι, καὶ χρείαν ἔχοντας γάλακτος οὐ στερεᾶς τροφῆς.

Ἰσιδώρου. Διὰ τοῦτο τὸ γυμνὰ καὶ τετραχηλισμένα εἴρηται, ἐκ μεταφορᾶς τῶν ἱερείων τῶν εἰς θυσίαν προσαγομένων. ὥσπερ γὰρ ἐκεῖνα τῶν δορῶν ἀφαιρούμενα, πάσης τῆς φαινομένης ἀπογυμνοῦνται περιβολῆς, καὶ τῶν κεκρυμμένων ἔνδοθεν ἐπιδείκνυται τὴν διάθεσιν, καὶ τραχηλίζεται εἰς ἔρευναν παντὸς ὀστέου καὶ μέλους πρὸς τὸ πάντα ἐκκαθαρθῆναι διὰ τὴν τοῦ αἵματος τῷ προσάγοντι καθαρότητα, οὕτω καὶ ἐπὶ τῆς μεγάλης τοῦ Κυρίου ἡμέρας ἡ τῶν ἀδήλων καὶ ἀφανῶν πράξεων ἀνακάλυψις, ἀναγνώσει καὶ τραχηλισμῷ εἰκυῖα φανήσεται, οὐδενὸς λαθεῖν δυναμένου, ἀλλὰ πάντων εἰς τοὐμφανὲς ἀγομένων.

Θεοδωρίτου. Γυμνὰ γὰρ αὐτῷ καὶ τὰ κεκρυμμένα. τὸ δὲ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, ἐκ μεταφορᾶς τέθεικε τῶν θυομένων ζώων, ἃ παντελῶς ἄφωνα κεῖται, τῆς σφαγῆς τὴν ζωὴν ἀφελομένης, καὶ μετὰ τῆς ζωῆς τὴν φωνὴν, οὕτω φησὶ καὶ ἡμεῖς κρινόμενοι θεώμεθα μὲν ἅπαντα, δυσσεβῶς παρ' ἡμῶν ἢ παρανόμως γεγενημένα, σιγῶντες δὲ τῆς τιμωρίας δεχόμεθα τὴν ψῆφον, ἅτε δὴ τὸ δίκαιον αὐτῆς ἐπιστάμενοι.

Κυρίλλου Θησαυρικῶν λβ'. Ἐνταῦθα μέν τοι πάλιν ἔξεστιν ὁρᾷν τὰ τοῦ Πατρὸς ἴδια φέροντα τὸν Υἱὸν, καὶ τοιούτοις ἐπαγλαϊζόμενον ἀγαθοῖς οἷς περ ἂν φαίνοιτο καὶ ὁ γεννήσας αὐτόν. τοῦ Θεοῦ τοιγαροῦν καὶ Πατρὸς πάντα φέροντος ἑτοίμως, καὶ πᾶσιν ἀκωλύτως ἐνατενίζοντος, εἰδότος τε ἔτι καρδίας καὶ νεφροὺς, καὶ διὰ τοῦτο λέγοντος ποτὲ μὲν, "τίς οὗτος ὁ κρύπτων με βουλήν;" ποτὲ δὲ "Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ Θεὸς πόρρωθεν. "μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;" τοῦτο προσεῖναι καὶ τῷ Υἱῷ δι' ὧν ἔφησεν ὁ Παῦλος ἐπιμαρτυρεῖ. εἶτα ζῶντος τοῦ Πατρὸς διὰ τὸ εἶναι ζωὴν ζῶντα καὶ τὸν λόγον ἀποκαλεῖ, διὰ τὸ εἶναι καὶ αὐτὸν κατὰ φύσιν ζωήν. πάντων οὖν ὅσα πρόσεστι τῷ Πατρὶ κατὰ φύσιν, καὶ ἐν Υἱῷ κειμένων φυσικῶς τε καὶ οὐσιωδῶς, τίς ποίημα λέγων αὐτὸν, οὐκ ἂν εἴη τοῖς ἀφύκτοις τῆς δυσφημίας ἐγκλήμασιν ἔνοχος; πῶς γὰρ οὐκ ἂν εἴη ἀλλήλοις ὁμοφυῆ τὰ τῆς αὐτῆς ὄντα φύσεώς τε καὶ οὐσιώδους ἐνεργείας; ὅρα δὲ ὅτι τῶν πάντων

αὐτὸν ὁ Παῦλος διαστέλλων τρανότατα λέγει, ὅτι πάντα τετραχήλισται τοῖς ὀφθαλμοῖς αὐτοῦ. εἰ τοίνυν πάντων ἐστὶ ποιητὴς, καὶ πάντα ἐνώπιον αὐτοῦ τετραχήλισται, οὐκ ἂν εἴη τῶν πάντων εἷς ποιητής; καὶ ᾧ τὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα ἐστὶν, οὐκ ἂν εὐλόγως νοοῖτο εἷς ὑπάρχειν τῶν τετραχηλισμένων. ἐν γὰρ τῷ λέγειν τὰ πάντα, οὐδὲν ἀφεῖκεν ἐκτός. καὶ εἰ ἐν μόνοις τοῖς κτίσμασι πληροῦται τὰ πάντα, ἕτερος ἂν εἴη παρ' αὐτὰ ὁ μὴ ἐν αὐτοῖς ἀριθμούμενος. οὕτω καὶ ὁ μακάριος Παῦλος τοῦ πάντα νοεῖ τὴν δύναμιν. ἑρμηνεύων γὰρ τὸ "πάντα ὑπέταξας ὑπὸ τοὺς "πόδας αὐτοῦ," ἐπιφέρει σοφῶς, "ἐν δὲ τῷ λέγειν τὰ πάντα, "οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον." εἰ τοίνυν τὸ πάντα τῶν ὅλων ἐστὶ περιεκτικὸν, τὰ πάντα δὲ τῷ Υἱῷ τετραχήλισται, οὐκ ἂν εἴη τῶν πάντων εἷς, ἀλλ' ἕτερος παρ' αὐτά.

Κυρίλλου. Τό γε μὴν "διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς "καὶ πνεύματος," ἔστι καὶ οὕτως νοῆσαι, ὅτι τὸ παρὰ Θεοῦ κήρυγμα διαιρεῖ καὶ μερίζει τὰ τῆς ψυχῆς μέρη, δεκτικὴν ποιοῦν καὶ χωρητικὴν τῶν ἀκουομένων.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας.

Θεοδωρίτου. Ἐν μὲν τοῖς πρόσθεν εἰρημένοις μᾶλλον δὲ ἑρμηνευμένοις, τῶν καταπαύσεων τὴν σύγκρισιν ἐποιήσατο, καὶ ἔδειξε τὴν ἡμῖν ἐπηγγελμένην ἀμείνω τοῖς Ἰουδαίοις ὑπεσχημένης. ἐκείνοις γὰρ, τὴν γῆν τῆς ἐπαγγελίας ὑπέσχετο, ἡμῖν δὲ τὸν οὐρανόν. ἐντεῦθεν δὲ λοιπὸν τῆς ἀρχιερωσύνης ποιεῖται τὴν παρεξέτασιν, καὶ δείκνυσι πολλῷ μείζονά τε καὶ κρείττονα τῆς Λευϊτικῆς τὴν κατὰ τάξιν Μελχισεδέκ· τῷ παραινετικῷ δὲ πάλιν σχήματι κεχρημένος ποιεῖται τὴν σύγκρισιν, ἵνα μὴ δόξῃ τοῖς ἔτι τὴν κατὰ νόμον πολιτείαν ἀσπαζομένοις τῷ νόμῳ πολεμεῖν, ἀλλ' οὐ τῇ ἀληθείᾳ συνηγορεῖν.

Ἀρχιερέα δὲ τὸν Κύριον Ἰησοῦν προσηγόρευσεν ὡς τὴν ὑπὲρ ἡμῶν προσενηνοχότα θυσίαν, καὶ ἄραντα τοῦ κόσμου τὴν ἁμαρτίαν. τούτου δὴ χάριν καὶ ἀμνὸς ὠνομάσθη. "ἴδε" γάρ φησιν, "ὁ "ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου." δῆλον δὲ

καὶ τοῖς ἄγαν φιλονείκοις, ὡς ἀνθρώπεια τὰ ὀνόματα. εἰ δὲ τῆς θεότητος ταῦτα τινὲς ὑπειλήφασι, καλείτωσαν αὐτὴν καὶ κατάραν, καὶ δούλου μορφὴν, καὶ ὅσα τοιαῦτα. εἰ δὲ οὐδὲν τούτων τῆς θείας φύσεως ἴδιον, λείπεται νοεῖν ταῦτα τῆς οἰκονομίας ὀνόματα. ὥσπερ γὰρ ἄνθρωπος λέγεται γεγενῆσθαι φύσιν ἀνθρωπείαν ἀνειληφὼς, οὕτως ἀρχιερεὺς ἡμῶν ὡς ἄνθρωπος κέκληται. τοῦτο δὲ καὶ τὰ ἀποστολικὰ ἡμᾶς διδάσκει ῥητά· δείκνυσι γὰρ αὐτὸν τοὺς οὐρανοὺς διεληλυθότα. ἡ δὲ τοῦ δεσπότου Χριστοῦ θεότης, ἀπερίγραφον ἔχει τὴν φύσιν, πανταχοῦ πάρεστι καὶ τοῖς πᾶσι παρίσταται. τοῦτο καὶ αὐτὸς ἡμᾶς ὁ δεσπότης ἐδίδαξεν. "οὐδεὶς γάρ," φησιν, "ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ "καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ." κάτω γὰρ ὢν, καὶ τοῖς ἀνθρώποις διαλεγομένος, ἔλεγεν εἶναι καὶ ἄνω. χρὴ τοίνυν ἡμᾶς εἰδέναι τίνα μὲν τῆς θεολογίας, τίνα δὲ τῆς οἰκονομίας ὀνόματα. ὁ μέν τοι θεῖος Ἀπόστολος ὑποδείξας ἡμῖν τὸν μέγαν τοῦτον ἀρχιερέα, πρῶτον εἰς τὴν ἀληθινὴν εἰσεληλυθότα κατάπαυσιν, καὶ τῶν οὐρανῶν γεγενημένον ὑπέρτερον, τὴν ὁμολογίαν κατέχειν παρεγγυᾷ. ὁμολογίαν δὲ ἡμῶν τὴν πίστιν ὠνόμασεν. ὁμολογοῦμεν γὰρ πιστεύειν οὐ μόνον εἰς Πατέρα *καὶ* Υἱὸν *καὶ* Ἅγιον Πνεῦμα, *ἀλλὰ καὶ εἰς ἀνάστασιν νεκρῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ εἰς οὐρανῶν βασιλείαν.*

ΧΡΥΣΟΣΤΌΜΟΥ. *Ὅρα δὲ ὅτι οὐ τὸ πᾶν τῷ ἱερεῖ δίδωσιν, ἀλλὰ καὶ τὰ παρ' ἡμῶν ζητεῖ, λέγω δὴ τὴν ὁμολογίαν. ποίαν δὴ ταύτην; ὅτι ἀνάστασις ἐστὶν, ὅτι ἀνταπόδοσις, ὅτι μυρία ἀγαθὰ, ὅτι ὁ* Χριστὸς Θεός *ἐστιν, ὅτι ἡ πίστις ὀρθὴ, ταῦτα ὁμολογήσωμεν, ταῦτα κατέχωμεν. ὅτι γὰρ ταῦτα ἀληθῆ, δῆλον ἐκ τοῦ τὸν ἀρχιερέα ἔνδον εἶναι· εἰ καὶ μὴ πάρεστι τὰ πράγματα, ἀλλ' ἡμεῖς ὁμολογήσωμεν, εἰ ἄρτι παρῆν, ψεῦδος ἦν, ὥστε καὶ τοῦτο ἀληθὲς, τὸ ὑπερτίθεσθαι. καὶ γὰρ ὁ ἀρχιερεὺς ἡμῶν μέγας,* "Μωσῆς *μὲν* "*γάρ*" *φησιν,* "*οὐκ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν, αὐτὸς δὲ* "*εἰσῆλθε.*" *καὶ πῶς τοῦτο οὐδαμοῦ τέθεικεν; ἵνα μὴ δόξωσιν ἀπολογίαν εὑρίσκειν. συμπεριέλαβε δὲ αὐτὸ, καὶ ἵνα μὴ δόξῃ κατηγορεῖν τοῦ ἀνδρὸς, φανερῶς αὐτὸ οὐκ εἶπεν. εἰ γὰρ οὐδενὸς τούτων λεχθέντος ταῦτα προέφερον λέγοντες, κατὰ* Μωσέως *καὶ κατὰ τοῦ νόμου οὗτος εἴρηκε, πολλῷ μᾶλλον εἰ εἶπεν οὐκ ἔστι* Παλαιστίνη,

ἀλλ' οὐρανὸς, μεῖζον ἂν τοῦτον εἶπεν. ὅρα δὲ τὴν ἀκολουθίαν. ἐπειδὴ εἶπεν ἄνωθεν, "παρακαλεῖτε ἀλλήλους," ὥς τινος εἰπόντος. τί οὖν ποιήσομεν ἵνα μὴ πέσωμεν, μηδὲ ὀλιγοψυχήσωμεν; ἱκανὰ μὲν κἀκεῖνα παιδεῦσαι φησὶν, ἔχομεν δὲ καὶ ἀρχιερέα μέγαν ὃς διῆλθε τοὺς οὐρανοὺς καὶ ἐκάθισεν ἐπὶ τὸν πατρικὸν θρόνον. τοιγαροῦν καὶ ἡμᾶς ἰσχύει εἰσαγαγεῖν, ἀλλ' οὐχ ὥσπερ Μωϋσῆς, οὔτε αὐτὸς ἴσχυσεν εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὔτε τὸν λαὸν εἰσήγαγεν. ἐπειδὴ μέν τοι εἶπεν, "οὐκ ἔστι κτίσις ἀφανὴς "ἐνώπιον αὐτοῦ," τὴν θεότητα αἰνιττόμενος, πάλιν ἐπειδὴ τῆς σαρκὸς ἐπελάβετο, συγκαταβατικώτερον διαλέγεται, καὶ ἀρχιερέα καλεῖ τὸν Κύριον, καὶ μείζονα δείκνυσι τὴν κηδεμονίαν, καὶ ὅτι ὥσπερ οἰκείων προΐσταται, καὶ οὐ θέλει αὐτοὺς ἐκπεσεῖν· διὰ τοῦτο ἐπήγαγεν,

13 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας.

Χρυσοστόμου. Τοῦτο καὶ ἀνωτέρω ἔλεγεν, "ὅτι ἐν ᾧ πέπονθεν "αὐτὸς πειρασθεὶς δύναται τοῖς πειραζομένοις, βοηθῆσαι." τὸ αὐτὸ κἀνταῦθα ποιεῖ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἦλθε, φησὶν, ὁδὸν ἣν καὶ ἡμεῖς νῦν, μᾶλλον δὲ καὶ τραχυτέραν, πάντων γὰρ ἔλαβε τῶν ἀνθρωπίνων πεῖραν. οὐκ ἔστιν ἀγνοῶν τὰ ἡμέτερα, ὡς πολλοὶ τῶν ἀρχιερέων, οἳ τοὺς ἐν θλίψεσιν οὐκ ἴσασιν, οὐδὲ ὅτι ποτέ ἐστι θλίψις. ἐπὶ γὰρ ἀνθρώπων ἀδύνατον εἰδέναι τὴν κάκωσιν τοῦ κακουμένου, τὸν μὴ πεῖραν λαβόντα, καὶ διὰ τῶν αἰσθητῶν ἐλθόντα. ὁ δὲ ἡμέτερος ἀρχιερεὺς, διὰ τοῦτο πρῶτον πάντα ὑπέστη, καὶ τότε ἀνέβη, ἵνα δύνηται συμπαθεῖν.

Θεοδωρίτου. Ἀλλὰ τί βούλεται ταῦτα τῷ Ἀποστόλῳ; πολλὰς κατ' ἐκεῖνον τὸν καιρὸν οἱ πεπιστευκότες ἐδέχοντο πειρασμῶν τρικυμίας. ψυχαγωγεῖ τοίνυν αὐτοὺς διδάσκων ὡς ὁ ἡμέτερος ἀρχιερεὺς, οὐ μόνον ὡς Θεὸς οἶδε τῆς ἡμετέρας φύσεως τὴν ἀσθένειαν, ἀλλὰ καὶ ὡς ἄνθρωπος, πεῖραν τῶν ἡμετέρων ἔλαβε παθημάτων, μόνης τῆς ἁμαρτίας διαμείνας ἀμύητος. ταύτην δέ φησιν ἡμῶν τὴν ἀσθένειαν ἐπιστάμενος, καὶ τὴν ἁρμόττουσαν ὀρέγει βοήθειαν, καὶ δικάζων ἡμῖν πρὸς τὴν ἀσθένειαν ἐξοίσει τὴν ψῆφον.

Χρυσοστόμου. Πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, ὅρα πῶς καὶ ἄνω τὸ παραπλησίως τέθεικεν, εἰπὼν "παραπλησίως "μετέσχε τῶν αὐτῶν," καὶ ἐνταῦθα τὸ καθ' ὁμοιότητα, τουτέστιν ἐδιώχθη, ἐνεπτύσθη, ἐσκώφθη, ἀπηλάθη, τὸ τέλος ἐσταυρώθη. προσθεὶς δὲ ὅτι χωρὶς ἁμαρτίας καὶ ἄλλο αἰνίττεται, ἐν θλίψεσιν ὄντα διενεγκεῖν. ὥστε καὶ ὅταν λέγῃ "ἐν ὁμοιώματι σαρκὸς," οὐ τοῦτο φησὶν ὅτι ὁμοίωμα εἶχε σαρκὸς, ἀλλ' ὅτι σάρκα ἀνέλαβε. διατί οὖν εἶπεν "ἐν ὁμοιώματι;" ὅτι περὶ ἁμαρτωλοῦ σαρκὸς ἔλεγεν. ὁμοία γὰρ ἦν τῇ σαρκὶ τῇ ἡμετέρᾳ. τῇ μὲν γὰρ φύσει, ἡ αὐτὴ ἦν ἡμῖν· τῇ δὲ ἁμαρτίᾳ οὐκέτι ἡ αὐτή.

Κυρίλλου. Εἰ καὶ μὴ γέγονεν ἄνθρωπος, φησὶν, ὁ τοῦ Θεοῦ Λόγος, ἤδη μὲν καὶ οὕτω τὴν ἀνθρωπίνην ἀσθένειαν ὡς δημιουργός. αὐτὸς γὰρ ἔγνω τὸ πλάσμα ἡμῶν. ἐπειδὴ δὲ τὴν ἡμῶν ἠμπέσχετο σάρκα, πεπείραται κατὰ πάντα, καὶ οὐ δήπου φαμὲν ὡς ἠγνοηκὼς, ἀλλ' ὅτι τῇ γνώσει τῇ θεοπρεπεῖ προϋποκειμένῃ, καὶ τὸ διὰ πείρας αὐτῆς συνέβη μαθεῖν. γέγονε δὲ συμπαθὴς οὐκ ἀπό γε τοῦ πεπειρᾶσθαι. πόθεν δέ; ἦν γὰρ ἐλεήμων φύσει καὶ ἔστιν ὡς Θεός. ἐπειδὴ δὲ μετὰ τοῦ εἶναι ὅ ἐστι καὶ γέγονε καθ' ἡμᾶς ἀνθρωποπρεπῶς, καὶ ταῦτα λέγεται περὶ αὐτοῦ.

Ἀθανασίου περὶ τῆς σωτηριώδους ἐπιφανείας. Πάντα γὰρ ἔλαβεν ἐκ παρθένου ὅσα ἀρχῆθεν ὁ Θεὸς εἰς σύστασιν ἔπλασεν ἀνθρώπου, καὶ ἐποίησε χωρὶς ἁμαρτίας, οὐ τῆς θεότητος μεταποίησιν ἐνδειξάμενος, ἀλλὰ τῆς ἀνθρωπότητος καινοποίησιν ἐργασάμενος, οὐχὶ ἀνθρώπου πρὸς τὸν Θεὸν ὄντως, κατὰ τοὺς περὶ Ἀπολινάριον, ἀλλὰ Θεοῦ τοῦ μονογενοῦς εὐδοκήσαντος τῷ πληρώματι τῆς θεότητος αὐτοῦ, τὴν τοῦ ἀρχετύπου πλάσιν ἀνθρώπου καὶ ποίησιν καινὴν ἐκ μήτρας παρθένου ἀναστήσασθαι ἑαυτῷ φυσικῇ γεννήσει καὶ ἀλύτῳ ἑνώσει, ἵνα τὴν ὑπὲρ ἀνθρώπων σωτήριον πραγματείαν ποιήσηται, τῷ πάθει καὶ θανάτῳ καὶ ἀναστάσει ἀπολύτρωσιν τῶν ἀνθρώπων κατεργαζόμενος· ἀλλὰ λέγετε ὅτι εἰ πάντα ἔλαβε, πάντως δήπου καὶ τοὺς ἀνθρωπίνους λογισμοὺς εἶχεν. ἀδύνατον δέ ἐστιν ἐν λογισμοῖς ἀνθρωπίνοις ἁμαρτίαν μὴ εἶναι. καὶ πῶς ἐστὶ χωρὶς ἁμαρτίας ὁ Χριστός; εἴπατε τοίνυν εἰ τῶν ἁμαρτητικῶν λογισμῶν δημιουργὸς ὁ Θεὸς, προσακτέον τῷ Θεῷ τὴν ἰδίαν δημιουργίαν. ἦλθε γὰρ προσαγαγέσθαι τὴν ἰδίαν

ποίησιν· ἀλλ' ἄδικος ἔσται πάλιν ἡ κρίσις καταδικάζουσα τὸν ἁμαρτήσαντα. εἰ γὰρ ἁμαρτητικοὺς λογισμοὺς ἐδημιούργησεν ὁ Θεὸς, πῶς καταδικάζει τὸν ἁμαρτήσαντα; καὶ πῶς οἷόν τε παρὰ Θεοῦ τοιαύτην κρίσιν γενέσθαι; εἰ δὲ καὶ ὁ Ἀδὰμ ὑπέκειτο τοῖς τοιούτοις λογισμοῖς, πρὶν ἢ παρακοῦσαι τῆς τοῦ Θεοῦ ἐντολῆς, πῶς οὐκ ἐγίνωσκε καλὸν καὶ πονηρόν; λογικὸς μὲν ὢν τῇ φύσει, ἐλεύθερος δὲ τῶν λογισμῶν, πεῖραν κακοῦ οὐκ εἰδὼς, μόνον δὲ τὸ καλὸν γινώσκων, καὶ ὥσπερ τίς μονότροπος ὢν, παρακούσας δὲ τῆς ἐντολῆς τοῦ Θεοῦ ὑποπέπτωκε τοῖς ἁμαρτητικοῖς λογισμοῖς, οὐ τοῦ Θεοῦ δημιουργήσαντος τοὺς αἰχμαλωτίζοντας λογισμοὺς, ἀλλὰ τοῦ διαβόλου ἐξ ἀπάτης ἐπισπείραντος.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤ' ΕΥΝΟΜΙΟΥ ΛΟΓ. Β'. *Διὰ τοῦτο μετέσχε τῆς φύσεως ἡμῶν ὁ μονογενὴς, κατὰ πάντα καθ' ὁμοιότητα· καθ' ὁμοιότητα δὲ τῷ μετὰ ψυχῆς καὶ σώματος ἀναλαβεῖν ὅλον τὸν ἄνθρωπον.*

16 Προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεος, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

ΧΡΥΣΟΣΤΟΜΟΥ. *Θρόνον χάριτος τίνα φησί; τὸν θρόνον τὸν βασιλικὸν, περὶ οὗ φησὶν "εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου "ἐκ δεξιῶν μου." ἵνα γὰρ μὴ ἀκούων ἀρχιερέα, νομίσῃς ἑστάναι αὐτὸν, εὐθέως ἐπὶ τὸν θρόνον ἄγει. ὁ δὲ ἱερεὺς οὐ κάθηται, ἀλλ' ἕστηκεν. ὁρᾷς ὅτι τὸ γενέσθαι ἀρχιερέα, οὐ φύσεώς ἐστιν, ἀλλὰ χάριτος καὶ συγκαταβάσεως καὶ κενώσεως.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Τάχα δὲ ἐπεὶ ὡς Θεὸς ὁ δεσπότης Χριστὸς, φυσικὴν ἔχει τὴν βασιλείαν καὶ αἰώνιον τὸν θρόνον, "ὁ θρόνος "σου," γάρ φησιν, "ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος," ὡς δὲ ἄνθρωπος καὶ ἀρχιερεὺς καὶ Ἀπόστολος τῆς ὁμολογίας ἡμῶν, ἀκούει "κάθου ἐκ δεξιῶν μου," τοῦτον χάριτος κέκληκε θρόνον ὁ θεῖος Ἀπόστολος. οἶμαι δὲ αὐτὸν καὶ τὴν φιλανθρωπίαν αἰνίττεσθαι, ᾗ κεχρημένος δικάσει. τοῦτο γὰρ προστέθεικεν, "ἵνα λά-"βωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν." κατὰ γὰρ τὸν παρόντα προσιόντες βίον, καὶ τὴν ἀκραιφνῆ καὶ εἰλικρινῆ*

πίστιν ἐπιδεικνύμενοι, ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ τῆς φιλανθρωπίας τευξόμεθα.

Χρυσοστόμου. *Τί δέ ἐστι "προσερχώμεθα μετὰ παρρησίας;" ὅτι ἀναμάρτητον ἔχομεν ἀρχιερέα καταγωνιζόμενον τὴν οἰκουμένην. "θαρσεῖτε," γάρ φησιν, "ἐγὼ νενίκηκα τὸν κόσμον." τὸ γὰρ πάντα μὲν παθεῖν, καθαρὸν δὲ εἶναι ἁμαρτημάτων, τοῦτό ἐστιν. εἰ καὶ ἡμεῖς ὑπὸ ἁμαρτίας ἐσμέν φησιν, ἀλλ' αὐτὸς ἀναμάρτητος. πῶς προσερχώμεθα μετὰ παρρησίας; ὅτι θρόνος χάριτος, οὐ θρόνος κρίσεως νῦν. διὰ τοῦ μετὰ παρρησίας, ἵνα λάβωμεν ἔλεον οἷον ζητοῦμεν· φιλοτιμία γὰρ τὸ πρᾶγμα ἐστὶ, δωρεὰ βασιλική· ἢ τὸ μετὰ παρρησίας, ἀντὶ τοῦ μηδὲν ἔχοντος συνειδὸς πονηρόν, τουτέστι μὴ διστάζοντες, οὐ γὰρ δύναται μετὰ παρρησίας ὁ τοιοῦτος προσελθεῖν. "καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν." ἂν νῦν προσέλθῃς φησὶ, λήψῃ καὶ χάριν καὶ ἔλεον, εὐκαίρως γὰρ προσέρχῃ· ἂν δὲ τότε προσέλθῃς, οὐκέτι· ἄκαιρος γὰρ τότε ἡ πρόσοδος. οὐ γάρ ἐστι τότε θρόνος χάριτος, ἀλλὰ κρίσεως· ἕως τότε κάθηται χαριζόμενος, ὅταν δὲ ἡ συντέλεια ἐπιστῇ, τότε ἐγείρεται εἰς κρίσιν. "ἀνάστα," γάρ φησιν, "ὁ Θεὸς κρίνων τὴν γῆν." διὰ τοῦτο λέγει, "καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι." ἐπεὶ καὶ νῦν τὸ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντας εὑρίσκειν μετάνοιαν, χάριτός ἐστιν.*

Θεοδωρίτου. *Εἶτα τῆς ἱερωσύνης τὴν αἰτίαν διδάσκει, καὶ τίνος ἕνεκεν ταύτης ἀξιοῦνται τινὲς, καὶ τί ποιεῖν προσήκει τὸν ἀρχιερέα, ὅθεν ἐπάγει,*

1 Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ
ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ
2 δῶρα τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνά-
μενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς
3 περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς
περὶ τοῦ λαοῦ, οὕτως καὶ ὑπὲρ ἑαυτοῦ προσφέρειν ὑπὲρ
ἁμαρτιῶν.

Εἶπεν ἄνω ὅτι "οὐκ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι "ταῖς ἀσθενείαις ἡμῶν, ἀλλὰ πεπειραμένον κατὰ πάντα καθ' ὁμοιό-

" τητα χωρὶς ἁμαρτίας." ἀναγκαίως τοίνυν καὶ ταῦτα προστέθεικε διδάσκων, ὡς καὶ ἐν τῷ νόμῳ οὐκ Ἄγγελος ὑπὲρ ἀνθρώπων ἱερατεύειν ἐτάχθη, ἀλλ' ἄνθρωπος ὑπὲρ ἀνθρώπων, τὴν αὐτὴν φύσιν ἔχων, τὰ αὐτὰ περικείμενος πάθη, τῆς φύσεως τὴν ἀσθένειαν ἐπιστάμενος, συγγνώμην νέμων τοῖς ὀλισθαίνουσιν, ὀρέγων χεῖρα τοῖς ἁμαρτάνουσιν, ἐκ τῶν οἰκείων καὶ τὰ τοῦ πέλας σκοπῶν· οὗ δὴ χάριν καὶ τὰς θυσίας οὐχ ὑπὲρ τοῦ λαοῦ μόνον ἀλλὰ καὶ ὑπὲρ ἑαυτοῦ προσφέρειν νομοθετεῖται.

Χρυσοστόμου. Θέλει τοίνυν δεῖξαι λοιπὸν ὁ μακάριος Παῦλος, ὅτι πολλῷ βελτίων ἡ διαθήκη αὕτη τῆς παλαιᾶς. ποιεῖ οὖν τοῦτο πόρρωθεν προκαταβάλλων τοὺς λογισμούς. ἐπειδὴ γὰρ οὐδὲν ἦν σωματικὸν, ἢ φανταστικὸν, οἷον οὐ ναὸς, οὐχ ἅγια ἁγίων, οὐχ ἱερεὺς τοσαύτην ἔχων σκευὴν, οὐ παρατηρήσεις νομικαὶ, ἀλλ' ὑψηλότερα καὶ τελειότερα πάντα, καὶ οὐδὲν τῶν σωματικῶν, τὸ δὲ πᾶν ἐν τοῖς πνευματικοῖς ἦν· οὐχ οὕτω δὲ τὰ πνευματικὰ τοὺς ἀσθενεστέρους ἐπήγετο ὡς τὰ σωματικὰ, τοῦτον ὅλον ἀνακινεῖ τὸν λόγον· καὶ θέα τὴν σύνεσιν, ἀπὸ τοῦ ἱερέως πρώτου ποιεῖται τὴν ἀρχὴν, καὶ συνεχῶς αὐτὸν ἀρχιερέα καλεῖ, καὶ ἀπ' αὐτοῦ πρώτου δείκνυσι τὴν διαφοράν· διὰ τοῦτο ὁρίζεται πρῶτον τί ἐστιν ἱερεὺς, καὶ δείκνυσιν εἴ τινα ἔχει ἱερέως, καὶ εἴ τινα σύμβολα γίνεται ἱερωσύνης. ἀντέπιπτε δὲ αὐτῷ ὅτι οὐδὲ εὐγενὴς ἦν, οὔτε ἐκ φυλῆς ἱερατικῆς, οὔτε ἐπὶ τῆς γῆς ἱερεὺς, πῶς οὖν ἱερεύς φησιν, καὶ ὥσπερ ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ, ἀπίθανον λόγον λαβὼν ἡ πίστις ἐργάζεται τοῦτο, ὅπερ οὐκ ἴσχυσεν ὁ πόνος ὁ τοῦ νόμου καὶ ὁ τῆς πολιτείας ἱδρὼς, κατέφυγεν ἐπὶ τὸν πατριάρχην, καὶ εἰς ἐκεῖνον τὸν χρόνον τὸ πᾶν ἀνήγαγεν, οὕτω δὴ καὶ ἐνταῦθα, πρῶτον ἀπὸ τῶν παρόντων τοῦτο βεβαιοῦται. ἔδει μὲν γὰρ ἀπὸ τῶν οὐρανίων τὰ ἐπίγεια πιστοῦσθαι, ἀλλ' ὅταν ἀσθενεῖς ὦσιν οἱ ἀκούοντες, τὸ ἐναντίον γίνεται. τέως οὖν ἃ κοινά ἐστι τίθησι πρῶτα, καὶ τότε δείκνυσιν ὅτι ὑπερέχει. ἡ γὰρ κατὰ σύγκρισιν ὑπεροχὴ οὕτως γίνεται· ὅταν ἐν μὲν τοῖς, κοινωνῇ· ἐν δὲ τοῖς, ὑπερέχει, εἰ δὲ μὴ, οὐκέτι κατὰ σύγκρισιν γίνεται. "πᾶς," φησὶν, "ἀρχιερεὺς ἐξ "ἀνθρώπων λαμβανόμενος," τοῦτο κοινὸν τῷ Χριστῷ, "ὑπὲρ ἀν-"θρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν," καὶ τοῦτο οὐχ ὅλον, τὰ δὲ λειπόμενα οὐκέτι, "μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ

“πλανωμένοις.” ἐνταῦθα λοιπὸν ἡ ὑπεροχή. οὐ γὰρ δὴ καὶ ὁ Κύριος περίκειται ἀσθένειαν, ἀλλὰ τοῦτο ὅλον ἡμέτερον.

Ὁμιλία. Διὰ τοῦτο ἴσμεν συγγινώσκειν, ὅτι καὶ αὐτοὶ ἁμαρτήμασιν ὄντες ὑπεύθυνοι. διὰ γὰρ τοῦτο καὶ ὁ Θεὸς οὐκ Ἀγγέλους ἔδωκεν ἡμῖν διδασκάλους, οὐδὲ τὸν Γαβριὴλ ἄνωθεν κατενεγκὼν ἐπέστησεν αὐτοῦ ταῖς ἀγέλαις, ἀλλ' ἀπ' αὐτοῦ τοῦ ποιμνίου ἀναλαμβάνων, ποιεῖ ποιμένας, ἀπ' αὐτῶν τῶν προβάτων τὸν ἀγελάρχην, ἵνα συγγνωμονικὸς ᾖ τοῖς ἀρχομένοις, καὶ τὴν οἰκείαν ἀσθένειαν ἐννοῶν, μὴ ἐπαίρηται κατὰ τῶν ποιμαινομένων, ἀλλ' ἔχῃ χαλινὸν καὶ ταπεινοφροσύνης ὑπόθεσιν, τοῦ οἰκείου συνειδότος τὴν ἀνάγκην. ταῦτα νῦν ὁ Παῦλος φιλοσοφεῖ, καὶ τὴν αἰτίαν ἡμῖν ἄριστα λέγει, δι' ἣν οὐκ Ἄγγελοι οὐδὲ Ἀρχάγγελοι, ἀλλ' ἄνθρωποι ταῖς ἐκκλησίαις ἐφεστήκασιν, ἵνα δύνωνται συναλγεῖν τοῖς ὁμογενέσι, τὸ τῶν οἰκείων ἁμαρτημάτων συνειδὸς, μέγιστον διδασκαλίαν ταπεινοφροσύνης ἔχοντες. καὶ γὰρ καὶ αὐτὸς περίκειται,” φησὶν, “ἀσθένειαν, καὶ διὰ ταύτην ὀφείλει καθὼς περὶ τοῦ λαοῦ “οὕτως καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν.” τοῦτο γοῦν καὶ νῦν γίνεται. καὶ γὰρ τῇ ἱερᾷ ταύτῃ τραπέζῃ παρεστῶτες, καὶ τὴν φρικτὴν θυσίαν ἀναφέροντες, ὥσπερ ὑπὲρ τῶν τοῦ λαοῦ πλημμελημάτων, αἰτοῦμεν γενέσθαι συγχώρησιν, οὕτω καὶ ὑπὲρ τῶν ἡμετέρων αὐτὸν παρακαλοῦμεν, καὶ ὑπὲρ ἁπάντων τὴν θυσίαν ἀναφέρομεν ἐκείνην, καὶ ὑμῶν καὶ ἡμῶν τῶν ἀναφερόντων. διά τοι τοῦτο καὶ τοὺς μέλλοντας δήμους ἐγχειρίζεσθαι, καὶ πόλεις καὶ ἔθνη καὶ δημαγωγοὺς γίνεσθαι καὶ διδασκάλους, πρὸ τῆς χειροτονίας ἀφῆκε τῆς οἰκείας ἀσθενείας καταμαθεῖν τὴν ὑπερβολὴν, γυμνώσας αὐτοὺς τῆς παρ' αὐτοῦ βοηθείας, ἵνα ἐν τοῖς οἰκείοις πάθεσι μαθόντες αὐτῶν τὸ εὐπερίτρεπτον, ἡνίκα ἂν ἑτέροις δικάζωσι, μετὰ πολλὰ τοῦ ἐλέου καὶ τῆς συγγνώμης τὴν ψῆφον ἐκφέρωσι, τῆς οἰκείας ἀναμιμνησκόμενοι συνεχῶς οὐδενείας· καὶ τοῦτο ἴδοι τις ἂν καὶ ἐν τῇ καινῇ καὶ ἐν τῇ παλαιᾷ γενόμενον.

Μωσῆς μὲν γὰρ Αἰγυπτίου ἑνὸς, Ἠλίας δὲ πόρνης μιᾶς ἀπειλὴν δείσαντες, ἐφυγαδεύθησαν. Πέτρος δὲ, οὐδὲ βασιλίδος, οὐδὲ ἀνδρὸς, ἀλλὰ θυρωροῦ κόρης ἀπειλὴν ἔδεισε, καὶ πτῶμα ἔπεσε χαλεπώτατον. ἐπειδὴ γὰρ ἐγυμνώθη τῆς χάριτος, ἐδείχθη καὶ ἡ τούτου ἀσθένεια ἐρήμη γενομένη τῆς τοῦ Θεοῦ κηδεμονίας· ἀφῆκε

δὲ αὐτὸν ὁ Θεὸς πεσεῖν, ἐπειδὴ καὶ τοῦτον ἔμελλεν ἄρχοντα ποιεῖν τῆς οἰκουμένης ἁπάσης, ἵνα τῶν οἰκείων ἀναμιμνησκόμενος πτωμάτων, τῶν ἐφεξῆς γινομένων, συγγινώσκῃ τοῖς ὑποσκελιζομένοις· καὶ Μωσῆν δὲ καὶ Ἠλίαν καὶ Παῦλον, γυμνοὺς ὁ Θεὸς τῆς αὐτοῦ ἠφίει χάριτος· ἵνα ὅταν διδαχθῶσιν αὐτῶν τὴν ἀσθένειαν, καὶ πῶς οὐδὲν ἄνθρωπος ἀμοιρῶν τῆς ἄνωθεν ῥοπῆς, ἐπὶ τὸν δικαστικὸν ἀναβάντες θρόνον, καὶ δημαγωγοὶ γενόμενοι καὶ ἄρχοντες, πολλὴν τὴν φιλανθρωπίαν, πολλὴν τὴν συγκατάβασιν, πολλὴν τὴν συγγνώμην περὶ τοὺς ἀρχομένους ἐπιδεικνύωνται.

4 Οὐχ ἑαυτῷ τίς λαμβάνει τὴν τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ καθάπερ καὶ Ἀαρών.

Ὕστερον, φησὶ, γίνεται καὶ οὐκ αὐτὸς ἐπιπηδᾷ. καὶ τοῦτο δὲ κοινὸν τῷ Χριστῷ. ἐνταῦθα δὲ πάλιν καὶ ἕτερόν τι θεραπεύει, ὅτι ἀπὸ Θεοῦ ἀπέσταλται· ὅπερ ἄνω καὶ κάτω διαλεγόμενος Ἰουδαίοις ἔλεγεν ὁ Χριστὸς, "ὁ πέμψας με μείζων μού ἐστι." καὶ "ἀπ' "ἐμαυτοῦ οὐκ ἐλήλυθα." ἐνταῦθά μοι δοκεῖ καὶ Ἰουδαίων αἰνίττεσθαι τοὺς ἱερέας τοὺς ἐπιπηδῶντας, καὶ τὸν νόμον τῆς ἱερωσύνης παραφθείροντας.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀρχιερεὺς γὰρ ἔννομος ὁ παρὰ Θεοῦ τὴν χειροτονίαν δεχόμενος. οὕτω γοῦν καὶ Ἀαρὼν ὁ πρῶτος ἀρχιερεὺς τὴν ἀξίαν ταύτην ἐδέξατο.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΜΩΣΕΩΣ. Οἱ μὲν γὰρ περὶ Κορὲ καὶ Δαθὰν ταπεινὸν εἶναι κρίνοντες τὸ φυλάσσειν ἐφ' ἑαυτῶν τὴν τάξιν ἐφ' ἧς ἐτάχθησαν, εἰσώθουν ἑαυτοὺς εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα, παρώσασθαι τοὺς παρὰ Θεοῦ τὴν λειτουργίαν ταύτην λαχόντας φιλονεικοῦντες· ἀλλ' οἱ μὲν χάσματι ὑπολειφθέντες καὶ κεραυνοῖς καταπρησθέντες, ἐξηφανίσθησαν. ὁ δὲ Θεὸς ἐδίδαξεν ὅτι θεῖον χρῆμά ἐστιν ἡ ἱερωσύνη, καὶ οὐκ ἀνθρώπινον. ἐδίδαξε δὲ οὕτως, ῥάβδους παρ' ἑκάστης φυλῆς ἐπὶ τῷ ὀνόματι τῶν δεδωκότων σημάνας ὁ Μωσῆς, προτίθησι τῷ θυσιαστηρίῳ, ὥστε τῆς ἄνωθεν χειροτονίας μαρτυρίαν γενέσθαι τὴν ῥάβδον θαύματι θείῳ παρὰ τὰς ἄλλας γινομένην ἐπίσημον. καὶ γενομένου τούτου, αἱ μὲν τῶν ἄλλων ῥάβδοι, ὅπερ ἦσαν διέμειναν,

ἡ δὲ τοῦ ἱερέως αὐτὴ ἑαυτῇ ῥιζωθεῖσα, οὐ διά τινος ἀλλοτρίας ἰκμάδος, ἀλλὰ τῆς θεόθεν αὐτῇ ἐντεθείσης, κλάδον καὶ καρπὸν ἀνεβλάστησε, καὶ προῆλθεν ὁ καρπὸς εἰς τελείωσιν. κάρυον δὲ ἦν ὁ καρπός. οὗ γενομένου, πρὸς εὐταξίαν ἐπαιδεύθη πᾶν τὸ ὑπήκοον.

Νοεῖν δὲ προσήκει διὰ τοῦ καρποῦ, οὗ ἡ ῥάβδος ἐβλάστησε τοῦ ἱερέως, οἷον χρὴ εἶναι τὸν ἐν ἱερωσύνῃ βίον, ἐγκρατῆ, περιεσκληκότα τῇ φαινομένῃ ζωῇ, ἔνδοθεν τὸ ἐδώδιμον ἐν τῷ κρυπτῷ καὶ ἀφανεῖ περιέχοντα, ὃ τότε ἀνακαλύπτεται ὅταν πεπανθῇ τῷ χρόνῳ ἡ βρῶσις, καὶ περιρραγῇ τὸ στύφον περιβόλαιον, καὶ περιτριβῇ τὸ ξυλῶδες ἐκεῖνο τοῦ ἐδωδίμου προκάλυμμα. εἰ δέ τινος ἱερέως λεγομένου καταμάθῃς τὸν βίον μηλοειδῆ καὶ εὔπνουν καὶ ῥοδόχροον, οἷοι τῶν πολλῶν εἰσι βύσσῳ καὶ πορφύρᾳ διανθιζόμενοι, καὶ ταῖς λιπαραῖς τραπέζαις ἐμπεπαινόμενοι, οἱ τὸν διϋλισμένον πίνοντες οἶνον, καὶ τὰ πρῶτα μῦρα χριόμενοι, καὶ ὅσα ἄλλα γλυκέα δοκεῖ κατὰ τὴν πρόχειρον γεῦσιν τοῖς τὸν ἀπολαυστικὸν πορίζουσι βίον, καλῶς ἂν ἐπὶ τούτου τὸ εὐαγγελικὸν εἴποις, ὅτι τὸν καρπὸν βλέπων οὐκ ἐπιγινώσκω διὰ τοῦ καρποῦ τὸ ἱερατικὸν δένδρον. ἄλλος τῆς ἱερωσύνης καρπὸς, οὗτος ἕτερος, ἐκεῖνος ὁ καρπὸς ἐγκράτεια ἦν, τρυφῆς δὲ οὗτος. ἐκεῖνος οὐκ ἀπὸ γηΐνης ἰκμάδος ὑπεπιαίνετο, τούτῳ δὲ πολλοὶ κάτωθεν ἐπιρρέουσιν οἱ τῶν ἡδονῶν ὀχετοὶ, δι' ὧν πρὸς τὴν τοιαύτην ὥραν ἡ τοῦ βίου ὀπώρα ὑπερυθαίνεται. ἀλλὰ ταῦτα μὲν εἴρηται ὥστε γνωρίσαι τὸ τῆς ἱερωσύνης σεβάσμιον.

Κυρίλλου. *Εἰδέναι δὲ χρὴ ὡς οὐδ' ἂν αὐτὸς ὁ Υἱὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος ἱερατεύειν λέγοιτο, καὶ ἐν τάξει γενέσθαι τῇ λειτουργικῇ, εἰ μὴ νοοῖτο καθ' ἡμᾶς δι' ἡμᾶς γεγονὼς, καὶ ὥσπερ κέκληται προφήτης καὶ μὴν καὶ Ἀπόστολος διὰ τὸ ἀνθρώπινον, οὕτω καὶ ἱερεύς. πρέποι γὰρ ἂν τῷ τῆς δουλείας σχήματι τὰ δουλοπρεπῆ· καὶ τοῦτο ἐστὶν ἡ καίνωσις. ὁ γὰρ ὑπάρχων ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς, ᾧ καὶ αὐτὰ τὰ ἄνω παρέστηκε Σεραφὶμ, ᾧ λειτουργοῦσι χίλιαι χιλιάδες Ἀγγέλων, ἐπειδὴ κεκενώκεν ἑαυτὸν, τότε δὴ τῶν ἁγίων λειτουργὸς ἀναδειχθῆναι λέγεται. καὶ ἔστι τὸ ἱερατεύειν τῆς μετὰ σαρκὸς οἰκονομίας.*

Ταῦτα μέντοι ὁ θεῖος Ἀπόστολος εἴρηκεν, οὐ τῆς ἀρχιερωσύνης

ἡμῖν τοὺς κανόνας νῦν ἐπιδεῖξαι βουλόμενος, ἀλλὰ τὰ περὶ τῆς δεσποτικῆς ἀρχιερωσύνης προκατασκευάζων. σαφῶς αὐτίκα τοίνυν ἐπήγαγεν,

5 Οὕτως καὶ ὁ Χριστὸς, οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι
ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν, Υἱός μου εἶ σὺ,
6 ἐγὼ σήμερον γεγέννηκά σε, καθὼς καὶ ἐν ἑτέρῳ λέγει,
σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Χρυσοστόμου. Ποῦ οὖν ἐχειροτονήθη φησίν; ὁ γὰρ Ἀαρὼν πολλάκις ἐχειροτονήθη, ὡς ἐπὶ τῆς ῥάβδου, καὶ ὅτε τὸ πῦρ κατῆλθε, καὶ ἠφάνισε τοὺς ἐπιπηδῆσαι τὴν ἱερωσύνην βουλομένους. ἐνταῦθα δὲ τοὐναντίον, οὐ μόνον οὐδὲν ἔπαθον, ἀλλὰ καὶ εὐδοκιμοῦσι· πόθεν οὖν τοῦτο δείκνυσιν; οὐδὲν ἔχει αἰσθητὸν, οὐδὲν ὁρατόν. διὰ τοῦτο ἀπὸ προφητείας ἰσχυρίζεται λέγων, "ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν, Υἱός "μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε," καὶ τί πρὸς τὸν Υἱὸν τοῦτο; ναί, φησι, προκατασκευή ἐστι τοῦ ὑπὸ Θεοῦ χειροτονηθῆναι, καθὼς καὶ ἐν ἑτέρῳ λέγει· "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ "τὴν τάξιν Μελχισεδέκ." πρὸς τίνα δὲ εἴρηκε τοῦτο; τίς ἐστι κατὰ τὴν τάξιν Μελχισεδέκ; οὐδεὶς ἕτερος, πάντες γὰρ ὑπὸ νόμον ἦσαν, πάντες ἐσαββάτιζον, πάντες περιετέμνοντο, οὐδένα ἂν ἔχοι τις ἕτερον δεῖξαι.

Κυρίλλου. Ὁ καθεὶς ἑαυτὸν εἰς κένωσιν περιμένει κλῆσιν τὴν ἐκ Πατρὸς ἀποφέρουσαν εἰς ἱερωσύνην τὴν πρεπωδεστάτην, οὐ τῇ ἑαυτοῦ φύσει, ἀλλὰ τῇ καθ' ἡμᾶς· ἧς ἐπείπερ ἐν ἴσῳ γέγονεν, ὑπομένει τὰ αὐτῆς ἀδικούμενος ἐντεῦθεν οὐδὲν, ἀτεχνῶς δὲ μᾶλλον τῇ μετὰ σαρκὸς οἰκονομίᾳ χρώμενος. ὥσπερ γὰρ καί τοι φύσει κύριος ὢν, μεμένηκεν ὅπερ ἦν, κἂν δὲ γέγονεν ἐν τῇ τοῦ δούλου μορφῇ, οὕτω φαμὲν, ὅτι καί τοι μυρίους ἔχων ἐν οὐρανῷ τοὺς ἱερουργοῦντας, αὐτὰς τὰς νοητὰς δηλονότι καὶ ἀναιμάκτους θυσίας, ὕμνους καὶ δοξολογίας καὶ τὴν καθ' ἡμᾶς ἱερωσύνην ποιεῖται δεκτὴν, ἀποσώζων πανταχοῦ τοῖς τῆς ἀνθρωπότητος μέτροις τὰ πρέποντα. κέκληται τοίνυν καθὸ καὶ Ἀαρὼν οὐκ ἐν ἴσῳ τρόπῳ. ὁ μὲν γὰρ ἐχρίετο πρὸς ἱερουργίαν, καὶ ἦν οἰκέτης, ὁ δὲ ὡς Υἱὸς καλεῖται, καὶ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερουργεῖ τῷ Πατρί. ὡς μὲν γὰρ φύσει Θεὸς καὶ Λόγος κατὰ τὴν πρὸ αἰώνων γέννησιν

Υἱὸς ὤν, ὡς δὲ ἄνθρωπος κατὰ τὴν * * * * καὶ ἐν σαρκὶ ἧς ἂν εἴη δεκτικὸν καὶ τὸ σήμερον· καιρὸν γὰρ ἡμῖν σημαίνει τὸν ἐνεστηκότα. οἰκειοῦται δὴ οὖν καὶ τὴν σαρκικὴν αὐτοῦ γέννησιν ὁ Πατήρ. οἶδεν γὰρ ἴδιον ὄντα Υἱὸν τὸν ἐξ αὐτοῦ θεϊκῶς, καὶ ἐκ γυναικὸς ἀνθρωπίνως.

Θεοδωρίτου. Ἐπειδὴ τοίνυν ἐξ ἑτέρας ὑπῆρχε φυλῆς ὁ Χριστὸς, ἐκ τοῦ Δαυϊτικοῦ γὰρ κατὰ τὴν ἀνθρωπείαν φύσιν ἐβλάστησε γένους, εἰδὼς ὁ Ἀπόστολος τῶν ἀπιστούντων Ἰουδαίων τὸ τῆς γνώμης ἀντίτυπον, εἰς τὰς προφητικὰς κατέφυγε μαρτυρίας. καὶ σοφῶς μὲν διὰ τούτων τὸν οἰκεῖον ἐβεβαίωσε λόγον· σοφῶς δὲ αὐτὸν ἔδειξεν, οὐκ ἀρχιερέα μόνον ἀλλὰ καὶ Υἱὸν προσαγορευόμενον, καὶ καινήν τινα καὶ παράδοξον ἀρχιερωσύνην δεξάμενον τὴν κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ἀθανασίου Ψαλμοῖς. Ὅτι οὐ δι' ἐλαίου ἐχρίσθη ὁ Μελχισεδὲκ ὡς Ἀαρὼν, οὐ τὰς δι' αἱμάτων θυσίας προσήγαγε, ὅτι τῶν ἐθνῶν ἦν ἀρχιερεὺς, ὅτι δι' ἄρτου καὶ οἴνου εὐλόγησε τὸν Ἀβραὰμ, τὰ μυστήρια αἰνιττόμενος.

Χρυσοστόμου. Καὶ διὰ τοῦτο ἐλευθέραν εἶναι τοῦ νόμου τὴν ἱερωσύνην καὶ διὰ τὸ ἀτελεύτητον καὶ ἄναρχον. ὅπερ γὰρ ἐκεῖνος εἶχεν ἐν ταῖς σκιαῖς, τοῦτο ἐν τῇ ἀληθείᾳ ἐπὶ τοῦ Ἰησοῦ.

Θεοδωρίτου. Ἐπειδὴ δὲ εἶπεν ὁ Παῦλος, ὡς τούτου χάριν "ἄνθρωπος ὑπὲρ ἀνθρώπων ἀρχιερεὺς προβάλλεται, ὥστε συμ-" "πάσχειν τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περί-" "κειται ἀσθένειαν" δείκνυσι καὶ τὸν δεσπότην Χριστὸν, πλὴν ἁμαρτίας, πάντα τῆς ἀνθρωπείας φύσεως δεξάμενον τὰ παθήματα, ἐπάγει γὰρ,

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τὲ καὶ
ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου,
μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ
8 εἰσακουσθεὶς, ἀπὸ τῆς εὐλαβείας, καί περ υἱὸς ὢν ἔμαθεν
ἀφ' ὧν ἔπαθεν, τὴν ὑπακοήν.

Σκοπὸς τῷ μονογενεῖ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἔχοντι παθεῖν ἀνθρωπίνως, καὶ διδάξαι τοὺς αὐτοῦ γνωρίμους, τίνα δὴ τρόπον ταῖς τῶν πειρασμῶν ἐφόδοις προσέρχεσθαι χρὴ, καὶ προσέτι

καταδεῖξαι τῆς ὑπακοῆς εὐκλεὲς τὸ τέλος. προσίει τοίνυν μετὰ κραυγῆς ἰσχυρᾶς καὶ ἱκετηρίας ὡς καθ' ἡμᾶς. εἰσηκούσθη δὲ, ὡς φύσει Υἱὸς, οὐ παρακουόμενος. "ἐγὼ γὰρ ᾔδειν," φησὶν, "ὅτι "πάντοτέ μου ἀκούεις." ἵνα γὰρ καὶ τὰς ἡμῶν προσευχὰς δεκτὰς γενέσθαι παρασκευάσῃ, αὐτὸς ἀπάρχεται τῷ πρᾶξαι μονονουχὶ κατευρυμένον τῇ ἀνθρώπου φύσει τὴν τοῦ Πατρὸς ἀκοὴν, καὶ οἷον ἑτοιμοτάτην παρατιθεὶς ταῖς τῶν δι' αὐτὸν κινδυνευόντων ψυχαῖς. οὐκοῦν ἡμεῖς ἦμεν αὐτῷ, καθάπερ ἐν ἀπαρχῇ δεύτεροι τοῦ γένους, οἳ οὐκ ἀδακρυτὶ προσευχόμενοι, καὶ τὸ τοῦ θανάτου κράτος καταργηθῆναι παρακαλοῦντες, ἰσχύσει δὲ τὴν ζωὴν τὴν καὶ πάλαι τῇ φύσει δεδωρημένην. ὅτι δὲ τὸ ὑπακοῦσαι Θεῷ ἀπόβλεπτον ἔχει τὸ πέρας, ἐν αὐτῷ πάλιν ὀψόμεθα, "ἀφ' ὧν γὰρ ἔπαθε," φησὶν, "ἔμαθε τὴν ὑπακοὴν," ὡσεὶ λέγοι, τεταπείνωκεν ἑαυτὸν, ἀλλ' οὐ μεμένηκε ταπεινός. ὑπερυψώθη γὰρ, ὅτι ὄνομα λαβὼν τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ ἀνθρωπίνως μὲν τοῦ λόγου τὸ σχῆμα· ἄριστος γεμὴν εἰς ἡμᾶς ὁ τοῦ γράμματος τύπος, τοῦ παντὸς πρόξενον ἀγαθοῦ τὴν ὑπακοὴν ἡμῖν ἀποφαίνων. ὑπογραμμὸς οὖν εἰς ἡμᾶς τὸ μετὰ κραυγῆς καὶ δακρύων εὔχεσθαι πειραζόμενον τὸν Ἐμμανουὴλ, οὐ πρὸ τῆς ἐνανθρωπήσεως ἀλλ' ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ ἐφιείσης αὐτῷ, τοῦ δρᾶν τῆς μετὰ σαρκὸς οἰκονομίας, οὐδὲν εἰς τὴν τῆς θεότητος δόξαν ἀδικουμένης. ἐπεὶ τίνα τρόπον κατεπτοήθη θάνατον ἡ ζωή· ὁ δὲ καὶ ἡμᾶς εὐτολμωτέρους ἀποφαίνων, καὶ λέγων "μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ "σῶμα," πῶς ἂν ἥλω παθεῖν τὴν δειλίαν; ἢ πῶς ἂν ἠτόνησε τῆς ἰδίας σαρκὸς ἀποσοβῆσαι τὸν θάνατον, ὁ πάντων αὐτὸν ἀφιστάς; παναλκὴς γάρ ἐστιν ὁ τοῦ Θεοῦ Λόγος, καὶ θανάτου κρείττων καὶ παθῶν ἐπέκεινα, ἀνθρωποπρεπῶς· ἀλλαμὴν οὕτω φύσεως ἔχων, πέπονθεν ὑπὲρ ἡμῶν. οὐκοῦν οὔτε ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, οὔτε ἄσαρκος ὁ Λόγος. ἑνωθεὶς δὲ μᾶλλον τῇ καθ' ἡμᾶς ἀνθρωπότητι, ἔπαθεν ἀπαθῶς σαρκὶ τῇ ἰδίᾳ τὰ ἀνθρώπινα, καὶ γέγονε ταῦτα εἰς ὑποτύπωσιν εἰς ἡμᾶς ἀνθρωπίνως, ἵνα τοῖς ἴχνεσιν αὐτοῦ ἀκολουθήσωμεν.

Χρυσοστόμου. Ὁρᾷς ὅτι οὐδὲν ἄλλο ποιεῖ, ἢ τὸ κηδεμονικὸν παρίστησι καὶ τῆς ἀγάπης τὴν ὑπερβολήν· τί γὰρ βούλεται τὸ

"μετὰ κραυγῆς ἰσχυρᾶς;" καὶ μὴν οὐδαμοῦ τοῦτο τὸ εὐαγγέλιον φησὶν, οὐδ' ὅτι ἐδάκρυσεν εὐχόμενος, οὐδ' ὅτι κραυγὴν ἐποιήσατο. ὁρᾷς ὅτι συγκατάβασις ἦν, οὐ γὰρ ἐνῆν εἰπεῖν ὅτι ηὔξατο, ἀλλὰ καὶ μετὰ κραυγῆς. ἔστω "μετὰ κραυγῆς," διατί καὶ "ἰσχυρᾶς, "καὶ δακρύων;" αἰσχυνέσθωσαν οἱ αἱρετικοὶ ἀθετοῦντες τὴν σάρκα. τί λέγεις; ὁ Υἱὸς τοῦ Θεοῦ ἀπὸ εὐλαβείας ἠκούετο; καὶ τί περὶ τῶν προφητῶν πλέον ἂν εἴποι τις. ποία δὲ καὶ ἀκολουθία εἰπεῖν "εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας ἔμαθεν ἀφ' ὧν ἔπαθεν τὴν "ὑπακοήν;" ποίαν δὲ ὑπακοὴν ὁ μέχρι θανάτου πρὸ τούτου ὑπακούσας, ὡς πατρὶ υἱός; πῶς ὕστερον ἔμαθε; ταῦτα περὶ Θεοῦ ἄν τις εἴποι; καὶ τίς οὕτω μέμηνεν; ὁρᾷς ὅτι περὶ τῆς σαρκώσεως εἴρηται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι εἰσακούεται εὐκόλως. ἐπειδὴ γὰρ οὐδέπω περὶ αὐτοῦ δόξαν εἶχον τὴν προσήκουσαν, εἶπεν ὅτι εἰσηκούσθη, ὥσπερ καὶ αὐτὸς τοὺς μαθητὰς παραμυθούμενος ἔλεγεν, "εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι πρὸς τὸν Πατέρα μου "πορεύομαι, καὶ ὁ Πατήρ μου μείζων μου ἐστί." πῶς δὲ οὐχ ἑαυτὸν ἐδόξασεν, ὁ ἑαυτὸν κενώσας, ὁ παραδοὺς ἑαυτόν; "παρέδωκε "γάρ," φησιν, "ἑαυτὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν." καὶ πάλιν, "δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων ἡμῶν." εἰπὲ δή μοι, τοῦ Πατρὸς ἐδεῖτο ἵνα σωθῇ ἀπὸ τοῦ θανάτου; καὶ διὰ τοῦτο περίλυπος ἦν, καὶ ἔλεγεν "εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' "ἐμοῦ;" οὐδαμοῦ δὲ περὶ ἀναστάσεως ἐδεήθη τοῦ Πατρὸς, ἀλλὰ τοὐναντίον αὐτὸς ἀποφαίνεται λέγων, "λύσατε τὸν ναὸν τοῦτον, "καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν." καὶ "ἐξουσίαν ἔχω θεῖναι "τὴν ψυχήν μου, καὶ πάλιν λαβεῖν αὐτήν· οὐδεὶς αἴρει αὐτὴν ἀπ' "ἐμοῦ, ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ·" καὶ πάλιν "τῇ τρίτῃ "ἡμέρᾳ ἀναστήσομαι." καὶ οὐκ εἶπεν ὅτι ἀναστήσει με ὁ Πατήρ· πῶς οὖν περὶ τούτου ἐδεήθη, καὶ τίνος ἕνεκεν; ἀλλὰ περὶ τίνων ἐδεῖτο, περὶ τῶν πιστευσάντων εἰς αὐτόν. ὁρᾷς ὅτι διὰ τὴν σάρκα ταπεινὰ φθέγγεται περὶ ἑαυτοῦ, οὕτω καὶ ἐνταῦθα "ἀπὸ τῆς "εὐλαβείας εἰσηκούσθη" φησίν. βούλεται αὐτοῦ δεῖξαι τὸ κατόρθωμα ὂν μᾶλλον ἢ τῆς χάριτος τοῦ Θεοῦ. τοσαύτη φησὶν ἦν αὐτοῦ ἡ εὐλάβεια, ὡς καὶ ἀπὸ τούτου αἰδεῖσθαι αὐτὸν τὸν Θεόν. ὁρᾷς ὅσα περὶ ὑπακοῆς διαλέγεται, ὥστε πείθεσθαι αὐτούς·

δοκοῦσι γάρ μοι ἀφηνιάζειν. δείκνυσιν οὖν τῶν παθημάτων τὸ κέρδος, καὶ φησὶν, εἰ ἐκεῖνος υἱὸς ὢν ἐκέρδισεν ἀπὸ τῶν παθημάτων τὴν ὑπακοὴν, πολλῷ μᾶλλον ἡμεῖς.

Θεοδωρίτου. Τίς ἂν μὴ κομιδῇ παραπαίων ταῦτα περὶ τῆς θείας φύσεως εἴπῃ εἰρῆσθαι; εἰ γὰρ ὁ μακάριος Παῦλος, οὐκ ἐδεδίει τὸν θάνατον, ἀλλὰ ἐπιθυμίαν εἶχεν ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, καὶ τοῖς προειρηκόσι τὰ ἐν Ἱεροσολύμοις αὐτῷ συμβησόμενα, καὶ πειραθεῖσιν ἐπισχεῖν ἔφη, "τί κλαίετε καὶ "συνθρύπτετέ μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεηθῆναι, "ἀλλὰ καὶ ἀποθανεῖν ἕτοιμός εἰμι, ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου "ἡμῶν Ἰησοῦ Χριστοῦ," πῶς ὁ Θεὸς Λόγος, ὁ τῶν αἰώνων δημιουργὸς, ὁ ἀναλλοίωτός τε καὶ ἄτρεπτος, καὶ πάθους ἐλεύθερος ἐδεδίει τὸν θάνατον; ἀλλὰ γὰρ ἴσως καὶ τὸ μηκύνειν περὶ τούτων ἀνοίας ἐσχάτης· ἡ γὰρ τῆς ταπεινότητος τῶν μέτρων ὑπερβολὴ καὶ αὐτοὺς ἀναγκάζει τοὺς τὴν θεότητα βλασφημοῦντας, μηδὲν τούτων τῇ θεότητι προσαρμόσαι. καὶ γὰρ τὴν ἀνθρωπότητα τοῦτο παθεῖν ἡ θεότης συνεχώρησεν, ἵνα μάθωμεν ὡς ἀληθῶς ἐνηνθρώπησε, καὶ φύσιν ἀνθρωπείαν ἀνέλαβε, καὶ οὐ φαντασίᾳ καὶ δοκήσει τὸ τῆς οἰκονομίας ἐτελέσθη μυστήριον. εἰ γὰρ καὶ τούτων οὕτω γενομένων, καὶ Σίμων καὶ Μένανδρος καὶ Κέρδων καὶ Μαρκίων καὶ Βαλεντῖνος καὶ Βαρδισάνης καὶ Βασιλείδης καὶ Μάνης, τοὺς οἰκείους ἐδίδαξαν θιασώτας ὡς οὐδὲν τῆς ἀνθρωπείας ἀνείληφε φύσεως, δηλονότι πλείους ἂν τὴν πλάνην ταύτην ὑπέμειναν, εἰ μὴ τῶν ἀνθρωπείων πλὴν ἁμαρτίας ἠνέσχετο παθημάτων. ἡμέρας δὲ σαρκὸς, τὸν τῆς θνητότητος ἔφη καιρὸν, τουτέστιν ἡνίκα θνητὸν εἶχε τὸ σῶμα· λέγει δὲ τὴν εὐχὴν ἣν περὶ τὸ πάθος προσηύξατο, "πάτερ" εἰπὼν, "εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' "ἐμοῦ." τὸ δὲ "ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν," ὑπερβολικῶς ὁ Ἀπόστολος τέθεικε. τὴν γὰρ ὑπακοὴν, οὐ μετὰ τὸ πάθος, ἀλλὰ πρὸ τοῦ πάθους ἐπεδείξατο.

Γρηγορίου Θεολόγου περὶ υἱοῦ. Τυποῖ δὲ ἐν αὐτῷ πολλαχοῦ καὶ τὸ ἡμέτερον. τῆς αὐτῆς οὖν ἔχεται θεωρίας καὶ τὸ "μαθεῖν αὐτὸν τὴν ὑπακοὴν ἐξ ὧν ἔπαθεν." ἥτε κραυγὴ καὶ τὰ δάκρυα καὶ τὸ ἱκετεῦσαι καὶ τὸ εἰσακουσθῆναι, καὶ τὸ εὐλαβὲς, ἃ δραματουργεῖται καὶ πλέκεται θαυμασίως ὑπὲρ ἡμῶν. ὡς μὲν γὰρ

λόγος οὔτε ὑπήκοος ἦν, οὔτε ἀνήκοος, τῶν γὰρ ὑπὸ χεῖρα ταῦτα· ὡς δὲ δούλου μορφῇ, συγκαταβαίνει τοῖς ὁμοδούλοις καὶ δούλοις, καὶ μορφοῦται τὸ ἀλλότριον, ὅλον ἐν ἑαυτῷ ἐμὲ φέρων μετὰ τῶν ἐμῶν· ἵν' ἐν ἑαυτῷ δαπανήσῃ τὸ χεῖρον ὡς κηρὸν πῦρ, ἢ ὡς ἀτμίδα γῆς ἥλιος, κἀγὼ μεταλάβω τῶν ἐκείνου διὰ τὴν σύγκρασιν· διὰ τοῦτο ἔργῳ τιμᾷ τὴν ὑπακοὴν, καὶ πειρᾶται ταύτης ἐκ τοῦ παθεῖν· οὐ γὰρ ἱκανὸν ἡ διάθεσις, ὥσπερ οὐδὲ ἡμῖν, εἰ μὴ καὶ διὰ τῶν πραγμάτων χωρήσαιμεν· ἔργον γὰρ ἀπόδειξις διαθέσεως· οὐ χεῖρον δὲ ἴσως κακείνῳ ὑπολαβεῖν, ὅτι δοκιμάζει τὴν ἡμετέραν ὑπακοὴν, καὶ πάντα μετρεῖ τοῖς ἑαυτοῦ πάθεσι, τέχνῃ φιλανθρωπίας, ὥστ' ἔχειν εἰδέναι τοῖς ἑαυτοῦ τὰ ἡμέτερα, καὶ πόσον μὲν ἀπαϊτούμεθα, πόσον δὲ συγχωρούμεθα, λογιζομένης μετὰ τοῦ πάσχειν καὶ τῆς ἀσθενείας. εἰ γὰρ τὸ φῶς ἐδιώχθη διὰ τὸ πρόβλημα ὑπὸ τοῦ πειραστοῦ, τὸ σκότος πόσον ἀσθενέστερον.

Ὅταν οὖν γράφῃ ταῦτα περὶ Χριστοῦ Παῦλος, κάτιθι βραχὺ, καὶ τὸ τῆς ἀνθρωπότητος ἀναλογίζου μέτρον. ἐπειδὴ δὲ καὶ ἐν ταῖς τῆς σαρκὸς ἡμέραις ἡ ἱκετηρία, σαρκὸς ἂν εἴη τὸ δεῖμα, καὶ τῆς ἀνθρωπότητος ἰδικῶς τὸ κατορρωδῆσαι θάνατον. κατατέθηπε τοίνυν τὸ μυστήριον ὁ πνευματοφόρος, καὶ τὴν περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν, ὅτι καί περ ὢν Υἱὸς ταῦτα ὑπέμεινε τῇ ἡμετέρᾳ φύσει, ἵνα νευρώσῃ αὐτὴν κατὰ τῶν παθῶν, καὶ διδάξῃ ἡμᾶς πρὸς Θεὸν ἐν τοῖς πειρασμοῖς βλέπειν, καὶ αὐτὸν πρὸς ἐπικουρίαν καλεῖν, καὶ ὅσον πρὸς τελείωσιν καὶ πρὸς ποῖα γέρα καταλήγειν ἡ τῶν παθῶν ὑπομονὴ καὶ ὑπακοή. ὥσπερ δὲ ὁ θάνατος οὐκ ἂν κατηργήθη, μὴ ἀποθανόντος αὐτοῦ, οὕτως ἐφ' ἑκάστου τῶν τῆς σαρκὸς παθῶν. εἰ μὴ γὰρ ἐδειλίασεν, οὐκ ἂν ἐλευθέρα τοῦ δειλιᾶν ἡ φύσις ἐγένετο· εἰ μὴ ἐλυπήθη, οὐκ ἂν ἀπηλλάγη τοῦ λυπεῖσθαι ποτέ· εἰ μὴ ἐταράχθη, οὐκ ἂν ἔξω ποτὲ τούτων ἐγένετο. καὶ ἐφ' ἑκάστου τῶν ἀνθρωπίνως γεγονότων τὸν αὐτὸν ἐφαρμόζων λόγον, εὑρήσεις ἐν Χριστῷ τὰ τῆς σαρκὸς ἡμῶν πάθη κεκινημένα, οὐχ ἵνα κρατήσῃ ὥσπερ καὶ ἐν ἡμῖν, ἀλλ' ἵνα κινηθέντα καταργηθῇ τῇ δυνάμει τοῦ ἐνοικήσαντος τῇ σαρκὶ Λόγου, πρὸς τὸ ἄμεινον μεταποιούμενος τῆς φύσεως.

Θεοδωρίτου. Οὐ μὴν τὴν τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν ἀσθενείας εἰς τοῦτο καθικέσθαι δώσομεν, ὡς δεδιέναι μὲν θάνατον,

ἐξαιτεῖν δὲ τὸ σώζεσθαι παρὰ τοῦ Πατρός. οὐδὲ τοῦ κατὰ φύσιν εἶναι ζωὴν ἐκπέμψωμεν τὸν Ἐμμανουὴλ, ἀλλ' εἰς τὴν ἀνθρωπότητα καὶ εἰς μέτρον φύσεως τῆς καθ' ἡμᾶς, τὸ ὡς ἐν Λόγῳ μικροπρεπὲς περιτρέψομεν, καὶ οὔτε τῆς πρὸς τὸν Πατέρα ἀκριβοῦς ἐμφερείας διὰ τὸ τῆς οἰκονομίας μικροπρεπὲς ἐξώσομεν, οὔτε ψιλὸν ἄνθρωπον αὐτὸν λογιούμεθα. οἶμαι γὰρ δεῖν οὔτε τῶν ἀνθρωπίνων ἀπαλλάττειν παντελῶς τὸν ἐκ Θεοῦ Θεὸν Λόγον μετὰ τὴν πρὸς σάρκα σύνοδον, οὔτε μὴν δόξης τῆς θεοπρεποῦς ἀποστερεῖν τὸ ἀνθρώπινον, εἰ ἐν Χριστῷ νοοῖτο καὶ λέγοιτο.

9 Καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτὸν πᾶσιν
αἴτιος σωτηρίας αἰωνίου.

Χρυσοστόμου. Τοῦτο ἐστὶν ἄρα τελείωσις, καὶ διὰ τῶν παθημάτων ἐλθεῖν εἰς τελείωσιν χρή. οὐ μόνον γὰρ αὐτὸς ἐσώθη, ἀλλὰ καὶ ἑτέροις τοῦτο γέγονε περιουσία σωτηρίας.

Θεοδωρίτου. Ἴσως δὲ τελείωσιν τὴν ἀνάστασιν καὶ τὴν ἀθανασίαν ἐκάλεσε· τοῦτο γὰρ τῆς οἰκονομίας τὸ πέρας. ὑπερβολικῶς δὲ ἅπαντα τέθεικε τὰ παθήματα. οὐ μόνον δεῖξαι βουλόμενος τὸ τῆς ἐνανθρωπήσεως ἀληθὲς, ἀλλὰ καὶ ἐκεῖνον βεβαιῶν τὸν λόγον, ὃν ἤδη προείρηκεν· "οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμ"παθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα "καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας," ἵνα καὶ ταύτῃ προτρέψῃ τούτους οἷς ἔγραφεν ἐπιμεῖναι τῇ πίστει, καὶ θαρρῆσαι τῇ ἀρχιερέως συμπαθείᾳ τε καὶ φιλανθρωπίᾳ. τῶν μέν τοι ταπεινῶν τούτων ῥημάτων, δύο τὰ αἴτια, ἥτε σὰρξ καὶ ἡ ἀσθένεια τῶν ἀκουόντων, οὔπω μεγάλην ἐχόντων περὶ Χριστοῦ δόξαν. οὐ τοσοῦτον οὖν φησι χάριν ἀπὸ τοῦ Πατρὸς, ὅσον ἀπὸ τῆς οἰκείας εὐλαβείας ἠκούσθη. τοσαύτη γὰρ ἦν, ὅτι καὶ ᾐδέσθη αὐτὴν ὁ Πατὴρ, καὶ ᾔδει μὲν ὁ Υἱὸς τίς ὁ θάνατος Θεὸς ὤν. τί γὰρ λέληθε Θεόν; ἔμαθε δὲ πείρᾳ, καθὸ γέγονεν ἄνθρωπος.

10 Προσαγορευθεὶς ὑπὸ Θεοῦ ἀρχιερεὺς, κατὰ τὴν τάξιν
11 Μελχισεδὲκ, περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς.

Θεοδωρίτου. Πάλιν τοῦ Μελχισεδὲκ μνημονεύσας, βούλεται μὲν τὴν τούτου ἱερωσύνην δεῖξαι τῆς Λευϊτικῆς μείζονα,

ἀναβάλλεσθαι δὲ τέως οὐ δοκεῖ διὰ τὴν τῶν διδασκομένων ἀσθένειαν.

Χρυσοστόμου. Καὶ ὅρα πῶς μέλλων καθιέναι τὸν λόγον εἰς τὴν διαφορὰν τῆς ἱερωσύνης, πρότερον αὐτοῖς ἐπιτιμᾷ, δεικνὺς ὅτι καὶ ἡ τοσαύτη συγκατάβασις γάλα ἦν, καὶ διὰ τὸ νηπίους εἶναι, πλέον ἐνδιέτριψε τῷ ταπεινῷ λόγῳ τῷ κατὰ σάρκα, καὶ ὡς περί τινος δικαίου διαλέγεται· καὶ θέα, οὔτε ἀπεσιώπησε τὸν λόγον πάντῃ, οὔτε εἶπε· τὸ μὲν γὰρ πεποίηκεν, ἵνα ἀναγάγῃ αὐτῶν τὴν διάνοιαν, καὶ πείσῃ τελείους εἶναι, καὶ μὴ ἀποστερεῖσθαι τῶν μεγάλων δογμάτων, τὸ δὲ ἵνα μὴ καταχώσῃ αὐτῶν τὸν νοῦν. ὅρα δὲ αὐτὸν συνεχῶς ὠδίνοντα τὸν περὶ τοῦ ἀρχιερέως εἰσάγειν λόγον, καὶ ἀεὶ ἀναβαλλόμενον. ἄκουε γὰρ ὅπως ἤρξατο, "ἔχοντες ἀρχιε-"ρέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς," καὶ παρεὶς εἰπεῖν πῶς μέγαν, πάλιν φησὶν, "πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβα-"νόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν." καὶ πάλιν· "οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχ-"ιερέα," καὶ πάλιν εἰπὼν, "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν "τάξιν Μελχισεδὲκ," πάλιν ἀναβάλλεται λέγων, "ὃς ἐν ταῖς "ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις προσήνεγκεν." ἐπεὶ οὖν τοσαυτάκις ἐκρούσθη ὡσανεὶ ἀπολογούμενος φησὶν, ἡ αἰτία παρ' ὑμᾶς. ἐπειδὴ γὰρ οὐκ ἀκούεται, διὰ τοῦτο δυσερμήνευτος ὁ λόγος· ὅταν γάρ τις πρὸς ἀνθρώπους ἔχῃ μὴ παρακολουθοῦντας μηδὲ τὰ λεγόμενα νοοῦντας, ἑρμηνεῦσαι καλῶς αὐτοῖς οὐ δύναται.

Χρυσοστόμου. Ὅρα δὲ πῶς μέχρις ἀκοῆς τὴν νωθρότητα ἔστησεν. ἔστι γὰρ ἀσθένεια καὶ ἀκοῆς, καὶ καθάπερ στόμαχος οὐκ ἂν δέξαιτο ὑγιεινὰ σῖτα καὶ δυσκατέργαστα ἀσθενὴς ὢν, οὕτω καὶ ἡ ψυχὴ ὀγκωθεῖσα, φλεγμαίνουσα, ἄτονος γενομένη καὶ ἔκλυτος, οὐκ ἂν δυνηθείη δέξασθαι πνευματικὸν λόγον. ἄκουε τῶν μαθητῶν λεγόντων, "σκληρός ἐστιν ὁ λόγος οὗτος, τίς δύναται "αὐτοῦ ἀκούειν;" ἂν δὲ ἰσχυρὰ ᾖ καὶ ὑγιεινὴ, πάντα ῥᾷστα καὶ εὔκολα.

Κατὰ Ἰωάννην ἠθικὸν β΄. Καὶ καθάπερ τὸ ὄμμα, ὅταν μὲν καθαρὸν ᾖ καὶ διαυγὲς, ὀξυδερκές τέ ἐστι, καὶ οὐκ ἂν ἀποκάμῃ ῥαδίως καὶ τὰ λεπτότατα σώματα καταλαμβάνειν· ἐπειδὰν δὲ χυμοῦ τινος ἀπὸ τῆς κεφαλῆς ἐπιρρεύσαντος πονηροῦ, ἢ κάτωθεν

λιγνύος καπνώδους ἀνενεχθείσης, πυκνή τις γίνεται νεφέλη πρὸ τῆς κόρης, οὐδὲν οὐδὲ τῶν παχυτέρων σαφῶς ἀφίησι συνιδεῖν, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς γίνεσθαι πέφυκεν. ὅταν μὲν ἐκκεκαθαρμένη τυγχάνῃ καὶ μηδὲν ἔχῃ πάθος ἐνοχλοῦν, ἀτενὲς ἐνορᾷ πρὸς ἅπερ ἐνορᾶν χρὴ, ὅταν δὲ πολλοῖς ἐπιθολωθεῖσα πάθεσιν ἀπολέσῃ τὴν ἑαυτῆς ἀρετὴν, πρὸς οὐδὲν τῶν ὑψηλῶν ἀρκέσαι δύναται ῥαδίως, ἀλλ' ἀποκάμνει ταχέως καὶ ἀναπίπτει, καὶ εἰς ὕπνον ἀποκλίνασα καὶ ῥαθυμίαν, καὶ τὰ πρὸς ἀρετὴν καὶ τὴν ζωὴν καὶ τὴν ἐκ ταύτης αὐτῇ διαφέροντα παραπέμπεται, καὶ οὐ προσίεται μετὰ προθυμίας πολλῆς. τοῦτο καὶ οἱ ἄπιστοι τῶν Ἑβραίων παρὰ Παύλου ἀκούουσι. καὶ γὰρ πολὺν αὐτοῖς ἔφησε τὸν λόγον γεγενῆσθαι καὶ δυσερμήνευτον. οὐκ ἐπειδὴ φύσει τοιοῦτος ἦν, ἀλλ' ἐπειδὴ, φησὶν, ὑμεῖς νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς· ὁ γὰρ ἀσθενὴς καὶ ἄρρωστος καὶ ὑπὸ τῆς βραχυλογίας ὡς ὑπὸ μακρηγορίας ἐνοχλεῖσθαι πέφυκε, καὶ τὰ σαφῆ καὶ τὰ εὐδιάληπτα, δυσκατάληπτα εἶναι νομίζει. ἆρ' οὖν τέλεον ἀπεσιώπησε διὰ τὸ ἀσθενεῖς ἔτι εἶναι πρὸς οὓς ὁ λόγος, καὶ μὴ δύνασθαι τῶν τελειοτέρων ἀκούειν δογμάτων; οὐμενοῦν, ἀλλὰ πάλιν τὸν λόγον ἀνέλαβεν ἐν τοῖς ἐφεξῆς, καὶ ταυτὸν ἐποίησεν, οἷον ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ. καὶ γὰρ ἐκεῖ πρότερον ἐπιστομήσας τοὺς ἀντιλέγοντας, καὶ εἰπὼν, μενοῦν γε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ, τότε τὴν λύσιν ἐπάγει. ἐγὼ δὲ αὐτὸν οὐδὲ πάντῃ σεσιγηκέναι, οὐδὲ εἰρηκέναι οἶμαι, ἵνα εἰς πόθον ἀγάγῃ τοὺς ἀκροατάς. μνημονεύσας γὰρ καὶ εἰπὼν μεγάλα τινὰ ἐναποκεῖσθαι τῷ λόγῳ, ὅρα πῶς μετ' ἐγκωμίου ποιεῖται τὴν ἐπιτίμησιν. τοῦτο γὰρ ἀεὶ τῆς σοφίας Παύλου, τὰ δυσχερῆ τοῖς χρηστοῖς ἀναμιγνύναι. ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας ποιεῖ λέγων· "ἐτρέχετε καλῶς, τίς ὑμᾶς "ἐνέκοψε, καὶ τοσαῦτα ἐπάθετε, εἰ μὴ εἴγε καὶ εἰκῇ, καὶ πέποιθα "εἰς ὑμᾶς ἐν Κυρίῳ," ὃ καὶ τούτοις φησι. πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα, καὶ ἐχόμεθα σωτηρίας.

Δύο γὰρ ταῦτα ποιεῖ, οὔτε ἐπιτείνει οὔτε ἀφίησιν αὐτοὺς ἀναπεσεῖν. εἰκότως. εἰ γὰρ τὰ ἑτέρων παραδείγματα ἱκανὰ τὸν ἀκούοντα ἀναστῆσαι καὶ εἰς ζῆλον ἀγαγεῖν, ὅταν τις παρ' ἑαυτοῦ τὸ ὑπόδειγμα ἔχῃ, καὶ ἑαυτὸν κελεύηται ζηλοῦν, ἤδη τὸ δυνατὸν συνεισάγεται. καὶ τοῦτο οὖν δείκνυσι, καὶ οὐκ ἀφίησιν ὡς σφόδρα

κατεγνωσμένους ἀναπεσεῖν, οὐδὲ ὡς ἀεὶ ὄντας κακοὺς, ἀλλ᾽ ὅτι ποτὲ ἐγένοντο καὶ χρηστοί. ὅρα τοίνυν ὅπως καὶ μετρίαν αὐτῶν ποιεῖται κατηγορίαν, καὶ εὐφημίᾳ ταύτην κεράννυσιν, ἵνα διὰ ταύτης τὴν ὠφέλειαν εἰσδέξωνται. τὸ γὰρ εἰπεῖν, "ἐπεὶ νωθροὶ γεγό-"νατε ταῖς ἀκοαῖς," δηλοῦντος ἦν ὅτι πάλαι ὑγίαινον καὶ ἦσαν ἰσχυροὶ, τῇ προθυμίᾳ ζέοντες, ὃ καὶ ὕστερον αὐτοῖς μαρτυρεῖ. τὴν δὲ νωθρότητα ταύτην τί κατεργάζεται, ἐν τῇ πρὸς Κορινθίους τοῦτο μάλιστα ἐσήμανεν Ἐπιστολῇ, εἰπών· "ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ "ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοὶ ἔστε;" θέα δέ μοι, τὴν σύνεσιν αὐτοῦ τὴν πολλὴν, πῶς καταλλήλως ἀεὶ τοῖς ὑποκειμένοις πάθεσι προσφέρεται. ἐκεῖ μὲν γὰρ ἡ ἀσθένεια ἀπὸ ἁμαρτημάτων τὸ πλέον ἐγένετο, ἐνταῦθα δὲ ἀπὸ τῶν συνεχῶν θλίψεων. διὸ καὶ λέξεσι δείξασθαι δυναμέναις τὴν διαφορὰν, κέχρηται, οὐ λέγων σαρκικοὶ γεγόνατε, ἀλλὰ νωθροί. ἐκεῖ σαρκικοὶ, ἐνταῦθα δὲ μείζων ἡ ὀδύνη. κακεῖνοι μὲν οὐκ ἠδυνήθησαν ἀνενεγκεῖν ἅτε σαρκικοὶ ὄντες, οὗτοι δὲ ἠδυνήθησαν. καὶ ὅτι μὲν νωθροὶ γεγόνασιν, εἶπε· πόθεν δὲ, οὐκέτι προσέθηκεν, αὐτοῖς ἀφιεὶς εἰδέναι, καὶ μὴ βουλόμενος ἐπαχθῆ τὸν λόγον ἐργάσασθαι. ἐπὶ δὲ τῶν Γαλάτων, καὶ ἐθαύμασε καὶ ἠπόρησεν, ὃ πολλῷ μεῖζον πρὸς παραμυθίαν ἐστὶν, ὡς οὐκ ἂν προσδοκήσαντος ποτὲ τοῦτο γενέσθαι. τοῦτο γάρ ἐστιν ἡ διαπόρησις. εἶτα δείκνυσιν αὐτοὺς πρὸ πολλοῦ χρόνου πεπιστευκότας, καὶ ὅτι καὶ ἄλλους ὀφείλει κατηχεῖν λέγων,

12 Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ.

Κυρίλλου. Βαβαὶ πόση διαφορά. ὀφείλοντες ἄλλους διδάσκειν, οὐδὲ ἁπλῶς μαθηταί εἰσιν, ἀλλὰ μαθηταὶ ἔσχατοι, καί τοι δι᾽ ὃ μάλιστα ἐξελύθητε, καὶ ὕπτιοι γεγόνατε, διὰ τοῦτο μάλιστα ὀφείλετε εἶναι ἰσχυροὶ, διὰ τὸν χρόνον. οἱ διδασκόμενοι οὐ διὰ παντὸς ἐπὶ τὸ μαθεῖν διατρίβουσιν, ἐπεὶ οὐ διδάσκονται. ἂν ἀεὶ μανθάνῃς, οὐδέποτε μαθήσῃ· μὴ οὕτως ἔρχου ὡς ἀεὶ μαθησόμενος, ἐπεὶ οὐδέποτε εἴσῃ, ἀλλὰ καὶ ὡς διδάξων ἕτερον. ἂν δὲ ἀεὶ μανθάνῃς, τεκμήριόν ἐστι, τοῦ μηδὲν μαθεῖν. τοῦτο τοῖς Ἰουδαίοις ὁ Θεὸς ὀνειδίζων, εἶπεν "αἰρόμενοι ἐκ κοιλίας καὶ παιδευόμενοι ἕως

"γήρους." ὅρα γοῦν καὶ Παῦλον διὰ τοῦτο δυσανασχετοῦντα ὅτι πολὺν χρόνον τοῖς προτέροις ἐνδιέτριβον μαθήμασιν οἱ ἀκροαταὶ, καὶ ἔτι τῶν πρώτων εἴχοντο στοιχείων, ὅπερ ἱκανὸν τῷ διδάσκοντι πολὺν ἐνθεῖναι τὸν ὄκνον. στοιχεῖα δὲ ἐνταῦθα τοὺς περὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ λόγους φησίν. ὥσπερ γὰρ ἐπὶ τῶν ἔξωθεν γραμμάτων, πρῶτα τὰ στοιχεῖα δεῖ μαθεῖν, οὕτω καὶ ἐνταῦθα πρῶτον περὶ τῆς ἀνθρωπότητος ἐδιδάσκοντο, καὶ τοὺς ταπεινοτέρους περὶ τοῦ Χριστοῦ λόγους.

Κυ*** λατί [a]. Εἶναι φαμὲν τὰ πάλαι τοῖς ἀρχαιοτέροις διὰ Μωσέως τεθεσπισμένα, στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. εἰ οὖν παραιτοίμεθα τὸ μαθεῖν τὰ στοιχεῖα, πῶς ἂν ἔτι λοιπὸν ἀφιξόμεθα πρὸς τὸ τέλος; ἢ γὰρ οὐχὶ κατὰ τὰς Γραφὰς πλήρωμα νόμου καὶ προφητῶν ὁ Χριστός;

Θεοδωρίτου. Τοῖς γὰρ μηδέπω τὴν πίστιν ἐσχηκόσι τελείαν, τὰ περὶ τῆς ἀνθρωπότητος ἔφερον μόνα τῆς ἀληθείας οἱ κήρυκες. οὕτως ὁ μακάριος Πέτρος ἐν Ἰουδαίᾳ δημηγορῶν ἐμέτρησε τὴν διδασκαλίαν τῇ ἀσθενείᾳ τῶν ἀκουόντων, "Ἰησοῦν," γὰρ ἔφη, "τὸν "Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ δεδειγμένον εἰς ὑμᾶς," καὶ τὰ τούτων ἑξῆς τῷ λόγῳ τούτῳ συμβαίνοντα. καὶ ὁ θεσπέσιος δὲ Παῦλος προφέρων Ἀθηναίοις τὸ κήρυγμα, οὐ Θεὸν, ἀλλὰ ἄνδρα τὸν δεσπότην Χριστὸν προσηγόρευσεν, εἰπὼν, "τοὺς μὲν οὖν χρόνους "τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, ταννῦν παραγγέλλει τοῖς ἀνθρώποις "πᾶσι πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει "κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν "παρασχὼν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν."

Χρυσοστόμου. Ὁρᾷς τίς κανταῦθα ἡ αἰτία τοῦ ταπεινὰ φθέγγεσθαι. διὰ τοῦτο εἰ μέν τοι ὑψηλὸν λέγοι, ἐν βραχεῖ τοῦτο φησὶν, τὰ δὲ πετεινὰ πολλαχοῦ διέσπαρται τῆς ἐπιστολῆς. καὶ οὕτως δὲ τὸ ὑψηλὸν δείκνυται· τὸ γὰρ σφόδρα ταπεινὸν, οὐκ ἀφίησι περὶ τῆς θεότητος ταῦτα ὑποπτεύεσθαι.

Κυρίλλου τῆς ἐν πνεύματι λατρείας. Καὶ τὰ πάλαι διὰ Μωσέως τοῖς ἀρχαίοις τεθεσπισμένα, εἶναι φαμὲν στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. εἰ οὖν παραιτοίμεθα τὸ μαθεῖν ταῦτα, πῶς ἂν ἔτι λοιπὸν ἢ πόθεν ἀφιξόμεθα πρὸς τὸ τέλος; καὶ εἰ τὸν

[a] Cyrilli sunt hæc ut patet infra ubi pleniora exstant.

παιδαγωγὸν παρωσόμεθα, τίς ἡμᾶς ἔτι διακομιεῖ πρὸς τὸ τοῦ Χριστοῦ μυστήριον; πλήρωμα γὰρ νόμου καὶ προφητῶν εἴη ἂν ὁ Χριστὸς, ὡς εἰς αὐτὸν ὁρῶντος καὶ τετραμμένου παντὸς προφητικοῦ τε καὶ νομικοῦ θεσπίσματος. καὶ τὸ "οὐκ ἦλθον καταλύσων, ἀπο- "περᾶν δὲ μᾶλλον τὸν νόμον," μὴ τὴν εἰς ἅπαν ἀνατροπὴν τῶν πάλαι θεσπισμένων εἰργάσθαι διανοοῦ, μᾶλλον δὲ μεταπλασμὸν ὥσπέρ τινα, καὶ ἵν' οὕτως εἴπω, μεταχάραξιν τῶν ἐν τύποις ἐπὶ τὸ ἀληθὲς καὶ τῆς οἷον σκιαγραφίας εἰς εἶδος τὸ ἐμφανές.

Καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος οὐ στερεᾶς τροφῆς.

Τὰ *ταπεινότερα λέγειν ὑμῖν, φησι, περὶ τοῦ δεσπότου Χριστοῦ ἀναγκαζόμεθα· τοῖς γὰρ μηδὲ ταῦτα δεχομένοις, πῶς οἷόν τε τὰ μείζονα προσενεγκεῖν; οὕτω καὶ Κορινθίοις γράφων ἔφη, "γάλα "ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε." ἐν δὲ τοῖς πρὸ τούτων γεγραμμένοις, ἐδήλωσε τί προσηγόρευσε γάλα· "οὐ γὰρ "ἔκρινα," φησὶ, "τοῦ εἰδέναι τί ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, "καὶ τοῦτον ἐσταυρωμένον." τοῦτο καὶ ἐνταῦθα λέγει.*

Χρυσοστόμου. *Ἀεὶ δὲ γάλα τὸν ταπεινὸν λόγον καλεῖ, καὶ ἐνταῦθα κακεῖ. γάλα δὲ καλεῖ διὰ τὸ τοῖς ἀφελεστέροις ἁρμόζειν· τοῦτο δὲ ἐναντίον τοῖς τελειοτέροις, καὶ βλαβερὸν τὸ ἐν τούτοις διατρίβειν· ὥστε οὐκέτι τὰ νομικὰ ἐπιφέρεσθαι νῦν, οὐδὲ ἀπὸ τούτων τὴν σύγκρισιν γίνεσθαι, ὅτι ἀρχιερεὺς καὶ ἔθυσε καὶ ἐδεήθη κραυγῆς καὶ ἱκετηρίας. ὅρα γοῦν πῶς ὑμῖν ταῦτα προσίσταται. ἀλλ' ἐκείνους τότε ἔτρεφεν οὐδαμοῦ προσιστάμενα αὐτοῖς. ἄρα οὖν τροφὴ ἀληθὴς τὰ λόγια τοῦ Θεοῦ. "δώσω γὰρ αὐτοῖς," φησὶν, "οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦ- "σαι λόγον Κυρίου." τοῖς δὲ Κορινθίοις γράφει Παῦλος "γάλα "ὑμᾶς ἐπότισα, οὐ βρῶμα." οὐκ εἶπεν ἔθρεψα, δεικνὺς ὅτι οὐκ ἔστι τὸ τοιοῦτον τροφή. ἀλλ' ὥσπερ ἐπὶ τῶν παιδίων τῶν μικρῶν τῶν μὴ δυναμένων ἄρτῳ τρέφεσθαι. τὰ γὰρ τοιαῦτα, οὐ ποτίζεται, ἀλλ' ἡ τροφὴ αὐτοῖς ἀντὶ ποτοῦ γίνεται. κἀνταῦθα οὐκ εἶπε χρείαν ἔχετε, ἀλλὰ "γεγόνατε χρείαν ἔχοντες γάλακτος," τουτέστιν ὑμεῖς ἠθελήσατε. ὑμεῖς ἑαυτοὺς εἰς τοῦτο κατεστήσατε, εἰς ταύτην τὴν χρείαν.*

Ἰσιδώρου. *Ἀλλὰ πῶς φησιν, εἰ ὁ νόμος νηπιώδης ὡς νηπίοις δεδομένος, ἡ κατὰ Χριστὸν στοιχείωσις, πάλιν τυγχάνει νηπιότης,*

τοῦ Ἀποστόλου φάσκοντος "γάλα ὑμᾶς ἐπότισα καὶ οὐ βρῶμα." ἄκουε τοίνυν νηπίους ἐκ τοῦ νόμου ὁ εὐαγγελικὸς νόμος δεξάμενος, καὶ τῆς ἀκραιφνοῦς καὶ τελεωτάτης γνώσεως μεταδοῦναι αὐτοῖς οὐ δυνάμενος, καὶ ἀθρόως ὑποδεῖξαι τῶν ὑπὲρ νοῦν μυστηρίων τὴν διὰ ταύτης φανερωθεῖσαν ἀλήθειαν, οἷον τὴν θείαν οὐσίαν ἐν Τριάδι ὑφεστῶσαν, ἐν μονάδι δὲ καθεστῶσαν τοῖς μίαν καὶ ὑπόστασιν Θεοῦ ὥσπερ οὐσίαν φανταζομένοις, πάλιν τῷ νόμῳ χρῆται πρὸς σύστασιν καὶ πειθὼ τῶν ὑπ' αὐτοῦ παιδαγωγηθέντων, ἐξ αὐτοῦ τὰς τῶν τελείων δογμάτων μαρτυρίας ἐπιφερόμενος. οὕτως γάλα ποτίζει Παῦλος τὸν νεογνὸν τοῦ Κυρίου λαὸν, σαφῶς αὐτὸν διὰ τῆς τοῦ νόμου νηπιότητος παιδεύων τὴν τελειότητα.

Διονυσίου Ἀρεοπαγίτου. Δρόσῳ μέν τοι καὶ ὕδατι τὰ θεῖα καὶ νοητὰ λόγια καὶ γάλακτι καὶ οἴνῳ καὶ μέλιτι παρεικάζεται, διὰ τὴν ζωογόνον αὐτῶν ὡς ἐν ὕδατι δύναμιν, καὶ αὐξητικὴν ὡς ἐν γάλακτι, καὶ ἀναζωτικὴν ὡς ἐν οἴνῳ, καὶ καθαρτικὴν ἅμα καὶ φρουρητικὴν, ὡς ἐν μέλιτι. ταῦτα γὰρ ἡ θεία σοφία δωρεῖται τοῖς προσιοῦσιν, ἀφθόνων αὐτοῖς καὶ ἀνεκλείπτων εὐωχιῶν ἐπίρροιαν χορηγοῦσα, καὶ ὑπερβλύζουσα· τοῦτο δὴ τὸ ἀληθῶς εὖ ἔχειν, καὶ διὰ ταῦτα ζωοποιεῖν, ἅμα καὶ κουροτρόφος καὶ ἀνανεωτικὴ καὶ τελεσιουργὸς ὑμνουμένη.

Β. ἐν σα α. Φάγεται δέ τις βούτυρον καὶ μέλι, τὰ εἰσαγωγικά φημι εἰς τὴν θείαν διδασκαλίαν διδάγματα. διότι πρῶτον ἀνθρώπου τροφὴ, βούτυρον καὶ μέλι ἐπινενόηται. ὅταν δὲ τούτοις αὐτάρκως τραφῇ μετὰ τὸ στοιχειωθῆναι, τότε ὑπερβὰς τὰ ἐπὶ τῆς γῆς, στερεωτέρας καὶ μείζονος καὶ ἀνδράσι πρεπούσης τροφῆς μεταλήψεται, τοῖς πνευματικοῖς μαθήμασιν ἑαυτὸν ἐπιδούς.

Γρηγορίου Θεολόγου ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ. Οἱ μὲν γὰρ δέονται γάλακτι τρέφεσθαι, τοῖς ἁπλουστέροις καὶ στοιχειωδεστέροις τῶν διδαγμάτων, ὅσοι τὴν ἕξιν νήπιοι καὶ ἀρτιπαγεῖς ὡς ἂν εἴποι τις τὴν ἀνδρείαν τοῦ λόγου τροφὴν οὐ φέροντα. ἣν εἰ προσάγοι τις παρὰ δύναμιν, τάχα ἂν καταβιασθέντες καὶ βαρηθέντες οὐκ ἐξαρκούσης τῆς διανοίας, ὥσπερ ἐκεῖ τῆς ὕλης τὸ ἐπεισελθὸν ἑλκῦσαι καὶ οἰκειώσασθαι, ζημιωθεῖεν ἂν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν. οἱ δὲ τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας χρήζοντες, καὶ τροφῆς τῆς ὑψηλοτέρας καὶ στερροτέρας, τὸ

πρὸς διάκρισιν ἀληθοῦς τε καὶ ἀψευδοῦς ἱκανῶς γεγυμνάσθαι τὰ αἰσθητήρια, εἰ γάλα ποτίζοιντο καὶ τρέφοιντο λαχάνοις, ἀσθενῶν βρώματι, δυσχεραίνοιεν ἂν, καὶ μάλα εἰκότως, οὐ δυναμούμενοι κατὰ Χριστὸν, οὐδὲ αὔξοντες τὴν ἐπαινετὴν αὔξησιν, ἣν ἐργάζεται λόγος, τελειῶν εἰς ἄνδρα καὶ εἰς μέτρον ἄγων ἡλικίας πνευματικῆς τὸν καλῶς τρεφόμενον.

Ἐκ τοῦ Εὐν. Φιλοσοφητέον ἄρα ὅσα ἡμῖν ἐφικτὰ, καὶ ἐφ' ὅσον ἡ τοῦ ἀκούοντος ἐξικνεῖται ἕξις καὶ δύναμις· ἵνα μὴ καθάπερ αἱ ὑπερβάλλουσαι τῶν φωνῶν ἢ τῶν τροφῶν τὴν ἀκοὴν βλάπτωσιν ἢ τὰ σώματα εἰ βούλει δὲ τῶν φορτίων τὰ ὑπὲρ δύναμιν τοὺς ὑποβαίνοντας ἢ τὴν γῆν τῶν ὑετῶν οἱ σφοδρότεροι, οὕτω δὲ καὶ οὗτοι τοῖς στερροῖς ἵν' οὕτως εἴπω τῶν λόγων καταπιεσθέντες καὶ βαρυνθέντες, ζημιωθεῖεν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν.

Περὶ . . . ἐν τ Δ αλε ἐν τ Ξίο. Καὶ σὺ τοίνυν, εἰ μὲν ἀνὴρ εἶ κατὰ Χριστὸν, καὶ γεγύμνασταί σοι τὰ αἰσθητήρια, καὶ λαμπρόν σοι τὸ φῶς τῆς γνώσεως, λάλει Θεοῦ σοφίαν τὴν λαλουμένην ἐν τοῖς τελείοις, καὶ τὴν ἀποκεκρυμμένην ἐν μυστηρίῳ, καὶ ταύτην ὅταν καιρὸν λάβῃς καὶ πιστευθῇς. τί γὰρ ἔχεις παρὰ σεαυτοῦ ὃ μὴ δέδοται, μηδὲ εἴληφας; εἰ δὲ ἔτι νήπιος εἶ, καὶ χαμερπὴς τὴν διάνοιαν, καὶ τοῖς ὑψηλοτέροις προσβαίνειν οὐχ ἱκανὸς, γενοῦ Κορίνθιος, γάλακτι τράφηθι, τί χρήζεις στερεωτέρας τροφῆς, ἣν οὐκ ἀναλίσκει τὰ μέλη, καὶ ποιεῖ τροφὴν δι' ἀσθένειαν; ἴσως δὲ οὐ παρέλκον καὶ περὶ τῆς τοῦ γάλακτος βραχεία φιλοσοφῆσαι γενέσεως.

Κλήμεντος παιδαγωγέως [a]. Πρωτόγονον τὸ αἷμα εὑρίσκεται ἐν ἀνθρώπῳ, τοῦτο δὴ τὸ αἷμα φυσικῇ τρεπόμενον πέψει, κυησάσης τῆς μητρὸς, φιλοστοργίᾳ συμπαθεῖ, ἐξανθεῖ καὶ γηράσκει πρὸς τὸ ἄφοβον τοῦ παιδίου. καὶ ἐστὶ μὲν τῆς σαρκὸς ὑγρότερον τὸ αἷμα, οἷον ὑγρά τις οὖσα σὰρξ, τοῦ δὲ αἵματος νοστιμώτερον τὸ γάλα καὶ λεπτομερέστερον. εἴτε γὰρ τὸ ἐπιχορηγούμενον αἷμα τῷ ἐμβρύῳ, καὶ διὰ μητρώου ἐστὶ πρότερον πεμπόμενον ὀμφαλοῦ, εἴτε αὖ τὸ καταμήνιον αὐτὸ ἀποκλεισθὲν τῆς οἰκείας φορᾶς κατὰ φυσικὴν ἀνάχυσιν χωρεῖν κελεύεται πρὸς τοῦ παντρόφου καὶ γενεσιουργοῦ ἐπὶ τοὺς φλεγμαίνοντας ἤδη μαστοὺς, καὶ ὑπὸ πνεύ-

[a] Edit. Sylburg. p. 44. l. 25.

ματος ἀλλοιούμενον θερμοῦ, ποθεινὴ σκευάζεται τῷ νηπίῳ τροφὴ, αἷμα τὸ μεταβάλλον ἐστί. μάλιστα γὰρ πάντων μελῶν μαστοὶ συμπαθεῖς μήτρᾳ. ἐπὰν οὖν κατὰ τοὺς τόκους ἀποκοπὴν λάβῃ τὸ ἀγγεῖον, δι' οὗ πρὸς τὸ ἔμβρυον τὸ αἷμα ἐφέρετο, μύσις μὲν γίνεται τοῦ πόρου, τὴν δὲ ὁρμὴν ἐπὶ τοὺς μαστοὺς τὸ αἷμα λαμβάνει, καὶ πολλῆς τῆς ἐπιφορᾶς γενομένης, διατείνονται, καὶ μεταβάλλει τὸ αἷμα εἰς γάλα, ἀναλόγως τῇ ἐπὶ τῆς ἑλκώσεως εἰς πύον τοῦ αἵματος μεταβολῇ. εἴτε αὖ ἀπὸ τῶν ἐν μαστοῖς παρακειμένων φλεβῶν ἀναστομουμένων κατὰ τὰς διαστάσεις τῆς κυήσεως τὸ αἷμα μεταχεῖται εἰς τὰς φυσικὰς τῶν μαστῶν σύριγγας· τούτων δὲ ἀνακιρνάμενον τὸ ἀπὸ τῶν γειτνιαζουσῶν καταπεμπόμενον ἀρτηριῶν πνεῦμα, μενούσης ἔτι τῆς ὑποκειμένης ἀκεραίου τοῦ αἵματος οὐσίας, ἐκκυμαινόμενον λευκαίνεται, καὶ τῇ τοιαύτῃ ἀνακοπῇ κατ' ἐξαφρισμὸν μεταβάλλεται, παραπλήσιόν τι πεπονθὼς τῇ θαλάττῃ, ἣν δὴ κατὰ τὰς ἐμβολὰς τῶν πνευμάτων οἱ ποιηταί φασιν, ἀποπτύειν ἁλὸς ἄχνην· πλὴν ἀλλὰ αἷμα ἔχει τὴν οὐσίαν· τούτῳ τῷ τρόπῳ, καὶ οἱ ποταμοὶ ῥόθῳ φερόμενοι, τῇ ἐπιλήψει τοῦ περικεχυμένου ἀέρος ξενόμενοι, ἀφρὸν μορμύρουσι, καὶ τὸ ἐνστόμιον ἡμῶν ὑγρὸν τῷ πνεύματι ἐκλευκαίνεται.

Τίς οὖν ἡ ἀποκλήρωσις, μὴ οὐχὶ καὶ τὸ αἷμα ἐπὶ τὸ φωτεινότατον καὶ λευκότατον ὑπὸ τοῦ πνεύματος τρέπεσθαι ὁμολογεῖν· πάσχει δὲ τὴν μεταβολὴν κατὰ ποιότητα οὐ κατ' οὐσίαν. ἀμέλει γοῦν οὐ τροφιμώτερον ἄλλό τι οὐδὲ μὴν γλυκύτερον ἀλλ' οὐδὲ λευκότερον εὕροις ἂν γάλακτος. πάντῃ δὲ ἔοικε τοῦτο τῇ πνευματικῇ τροφῇ, ἥτις ἐστὶ γλυκεῖα μὲν, διὰ τὴν χάριν, τρόφιμος δὲ ὡς ζωὴ, λευκὴ δὲ ὡς ἡμέρα Χριστοῦ. ταύτῃ τοίνυν περὶ τὴν ἀποκύησιν οἰκονομούμενον τῷ βρέφει τὸ γάλα χορηγεῖται. καὶ οἱ μαστοὶ οἱ τέως τὸν ἄνδρα περιβλεπόμενοι ὀρθοὶ, ἤδη κατανεύουσι πρὸς τὸ παιδίον, τὴν ὑπὸ τῆς φύσεως πεπονημένην, εὔληπτον παρέχειν διδασκόμενοι τροφὴν εἰς ἀνατροφὴν σωτηρίας· οὐ γὰρ ὡς αἱ πηγαὶ πλήρεις εἰσὶν οἱ μαστοὶ ἐπεισρέοντος ἑτοίμου γάλακτος, ἀλλὰ μεταβάλλοντες τὴν τροφὴν, ἐν ἑαυτοῖς ἐργάζονται γάλα καὶ διαπνέουσιν. ἡ τροφὴ δὲ ἡ κατάλληλος αὕτη καὶ πρόσφορος νεοπαγεῖ καὶ νεοφυεῖ παιδίῳ πρὸς τοῦ Θεοῦ τοῦ τροφέως καὶ πατρὸς τῶν γεννωμένων καὶ ἀναγεννωμένων πονουμένη, οἷον τὸ

μάννα οὐρανόθεν ἐπερρέετο τοῖς παλαιοῖς Ἑβραίοις ἡ τῶν Ἀγγέλων ἐπουράνιος τροφὴ, ἀμέλει καὶ νῦν αἱ τίτθαι τὸ πρωτόχυτον τοῦ γάλακτος πόμα ὁμωνύμως ἐκείνῃ τῇ τροφῇ γάλα κεκλήκασι. χρὴ δὲ κατανοῆσαι τὴν φύσιν. ἡ γάρ τοι τροφὴ χειμῶνος μὲν πυκνοῦντος τοῦ περιέχοντος καὶ πάροδον οὐ διδόντος, ἐντὸς κατακλειομένη, τῷ θερμῷ ἑψομένη καὶ πεττομένη εἰς τὰς φλέβας ἐξαιματουμένη ἐκχωρεῖ. αἱ δὲ διὰ πνοῆς οὐ τυγχάνουσαι, πεπληρωμέναι μάλιστα συντείνονται καὶ σφύζουσι· διὸ καὶ αἱ τίτθαι περιπληθεῖς τότε μάλιστα γίνονται τῷ γάλακτι. ἀποδέδεικται δὲ ἡμῖν μικρῷ πρόσθεν τὸ αἷμα εἰς γάλα ταῖς κυούσαις κατὰ μεταβολὴν οὐ κατ' οὐσίαν χωρεῖν. ὥσπερ ἀμέλει καὶ αἱ τρίχες αἱ ξανθαὶ τοῖς γηρῶσιν εἰς πολιὰς μεταβάλλουσιν. θέρους δὲ ἔμπαλιν ἀραιότερον ὂν τὸ σῶμα, τὴν τροφὴν εὐδιαφορωτέραν παρέχει, καὶ ἥκιστα πλεονάζει τὸ γάλα, ἐπεὶ μήτε τὸ αἷμα· οὐδὲ γὰρ πᾶσα κατέχεται ἡ τροφή. εἰ τοίνυν ἡ μὲν κατεργασία τῆς τροφῆς ἐξαιματοῦται, τὸ δὲ αἷμα ἐκγαλακτοῦται, παρασκευὴ γίνεται τὸ αἷμα τοῦ γάλακτος ὥσπερ αἷμα ἀνθρώπου, καὶ γίγαρτον ἀμπέλου.

Ἀλληγορῶν τοίνυν τὸν λόγον ὁ Παῦλος, καὶ γάλα αὐτὸν ὀνομάζων, "ἐπότισα" ἐπιφέρει. πίνεται γὰρ ὁ λόγος, ἡ τροφὴ τῆς ἀληθείας, ἀμέλει καὶ τὸ ποτὸν, ὑγρὰ καλεῖται τροφή. δυνατὸν δὲ τὸ αὐτὸ καὶ βρῶμα εἶναί πως ἔχον καὶ ποτὸν, πρὸς ἄλλο καὶ ἄλλο νοούμενον, καθάπερ καὶ ὁ τυρὸς, γάλακτος ἐστὶ πῆξις, ἢ γάλα πεπηγὸς, οὐ γάρ μοι τῆς λεξιθηρίας μέλλει ταννῦν, πλὴν ὅτι τὰς τροφὰς ἄμφω μία διακονεῖται οὐσία. ἀλλὰ καὶ τοῖς ὑποτιτθίοις παιδίοις, ἀρκεῖ μόνον τὸ γάλα καὶ ποτὸν εἶναι καὶ τροφήν. πολλαχῶς δὲ ὁ λόγος ἀλληγορεῖται, καὶ βρῶμα, καὶ σὰρξ, καὶ τροφὴ, καὶ ἄρτος, καὶ αἷμα, καὶ γάλα, ἅπαντα ὁ Κύριος εἰς ἀπόλαυσιν ἡμῶν τῶν εἰς αὐτὸν πεπιστευκότων. πλὴν ἀλλὰ καὶ ἡ σὰρξ, αὐτὴ αἷμα τῷ γάλακτι, οἷον ἀντιπελαργούμενον ἄρδεταί τε καὶ αὔξεται. καὶ δὴ καὶ ἡ διαμόρφωσις τοῦ συλληφθέντος τῷ τῆς ἐπὶ μῆνα καθάρσεως ὑπολελειμμένῳ καθαρῷ περιττώματι, κιρναμένου τοῦ σπέρματος γίνεται. ἡ γὰρ ἐν τούτῳ δύναμις θρομβοῦσα τοῦ αἵματος τὴν φύσιν, ὃν τρόπον ἡ πυτεία συνίστησι, τὸ γάλα οὐσίαν ἐργάζεται μορφώσεως· εὐθαλεῖ γὰρ ἡ

κράσις, σφαλερὰ δὲ ἡ ἀκρότης εἰς ἀτεκνίαν. καὶ γὰρ αὐτῆς ἤδη τῆς γῆς ὑπὸ μὲν ἐπομβρίας κατακλυσθὲν ἀποσύρεται τὸ σπέρμα· διὰ δὲ αὐχμὸν νοτίδος ἀποξηραίνεται. κολλώδης δὲ ὁ χυμὸς ὢν συνέχει τὸ σπέρμα καὶ φύει. τινὲς δὲ καὶ τὸ σπέρμα τοῦ ζώου ἀφρὸν εἶναι τοῦ αἵματος κατ' οὐσίαν ὑποτίθενται· ὃ δὴ τῇ ἐμφύτῳ τοῦ ἄρρενος θέρμῃ παρὰ τὰς συμπλοκὰς ἐκταραχθὲν, ἐκραπιζόμενον ἐξαφροῦται, κἂν ταῖς σπερματίσι παρατίθεται φλεψὶν, ἐντεῦθεν καὶ τὰ ἀφροδήσια κέκληται. συμφανὲς τοίνυν ἐκ τούτων ἁπάντων, αἷμα εἶναι τοῦ ἀνθρωπίνου σώματος τὴν οὐσίαν, ἀλλὰ καὶ μετὰ τὴν ἀποκύησιν αὖθις ἐκτρέφεται τὸ παιδίον αἵματι τῷ αὐτῷ. αἵματος γὰρ φύσις τοῦ γάλακτος ἡ ῥύσις, καὶ πηγὴ τροφῆς τὸ γάλα, ᾧ δὴ καὶ γυνὴ δήλη τεκοῦσα ἀληθῶς καὶ μήτηρ δι' οὗ καὶ φίλτρον εὐνοίας προσλαμβάνει.

Διὰ τοῦτο ἄρα μυστικῶς τὸ ἐν τῷ Ἀποστόλῳ ἅγιον Πνεῦμα, τῇ τοῦ Κυρίου ἀποχρώμενον φωνῇ, "γάλα ὑμᾶς ἐπότισα" λέγει. εἰ γὰρ ἀνεγεννήθημεν εἰς Χριστὸν, ὁ ἀναγεννήσας ἡμᾶς ἐκτρέφει τῷ ἰδίῳ γάλακτι τῷ λόγῳ· πᾶν γὰρ τὸ γεννῆσαν, ἔοικεν εὐθὺς παρέχειν τῷ γεννωμένῳ τροφήν. καθάπερ δὲ ἡ ἀναγέννησις ἀναλόγως, οὕτω καὶ ἡ τροφὴ γέγονε τῷ ἀνθρώπῳ πνευματικὴ πάντῃ. τοίνυν καὶ ἡμεῖς τὰ πάντα Χριστῷ προσοικειούμεθα, καὶ εἰς συγγένειαν διὰ τὸ αἷμα αὐτοῦ ᾧ λυτρούμεθα, καὶ εἰς συμπάθειαν διὰ τὴν ἀνατροφὴν τὴν ἐκ τοῦ λόγου, καὶ εἰς ἀφθαρσίαν διὰ τὴν ἀγωγὴν τοῦ αὐτοῦ. τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις, πλείω πορίζεται φίλτρα τοῦ φῦσαι τέκνα. ὅτι τοίνυν ἐξ αἵματος γάλα, κατὰ μεταβολὴν γίνεται, ἤδη μὲν σαφὲς, οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ποιμνίων, ἔκ τε τῶν βουκολίων ἔξεστι μαθεῖν. τὰ γὰρ ζῶα ταῦτα τοῦ ἔτους κατὰ τὴν ὥραν ἣν ἔαρ καλοῦσιν, ὑγροτέρου τοῦ περιέχοντος γεγονότος, ἀλλὰ καὶ τῆς πόας καὶ τῶν νομῶν εὐχύλων τὸ τηνικαῦτα οὐσῶν καὶ ἐνίκμων, αἵματος πίμπλαται πρότερον, ὡς ἐκ τῆς διατάσεως τῶν φλεβῶν κυρτουμένων τῶν ἀγγείων δείκνυται. ἐκ δὲ τοῦ αἵματος δαψιλέστερον χεῖται τὸ γάλα. θέρους δ' ἔμπαλιν ὑπὸ τοῦ καύματος συγκαιόμενον καὶ ἀναξηραινόμενον, ἵστησι τὴν μεταβολὴν τὸ αἷμα, καὶ ταύτῃ ἔλαττον ἀμέλγονται. ναὶ μὴν καὶ συγγένειάν τινα πρὸς τὸ ὕδωρ φυσικωτάτην ἔχει τὸ γάλα, καθάπερ ἀμέλει πρὸς τὴν πνευματικὴν τὸ λουτρὸν τὸ πνευματικόν.

οἱ γοῦν ἐπιρροφῶντες τὸ γάλακτι ψυχροῦ ὀλίγον ὕδατος, ὠφελοῦνται παραχρῆμα. οὐ γὰρ ἀποξύνεσθαι τὸ γάλα ἐᾷ ἡ πρὸς τὸ ὕδωρ κοινωνία, οὐκ ἀντιπαθίᾳ τινὶ, προσπεπαινομένου δὲ, προσπαθείᾳ. καὶ ἣν ὁ λόγος ἔχει πρὸς τὸ βάπτισμα κοινωνίαν, ταύτην ἔχει τὸ γάλα τὴν συναλλαγὴν πρὸς τὸ ὕδωρ. δέχεται γὰρ μόνον τῶν ὑγρῶν τοῦτο καὶ τὴν πρὸς τὸ ὕδωρ μίξιν ἐπικάθαρσιν παραλαμβανόμενον, καθάπερ τὸ βάπτισμα ἐπὶ ἀφέσεως ἁμαρτιῶν. μίγνυται δὲ καὶ μέλιτι προσφυῶς, καὶ τοῦτο ἐπὶ καθάρσει πάλιν μετὰ γλυκείας τῆς τρυφῆς· μιγνύμενος γὰρ ὁ λόγος φιλανθρωπίᾳ, ἰᾶται γε ἅμα τὰ πάθη καὶ ἀνακαθαίρει τὰς ἁμαρτίας. ἐπιμίγνυται δὲ τὸ γάλα καὶ οἴνῳ γλυκεῖ. ἐπωφελὴς δὲ ἡ μίξις, ἀνακιρναμένου τοῦ πάθους εἰς ἀφθαρσίαν. ἐξοννοῦται γὰρ ὑπὸ τοῦ οἴνου τὸ γάλα καὶ σχίζεται· καὶ ὅτι περ αὐτοῦ νόθον, τοῦτο ἀποχετεύεται. κατὰ τὰ αὐτὰ δὲ τῆς πίστεως ἡ κοινωνία ἡ πνευματικὴ πρὸς τὸν παθητὸν ἄνθρωπον τὰς σαρκικὰς ἐπιθυμίας ἐξορροῦσα εἰς ἀϊδιότητα συστέλλει τὸν ἄνθρωπον, τοῖς θείοις ἀπαθανατίζουσα. οἱ πολλοὶ δὲ καὶ τὸ λιπαρὸν τοῦ γάλακτος, ὃ δὴ βούτυρον καλοῦσι, καταχρῶνται εἰς λύχνον, τὸ πολυέλαιον τοῦ λόγου δι' αἰνίγματος ἀριδήλως σαφηνίσαντες, ὡς μόνου τοῦδε ἐνδίκως καὶ τρέφοντος καὶ αὔξοντος, καὶ φωτίζοντος τοὺς νηπίους. τοσαῦτα περὶ γάλακτος καὶ τῆς τούτου ἀλληγορίας.

Θεοδωρήτου. Ὁ μέν τοι Ἀπόστολος γάλα τὴν ἁπλουστέραν καλέσας διδασκαλίαν, ἐφεξῆς δείκνυσιν ἀτελοῦς καὶ τελείου διαφορὰν λέγων, "πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαι- "οσύνης, νήπιος γὰρ, ἐπιτελειῶν δ' ἐστὶν ἡ στερεὰ τροφὴ, τῶν διὰ "τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν "καλοῦ τε καὶ κακοῦ." ἀπὸ τῶν ἡλικιῶν ἔδειξε τὴν διαφοράν. καθάπερ γὰρ τοῖς μὲν εὐθυγενέσι βρέφεσι τὸ γάλα προσφέρειν εἰώθαμεν, τοῖς δὲ στεγανωτέροις ἐσχηκόσιν ὀδόντας, πάσης λοιπὸν ἀπολαύειν τροφῆς ἐπιτρέπομεν, οὕτω τοῖς ἀτελῆ πίστιν ἔχουσι σύμμετρον τῆς ἀσθενείας τὴν διδασκαλίαν προσφέρομεν, τοὺς δὲ τελείαν εἰσδεξαμένους τῶν τελειοτέρων δογμάτων μεταλαγχάνειν παρασκευάζομεν.

Γρηγορίου Νύσσης. Μᾶλλον δὲ καθάπέρ τις μήτηρ καταλλήλως τιθηνουμένη τὸ νήπιον, τέως μὲν ἁπαλῷ καὶ ὑγρῷ τῷ

στόματι τὸ γάλα διὰ τῆς θηλῆς ἐντίθησιν. ὀδοντοφυοῦντι δὲ ἤδη καὶ αὐξανομένῳ προσάγει τὸν ἄρτον, οὐ τραχύν τε καὶ ἀκατέργαστον, ὡς ἂν μὴ περιξανθείη τῷ σκληρῷ τῆς τροφῆς τὸ τούτων ἁπαλόν τε καὶ ἀγύμναστον, ἀλλὰ τοῖς ἰδίοις ὀδοῦσι καταλειάνασα σύμμετρόν τε καὶ κατάλληλον τῇ δυνάμει τοῦ προσφερομένου ἐποίησεν. εἶτα κατὰ προσθήκην τῆς δυνάμεως ἐπιδηλούσης προσεθισθὲν τοῖς ἀπαλωτέροις ἡμέρα τὸ νήπιον προσάγει τῇ στερεωτέρᾳ τροφῇ. οὕτω τοὺς μαθητὰς ὁ Παῦλος, τοὺς μὲν οἷόν τι νήπιον ἀτελὲς τοῖς στοιχειωδεστέροις τρέφει λόγοις καὶ τιθηνεῖται, τοὺς δὲ οἷα τελείους τοῖς ὑψηλοτέροις.

Βασιλείου ἐν Ἡσαΐᾳ. Τέλος δέ ἐστι τοῦ διὰ τὴν ἕξιν γεγυμνασμένα ἔχοντος τὰ αἰσθητήρια διακρίνειν δύνασθαι τὴν τοῦ καλοῦ φύσιν ἀπὸ τοῦ πονηροῦ, καὶ δοκίμου τραπεζίτου τὸ καλὸν κατέχειν, ἀπὸ δὲ παντὸς εἴδους πονηροῦ ἀπέχεσθαι· διεφθαρμένον δὲ ἔχοντος τῆς ψυχῆς τὸ κριτήριον ἐνηλλαγμένας τὰς μαρτυρίας περὶ τῆς ἑκάστου ἀξίας ἀποδιδόναι. καὶ ἔοικε πολλή τις εὐχέρεια εἶναι τῇ ἀνθρωπείᾳ φύσει πρὸς τὸ τὰ ἐναντία δοξάζειν τῇ περὶ ἕκαστον ἀληθείᾳ ἑκάστου φιλονείκως τῷ ἰδίῳ δόγματι παρισταμένου, καὶ μετὰ διατάσεως σφοδροτάτης τὰ τοῦ ἑτέρου ἀνατρέπειν καὶ διελέγχειν βιαζομένου. τὸ μὲν οὖν ἀληθινῶς καλὸν, τὸ ἐν τῇ ψυχῇ σύμμετρόν ἐστι κατ' ἀρετὴν διακειμένῃ. μεσότης γὰρ καὶ συμμετρία τίς ἡ ἀρετή. αἱ δὲ ἐφ' ἑκάτερα τὴν ἀρετὴν ἐκβαίνουσαι ὑπερβολαὶ καὶ ἐλλείψεις, ἀμετρία καὶ αἶσχος. οἱ δὲ πολλοὶ τὴν μὲν κακίαν, ὡς ἀγαθὸν αἱροῦνται· τὴν δὲ ἀρετὴν, ὡς πονηρίαν ἀποφεύγουσι.

Χρυσοστόμου. Τί δέ ἐστιν ὁ λόγος τῆς δικαιοσύνης; ἐμοὶ δοκεῖ ἐνταῦθα καὶ βίον αἰνίττεσθαι, ὅπερ καὶ ὁ Χριστὸς ἔλεγεν, "ἐὰν μὴ "περισσεύῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων," τοῦτο καὶ αὐτὸς φησὶν, ἄπειρος λόγου δικαιοσύνης, τουτέστι τῆς ἄνω φιλοσοφίας ἄπειρος οὐ δύναται παραδέξασθαι βίον ἄκρον καὶ ἠκριβωμένον. ἢ δικαιοσύνην ἐνταῦθα τὸν Χριστόν φησι, καὶ τὸν ὑψηλὸν περὶ αὐτοῦ λόγον. ὁρᾷς νηπιότητα ἑτέραν οὖσαν, καὶ αὖ τελειότητα. γενώμεθα τέλειοι ταύτην τὴν τελειότητα. ἔνεστι καὶ παῖδας ὄντας καὶ νέους πρὸς ἐκείνην ἐλθεῖν τὴν τελειότητα. οὐ γὰρ

ἐστι φύσεως ἀλλ' ἀρετῆς. οὐκ εἶχον ἐκεῖνοι τὰ αἰσθητήρια γεγυμνασμένα, οὐδὲ ᾔδεισαν καλὸν καὶ κακόν. νῦν οὐ περὶ βίου τῷ Ἀποστόλῳ ὁ λόγος, ὅταν λέγει "πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ." τοῦτο γὰρ παντὶ ἀνθρώπῳ δυνατὸν εἰδέναι καὶ εὔλογον, ἀλλὰ περὶ δογμάτων ὑψηλῶν καὶ ὑγιῶν διεφθαρμένων καὶ ταπεινῶν. τὸ παιδίον οὐκ οἶδε τὴν φαύλην καὶ τὴν δόκιμον τροφὴν διαιρεῖν. πολλάκις γοῦν καὶ χοῦν ἐνέβαλεν εἰς τὸ στόμα καὶ τὸ βλαβερὸν ἐδέξατο, καὶ πάντα ἀδιακρίτως ποιεῖ, ἀλλ' οὐ τὸ τέλειον. τοιοῦτοι εἰσὶν οἱ πᾶσι προσέχοντες ἁπλῶς καὶ ἀδιακρίτως τὰς ἀκοὰς ἐκδιδόντες ἀδοκίμοις, τούτους αἰτιᾶται ὡς ἁπλῶς περιφερομένους, καὶ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις διδόντας ἑαυτοὺς, ὃ καὶ πρὸς τῷ τέλει ᾐνίξατο λέγων διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. τοῦτό ἐστι πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ. λάρυγξ μὲν γὰρ, σῖτα γεύεται· ψυχὴ δὲ δοκιμάζει λόγους. εἶτα σαφέστερον διδάσκων τί προσηγόρευσε γάλα, ἐπήγαγε,

1 Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ
τὴν τελειότητα φερώμεθα· μὴ πάλιν θεμέλιον κατα-
βαλλόμενοι μετανοίας ἀπὸ τῶν νεκρῶν ἔργων καὶ πί-
2 στεως ἐπὶ Θεὸν, βαπτισμῶν διδαχῆς ἐπιθέσεώς τε
3 χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου,
καὶ τοῦτο ποιήσωμεν ἐάν περ ἐπιτρέπῃ ὁ Θεός.

Θεοδωρήτου. Μεμψάμενος αὐτοῖς τὸ περὶ τὴν πίστιν ἀμφίβολον, τοῦτο γὰρ ἐκάλεσε γάλα, τῆς τελειότητος ἔχεσθαι παραινεῖ, καὶ τοῖς ἤδη καταβληθεῖσι θεμελίοις ἐποικοδομεῖν τὰ λοιπὰ, μὴ ἄλλον ἄνωθεν πηγνύειν θεμέλιον. θεμέλια δὲ τὴν πίστιν ἐκάλεσεν· ἔργα δὲ νεκρὰ, τὴν πονηρίαν. οἱ γὰρ πεπιστευκότες, τὴν τούτων βδελυσσόμενοι δυσοσμίαν καὶ μεταμελείᾳ χρώμενοι, προσίασι τῷ θείῳ βαπτίσματι, καὶ διὰ τῆς ἱερατικῆς χειρὸς, ὑποδέχονται τὴν χάριν τοῦ Πνεύματος, καὶ ἐν τῷ θείῳ βαπτίσματι τὸν τῆς ἀναστάσεως δεχόμενοι τύπον, προσμένουσι τὴν κοινὴν πάντων ἀνάστασιν καὶ τὸ μέλλον κριτήριον. ταῦτα στοιχεῖα ἐκάλεσε τῶν λογίων τοῦ Θεοῦ. καθάπερ γὰρ τοῖς μειρακίοις ὁ γραμματιστὴς, πρῶτον ὑποδείκνυσι τῶν στοιχείων τοὺς χαρακτῆρας, οὕτως οἱ τῆς

εὐσεβείας διδάσκαλοι ταῦτα πρῶτα τοὺς τῆς πίστεως προσιόντας παιδεύουσι. λέγει τοίνυν ὁ θεῖος Ἀπόστολος ὅτι τῶν τελειοτέρων ἀφίεσθαι χρὴ, καὶ μὴ πάλιν ἄνωθεν μανθάνειν τὰ τῆς εὐσεβείας στοιχεῖα. τὸ μέν τοι “ καὶ τοῦτο ποιήσωμεν, ἐάν περ ὁ Θεὸς ἐπιτρέπῃ,” τοῖς ἄνω προσήρμοσεν, ὡς εἶναι τὸ ἀκόλουθον οὕτως. “ διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα, καὶ τοῦτο ποιήσωμεν ἐάν περ ἐπιτρέπῃ ὁ Θεὸς,” ἀντὶ τοῦ σπουδάσωμεν, ἐπιθυμήσωμεν, πάντα πόνον ὑπὲρ τῆς τελειότητος ἀσπασώμεθα. εἴωθεν δὲ ὁ Ἀπόστολος πάντα ἐξαρτᾶν τῆς θείας προμηθείας. διὰ τοῦτο προστέθεικεν “ ἐάν περ ἐπιτρέπῃ ὁ Θεὸς,” οὕτω καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγεν, “ ἐλεύσομαι πρὸς ὑμᾶς ἐὰν ὁ Κύριος θελήσῃ.” πληθυντικῶς “ βαπτισμῶν” τέθεικεν, οὐ πολλὰ εἶναι διδάσκων βαπτίσματα, ἀλλ' ἐπειδὴ πολλοὶ τῆς τοῦ βαπτίσματος ἀπολαύουσι χάριτος. ὅτι γὰρ ἓν ἐκήρυττε βάπτισμα, τὰ ἑξῆς διδάσκει.

Ἀθανασίου. Ἀλλ' ἄνωθεν πάλιν ἔδωκεν τίς ἐστιν ἡ ἀρχὴ τοῦ λόγου, αὐτὸς ἐφεξῆς τίθησι λέγων, “ μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας,” καὶ τὰ ἑξῆς. εἰ δὲ τοῦτο ἀρχὴ, τί ἄλλο ἐστι τὸ δόγμα τὸ ἡμέτερον, ἢ τὸ μετανοῆσαι ἀπὸ νεκρῶν ἔργων, καὶ διὰ τοῦ Πνεύματος λαβεῖν τὴν πίστιν εἰς ἀνάστασιν νεκρῶν καὶ κρίματος αἰωνίου; τί δέ ἐστιν ἀρχή; οὐδὲν ἄλλο ἢ τοῦτο. ἀρχή φησιν, ὅταν μὴ βίος ἀκριβὴς παρῇ. καθάπερ γὰρ τὸν εἰς τὴν μάθησιν τῶν γραμμάτων εἰσερχόμενον τὰ στοιχεῖα δεῖ πρῶτον ἀκοῦσαι, οὕτω καὶ τὸν Χριστιανὸν ταῦτα εἰδέναι ἀκριβῶς πρῶτον χρὴ καὶ μηδὲν ἀμφιβάλλειν περὶ αὐτῶν. εἰ δὲ δέοιτο πάλιν διδασκαλίαν, οὔπω τὸν θεμέλιον ἔχει. τὸν γὰρ ἑδραῖον, πεπηγέναι χρὴ καὶ ἑστάναι καὶ μὴ μετακινεῖσθαι. εἰ δὲ μέλλοι τις κατηχηθεὶς καὶ βαπτισθεὶς μετὰ ἔτη δέκα περὶ πίστεως πάλιν ἀκούειν καὶ ὅτι πιστεῦσαι χρὴ εἰς ἀνάστασιν νεκρῶν, οὔπω τὸν θεμέλιον ἔχει, πάλιν τὴν ἀρχὴν τοῦ Χριστιανισμοῦ ζητεῖ. ὅτι γὰρ ἡ πίστις θεμέλιος, τὸ δὲ λοιπὸν οἰκοδομὴ, ἄκουε αὐτοῦ λέγοντος, “ ἐγὼ θεμέλιον τέθεικα, ἄλλος ἐποικοδομεῖ.” τί δέ ἐστιν “ ἐπὶ τὴν τελειότητα φερώμεθα;” πρὸς αὐτὴν χωρῶμεν λοιπόν, φησι, τὴν ὀροφὴν, τουτέστι βίον ἄριστον ἔχωμεν. ὥσπερ γὰρ ἐπὶ τῶν στοιχείων τὸ πᾶν τὸ ἄλφα συνέχει, καὶ ὁ θεμέλιος τὴν πᾶσαν οἰκοδο-

μὴν, οὕτω καὶ τοῦ βίου τὴν καθαρότητα, ἡ περὶ τὴν πίστιν πληροφορία. ταύτης δὲ ἄνευ, οὐκ ἔστιν εἶναι Χριστιανὸν, ὥσπερ οὐδὲ θεμελίων ἄνευ οἰκοδομὴν, οὐδὲ στοιχείων χωρὶς ἔμπειρον γραμμάτων γενέσθαι, ἀλλ' ἐάν τις ἀεὶ περὶ τὰ στοιχεῖα στρέφηται, ἢ εἴτις περὶ τὸν θεμέλιον, οὐδέπω ἔσται αὐτῷ τί πλέον, οὕτω καὶ ἐφ' ἡμῶν. ἂν γὰρ ἀεὶ ἐν τῇ ἀρχῇ τῆς πίστεως μένωμεν, οὐδέποτε πρὸς τῷ τέλει ταύτης ἀναβησόμεθα.

Σὺ δὲ μὴ νομίσῃς ἠλαττῶσθαι τὴν πίστιν διὰ τὸ στοιχεῖον κληθῆναι· ἡ γὰρ πᾶσα δύναμις αὕτη ἐστίν. ὅταν γοῦν λέγῃ, "πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστιν," οὐ γάλα ταύτην καλεῖ, ἀλλὰ τὸ ἀμφιβάλλειν ἔτι περὶ τούτων, τουτό ἐστιν ἀσθενοῦς διανοίας, καὶ λόγων δεομένης πολλῶν. τὰ γὰρ δόγματα ταῦτα ἐστὶ τὰ ὑγιῆ. τέλειον γὰρ ἐκεῖνον καλοῦμεν τὸν μετὰ τῆς πίστεως βίον ἔχοντα ὀρθόν. ἐὰν δέ τις πίστιν μὲν ἔχῃ, πράττῃ δὲ πονηρὰ, καὶ περὶ αὐτῆς δὲ ταύτης ἀμφιβάλλει καὶ ὑβρίζει τὴν διδασκαλίαν, εἰκότως αὐτὸν φήσομεν νήπιον ἐπὶ τὴν ἀρχὴν ἀναδραμόντα. ὥστε κἂν μυρία ἔτη ἐν τῇ πίστει ἔχωμεν καὶ μὴ βέβαιοι ὦμεν, ἐν αὐτῇ νήπιοι ἐσμέν· ὅταν βίον αὐτῇ μὴ συμβαίνοντα ἐπιδεικνύμεθα, ὅταν ἔτι θεμέλιον καταβαλλώμεθα. τούτοις δὲ μετὰ τοῦ βίου καὶ ἄλλα ἐγκαλεῖ, ὡς παρασαλευθεῖσι καὶ δεομένοις θεμέλιον καταβαλεῖν μετανοίας ἀπὸ νεκρῶν ἔργων. τὸν γὰρ ἀπό τινος εἰς ἕτερον μετατιθέμενον, καὶ τὸ μὲν ἀφιέντα, τὸν δὲ αἱρούμενον, πρότερον αὐτοῦ καταγνῶναι χρὴ, καὶ ἀποστῆναι τῇ διαθέσει, καὶ τότε ἐλθεῖν ἐφ' ἕτερον. εἰ δὲ τοῦ προτέρου πάλιν ἔχεσθαι μέλλοι, πῶς τοῦ δευτέρου ἅψεται; τί φής; κατέγνωμεν τοῦ νόμου, καὶ πάλιν ἐπ' αὐτὸν ἀνατρέχειν κελεύεις; τοῦτο οὐκ ἔστι μετάθεσις· καὶ γὰρ ἐνταῦθα ἔχομεν νόμον. νόμον οὖν, φησι, καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν. ἐγὼ δὲ περὶ πονηρῶν εἶπον πραγμάτων, ἀλλ' οὐ περὶ νόμου. ὁ γὰρ μέλλων ἐπ' ἀρετὴν μετιέναι, πρότερον τῆς κακίας καταγνῶναι ὀφείλει, καὶ τότε αὐτὴν μετελθεῖν. καλῶς δὲ τῇ μετανοίᾳ καὶ τὸ βάπτισμα προσέθεικεν· οὐ γὰρ ἴσχυεν ἡ μετάνοια καθαροὺς αὐτοὺς δεῖξαι· διὰ τοῦτο εὐθέως ἐβαπτίζοντο, ἵν' ὅπερ ἀδυνάτως εἶχον ἐργάσασθαι δι' ἑαυτῶν, τοῦτο διὰ τῆς τοῦ Χριστοῦ γένοιτο χάριτος. οὔτε οὖν μετάνοια ἀρκεῖ

πρὸς τὸν καθαρισμὸν, ἀλλὰ δεῖ τὸ βάπτισμα παραλαβεῖν. ἐπὶ γοῦν τὸ βάπτισμα ἔδει ἔρχεσθαι, πρότερον καταγνόντα τῶν ἡμαρτημένων αὐτῷ καὶ καταψηφισάμενον.

Τί δέ ἐστι "βαπτισμῶν διδαχῆς;" οὐχ ὡς πολλῶν ὄντων τῶν βαπτισμῶν ἀλλ' ἑνός. τί οὖν αὐτὸ πληθυντικῶς εἶπε; διὰ τὸ εἰπεῖν "μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας." εἰ γὰρ πάλιν αὐτοὺς ἐβάπτιζε, καὶ ἄνωθεν κατήχησε, καὶ πάλιν ἐξ ἀρχῆς βαπτισθέντες ἐδιδάσκοντο τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα, διηνεκῶς ἔμελλον ἀδιόρθωτοι μένειν. ἐπιθέσεως δὲ χειρῶν εἶπεν· οὕτω γὰρ τὸ Πνεῦμα ἐλάμβανον, ἐπιθέντος αὐτοῖς τὰς χεῖρας τοῦ Παύλου φησίν· ἀναστάσεώς τε νεκρῶν. τοῦτο γὰρ ἔν τε τῷ βαπτίσματι γίνεται, καὶ ἐν τῇ ὁμολογίᾳ βεβαιοῦται· καὶ κρίματος αἰωνίου. διατί δὲ ταῦτα φησίν; ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἢ περισαλεύεσθαι ἤδη πεπιστευκότας, ἢ κακῶς βιοῦν καὶ ῥαθύμως, νήψατέ φησιν. οὐκ ἔνι εἰπεῖν ἐὰν ῥαθύμως ζήσωμεν πάλιν βαπτισθησόμεθα, πάλιν κατηχησόμεθα, πάλιν ληψόμεθα Πνεῦμα. κἂν νῦν τῆς πίστεως ἐκπέσωμεν, πάλιν δυνησόμεθα βαπτιζόμενοι τὰ ἁμαρτήματα ἀπολούσασθαι καὶ τῶν αὐτῶν τυχεῖν, ὧν περ καὶ πρότερον. θεμέλιον, φησὶ, κατεβαλόμεθα ἐν τῷ βαπτίζεσθαι, τουτέστιν ἀποταγὴν τῶν ἔργων τοῦ Σατανᾶ. ἅπαξ γὰρ μετανοήσαντες ἐπ' αὐτοῖς ἐβαπτίσθημεν.

Οὐκέτι οὖν δεῖ[b] ταῦτα ἐξ ἀρχῆς ποιεῖν, "διὸ ἀφέντες τὸν τῆς "ἀρχῆς τοῦ Χριστοῦ λόγον τὸ περὶ βαπτίσματος λέγειν καὶ χει- "ρῶν ἐπιθέσεως δι' ἣν τὸ Πνεῦμα ἐλάβετε, καὶ νεκρῶν ἀναστάσεως "καὶ κρίσεως, ἐπὶ τὴν τελειότητα φερώμεθα." οὐ δεῖ γὰρ ἀεὶ τὰ αὐτὰ λέγεσθαι· εἴρηται γὰρ ἅπαξ καὶ γεγένηται. ἀλλὰ δεῖ καὶ τὰ παρ' ἡμῶν εἰσφέρεσθαι, τουτέστι χρηστὴν πολιτείαν καὶ τῆς πίστεως ἀξίαν. αὕτη γὰρ ἡ τελειότης τὸ ἀμφιδέξιον εἶναι τὴν ἀρετὴν, ὡσεὶ ἔλεγε, νήψατε, οὐκ ἔνι γὰρ ζῆσαι ῥαθύμως καὶ πάλιν βαπτισθῆναι, καὶ δι' ἐπιθέσεως χειρῶν λαβεῖν Πνεύματος Ἁγίου ἐπιφοίτησιν. τάχα δὲ οὗτοι Ἰουδαϊκώτερον φρονοῦντες, διὰ τὸ διαφόρως ἐν τῷ νόμῳ εἶναι, βαπτισμοὺς ἐβούλοντο καὶ τὸ τῆς νέας βάπτισμα τὸ τὴν παλιγγενεσίαν δωρούμενον, πολλάκις βα-

[b] δὴ Cod.

πτίζεσθαι, διὰ τὸ ἀφέσεως ἁμαρτιῶν πολλάκις ἐθέλειν ἀξιοῦσθαι· διὸ ἐπάγει,

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους
τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας
5 Πνεύματος Ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα,
6 δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν
ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοὺς τὸν
Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας.

ΘΕΟΔΩΡΗΤΟΥ. Τῶν ἄγαν ἀδυνάτων φησι, τοὺς τῷ παναγίῳ προσεληλυθότας βαπτίσματι, καὶ τῆς τοῦ θείου Πνεύματος χαρίτος μετειληφότας, καὶ τῶν αἰωνίων ἀγαθῶν δεξαμένους τὸν τύπον, αὖθις προσελθεῖν καὶ τυχεῖν ἑτέρου βαπτίσματος. τοῦτο γὰρ οὐδέν ἐστιν ἕτερον, ἢ πάλιν τὸν Υἱὸν τοῦ Θεοῦ τῷ σταυρῷ προσηλῶσαι, καὶ τὴν γεγενημένην ἀτιμίαν πάλιν αὐτῷ προσάψαι. ὥσπερ γὰρ ἅπαξ αὐτὸς τὸ πάθος ὑπέμεινεν, οὕτω καὶ ἡμᾶς ἅπαξ αὐτῷ προσήκει κοινωνῆσαι τοῦ πάθους· συνθαπτόμεθα δὲ αὐτῷ διὰ τοῦ βαπτίσματος καὶ συνανιστάμεθα. οὐχ οἷόν τε οὖν ἡμᾶς πάλιν ἀπολαῦσαι τῆς τοῦ βαπτίσματος δωρεᾶς· Χριστὸς γὰρ ἀναστὰς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει. θάνατος αὐτοῦ οὐκέτι κυριεύσει. "ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· "ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ." καὶ ἡμῶν δὲ ὁ παλαιὸς ἄνθρωπος συνεσταυρώθη ἐν τῷ βαπτίσματι τοῦ θανάτου τὸν τύπον δεξάμενος. "καλὸν "δὲ Θεοῦ ῥῆμα," τὴν ὑπόσχεσιν ἔφη τῶν ἀγαθῶν. "δυνάμεις δὲ "μέλλοντος αἰῶνος" τὸ βάπτισμα προσηγόρευσε, καὶ τὴν χάριν τοῦ Πνεύματος. διὰ τούτων γὰρ δυνατὸν τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν. ταῦτα δὲ ὁ Ἀπόστολος εἴρηκε τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας διδάσκων, μὴ νομίζειν τὸ πανάγιον βάπτισμα τοῖς Ἰουδαϊκοῖς ἐοικέναι βαπτίσμασιν. ἐκεῖνα μὲν γὰρ οὐχ ἁμαρτήματα ἔλυεν, ἀλλὰ τὸν δοκοῦντα τοῦ σώματος ἐκάθαιρε μολυσμὸν, οὗ δὴ χάριν καὶ πολλάκις καὶ συνεχῶς προσεφέρετο. τοῦτο δέ γε ἔνεστιν, ἅτε δὴ τοῦ σωτηρίου πάθους καὶ τῆς ἀναστάσεως ἔχων τὸν τύπον, καὶ προδιαγράφων ἡμῖν τὴν ἐσομένην ἀνάστασιν· ταῦτα οἱ Ναυάτου κατὰ τῆς ἀληθείας ὁπλίζουσι τὰ ῥητὰ, μὴ συνιέντες ὡς ὁ θεῖος Ἀπόστολος, οὐ τὰ τῆς μετανοίας ἀπηγόρευσε φάρμακα,

ἀλλὰ τοῦ θείου βαπτίσματος τὸν ὅρον ἐδίδαξεν· ὅθεν ἐπήγαγεν, "ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζον-"τας." παραδειγματίσαι γάρ ἐστι τὸ θεῖον μυστήριον τὸ δὶς τούτου μεταλαχεῖν. ὅτι γὰρ πανταχοῦ κηρύττει μετάνοιαν, μαρτυρεῖ μὲν τὰ πρὸς Κορινθίους αὐτῷ γεγραμμένα, μαρτυρεῖ δὲ τὰ πρὸς Γαλάτας, καὶ πανταχοῦ δὲ τούτους κατασπείρει τοὺς λόγους.

Ἀθανασίου. Εἰ γὰρ τοῖς μετὰ τὸ λουτρὸν ἁμαρτάνουσιν, ἀσύγγνωστος ἐστὶν ἡ τῶν πλημμελημάτων δίκη, πῶς τῷ μὲν ἐν Κορινθίῳ μετανοοῦντι κυροῖ τὴν αὐτὴν ἀγάπην ὁ Ἀπόστολος, τοὺς δὲ Γαλάτας παλινδρομήσαντας ὠδίνει, ἄχρις οὗ πάλιν μορφωθῇ Χριστὸς ἐν αὐτοῖς; ἐν δὲ τῷ λέγειν πάλιν, δείκνυσιν αὐτῷ τὴν προτέραν ἐν τῷ Πνεύματι τελειότητα. τὸ γοῦν ἐν τῇ πρὸς Ἑβραίους εἰρημένον, οὐκ ἐκκλεῖον ἐστὶν τῶν ἁμαρτανόντων τὴν μετάνοιαν, ἀλλὰ δεικνῦον ἓν εἶναι τὸ τῆς καθολικῆς ἐκκλησίας βάπτισμα, καὶ μὴ δεύτερον. Ἑβραίοις γὰρ ἔγραφε, καὶ ἵνα μὴ νομίσωσι κατὰ τὴν ἐν τῷ νόμῳ συνήθειαν προφάσει μετανοίας πολλὰ καὶ καθημέραν βαπτίσματα, διὰ τοῦτο μετανοεῖν μὲν παραινεῖ, μίαν δὲ εἶναι τὴν ἀνακαίνισιν διὰ τοῦ βαπτίσματος, καὶ μὴ δευτέραν ἀποφαίνεται, ὡς καὶ ἐν ἑτέρᾳ Ἐπιστολῇ φησὶ, "μία πίστις, ἓν βάπτισμα." οὐδὲ γὰρ εἶπεν ἀδύνατον μετανοεῖν, ἀλλ' ἀδύνατον προφάσει μετανοίας ἀνακαινίζειν ὑμᾶς. ἔχει δὲ πολλὴν τὴν διαφοράν· ὁ μὲν γὰρ μετανοῶν, παύεται μὲν τοῦ ἁμαρτάνειν, ἔχει δὲ τῶν τραυμάτων τὰς οὐλάς. ὁ δὲ βαπτιζόμενος, τὸν μὲν παλαιὸν ἀπεκδιδύσκεται ἄνθρωπον, ἀνακαινίζεται δὲ ἄνωθεν γεννηθεὶς τῇ τοῦ Πνεύματος χάριτι.

Χρυσοστόμου. Ὅρα δὲ πῶς ἐντρεπτικῶς καὶ ἀπαγορευτικῶς ἄρχεται λέγων, "ἀδύνατον·" μηκέτι φησὶν προσδόκα τὸ μὴ δυνατόν. οὐ γὰρ εἶπεν οὐ πρέπει οὐδὲ συμφέρει οὐδὲ ἔξεστιν, ἀλλὰ "ἀδύνα-"τον," ὥστε ἀπόγνωσιν ἐμβαλεῖν· εἰ ὅλως ἐφωτίσθητε ἅπαξ. δωρεὰν δὲ ἐπουράνιον τὴν ἄφεσιν λέγει, ῥῆμα δὲ καλὸν, τὴν διδασκαλίαν, δυνάμεις δὲ τοῦ μέλλοντος αἰῶνος, ἢ τὸ θαύματα ἐπιτελεῖν, ἢ τὸν ἀρραβῶνα τοῦ Πνεύματος. ἀνακαινίζειν δὲ φησὶν εἰς μετάνοιαν, τουτέστι διὰ μετανοίας· οὐκ ἐκβέβληται δὲ ἡ μετάνοια, μὴ γένοιτο, ἀλλ' ὁ διὰ τοῦ λουτροῦ πάλιν ἀνακαινισμός· οὐ γὰρ εἶπεν ἀνακαινισθῆναι πάλιν εἰς μετάνοιαν, καὶ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν,

ἀδύνατον ἀνασταυροῦντας ἀνακαινισθῆναι, τουτέστι καινοὺς γενέσθαι. τὸ γὰρ καινοὺς ποιῆσαι, τοῦ λουτροῦ μόνον ἐστίν. "ἀνα-"καινισθήσεται" γάρ φησιν "ὡς ἀετοῦ ἡ νεότης σου." τῆς δὲ μετανοίας ἐστὶ τὸ καινοὺς γενομένους, εἶτα παλαιωθέντας ἀπὸ τῶν ἁμαρτημάτων, ἀπαλλάξαι τῆς παλαιότητος, καὶ στερροὺς ἐργάσασθαι. εἰς ἐκείνην μέν τοι τὴν λαμπρότητα ἀγαγεῖν οὐκ ἔνι. ἐκεῖ γὰρ τὸ ὅλον ἡ χάρις ἦν.

"Ἀνασταυροῦντας ἑαυτοῖς, φησὶ, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ πα-"ραδειγματίζοντας." ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὸ βάπτισμα σταυρός ἐστι. καὶ συνεσταυρώθη ὁ παλαιὸς ἡμῶν ἄνθρωπος. "σύμμορφοι γὰρ γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ," καὶ πάλιν "συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς "τὸν θάνατον." ὥσπερ οὖν οὐκ ἔνι δεύτερον σταυρωθῆναι τὸν Χριστὸν, τοῦτο γὰρ παραδειγματίσαι αὐτόν ἐστιν· εἰ γὰρ θάνατος αὐτῷ οὐκέτι κυριεύσει, εἰ ἀνέστη, τῇ ἀναστάσει κρείττων γενόμενος τοῦ θανάτου, εἰ διὰ τοῦ θανάτου τὸν θάνατον κατεπάλαισεν, εἶτα πάλιν σταυροῦται, μῦθος πάντα ἐκεῖνα καὶ παραδειγματισμός. οὕτως οὐκ ἔνι οὐδὲ δεύτερον βαπτισθῆναι. ὁ τοίνυν δεύτερον βαπτίζων, πάλιν αὐτῷ σταυροῖ· τοῦτο γάρ ἐστιν ἀνασταυροῦντας, ἄνωθεν πάλιν σταυροῦντας. ὥσπερ γὰρ ἀπέθανεν ὁ Χριστὸς ἐν τῷ σταυρῷ, οὕτως ἡμεῖς ἐν τῷ βαπτίσματι, οὐ τῇ σαρκὶ, ἀλλὰ τῇ ἁμαρτίᾳ. ὅρα θάνατον καὶ θάνατον. ἐκεῖνος ἀπέθανε τῇ σαρκὶ, ἡμῶν ὁ παλαιὸς ἄνθρωπος ἐτάφη, καὶ ἀνέστη ὁ καινός. ὁ σύμμορφος γενόμενος τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. εἰ τοίνυν ἀνάγκη δὶς βαπτισθῆναι, ἀνάγκη πάλιν αὐτὸν ἀποθανεῖν. τὸ γὰρ βάπτισμα οὐδέν ἐστιν ἄλλο, ἢ ἀναίρεσις τοῦ βαπτιζομένου, καὶ ἔγερσις ἐκείνου. καὶ καλῶς εἶπεν ἑαυτοῖς ἀνασταυροῦντας. ὁ γὰρ τοῦτο ποιῶν, ὡς τῆς προτέρας χάριτος ἐπιλαθόμενος, καὶ ῥαθύμως τὸν ἑαυτοῦ βίον οἰκονομῶν ὡς ὄντος ἑτέρου βαπτίσματος, οὕτω πάντα διαπράττεται. διόπερ προσέχειν χρὴ καὶ ἀσφαλίζεσθαι.

Τί δέ ἐστι "γευσαμένους τῆς δωρεᾶς τῆς ἐπουρανίου;" τουτέστι τῆς ἀφέσεως τῶν ἁμαρτημάτων. τοῦτο γὰρ Θεοῦ μόνον χαρίζεσθαι. καὶ ἡ χάρις ἅπαξ ἐστὶ χάρις. "τί οὖν; ἐπιμενοῦμεν "τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; μὴ γένοιτο." εἰ δὲ ἀεὶ

μέλλοιμεν χάριτι σώζεσθαι, οὐδέποτε ἐσόμεθα ἀγαθοί· ὅπου γὰρ μία ἐστὶ χάρις καὶ οὕτω ῥαθυμοῦμεν. εἰ ᾔδημεν ὅτι πάλιν ἐστὶν ἀπολούσασθαι τὰ ἁμαρτήματα, ἆρα ἂν ἐπαυσάμεθα ἁμαρτάνοντες; οὐκ ἔγωγε οἶμαι. πολλὰ δὲ ἐνταῦθα δείκνυσι τὰ δῶρα. καὶ ἵνα μάθῃς, "κατηξιώθητε," φησιν, "τοσαύτης ἀφέσεως." ὁ γὰρ ἐν σκότῳ καθεζόμενος, ὁ ἐχθρὸς, ὁ πολέμιος, ὁ θεοστυγὴς, ὁ ἀπολύμενος, οὗτος ἐξαίφνης φωτισθεὶς, Πνεύματος ἀξιωθεὶς, δωρεᾶς ἐπουρανίου, υἱοθεσίας, βασιλείας οὐρανῶν, τῶν ἄλλων ἀγαθῶν, μυστηρίων ἀπορρήτων, καὶ οὐδὲ οὕτω βελτίων γενόμενος, ἀλλ' ἄξιος ὢν ἀπωλείας, τυχὼν δὲ σωτηρίας καὶ τιμῆς, ὡς τὰ μεγάλα κατωρθωκὼς, πῶς ἂν δύναιτο βαπτισθῆναι πάλιν; δύο τοίνυν τρόποις τὸ πρᾶγμα ἔφησεν ἀδύνατον εἶναι, καὶ τὸν ἰσχυρότερον ὕστερον ἔθεικεν, ἑνὶ μὲν, ὅτι οὐκ ἄξιος ὁ τοιούτων καταξιωθεὶς, καὶ πάντα προδοὺς τὰ δωρηθέντα αὐτῷ, πάλιν ἀνακαινισθῆναι· δευτέρῳ δὲ, ὅτι οὐ δυνατόν ἐστιν πάλιν αὐτὸν ἀνασταυροῦσθαι. τοῦτο γάρ ἐστι παραδειγματίσαι.

Οὐκ ἔστι τοίνυν δεύτερον λουτρὸν, οὐκ ἔστιν. εἰ δέ ἐστιν, καὶ τρίτον καὶ τέταρτον ἐστίν, τὸ γὰρ πρότερον ὑπὸ τοῦ ὑστέρου ἀεὶ καταλύεται, καὶ τοῦτο ἀεὶ ὑπὸ ἄλλου, καὶ τοῦτο εἰς ἄπειρον. εἰπὼν δὲ, "καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα," οὐκ ἀποκαλύπτει αὐτῷ, ἀλλ' αἰνίττεται. "δυνάμεις τε μέλλοντος "αἰῶνος," μονονουχὶ τοῦτο λέγει ὅτι τὸ ζῆν ὡς Ἀγγέλους τὸ μηδενὸς δεῖσθαι τῶν ἐνταῦθα, τὸ εἰδέναι ὅτι τῆς τῶν μελλόντων αἰώνων ἀπολαύσεως, πρόξενος ἡμῖν υἱοθεσίας γίνεται. τὸ εἰς τὰ ἄδυτα ἐκεῖνα εἰσελθεῖν προσδοκᾷν, διὰ τοῦ Πνεύματος ἐστὶ ταῦτα μαθεῖν· τί ἐστι "δυνάμεις τε μέλλοντος αἰῶνος;" ἡ ζωὴ ἡ αἰώνιος, ἡ ἀγγελικὴ διαγωγή. τοῦτον ἤδη τὸν ἀρραβῶνα ἐλάβομεν διὰ τῆς πίστεως παρὰ τοῦ Πνεύματος. εἰπέ μοι τοίνυν, εἰ εἰς βασίλεια εἰσαχθεὶς, καὶ πάντα ἐμπιστευθεὶς τὰ ἐκεῖ, εἶτα προὔδωκας ἅπαντα, ἆρα ἂν ἐνεπιστεύθης πάλιν; τί οὖν; οὐκ ἔστι μετάνοια; φησὶν, ἔστι μετάνοια, ἀλλὰ βάπτισμα οὐκ ἔστι δεύτερον. μετάνοια δέ ἐστιν, καὶ πολλὴν ἔχει τὴν ἰσχὺν, καὶ τὸν σφόδρα τοῖς ἁμαρτήμασι βεβαπτισμένον, εἰ βουληθείη, δυναμένη ἀπαλλάξαι τοῦ τῶν ἁμαρτημάτων φόρτου, καὶ τὸν κινδυνεύοντα καταστῆσαι ἐν ἀσφαλείᾳ, κἂν πρὸς αὐτὸν ἔλθῃ τῆς κακίας τὸν πυθμένα. καὶ τοῦτο πολλαχόθεν δῆλον· "μὴ ὁ πίπτων γάρ," φησιν, "οὐκ ἀνίσταται;"

ἔστιν ἐὰν βουλώμεθα μορφωθῆναι τὸν Χριστὸν ἐν ἡμῖν πάλιν. πόθεν δὲ κατασκευάζεται τὸ τῆς μετανοίας φάρμακον, πρῶτον ἀπὸ καταγνώσεως τῶν οἰκείων ἁμαρτημάτων· δεύτερον ἀπὸ ταπεινοφροσύνης πολλῆς, ἀπὸ εὐχῶν καὶ δακρύων, ἀπὸ ἐλεημοσύνης μάλιστα, ἀπὸ τοῦ μηδενὶ ὀργίζεσθαι, μηδὲ μνησικακεῖν, ἀλλ' ἀφιέναι πᾶσι τὰ ἁμαρτήματα· ἀπὸ τοῦ ἀποστρέφειν ἀδελφοὺς ἀπὸ τῆς πλάνης, ἀπὸ τοῦ πρὸς τοὺς ἱερεῖς ἔχειν οἰκείως, ἀπὸ τοῦ προΐστασθαι τῶν ἀδικουμένων. διὰ τοσούτων ἡ μετάνοια καὶ ἡ ἄφεσις κατορθοῦται. ὁ μέν τοι Παῦλος εἰπὼν "παραπεσόντας ἀδύ-"νατον βαπτισθῆναι δεύτερον," καὶ τὴν διὰ λουτροῦ ἄφεσιν λαβεῖν, καὶ δείξας τὸ φρικτὸν τοῦ πράγματος, εἴγε οἱ ἅπαξ εἰς μετάληψιν τῆς οὐρανίου καὶ θείας ἐνηνεγμένοι χάριτος, διὰ τοῦ βαπτίσματος, ἀναστάσεώς τε πέρι καὶ Χριστοῦ βασιλείας τὸν ἀληθῆ παραδεξάμενοι λόγον, εἰ παλινδρομεῖν ἕλοιντο πρὸς τὸ ἐν ἀρχῇ, οὐκ ἀνακαινισθήσονται πρὸς καθαρισμὸν διὰ δευτέρου βαπτίσματος, ἐπάγει,

7 Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον
ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ
8 νεωργεῖται, μεταλαμβάνει εὐλογίαν ἀπὸ τοῦ Θεοῦ, ἐκ-
φέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατά-
ρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν.

Χρυσοστόμου. Ἐνταῦθα δηλοῖ ὅτι καὶ ἐδέξαντο καὶ συνέπιον τὸν λόγον, καὶ πολλάκις τούτου ἔτυχον, καὶ οὐδὲ οὕτως ἀπώναντο. ὅπερ δὲ ἀνωτέρω ἔλεγεν, "ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρό-"νον," τοῦτο καὶ ἐνταῦθα φησίν. ὅτι πολλάκις ἔπιον τὸν ὑετὸν, τουτέστι τὴν διδασκαλίαν. πολλαχοῦ γὰρ ἡ Γραφὴ ὑετὸν τὴν διδασκαλίαν λέγει. "ἐντελοῦμαι γάρ," φησι, "ταῖς νεφέλαις τοῦ μὴ "βρέξαι εἰς αὐτὸν ὑετόν." περὶ τοῦ ἀμπελῶνος λέγουσα, ὅπερ ἀλλαχοῦ, λιμὸν ἄρτου καὶ δίψαν ὕδατος καλεῖ. καὶ πάλιν, "ὁ ποταμὸς "τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων·" οὐδὲν μέν τοι οὕτως εὔθετον ὡς βίου καθαρότης, οὐδὲν οὕτως εὔρυθμον ὡς βίος ἄριστος, εἰπὼν δὲ μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ, τὸν Θεόν φησιν αἴτιον τῶν ἁπάντων γίνεσθαι, ἠρέμα πλήττων τοὺς Ἕλληνας, τοὺς τῇ δυνάμει τῆς γῆς τῶν καρπῶν τὴν γένεσιν ἐπιγράφοντας· οὐδὲ γὰρ γεωργικαί φησιν χεῖρές εἰσὶν, αἱ τὴν γῆν πρὸς τὴν τῶν καρπῶν φορὰν διεγείρουσαι, ἀλλὰ τὸ παρὰ τοῦ Θεοῦ πρόσταγμα.

Κυρίλλου. Ἥ γε μὴν ῥάθυμος ψυχὴ παρεικάζοιτο ἂν εἰκότως γῇ πονηρᾷ καὶ ἁλμάδι, δεχομένῃ μὲν πολλάκις παρὰ τῶν γηπονεῖν εἰωθότων τὰς τῶν σπερμάτων καταβολὰς, τικτούσῃ δὲ τὸ σύμπαν οὐδέν. εἰς ποῖον δὲ αὐτῇ τέλος ἡ ῥαθυμία ἐκβήσεται ἄπρακτον, ἀποφηνάσῃ τὴν δοθεῖσαν αὐτῇ παρὰ τοῦ Θεοῦ δωρεὰν, διδάξει λέγων ὁ Παῦλος, ὅτι τὸ τέλος αὐτῆς εἰς καῦσιν. βούλει καὶ διὰ πραγμάτων τὸ εἰρημένον ἰδεῖν ἀληθές; γέγονε ποτὲ γῆ καρποφόρος ὁ Ἰσραὴλ, ἄμπελος εὐκληματοῦσα κατὰ τὸ γεγραμμένον. ταύτῃ γεγόνασιν ἐν τάξει νεφῶν οἱ μακάριοι προφῆται, καὶ θείοις αὐτὴν κατάρδοντες λόγοις, ὠφελεῖν ἐσπούδαζον, ἀλλ' ἐποίησεν ἀκάνθας· ἀγρία γέγονε καὶ ὑλομανής. δέδοται τοίνυν εἰς καῦσιν, τουτέστιν ἠχρειώθη παντελῶς, καὶ τῷ πυρὶ τεταμίευται.

Χρυσοστόμου. Εἰ μὴ ἐγεωργήθης, φησὶν, εἰ μὴ ἀπήλαυσας ὑετοῦ, οὐκ ἦν τοσοῦτον τὸ κακόν. "εἰ γὰρ μὴ ἦλθον," φησὶ, "καὶ "ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον." νῦν δὲ πολλάκις ἔπιες καὶ ἐδέξω. τίνος ἕνεκεν ἀντὶ καρπῶν ἕτερα ἐξήγαγες; "ἔμεινα γάρ," φησιν, "ἵνα ποιήσῃ σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας." ὁρᾷς ὅτι πανταχοῦ ἡ γραφὴ ἀκάνθας καλεῖ τὰ ἁμαρτήματα. καὶ ὁ Δαβὶδ, "ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναι μοι ἄκανθαν." οὐ γὰρ ἁπλῶς ἐπέρχεται, ἀλλ' ἐμπήγνυται. κἂν μικρὸν αὐτῆς ἐναπομείνῃ, κἂν μὴ πᾶσαν αὐτὴν ἐξέλωμαι, τὸ μικρὸν ὀδυνᾷ ὁμοίως, καθάπερ ἐπὶ τῆς ἀκάνθης. καὶ τί λέγω; αὐτὸ τὸ μικρὸν καὶ μετὰ τὸ ἐξαιρεθῆναι, ἐπὶ πολὺ τῆς πληγῆς τὴν ὀδύνην ἐναφίησι, καὶ δεῖ θεραπείας πολλῆς καὶ ἰατρείας, ὥστε τέλεον αὐτῆς ἐλευθερωθῆναι. οὐδὲ γὰρ ἀρκεῖ τὸ ἐξελεῖν μόνον τὴν ἁμαρτίαν, ἀλλὰ δεῖ καὶ τοῦ τὸν πληγέντα θεραπεῦσαι τόπον. τίνες δὲ αἱ ἄκανθαι ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος, "ὅτι ἡ μέριμνα τοῦ αἰῶνος τού"του καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος "γίνεται." εἰκότως δὲ τὴν ἁμαρτίαν τρίβολον ἐκάλεσεν. ὅθεν γὰρ αὐτὴν κατάσχῃς, πλήττει καὶ δάκνει. ὅρα δὲ πῶς ἐπὶ τῶν ἀκανθῶν οὐκ εἶπε τίκτουσα, οὐδὲ τῷ χρησίμῳ τούτῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τί; "ἐκφέρουσα ἀκάνθας," ὡς ἂν εἴποι τις ἐκβράσσουσα, ἐκβάλλουσα· "καὶ κατάρας ἐγγὺς," βαβαὶ πόσην παραμυθίαν ἔχει ὁ λόγος· κατάρας γὰρ εἶπεν ἐγγὺς, οὐ κατάρα, ὁ δὲ μήπω εἰς τὴν

κατάραν ἐμπεσὼν, ἀλλ' ἐγγὺς γενόμενος, καὶ μακρὰν γενέσθαι δυνήσηται. καὶ οὐ τούτῳ μόνῳ παρεμυθήσατο, ἀλλὰ καὶ τὸ ἑξῆς. οὐ γὰρ εἶπεν ἡ κτίσις καήσεται, ἀλλὰ τί; "ἧς τὸ τέλος εἰς καῦσιν." ἐὰν μέχρι τέλους ἐπιμείνῃς, φησὶν, ὥστε ἐὰν ἐκτέμωμεν καὶ κατακαύσωμεν τὰς ἀκάνθας, δυνησώμεθα τῶν μυρίων ἀπολαῦσαι ἀγαθῶν, καὶ γενέσθαι δόκιμοι καὶ εὐλογίας μετασχεῖν. νῦν δὲ δέδοικα μὴ πρὸς ἡμᾶς εἴη τὰ λεγόμενα μᾶλλον ἢ πρὸς ἑτέρους. ἀεὶ γὰρ πίνομεν, ἀεὶ ἀκούομεν, ἀλλ' εὐθέως τὴν νοτίδα ἀπόλλυμεν, τοῦ ἡλίου ἀνατέλλοντος, καὶ διὰ τοῦτο ἀκάνθας ἐκφέρομεν. ἄρα τίς ἐστιν ὁ τούτων τῶν ἀκανθῶν καθαρός; εἰ δὲ καὶ ἦμεν καθαροὶ, οὐδὲ οὕτω θαρρεῖν ἐχρῆν, ἀλλὰ δεδοικέναι καὶ τρέμειν μή ποτε ἄκανθαι βλαστήσωσιν ἐν ἡμῖν. ὅταν δὲ ὅλοι δι' ὅλων ἄκανθαι ὦμεν, καὶ τρίβολοι, πόθεν θαρροῦμεν εἰπέ μοι, καὶ ὕπτιοι γενόμεθα, τί τὸ ποιοῦν ἡμᾶς ῥαθυμεῖν; εἰ ὁ δοκῶν ἑστάναι ὀφείλει δεδοικέναι μὴ πέσῃ, ὁ πεσὼν πῶς ὀφείλει μεριμνᾷν ὥστε ἀναστῆναι; εἰ Παῦλος φοβεῖται, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένηται, ὁ οὕτω δόκιμος, ἡμεῖς οἱ γενόμενοι ἤδη ἀδόκιμοι, τίνα ἕξομεν συγγνώμην, οὐδένα φόβον ἔχοντες, ἀλλ' ὡς συνήθειαν οὕτως πληροῦντες τὸν Χριστιανισμὸν καὶ ἀφοσιούμενοι; φοβηθῶμεν οὖν, οὐκ ἔστι Παύλου αὕτη ἡ ἀπειλὴ, οὐκ ἔστιν ἀνθρώπου τὰ ῥήματα, τοῦ Πνεύματος εἰσὶ τοῦ Ἁγίου, τοῦ Χριστοῦ τοῦ λαλοῦντος ἐν Παύλῳ.

Θεοδωρήτου. Πλὴν ἀπὸ τῆς εἰκόνος δείξας τίνων μὲν ἀγαθῶν ἀπολαύσουσιν οἱ τοὺς ὡρίμους φέροντες τῆς εὐσεβείας καρποὺς, τίνα δὲ πείσονται οἱ τὰς ἀκάνθας βλαστάνοντες, ἐπειδὴ αὐστηροτέροις ἐχρήσατο λόγοις, ἀκανθῶν καὶ πυρὸς μνημονεύσας, τὴν ἀπὸ τῆς εὐφημίας ψυχαγωγίαν προσφέρει λέγων,

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν.

Χρυσοστόμου. Καθαψάμενος αὐτῶν ἱκανῶς, καὶ φοβήσας καὶ πλήξας, θεραπεύει πάλιν, ὥστε μὴ πλέον καταβαλεῖν καὶ ὑπτίους ἐργάσασθαι. τὸν γὰρ νωθρὸν ὁ πλήττων, νωθρότερον ἐργάζεται. οὕτως οὖν πάντῃ κολακεύει ὥστε μὴ ὑπτινεστέρους ποιῆσαι, οὔτε πάντῃ πλήττει, ἀλλ' ὁ λόγος γὰρ ἐμβαλὼν τὸ πληκτικὸν, πολὺ τὸ θεραπευτικὸν προσφέρει διὰ τῶν ἐπαγομένων. τί γάρ φησιν;

οὐχ ὡς κατεγνωκότες ὑμῶν ταῦτα λέγομεν, οὐδὲ ὡς νομίζοντες ὑμᾶς ἀκανθῶν πλήρεις, ἀλλὰ δεδοικότες μὴ τοῦτο γένηται. βέλτιον γὰρ ὑμᾶς τοῖς ῥήμασι φοβῆσαι, ἵνα μὴ τοῖς πράγμασιν ἀλγήσητε. καὶ τοῦτο τῆς συνέσεως Παύλου μάλιστα. καὶ οὐκ εἶπε νομίζομεν, οὐδὲ στοχαζόμεθα, οὐδὲ προσδοκῶμεν, οὐδὲ ἐλπίζομεν, ἀλλὰ τί; "πεπείσμεθα περὶ ὑμῶν τὰ κρείττονα," ὃ καὶ Γαλάταις γράφων ἔλεγε, "πέποιθα δὲ εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο "φρονήσετε." ἀλλ' ἐκεῖ μὲν, ἐπειδὴ κατεγνωσμένοι ἦσαν, καὶ οὐκ εἶχεν αὐτοὺς ἀπὸ τῶν παρόντων ἐπαινέσαι, ἀπὸ τῶν μελλόντων τοῦτο ποιεῖ. "ὅτι οὐδὲν ἄλλο," φησὶ, "φρονήσετε·" οὐκ εἶπε φρονεῖτε, ἀλλὰ "φρονήσετε." ἐνταῦθα δὲ ἀπὸ τῶν παρόντων οὐ τοσαῦτα εἶχεν εἰπεῖν, ἀπὸ τῶν παρελθόντων κατασκευάζει τὴν παραμυθίαν καὶ φησίν,

10 Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες.

ΘΕΟΔΩΡΗΤΟΥ. *Ἵνα μὴ δόξῃ κολακείᾳ μᾶλλον ἢ ἀληθείᾳ κεχρῆσθαι, τῶν ἤδη κατωρθωμένων αὐτοῖς ἀναμιμνήσκει, προθυμοτέρους ταύτῃ περὶ τὰ θεῖα ποιῶν.*

Βαβαὶ πῶς αὐτῶν ἀνεκτήσατο τὴν ψυχὴν καὶ ἐνέρρωσε, τῶν παλαιῶν ἀναμνήσας πραγμάτων, καὶ εἰς ἀνάγκην καταστήσας τοῦ μὴ προσδοκᾷν ἐπιλελῆσθαι τὸν Θεόν. ἀνάγκη γὰρ ἐκεῖνον ἁμαρτάνειν, τὸν μὴ πεπληροφορημένον περὶ τῆς ἐλπίδος, καὶ λέγειν ὅτι ἄδικος ὁ Θεός. ὥστε συνηνάγκασεν αὐτοὺς πάντως προσδοκᾷν ἐκεῖνα τὰ μέλλοντα. τὸν γὰρ ἀπεγνωκότα ἀπὸ τῶν παρόντων, καὶ ἀπαγορεύσαντα, ἀπὸ τῶν μελλόντων ἀναρρῶσαι δυνήσεταί τις, ὡς καὶ αὐτὸς Γαλάταις γράφων ἔλεγεν· "ἐτρέχετε καλῶς," καὶ πάλιν, "τοσαῦτα ἐπάθετε εἰκῆ, εἴγε καὶ εἰκῆ." ὥσπερ δὲ ἐνταῦθα μετ' ἐκπλήξεως τίθησι τὸ ἐγκώμιον λέγων, "ὀφείλοντες εἶναι διδά"σκαλοι διὰ τὸν χρόνον," οὕτω κακεῖ, "θαυμάζω ὅτι οὕτω ταχέως "μετατίθεσθε," μετ' ἐκπλήξεως τὸ ἐγκώμιον. περὶ γὰρ μεγάλων ὅταν ἐκπέσωσι, θαυμάζομεν. ὁρᾷς ἐγκεκρυμμένον τὸν ἔπαινον τῇ κατηγορίᾳ καὶ τῇ διαβολῇ, καὶ οὐ περὶ ἑαυτοῦ τοῦτο μόνον φησὶν, ἀλλὰ καὶ περὶ πάντων. οὐ γὰρ εἶπε πέπεισμαι, "ἀλλὰ πεπείσμεθα,"

“περὶ ὑμῶν,” φησὶ, “τὰ κρείττονα καὶ χρηστὰ,” ἤτοι περὶ πολιτείας ἢ περὶ ἀντιδόσεως ταῦτα λέγων. ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω, ὅτι ἀδόκιμος καὶ κατάρας ἐγγὺς, καὶ ὅτι εἰς καῦσιν ἔσται, οὐ πάντως, φησὶ, περὶ ὑμῶν τοῦτο λέγομεν. “οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλα-“θέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης.” κόπον γὰρ ὄντως ἔχει τὸ ὡς δεῖ ἀγαπᾷν· μεγάλα δὲ αὐτοῖς μαρτυρεῖ, οὐκ ἔργα μόνον, ἀλλὰ μετὰ προθυμίας ἔργα, ὃ καὶ ἀλλαχοῦ φησὶν, “οὐ “μόνον δὲ, ἀλλὰ καὶ ἑαυτοὺς ἐδώκατε τῷ Κυρίῳ καὶ ἡμῖν, ἧς ἐνεδεί-“ξασθέ,” φησιν, “εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ “διακονοῦντες.” ὁρᾷς πῶς πάλιν αὐτοὺς θεραπεύει, ἐπαγαγὼν “καὶ “διακονοῦντες.” καὶ διανίστησιν αὐτοὺς, δεικνὺς ὅτι οὐκ ἐκείνοις πεποιήκασιν ἀλλὰ τῷ Θεῷ, “ἣν ἐνεδείξασθέ,” φησι, καὶ οὐκ εἶπεν εἰς τοὺς ἁγίους, ἀλλ᾽ εἰς τὸν Θεόν· τοῦτο γάρ ἐστιν εἰς τὸ ὄνομα αὐτοῦ. διὰ τὸ ὄνομα αὐτοῦ, φησι, πάντα πεποιήκατε. ὁ τοίνυν τοσαύτης παρ᾽ ἡμῶν ἀπολαύων σπουδῆς καὶ ἀγάπης, οὐ καταφρονήσει ποτὲ ὑμῶν, οὐδὲ ἐπιλήσεται. ἁγίους δὲ τοὺς πιστοὺς ὁ Παῦλος καλεῖ. πᾶς γὰρ πιστὸς, ἅγιος, καθὸ πιστός ἐστιν. “ἡγία-“σται γάρ,” φησιν, “ὁ ἀνὴρ ὁ ἄπιστος παρὰ τῇ γυναικί.” ὅρα πῶς ἡ πίστις τὸν ἁγιασμὸν ποιεῖ. ταῦτα τοίνυν αὐτοῖς συνειδὼς, ὦ Παῦλε, τί δή ποτε νωθροὺς καλεῖς, καὶ νηπίους καὶ ἀτελεῖς; τίνος δὲ ἕνεκεν ταῦτα λέγεις;

11 Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυ-
σθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι
12 τέλους· ἵνα μὴ νωθροὶ γένοισθε, μιμηταὶ δὲ τῶν διὰ πί-
στεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγε-
λίας.

ΘΕΟΔΩΡΗΤΟΥ. Αἰνίττεται διὰ τῶν λόγων ὡς πολλὴν μὲν ἐξ ἀρχῆς ἐπεδείξαντο προθυμίαν, ἤμβλυνε δὲ ταύτην τὰ συνεχῆ καὶ ἐπάλληλα τῶν ἐναντίων κύματα. καὶ τὴν οἰκείαν δὲ φιλοστοργίαν ὑπέφηνεν. ἐφίεμαι γάρ, φησι, καὶ λίαν ποθῶ μετ᾽ ἐκείνης ὑμᾶς τῆς προθυμίας ὁρᾶν ἀεί· ἔσται δὲ τοῦτο, εἰ δίχα πάσης ἀμφιβολίας τὰς δεομένας ὑμῖν τῶν μελλόντων ἐλπίδας κατάσχητε, εἰς τοὺς διὰ πίστεως περιφανεῖς γεγενημένους ἀφορῶντες ἁγίους, οἳ διὰ πολλῆς καρτερίας τῶν ἐπηγγελμένων ἀπήλαυσαν ἀγαθῶν.

Χρυσοστόμου. "Ἐπιθυμοῦμεν," φησὶν, οὐκ ἄρα σπουδάζομεν μόνον, οὐδὲ μέχρι ῥημάτων τοῦτο βουλόμεθα, ἀλλὰ τί; ἐπιθυμοῦμεν τῆς ἀρετῆς ὑμᾶς ἔχεσθαι, οὐχ ὡς τῶν προτέρων καταγινώσκοντές, φησιν, ἀλλ' ὑπὲρ τῶν μελλόντων δεδοικότες. καὶ οὐκ εἶπεν οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, ἀλλὰ τῶν παρόντων, ἐξελύθητε γὰρ, ῥαθυμότεροι γεγόνατε· ἀλλ' ὅρα πῶς προσηνῶς ἐνέφηνε καὶ οὐκ ἔπληξε· τί γάρ φησιν; "ἐπιθυμοῦμεν δὲ ἕκαστον "ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν ἄχρι τέλους·" τοῦτο γὰρ τὸ θαυμαστόν ἐστι τῆς Παύλου συνέσεως, ὅτι οὐκ ἐνδείκνυται ὅτι ἐνέδωκαν, ὅτι καθυφῆκαν· τὸ γὰρ εἰπεῖν "ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν τὴν "αὐτὴν ἐνδείκνυσθαι σπουδὴν ἄχρι τέλους," τοῦτό ἐστιν, ὡς ἂν εἴποι τις, θέλω σε σπουδάζειν ἀεὶ, καὶ οἷος εἶς πρότερον, τοιοῦτον εἶναι καὶ νῦν, καὶ εἰς τὸ μέλλον. τοῦτο γὰρ τὸν ἔλεγχον προσηνέστερον καὶ εὐπαράδεκτον εἰργάζετο. καὶ οὐκ εἶπε θέλω, ὅπερ ἦν διδασκαλικῆς αὐθεντίας, ἀλλ' ὃ πατρικῆς φιλοστοργίας ἦν, τὸ πλέον τοῦ θέλειν, "ἐπιθυμοῦμεν·" μόνον οὐχὶ λέγων, σύγγνωτε κἂν φορτικόν τι φθεγξώμεθα. "ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν, τὴν αὐτὴν ἐνδείκνυσθαι σπου-"δὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ὑμῶν ἄχρι τέλους." τί ἐστι τοῦτο; ἡ ἐλπὶς διαβαστάζει, αὕτη ἀνακτᾶται πάλιν, μὴ σκυλληθῆτε, μὴ ἀπελπίσητε, ἵνα μὴ περιττὴ ὑμῶν ἡ ἐλπὶς ᾖ. ὁ γὰρ ἀγαθὰ ἐργαζόμενος καὶ ἀγαθὰ ἐλπίζει, καὶ οὐδέποτε ἀπελπίζει. "ἵνα μὴ νωθροί," φησι, "γένησθε." ἀκμὴν γένησθε, καὶ μὴν ἀνωτέρω ἔλεγεν· "ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς." ἀλλ' ὅρα πῶς ἐκεῖ μέχρι τῆς ἀκοῆς τὴν νωθρότητα ἔστησεν, ἐνταῦθα δὲ εἰ καὶ τὸ αὐτὸ τοῦτο φθέγγεται, ἀλλ' ἕτερόν τι αἰνίττεται· ἀντὶ γὰρ τοῦ μὴ ἐναπομείνητε τῇ ῥαθυμίᾳ "μὴ νωθροὶ γένησθε" εἶπε. πάλιν δὲ αὐτὸ εἰς τὸν μέλλοντα ἐξάγει καιρὸν τὸν ἀνεύθυνον, εἰπὼν, "ἵνα μὴ "νωθροὶ γένησθε·" ἐκείνου γὰρ μήπω παρόντος, οὐκ ἂν εἴημεν ὑπεύθυνοι· ὁ μὲν γὰρ εἰς τὸ παρὸν παρακαλούμενος σπουδάζειν ὡς ῥαθυμῶν, ἴσως καὶ ὀκνηρότερος ἔσται. ὁ δὲ εἰς τὸ μέλλον, οὐχ οὕτως. "ἐπιθυμοῦμεν δέ," φησιν, "ἕκαστον ὑμῶν·" πολλὴ ἡ φιλοστοργία, καὶ μεγάλων καὶ μικρῶν ὁμοίως κήδεται, καὶ πάντας οἶδε, καὶ οὐδένα παρορᾷ, ἀλλὰ τὴν αὐτὴν περὶ ἕκαστον κηδεμονίαν ἐπιδείκνυται, καὶ τὴν ἰσοτιμίαν πρὸς πάντας, ὅθεν καὶ μᾶλλον ἔπειθε δέξασθαι τὸ φορτικὸν τῶν ῥημάτων, "ἵνα μὴ νωθροὶ γένησθέ,"

φησιν. καθάπερ γὰρ ἡ ἀργία τὸ σῶμα βλάπτει, οὕτω καὶ τὴν ψυχὴν ἡ ἀργία τῶν ἀγαθῶν ὑπτιωτέραν ἐργάζεται καὶ ἀσθενῆ. "μιμηταὶ δέ," φησι, "τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρο- "νομούντων τὰς ἐπαγγελίας" καὶ τίνες οὗτοί εἰσιν, ἑξῆς λέγει.

Θεοδωρήτου. Καὶ τῶν μὲν πλειόνων μετὰ τὴν παρεξέτασιν ποιεῖται τὴν μνήμην, τέως δὲ τὸν πατριάρχην Ἀβραὰμ εἰς μέσον ἄγει, καὶ δείκνυσι τὰς μὲν θείας ἐπαγγελίας δεξάμενον, μετὰ πλεῖστον δὲ χρόνον τὸ τούτων θεασάμενον πέρας.

Χρυσοστόμου. Ὅρα δὲ οἰκονομίαν λόγου, πρότερον εἴρηκε, μιμήσασθε τὰ πρότερον ὑμῶν κατορθώματα, εἶτα ἵνα μὴ λέγωσι ποῖα, ἀνάγει αὐτοὺς ἐπὶ τὸν πατριάρχην, τῶν μὲν κατορθωμάτων οἴκοθεν αὐτοῖς φέρων τὰ ὑποδείγματα, τοῦ δὲ νομίζειν ἐγκαταλελεῖφθαι ἀπὸ τοῦ πατριάρχου, ἵνα μὴ νομίσωσιν ὥστε ὡς οὐδενὸς ἄξιοι λόγου καταφρονηθέντες ἐγκατελείφθησαν, ἀλλ' εἰδέναι ἔχωσιν ὅτι τῶν μάλιστα γενναίων ἀνδρῶν τοῦτό ἐστι τὸ διὰ πειρασμῶν ὁδεύειν τὸν βίον, καὶ ὅτι τοῖς θαυμαστοῖς καὶ μεγάλοις ἀνδράσιν οὕτω κέχρηται ὁ Θεός. δεῖ δέ φησι, μετὰ μακροθυμίας ἅπαντα φέρειν. τοῦτο γάρ ἐστι καὶ πιστεῦσαι. ἐὰν δὲ εἴπῃ, ὅτι δίδωσι καὶ λάβῃς εὐθέως, τί καὶ ἐπίστευσας; οὐκέτι γὰρ τῆς πίστεώς ἐστι τοῦτο τῆς σῆς, ἀλλ' ἐμοῦ φησὶ τοῦ δεδωκότος. ἐὰν δὲ εἴπω ὅτι δίδωμι, καὶ μετὰ ἑκατὸν ἔτη δώσω, σὺ δὲ μὴ ἀπελπίσῃς, τότε με ἐνόμισας ἀξιόπιστον, τότε τὴν προσήκουσαν περὶ ἐμοῦ δόξαν ἔχεις. ὁρᾷς ὅτι πολλάκις ἡ ἀπιστία οὐκ ἐξ ἀνελπιστίας γίνεται μόνον, ἀλλὰ καὶ ἐκ τοῦ ὀλιγοψυχεῖν καὶ μὴ μακροθυμεῖν, οὐκ ἐκ τοῦ καταγνῶναι τοῦ ἐπαγγειλαμένου.

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ'
14 οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ λέγων,
ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ
15 σε. καὶ οὕτως μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας.

Χρυσοστόμου. Καθαψάμενος γενναίως τῶν Ἑβραίων, καὶ φοβήσας αὐτοὺς ἱκανῶς, πρῶτον μὲν τοῖς ἐγκωμίοις παραμυθεῖται· δεύτερον δὲ, ὃ καὶ ἰσχυρότερόν ἐστι, τὸ πάντως ἐπιτεύξασθαι αὐτοὺς τῶν ἐλπιζομένων, καὶ τὴν παράκλησιν οὐκ ἀπὸ τῶν μελλόντων ποιεῖται, ἀλλὰ πάλιν ἀπὸ τῶν παρελθόντων· ὃ δὴ μᾶλλον

αὐτοὺς ἔπειθεν. ὥσπερ γὰρ ἐν τῇ κολάσει δι' ἐκείνων μᾶλλον φοβεῖ, οὕτω καὶ ἐν τοῖς ἐπάθλοις, διὰ τούτων παρακαλεῖ, τὸ τοῦ Θεοῦ δεικνὺς ἔθος. τοῦτο δέ ἐστι τὸ μὴ ταχέως ἐπάγειν τὰ ἐπηγγελμένα, ἀλλὰ διὰ μακροῦ τοῦ χρόνου. ποιεῖ δὲ τοῦτο, τῆς τε αὐτοῦ δυνάμεως μέγιστον τεκμήριον ἐκφέρων, καὶ ἡμᾶς εἰς πίστιν ἄγων, ἵνα οἱ ἐν θλίψει ζῶντες, καὶ τὰς ἐπαγγελίας μὴ λαμβάνοντες, μηδὲ τοὺς μισθοὺς, μὴ ἀπαγορεύσωσι πρὸς τοὺς καμάτους· καὶ πάντας ἀφεὶς, καί τοι γε ἔχων πολλοὺς εἰπεῖν, τὸν Ἀβραὰμ εἰς μέσον ἤγαγε, διά τε τὸ ἀξίωμα τοῦ προσώπου, καὶ διὰ τὸ μάλιστα ἐπ' αὐτοῦ τοῦτο συμβῆναι. καί τοι γε ἐν τῷ τέλει τῆς Ἐπιστολῆς φησὶν, "ὅτι οὗτοι πάντες οὐκ ἐκομίσαντο τὰς "ἐπαγγελίας, πόρρωθεν αὐτὰς καὶ ἰδόντες καὶ ἀσπασάμενοι." νῦν δέ φησιν, "ὅτι μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας." εἰ οὖν οὐκ ἔλαβε, πῶς ἐπέτυχεν; οὐ περὶ τῶν αὐτῶν ἐνταῦθα λέγει κἀκεῖ, ἀλλὰ διπλῆν ποιεῖται τὴν παράκλησιν· ἐπηγγείλατο τῷ Ἀβραὰμ, καὶ τὰ μὲν ἐνταῦθα, μετὰ μακρὸν χρόνον ἔδωκε, τὰ δὲ ἐκεῖ, οὐδέπω, "καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας." ὁρᾷς ὅτι οὐχ ἡ ἐπαγγελία μόνη τὸ πᾶν εἰργάσατο, ἀλλὰ καὶ ἡ μακροθυμία. ἐνταῦθα μέν τοι φοβεῖ αὐτοὺς, δεικνὺς ὅτι πολλάκις ἐγκόπτεται ἐπαγγελία δι' ὀλιγοψυχίας. καὶ τοῦτο ἔδειξε μὲν διὰ τοῦ λαοῦ. ἐπειδὴ γὰρ ὠλιγοψύχησαν, διατί τῶν τῆς ἐπαγγελίας οὐκ ἔτυχον, τὸ δὲ ἐναντίον δείκνυσι διὰ τοῦ Ἀβραάμ· εἶτα πρὸς τῷ τέλει καὶ πλεῖόν τί ποιεῖ, ὅτι καὶ μακροθυμήσαντες οὐκ ἔτυχον, καὶ οὐδὲ οὕτως ἀσχάλλουσιν. ἐγὼ δὲ ἡδέως ἂν πυθοίμην τῶν αἱρετικῶν, τίς ἐστιν ὁ ὀμόσας τῷ Ἀβραὰμ, οὐχὶ ὁ Υἱὸς, οὔ φησιν, μάλιστα μὲν αὐτὸς, ἀλλ' οὐκ ἀμφισβητῶ· ὅταν οὖν αὐτὸς ὀμνύῃ, "ἀμὴν ἀμὴν λέγω ὑμῖν," τὸν αὐτὸν ὅρκον, οὐ δῆλον ὅτι ἐκ τοῦ μὴ ἔχειν κατὰ μείζονος ὀμόσαι; ὥσπερ γὰρ ὁ Πατὴρ ὤμοσεν, οὕτω καὶ ὁ Υἱὸς ὀμνύει καθ' ἑαυτοῦ λέγων, "ἀμὴν ἀμὴν λέγω ὑμῖν." ἐνταῦθα αὐτοὺς ἀναμιμνήσκει καὶ τῶν ὅρκων τοῦ Χριστοῦ, ὧν συνεχῶς ἔλεγεν, "ἀμὴν ἀμὴν λέγω σοι, ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ "ἀποθάνῃ εἰς τὸν αἰῶνα·" τὸ γὰρ ἀμὴν, ὅρκου τύπον ἐπέχει.

Κυρίλλου κατὰ Ἰουλιανοῦ. Εἰ δὲ δὴ καὶ ὀμνύναι λέγεταί τισι Θεὸς, ἐγκαλείσθωσαν οἱ ἀπιστήσαντες, ἵνα καὶ ὅρκου γένηται χρεία. ἐμπεδῶν γὰρ πρὸς πίστιν τῶν ἁγίων τινὰς, ὅτι πρὸς πέρας

αὐτοῖς ἐκβήσεται τὰ ἐπηγγελμένα, καὶ ἐνώμοτον ἐσθ' ὅτε τὸν πρὸς αὐτοὺς ἐποιεῖτο λόγον. ὄμνυσί γε μὴν κατὰ τῆς οἰκείας δόξης. "ὀμοῦμαι γάρ," φησι, "τὴν δεξιάν μου·" καὶ πάλιν, "κατ' ἐμαυ-" "τοῦ ὤμοσα." οὐ γὰρ ἦν ὀμόσαι καθ' ἑτέρου τινὸς ὡς ὑπερκειμένου καὶ τῆς αὐτοῦ δόξης ἐπέκεινα. ὅτι δὲ οὐχ ἕτερος παρ' αὐτὸν ὁ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ κατὰ φύσιν Υἱὸς, πιστώσεται λέγων· "κατ' "ἐμαυτοῦ ὤμοσα λέγει Κύριος." ὀμνὺς γὰρ κατὰ τῆς ἑαυτοῦ δεξιᾶς, ἥτις ἐστιν ὁ Υἱὸς, ὄμνυσί που πάντως καθ' ἑαυτοῦ. μεσολαβεῖ γὰρ ὅλως τὸ σύμπαν οὐδὲν τό γε ἧκον εἰς ἑνότητα καὶ ταυτότητα φυσικὴν τὴν ἐπ' ἀμφοῖν νοουμένην· πλὴν ὅτι μόνον, ὁ μέν ἐστι Πατὴρ καὶ γεγέννηκεν· ὁ δὲ πέφηνεν ἐξ αὐτοῦ γεννητῶς.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. *Ἐπειδὴ δὲ εἰκὸς ἄγνωστα εἶναι τοῖς πολλοῖς τίνα τῷ Ἀβραὰμ ὁ Θεὸς ἐπηγγείλατο καὶ ἐπὶ τίσιν, δι' ὀλίγων ὑμῖν τὴν ἱστορίαν διηγήσομαι. ἀποικίζει τὸν Ἀβραὰμ τῶν οἰκείων συγγενῶν τε καὶ τόπων, διὰ προστάγματος ὁ Θεός. καὶ ἦν ἐπὶ τῆς ἀλλοδαπῆς ὁ πατριάρχης ἐγκαρτερῶν τῇ ἐλπίδι τῆς ὑποσχέσεως. βάσανος προσάγεται τῷ ἀνδρὶ τῆς πρὸς τὸν Θεὸν βεβαιότητος ἡ χρονία τῶν ἐλπιζομένων παράτασις. ἡ δὲ ὑπόσχεσις ἦν πατέρα ἔθνους γενέσθαι τὸν Ἀβραάμ. χρόνος διέβη πολὺς, καὶ ἡ φύσις τὸ ἴδιον ἔπασχεν. ἤδη πρὸς τὸ γηραιὸν αὐτῷ τῆς ἡλικίας ἐπικλιθείσης, καὶ ἔτι ἡ ἐλπὶς παρετείνετο. ἀπέσβη κατὰ τὸ εἰκὸς ἐν τῷ γηραιῷ τῆς ἡλικίας αὐτῷ τε καὶ τῇ ὁμοζύγῳ ἡ πρὸς παιδοποιΐαν ἰσχὺς, καὶ τοῦτο ἀνεπαισχύντως ἡ ἱστορία παρασημαίνεται, ἐκλελοιπέναι φάσκουσα τῆς Σάρρας τὰ γυναικεῖα, δι' ὧν ἐνεργεῖται ἡ σύλληψις· καὶ τὸ μὲν σῶμα τῇ φύσει ὑπήκουε, τῆς νεότητος ὑπαναλωθείσης, καὶ τὸ γῆρα ἐκάμπτετο. ἡ δὲ πρὸς τὸν Θεὸν ἐλπὶς ἀγήρως τις ἦν ἐν αὐτοῖς καὶ ἀκμάζουσα. ἐν τούτῳ τίκτεται αὐτοῖς ὁ Ἰσαὰκ, ἵνα φανῇ οὐχὶ φύσεως ἔργον ὁ τόκος, ἀλλὰ θείας δυνάμεως ἀποτέλεσμα· εἶτα ἱδρύνετο τὸ νήπιον κατ' ὀλίγον, καὶ εἰς τὴν τῶν μειρακίων ἡλικίαν ἀνέτρεχεν, καὶ ἤδη παῖς ἦν ἐν ἄνθει τῆς ἡλικίας, ἐν ἀκμῇ τῆς ὥρας. ἐν τούτοις πεῖρα προσάγεται τῷ πατριάρχῃ, τίνι τὸ πλέον νέμει, τῇ πρὸς τὸν Θεὸν ἀγάπῃ, ἢ τῇ περὶ τὴν φύσιν ῥοπῇ. χρηματίζει γὰρ αὐτῷ ὁ Θεὸς ἀνενεγκεῖν τὸν μονογενῆ εἰς ὁλοκάρπωσιν· ὁ δὲ πείθεται, καὶ ἐπειδὴ ἔμελλε τὴν δεξιὰν καθωπλισμένην τῷ ξίφει ἤδη πρὸς τὴν σφαγὴν*

κατευθύνειν, τότε γίνεται αὐτῷ θεόθεν φωνὴ τὸ ἔργον κωλύουσα. ἐφώνησε γὰρ αὐτὸν Ἄγγελος Κυρίου καὶ εἶπεν, "ὅτι ἀνθ' ὧν "ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγα-"πητοῦ, κατ' ἐμαυτοῦ ὤμοσα" ποιῆσαι ἅπερ ἐν τῇ ἐπαγγελίᾳ τοῦ λόγου ἐστὶ μαθεῖν. τίς οὖν ἐστιν ὁ χρηματίσας τῷ Ἀβραὰμ, ἆρα ὁ Πατήρ; ἀλλ' οὐκ ἂν εἴποις Ἄγγελον τινὸς εἶναι τὸν Πατέρα. οὐκοῦν παρὰ τοῦ μονογενοῦς ἡ ἔνορκος αὕτη ὑπόσχεσις, περὶ οὗ φησιν ὁ προφήτης, "ὅτι καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης "βουλῆς Ἄγγελος;" εἰ οὖν οὗτος, ἐπεὶ οὐκ εἶχε κατ' οὐδενὸς μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, πῶς λέγουσιν οἱ χριστομάχοι μείζονα τοῦ Υἱοῦ τὸν Πατέρα; τοῦ Παύλου λέγοντος ὅτι οὐκ ἔχει τὸ μεῖζον.

τοῦ Γε Ἀλλ' εἰ οὐκ ἔχει τί μεῖζον ὁ Θεὸς, οὐδ' ἂν ὀμνύῃ ποτε. πῶς οὖν αἱ γραφαὶ φασὶν ὅτι ὀμνύει; λέγει τοι, "τοῦτο "ὅρκός ἐστι τοῦ Θεοῦ." πῶς δὲ καθ' ἑαυτοῦ λέγεται ὀμνύειν; ὅτι οὐδ' ἂν εἴη παντελῶς, εἰ ψεύδεται. φύσις γάρ ἐστι καὶ τὸ ἀψευδεῖν Θεοῦ.

Θεοδωρίτου. Ἐνταῦθα μέντοι ὁ Παῦλος ἔδειξε τοῦ ἐπαγγειλαμένου τὴν ἀλήθειαν. Θεὸς γάρ φησιν ἦν, οὐδὲν ὑπερκείμενον ἔχων· καὶ μάρτυς ὁ ὅρκος, καθ' ἑαυτοῦ γὰρ ὀμώμοκεν. ἀλλ' ὅμως καὶ ὑποσχόμενος καὶ μεθ' ὅρκων τοῦτο ποιησάμενος, οὐκ εὐθὺς τὰς ἐπαγγελίας ἐπλήρωσεν, ἀλλ' ἐδεήθη καρτερίας ὁ πατριάρχης πολλῆς, καὶ πλείστου χρόνου διεληλυθότος, οὕτως εἶδε τὴν τῆς ἐπαγγελίας ἀλήθειαν. διδάσκει δὲ καὶ τίνος χάριν ὀμώμοκε, καὶ τί δήποτε καθ' ἑαυτοῦ τοῦτο πεποίηκε. φησὶ γοῦν,

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ
πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος·
17 ἐν ᾧ περισσότερον ὁ Θεὸς βουλόμενος ἐπιδεῖξαι τοῖς
κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς
αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ.

Χρυσοστόμου. Ὃ λέγει τοῦτο ἐστίν· ἔθος τοῖς ἀνθρώποις ὅρκῳ βεβαιοῦν τοὺς λόγους. ἔθος δὲ αὐτοῖς καὶ κατὰ τῶν μειζόνων ὀμνύναι. τούτου χάριν ὅρκον τῷ λόγῳ προστέθεικεν ὁ Θεὸς, δεῖξαι

βουλόμενος τῆς ἐπαγγελίας τὸ ἀψευδὲς, καὶ ὡς ἀδύνατον ἄλλό τι μετὰ τὸν ὅρκον βουλεύσασθαι.

Χρυσοστόμου. *Τί δέ ἐστι "καὶ πάσης αὐτοῖς ἀντιλογίας πέ-"ρας εἰς βεβαίωσιν ὁ ὅρκος;" ἀντὶ τοῦ ἐκ τούτου λύεται πάσης ἀντιλογίας ἀμφισβήτησις, οὐ τῆσδε ἢ τῆσδε, ἀλλὰ πάσης. ἔδει μὲν οὖν καὶ χωρὶς ὅρκου πιστεύεσθαι τὸν Υἱὸν, πλὴν καὶ ὅρκῳ ἐμεσίτευσε. πάλιν ἐνταῦθα τὸν Υἱόν φησι μεταξὺ ἀνθρώπων καὶ Θεοῦ μεσίτην γεγονέναι. εἰπὼν δὲ "τοῖς κληρονόμοις τῆς ἐπαγγε-"λίας," καὶ τοὺς πιστοὺς περιλαμβάνει. διὰ τοῦτο καὶ ταύτης μέμνηται τῆς ἐπαγγελίας τῆς πρὸς ἡμᾶς κοινῶς γενομένης.*

18 Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος.

Θεοδωρίτου. *Δύο πράγματα τὸν λόγον καὶ τὸν ὅρκον εἴρηκε. καὶ μόνῳ γὰρ λόγῳ χρώμενος ὁ Θεὸς πληροῖ τὴν ὑπόσχεσιν, πολλῷ δὲ μᾶλλον ὅρκον συνάπτων τῷ λόγῳ. τοῦτο δέ φησι πεποίηκεν, ἡμᾶς παραθαρρύνων, καὶ προσμένειν τῆς θείας ἐπαγγελίας παρασκευάζων, καὶ μὴ ἀπιστεῖν, ἐπειδή περ οὐχ ὁρῶμεν τὰς ὑποσχέσεις. ἐλπὶς γὰρ βλεπομένη οὐκ ἔστιν ἐλπίς.*

Χρυσοστόμου. *Ἵνα διὰ δύο πραγμάτων, ποίου καὶ ποίου; τοῦ τε εἰπεῖν καὶ ὑποσχέσθαι, τοῦ τε ὅρκον προσθεῖναι τῇ ὑποσχέσει. ἐπειδὴ γὰρ παρὰ ἀνθρώποις τοῦτο δοκεῖ πιστότερον εἶναι τὸ τοῦ ὅρκου, διὰ τοῦτο καὶ αὐτὸ προσέθηκεν. ὁρᾷς ὅτι οὐ τὴν ἀξίαν τὴν ἑαυτοῦ σκοπεῖ, ἀλλ' ὅπως τοὺς ἀνθρώπους πείσῃ· καὶ ἀνάξια περὶ ἑαυτοῦ ἀνέχεται λέγεσθαι· "ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν," τουτέστι πληροφορῆσαι θέλων. ὁρᾷς ὅτι οὐ πρὸς τὸν Ἀβραὰμ μᾶλλον ἢ πρὸς ἡμᾶς τοῦτο εἴρηται, "ἵνα" γάρ, φησιν, "ἰσχυρὰν παράκλησιν "ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος," τουτέστιν ἀπὸ τούτων τὰ μέλλοντα στοχαζόμεθα. εἰ γὰρ ταῦτα μετὰ τοσοῦτον ἐξέβη χρόνον, πάντως κἀκεῖνα. ὥστε τὰ πρὸς τὸν Ἀβραὰμ γεγενημένα πιστοῦται ἡμᾶς καὶ περὶ τῶν μελλόντων. ἐπὶ μὲν οὖν τοῦ Ἀβραὰμ, δείκνυσι τοῦ Θεοῦ ὂν τὸ πᾶν, οὐ τῆς μακροθυμίας ἐκείνου, εἴγε καὶ ὅρκον ἠνέσχετο προσθεῖναι, εἰ καθ'*

οὗ ὀμνύουσιν ἄνθρωποι, καὶ ὁ Θεὸς κατ' αὐτοῦ ὤμοσε, τουτέστι καθ' ἑαυτοῦ. ἀλλ' ἐκεῖνοι μὲν ὡς μείζονος, οὗτος δὲ οὐχ ὡς μείζονος, καὶ ὅμως ἐποίησεν· οὐ γὰρ ἶσον ἄνθρωπον καθ' ἑαυτοῦ ὀμόσαι, καὶ Θεόν. ὁ γὰρ ἄνθρωπος ἐξουσίαν ἑαυτοῦ οὐκ ἔχει. ἐνταῦθα δὲ πάλιν φησὶν, ὅτι "μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας," καὶ οὐκ εἶπεν ὅτι ἐπειδὴ ὤμοσεν. ὅρκος δὲ τί ἐστιν ἐδήλωσεν εἰπὼν, ὅτι τὸ κατὰ τοῦ μείζονος ὀμόσαι· καὶ ἐπειδὴ ἄπιστόν ἐστι τὸ τῶν ἀνθρώπων γένος, συγκάτεισιν εἰς τὰ αὐτὰ ἡμῖν. ὥσπερ οὖν ὄμνυσι δι' ἡμᾶς, καί τοι ἀνάξιον αὐτοῦ τὸ μὴ πιστεύεσθαι, οὕτω καὶ τὸ "ἔμαθεν ἐξ ὧν ἔπαθεν," εἴρηται. ἐπειδὴ οἱ ἄνθρωποι τοῦτο νομίζουσι μᾶλλον ἀξιοπιστότερον, τὸ διὰ τῆς πείρας ἐλθεῖν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ ὁ μὲν γενναῖος Ἰὼβ φησὶν πρὸς Θεὸν "οἶδα ὅτι πάντα δύνασαι," ὁ δὲ Ἀπόστολος ἀδύνατον λέγει τὸν Θεὸν ψεύσασθαι, δοκεῖ δὲ ταῦτα ἐναντία ἀλλήλοις, φαμὲν, πρῶτον μὲν ὅτι ὁ Θεὸς οὐδὲν ὧν μὴ πέφυκε βούλεται· πάντα δὲ ὅσα βούλεται δύναται, βούλεται δὲ τὰ τῇ οἰκείᾳ φύσει πρόσφορά τε καὶ πρέποντα. ὁ δὲ ἀορίστως ἀποφαινόμενος ἅπαντα δυνατὰ εἶναι τῷ Θεῷ, συμπεριλαμβάνει τῷ λόγῳ καὶ ὅσα προσήκει τῇ τοῦ διαβόλου μερίδι. ὅ γε μὴν πολύτλας Ἰὼβ οὐκ ἀπολύτως εἴρηκεν οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδὲν, ἀλλ' εἰπὼν "μνήσθητι "ὅτι πηλόν με ἔπλασας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις· ἢ οὐχ "ὡς γάλα με ἤμελξας, ἔπηξας δὲ ἶσα τυρῷ, δέρμα καὶ κρέας ἐνέ"δυσάς με, ὀστέοις δὲ καὶ νεύροις ἐνεῖράς με, ζωὴν δὲ καὶ ἔλεον "ἔθου παρ' ἐμοὶ, ἡ δὲ ἐπισκοπή σου ἐφύλαττέ μου τὸ πνεῦμα," τούτοις ἐπάγει· "ταῦτα ἔχων ἐν ἐμαυτῷ, οἶδα ὅτι πάντα δύνασαι." οὐκοῦν ὅσα τούτοις συμβαίνει, καὶ τῇ ἀκηράτῳ φύσει πρέπει, δύνασθαι ἔφη τὸν τῶν ὅλων Θεόν. ὅταν δὲ λέγηται μὴ δυνηθῆναί τι τῶν ἀπεμφαινόντων, ἀπείρου τοῦτο δυνάμεως, οὐκ ἀσθενείας τεκμήριον· τὸ δέ γε δυνηθῆναι, ἀδυναμίας δήπουθεν οὐ δυνάμεως. πῶς τοῦτο φημί; ὅτι τούτων ἕκαστον τὸ ἄτρεπτον τοῦ Θεοῦ κηρύττει καὶ ἀναλλοίωτον· τὸ γὰρ μὴ δυνηθῆναι τὸν ἀγαθὸν γενέσθαι κακὸν, τὴν ὑπερβολὴν σημαίνει τῆς ἀγαθότητος· καὶ τὸ τὸν δίκαιον μηδέπω ἂν γενέσθαι ἄδικον, μηδὲ τὸν ἀληθῆ ψεύστην, τὸ ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ σταθηρόν τε καὶ βέβαιον δείκνυσιν. οὕτω τἄλλα ὅσα τοιαῦτα σκεψάμενος, εὑρήσεις τὸ μὴ δύνασθαι δυνάμεως τῆς

ἄκρας ἐμφαντικόν. οὕτως ἐπὶ τοῦ Θεοῦ τὰ τοιαῦτα μὴ δύνασθαι καὶ ὁ θεῖος Ἀπόστολος νενόηκέ τε καὶ ἔθεικεν· ἔφη γὰρ ἀδύνατον ψεύσασθαι Θεόν· οὐκ ἀσθενὲς τὸ ἀδύνατον, ἀλλ' ἄγαν αὐτὸ δεικνὺς δυνατόν. οὕτω γάρ φησιν ἐστὶν ἀληθὴς, ὡς ἀδύνατον εἶναι ψεῦδος ἐν αὐτῷ γενέσθαί ποτε. τὸ δυνατὸν οὖν ἄρα τῆς ἀληθείας, διὰ τοῦ ἀδυνάτως σημαίνεται. Τιμοθέῳ δὲ γράφων καὶ τάδε προστέθεικεν· "εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει. ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ "δύναται." πάλιν οὖν τὸ οὐ δύναται τῆς ἀπείρου δυνάμεως ὑπάρχει δηλωτικόν. καὶ γὰρ ἂν πάντες ἄνθρωποι αὐτὸν ἀρνηθῶσι φησὶν, αὐτὸς Θεός ἐστιν, καὶ τῆς οἰκείας οὐκ ἐξίσταται φύσεως. ἀνώλεθρον γὰρ ἔχει τὸ εἶναι· τοῦτο γὰρ δηλοῖ, τὸ "ἀρνήσασθαι ἑαυτὸν "οὐ δύναται." οὐκοῦν περιουσίαν ἐμφαίνει δυνάμεως, τῆς ἐπὶ τὸ χεῖρον τροπῆς τὸ ἀδύνατον.

Γρηγορίου. Ἔπειτα δὲ καὶ πολύσημόν ἐστι τὸ μὴ δύνασθαι. τὸ μὲν γὰρ λέγεται κατὰ δυνάμεως ἔλλειψιν καὶ ποτὲ καὶ πρός τι, ὡς τὸ μὴ δύνασθαι τὸ παιδίον ἀθλεῖν. τὸ δὲ ὡς ἐπὶ τὸ πλεῖστον, ὡς τὸ "οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη." τάχα γὰρ ἂν καὶ κρυφθείη τίς, τὸ δὲ ὡς οὐκ εὔλογον· "οὐ δύνανται γὰρ οἱ "υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ' ὅσον ἔνδημος ὁ νυμφίος." τὸ δὲ ὡς ἀβούλητον, ὡς τὸ μὴ δύνασθαι σημεῖα ἐκεῖ ποιῆσαι διὰ τὴν ἀπιστίαν τῶν δεχομένων. ἔστι δέ τι καὶ τοιοῦτον ἐν τοῖς λεγομένοις, ὃ τῇ φύσει μὲν ἀδύνατον· Θεῷ δὲ δυνατὸν βουληθέντι, ὡς τὸ μὴ δύνασθαι τὸν αὐτὸν γεννηθῆναι δεύτερον, καὶ ῥαφὶς οὐκ εἰσδεχομένη κάμηλον. τούτων δὲ πάντων ἐκτὸς τὸ παντελῶς ἀδύνατον καὶ ἀνεπίδεκτον, ὡς ὃ νῦν ἐξετάζομεν. ἀδύνατον γὰρ πονηρὸν εἶναι Θεόν. τοῦτο γὰρ ἀδυναμίας ἂν εἴη Θεοῦ μᾶλλον, ἤπερ δυνάμεως.

Ἀθανασίου. Καὶ ἀδύνατον ψεύσασθαι Θεὸν, τῶν μὲν γὰρ γενητῶν ἡ φύσις ἴδιον ἔχει τὸ τρέπεσθαι καὶ κινεῖσθαι ποικίλαις μεταβολαῖς. ἐπειδή περ καὶ μὴ ὄντα ποτὲ μεταβολὴν ἔσχεν εἰς τὸ εἶναι, τῇ τοῦ πεποιηκότος χάριτι καὶ φιλανθρωπίᾳ, καθὼς ὁ Παῦλος φησὶν, "ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα·" Θεὸς δὲ ὁ πάντων διὰ τοῦ Λόγου ποιητὴς τυγχάνων, ὄντος[c] ὢν ἀμετάβλητον ἔχει σὺν τῷ Λόγῳ τὴν φύσιν. καὶ τοῦτο διὰ τοῦ προφήτου διδάσκει λέγων, "ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι." διὸ περὶ

[c] Leg. vid. ὄντως.

μὲν τῶν ἀνθρώπων ἐν ψαλμοῖς ᾄδεται· “ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει “μου, πᾶς ἄνθρωπος ψεύστης.” περὶ δὲ τοῦ Θεοῦ, Μωσῆς ἐν τῷ νομῷ μαρτυρεῖ, ὅτι ὁ Θεὸς πιστός ἐστι καὶ ἀληθινός· καὶ ὁ Παῦλος ὡς ἐξ ἀμφοτέρων τούτων παιδευθεὶς, καὶ αὐτὸς τὴν τοῦ Θεοῦ πρὸς τὰ γενητὰ διαφορὰν ἐξηγούμενος, γράφει· “γινέσθω “δὲ ὁ Θεὸς ἀληθινὸς, πᾶς δὲ ἄνθρωπος ψεύστης.” ἀληθὴς δέ ἐστιν ὁ Θεὸς, οὐχ ὡς μὴ ψευδόμενος· οὐδὲν γάρ ἐστιν ἐναντίον αὐτῷ· οὐδὲ ὡς ἄνθρωπος ἑτέρῳ μαρτυρῶν τὸ ἀληθές· οὐδενὶ γὰρ ὑπεύθυνος ἐστιν· ἀλλ' ὡς αὐτὴν τὴν ἀλήθειαν γεννῶν, τὸν Κύριον ἀληθείας δὲ φίλον τὸ ψεῦδος, οὐκ ἄν ποτε γένοιτο. ὅθεν ἀληθείας μὲν, κατὰ τὸν ψαλμῳδὸν, ἐκζητεῖ Κύριος, τὸ δὲ ψεῦδος ἀφ' ἑαυτοῦ ῥίπτει, καὶ ἀλλότριον ποιεῖ, λέγων, “υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι.” ἐψεύσαντο γὰρ Ἰουδαῖοι κατὰ τοῦ Σωτῆρος, καὶ τὸν νόμον ἐπαγγειλάμενοι φυλάττειν οὐκ ἠλήθευσαν, ἀλλὰ παρηνόμουν κατὰ τοῦ δεδωκότος αὐτὸν, θάνατον ἀντὶ χάριτος μηχανώμενοι τῷ Κυρίῳ.

Παῦλος δὲ αὐτός τε οὐκ ἐψεύσατο ἐφ' οἷς ἐπηγγείλατο, ἀλλὰ τὸν δρόμον τετέλεκε, καὶ τὴν πίστιν τετήρηκε. καὶ ἡμῖν δὲ παραινεῖ λέγων, “μὴ ψεύδεσθε εἰς ἀλλήλους.” θέλει γὰρ ἡμᾶς ἑαυτοῦ μιμητὰς γίνεσθαι, γράφων, “ἀλήθειαν λέγω οὐ ψεύδομαι,” ἐπειδὴ καὶ εὐαγγελικόν ἐστι τοῦ Κυρίου ῥητὸν εἶναι ἡμῶν τὸ “ναὶ ναὶ, καὶ τὸ οὔ οὔ.” μέχρι τούτων οἱ ἐν Χριστῷ βεβαιοῦντες ἑαυτῶν τοὺς λόγους; καὶ μὴ περαιτέρω βαίνοντες εἰς ὅρκους καταφεύγομεν, ἄλλως τε καὶ Μωσέως νομοθετοῦντος, “οὐ λήψῃ τὸ “ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ.” εἰ γὰρ ὅλως ἄξιος τυγχάνει τίς ὀνομάσαι τὸν Θεὸν, ἀξιόπιστός ἐστι καὶ χωρὶς ὅρκου πιστευθῆναι· ὁ γὰρ πρὸς τὸ μεῖζον ἱκανὸς γινόμενος, πολλῷ πλέον τὸ ἔλαττον. εἰ δὲ μὴ ἔστιν ἀξιόπιστος χωρὶς ὅρκου πιστευθῆναι, οὐκ ἔστιν ἄρα ἄξιος οὐδὲ ὀνομάσαι τὸ ὄνομα Κυρίου, οὐκ ἔστι πιστὸς ἐν λόγῳ. πῶς γὰρ ὅλως τοῦτο μαρτυρήσει Θεὸς ὀμνύοντι, μὴ ἔχοντι πίστιν εἰς ἣν ὁ Κύριος ἐπιβλέπει, τὸ πνεῦμα μαρτυρεῖ ἐν ψαλμοῖς, “ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις “αὐτὸν ἐν ἀληθείᾳ.” τί τοίνυν τὸν Θεὸν καλοῦσι μάρτυρα; τί δὲ καὶ ὀμνύουσιν αὐτὸν, οἱ μηδὲ ἐν τοῖς μικροῖς πίστιν καὶ ἀλήθειαν ἔχοντες; ἄλλως τε καὶ ὁ ὅρκος ἀληθείας ἐστὶ μάρτυς, καὶ

οὐ τῶν χρημάτων σημαντικός. ὀμνύουσι γὰρ ἄνθρωποι, οὐχ ἵνα τὰ πράγματα σημάνωσιν, ἀλλ' ἵνα τὴν ἀλήθειαν πιστώσωνται, καὶ ὅτι λέγοντες οὐ ψεύδονται. εἰ μὲν οὖν ἔστι τῷ ὀμνύοντι πίστις καὶ ἀλήθεια, τίς ἡ χρεία τοῦ ὅρκου; εἰ δὲ μὴ ἔστιν ἐν αὐτῷ πίστις, διατί τοσοῦτον ἀσεβοῦμεν, ὥστε δι' ἀνθρώπινα καὶ θνητὰ τὸν ὑπὲρ ἄνθρωπον Θεὸν καλεῖν μάρτυρα; εἰ γὰρ τὸν βασιλέα τὸν ἐπὶ γῆς εἰς τὰ ἔξω δικαστήρια καλεῖν μάρτυρα οὐ θέμις, ὡς κρείττονα καὶ τῶν καλούντων καὶ τῶν δικαζόντων, τί τὸν ἀγένητον εἰς τὰ γενητὰ καλοῦμεν, καὶ τὸν Θεὸν ὑπὸ ἀνθρώπων ποιοῦμεν καταφρονεῖσθαι; ἄπαγε· τοῦτο πᾶσαν ὑπερβαίνει παρανομίαν καὶ τόλμαν. τί οὖν δεῖ ποιεῖν; οὐδὲν πλέον ἢ εἶναι ἡμῶν τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ, καὶ καθ' ὅλου μὴ ψεύδεσθαι. οὕτως γὰρ ἡμεῖς ἀληθεύοντες, δόξαιμεν καὶ ἐν τούτῳ μιμεῖσθαι τὸν ἀληθῆ Θεόν.

Ἴσως δέ τις ἐπὶ τούτοις εὐλόγως ἀντιθήσει λέγων, εἰ ὁ ὅρκος ἀπὸ ἀνθρώπων κεκώλυται, καὶ ἐν τῷ μὴ ὀμνύναι τίς μιμεῖται τὸ θεῖον, πῶς αὐτὸς ὁ Θεὸς ὀμνύναι λέγεται ἐν ταῖς θείαις γραφαῖς; καὶ γὰρ τῷ Ἀβραὰμ ὤμοσεν, ὥσπερ καὶ Μωσῆς μαρτυρεῖ· καὶ ἐν ὕμνοις δὲ γέγραπται, "ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται." δόξει γὰρ ἢ ταῦτα μάχεσθαι τοῖς προλεχθεῖσιν, ἢ ἐκ τούτων ἐπιτρίβεσθαι ταχέως τοὺς ἀνθρώπους εἰς ὅρκους· ἀλλ' οὐκ ἔστιν οὕτως· μὴ ταῦτα τίς νομιζέτω. Θεὸς γὰρ κατ' οὐδενὸς ὀμνύει. πῶς γὰρ, αὐτὸς Κύριος καὶ ποιητὴς ἁπάντων ὑπάρχων; ἀλλ' εἰ χρὴ τἀληθῆ λέγειν, ὁ λόγος ὅρκος αὐτοῦ ἐστὶν, πληροφορῶν τοὺς ἀκούοντας, καὶ πίστιν ἑκάστῳ παρέχων· ὅτι ὃ ἐπηγγείλατο, καὶ λαλεῖ, πάντως καὶ γενήσεται. οὐ γὰρ ὡς ἄνθρωπος ὀμνύει Θεὸς, ἀλλ' ἡμῖν ὁ λόγος αὐτοῦ ἀντὶ ὅρκου πρὸς ἀλήθειαν γίνεται. ἀνθρώποις δὲ λαλῶν ὀμνύναι λέγεται. καὶ τοῦτο ἀνθρωπικώτερον λαλούντων τῶν ἁγίων, ἵνα ἀφ' ὧν αὐτοὶ λέγοντες ἀξιοῦσι πιστεύεσθαι, ἀπὸ τούτων αὐτοὶ πιστεύσωσι τῷ λαλοῦντι Θεῷ. ὡς γὰρ ἀνθρώπων τὸν λόγον ὅρκος βεβαιοῖ, οὕτως ἃ λέγει Θεὸς, ἀνθ' ὅρκου λογιζέσθω, διὰ τὸ βέβαιον καὶ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ. μαρτυρεῖ δὲ τῷ λεγομένῳ καὶ αὐτὸς ὁ γεγραμμένος ὅρκος· "ὤμοσε "γὰρ Κύριος, καὶ οὐ μεταμεληθήσεται," ὡς τοῦ ἀμεταμελήτου καὶ πάντως ἐσομένου κατὰ τὴν ἐπαγγελίαν ὅρκου τυγχάνοντος· τοῦτο καὶ αὐτὸς ὁ Κύριος ἐν τῇ Γενέσει λέγων σημαίνει, "κατ' ἐμαυ-

"τοῦ ὤμοσα." τοῦτο δὲ οὐχ ὅρκος ἐστίν." οὐδὲ γὰρ κατά τινος ὤμοσεν, ὅπερ ἴδιον ἐστὶν ὅρκου, ἀλλὰ καθ' ἑαυτοῦ, ὅπερ τὴν τοῦ ὅρκου ὑπόνοιαν ἐκφεύγει, καὶ ἐν ᾧ σημαίνει τὸ βέβαιον τῆς ἐπαγγελίας, καὶ τὸ χρῆναι πάντως πιστεῦσαι τὸν ἀκούοντα. ἔστω δὲ ὁ ὑμνῳδὸς μάρτυς τῶν λεγομένων, ἀναμιμνήσκων τὸν Θεὸν, ψάλλων καὶ λέγων, "ποῦ εἰσὶ τὰ ἐλεή σου τὰ ἀρχαῖα, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου;" οὐκ ὀμνύει Θεὸς, ἀλλά περ ἀληθεύων λαλεῖ, ὡς ὅρκος ἐστὶν τοῖς ἀνθρώποις πρὸς πίστιν. οὔτε οὖν Θεὸς κατὰ τοὺς ἀνθρώπους ὀμνύει, οὔτε ἡμᾶς ἐκ τούτων εἰς ὅρκους ἐπιτρίβεσθαι χρή. ἀλλὰ τοιαῦτα λέγομεν καὶ πράττομεν, ὡς μὴ ὅρκου δεῖσθαι τοὺς ἀκούοντας, ἀλλ' ἀφ' ἑαυτῶν ἔχειν τὰ λεγόμενα τῆς ἀληθείας τὴν μαρτυρίαν. ἐν τούτῳ γὰρ ὄντως μιμησόμεθα τὸ θεῖον.

Ἀλλ' ἴσως ἄν τις καὶ τὸ κατὰ τοὺς Νινευΐτας ἐπερωτήσειεν· εἰ ὁ λόγος ὅρκος ἐστὶ τοῦ Θεοῦ, ὅτι λέγων ἀληθεύει καὶ οὐ ψεύδεται, πῶς εἰρηκὼς "ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ "καταστραφήσεται," οὐ πεπλήρωκε τὸν λόγον; δόξει γὰρ καὶ τοῦτο μάχεσθαι πρὸς τὰ πρῶτα· ἀλλ' οὐ ψεύδεται ὁ Θεός. μὴ γένοιτο· οὐδὲ ὁ λόγος ἀπλήρωτος ἔμεινεν αὐτοῦ. τῇ γὰρ φιλανθρωπίᾳ τὴν ὀργὴν ἤμβλυνε, καὶ τῇ μετανοίᾳ τῶν Νινευΐτῶν μᾶλλον ἔβλεψεν, ἢ τῇ πρὸ ταύτης ἁμαρτίᾳ. καὶ ὁ λόγος δὲ τοῦ Θεοῦ, οὐχ οὕτως ἦν, ὥστε μετὰ τρεῖς ἡμέρας κατασκαφῆναι τὴν Νινευὶ, ἀλλ' ὅτι τρεῖς ἡμέρας ὑμῶν ἀνέξομαι, ἵνα ἐν τῇ ἀνοχῇ τῶν τριῶν ἡμερῶν ἐξουσίαν ἔχωσι μετανοῆσαι, ἢ τὴν μετὰ ταῦτα ὀργὴν ἐκλέξασθαι. τί γάρ φησιν ὁ προφήτης; "ἔτι τρεῖς ἡμέραι "καὶ Νινευὶ καταστραφήσεται·" οὐκ εἶπε μετὰ τρεῖς ἡμέρας κατασκαφήσεται· οὐ γὰρ ἐγεγόνει πάντως· ἀλλ' ἔτι τρεῖς ἡμέραι καὶ καταστραφήσεται. ἵν' ἐν μὲν τῷ "ἔτι" λέγεσθαι, τὴν ἀνοχὴν ἐννοῶμεν τοῦ Θεοῦ, ἐν δὲ τῇ κατασκαφῇ τὴν μετὰ τὴν ἀνοχὴν, εἰ μὴ μετανοήσῃ, ἐγγινομένην ὀργήν. ἐπεὶ εἰ μὴ τοῦτον εἶχε τὸν τρόπον, καὶ μετανοίας χάριν τῶν ἀνθρώπων ὑπερέθετο τὰς τρεῖς ἡμέρας, τί τὸν Θεὸν ἐκώλυε καὶ παραυτὰ τὴν πόλιν ἀπολέσαι; ἀσθενεῖα; ἄπαγε. μηδὲ εἰς νοῦν ποτε τοῦτο τὸν ἡμέτερον ἔλθοι· Κύριος γὰρ τῶν δυνάμεων, καὶ ἰσχυρὸς, καὶ δυνατὸς ἐστὶν ὁ Θεός. ἀλλ' ἄγνοια τῶν πράξεων ἐκείνων; μηδὲ τοῦτο λεγέσθω· οἶδε γὰρ

τὰ πάντα πρὶν γενέσεως αὐτῶν. τί οὖν ὑπολείπεται νοεῖν, ἢ μακροθυμίαν καὶ φιλανθρωπίαν τοῦ δεσπότου, ἣν καὶ ὁ προφήτης ἐπιστάμενος ἔφευγε μὲν ἀποστελλόμενος τὸ πρῶτον, τὸ δεύτερον δὲ ἀπολογούμενος, φησὶν, "ὦ Κύριε οὐχ οὗτοι οἱ λόγοι μου, ἔτι "ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς "Θαρσεῖς, διότι ἔγνων, ὅτι σὺ ἐλεήμων, μακρόθυμος καὶ πολυέ-"λεος μετανοῶν ἐπὶ ταῖς κακίαις."

Ἔφυγε δὲ Ἰωνᾶς, οὐχ ὡς ἀντιλέγων τῷ Θεῷ, καὶ ἐλυπεῖτο, οὐχ ὡς ἐπὶ τῇ ἀπωλείᾳ τῶν Νινευϊτῶν χαίρων, ἀλλὰ τοῦτο ἐποίει διὰ τὴν τῶν Νινευϊτῶν κηδεμονίαν. ἐφοβεῖτο γὰρ μὴ ἀβέβαιος παρ' αὐτοῖς νομισθῇ, καὶ λοιπὸν ἄρξονται μηκέτι προφήταις πιστεύειν, ἀλλ' ἄπιστος παρ' αὐτοῖς ὁ προφητικὸς λόγος γένηται. διὰ τοῦτο γοῦν καὶ ἠθύμησεν, ἵνα ἐλεγχθῇ παρὰ τοῦ δεσπότου, καὶ φανερὸν τοῖς Νινευΐταις γένηται, ὅτι οὐ διὰ τὸ ψεύσασθαι τὸν προφήτην, ἀλλὰ διὰ φιλανθρωπίαν τοῦ Θεοῦ αὐτοῖς συγκεχώρηται. δεῖ γὰρ τὴν ἐν τῇ "ἔτι" λέξει σημαινομένην μακροθυμίαν λογίζεσθαι. ὅταν γὰρ τὴν ἑαυτοῦ μακροθυμίαν σημαίνειν ἐθέλῃ ὁ Θεὸς, διὰ τῆς λέξεως τῆς "ἔτι" ταύτην ἀπαγγέλλει. ὡς ὅταν λέγῃ διὰ τοῦ Ἡσαΐου, "τὶ ἔτι ποιήσω τῷ ἀμπελῶνι μου, καὶ οὐκ ἐποίησα;" διὰ δὲ τοῦ Ἱερεμίου, "διὰ τοῦτο ἔτι κριθήσομαι πρὸς ὑμᾶς, λέγει "Κύριος." ἐν δὲ τῷ λέγειν "ἔτι," δείκνυσι τὴν ἑαυτοῦ ἀγαθότητα καὶ ἀνοχήν· ἀμέλει, ὅταν μηκέτι μακροθυμίαν, ἀλλ' ὀργὴν ἡ πρᾶξις ἑκάστου προσκαλῆται, λοιπὸν ἀποφαίνεται λέγων, "οὐκέτι "ἀνήσω τὰς ἁμαρτίας ὑμῶν." διὰ γὰρ τοῦ ὧδε "οὐκέτι" δείκνυσι φανερῶς τὴν περὶ τῶν Νινευϊτῶν ἐκεῖ δηλουμένην μακροθυμίαν, καὶ τοῦ λόγου τὴν ἀλήθειαν. ἀδύνατον γὰρ ἦν μὴ ἀληθεῦσαι τὸν Θεὸν λέγοντα, καὶ μόνον βουλόμενον. διὰ τοῦτο τῷ Ἀβραὰμ ἐπαγγειλάμενος οὐκ ἐψεύσατο, ἀλλὰ καὶ τὸν υἱὸν ἐχαρίζετο, καὶ τὸν λαὸν ἐξήγαγεν ἐκ τῆς Αἰγύπτου διὰ Μωσέως. καὶ τὸν μὲν Ἰσαὰκ ἐπληροφόρει τῇ ὑποσχέσει, καὶ πατέρα τοῦτον ἐποίει τῶν δύο λαῶν. τῷ δὲ Ἰακὼβ ἐπαγγειλάμενος ἐδείκνυε τὸν Ἰωσὴφ, καὶ τῷ μὲν πιστοτάτῳ Μωσεῖ, ἐδίδου τῶν λεγομένων τὴν πίστιν, διὰ τῶν συμβαινόντων τῷ Φαραῷ. τῷ δὲ Δαβὶδ ἐπαγγειλάμενος, ἀπεδίδου τὴν ὑπόσχεσιν διὰ Σολομῶντος, λέγω δὴ τὴν τοῦ ναοῦ οἰκοδομήν. καὶ τί μοι χρεία πολλῶν; οὐδέν ἐστιν ὃ λέγει ὁ Θεὸς,

καὶ ἀπλήρωτον τοῦτο μένει. κἂν παραυτίκα τίς ὀλιγωρῇ ζητῶν λόγον, ἀλλὰ τῷ χρόνῳ τὴν ἀπόδοσιν ἡ ὑπόσχεσις ἔχει, καὶ ἡ ἐπαγγελία πάντως πληροῦται.

ΚΥΡΙΛΛΟΥ ΓΛΑΦΥΡΩΝ. Οἰκονομικώτατα τοίνυν κἀνταῦθα ἐνώμοτον τὴν ἐπαγγελίαν ἐποιεῖτο Θεὸς, καίτοι ψευδειπεῖν οὐκ εἰδώς. ἵνα, ὡς ὁ θεσπέσιος γράφει Παῦλος, ἰσχυρὰν ἔχωμεν τὴν παράκλησιν, ὅτι πρὸς πέρας ἐκβήσεται τὰ ἐπηγγελμένα, οὐκ ἐνδοιάζοντες ἔτι, ἀλλὰ τῇ ἐλπίδι ἀραρότως βεβαιούμενοι.

19 Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς, τουτέστι τὴν ἐλπίδα ἀσφαλῆ καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος.

ΘΕΟΔΩΡΗΤΟΥ. Καταπέτασμα τὸν οὐρανὸν ἐκάλεσε, τὴν γὰρ τῶν οὐρανῶν βασιλείαν ὑπέσχετο δώσειν τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ὁ Κύριος· ἐκεῖνα, φησὶν, ἐλπίζομεν τὰ ἀγαθὰ, ταύτην κατέχομεν τὴν ἐλπίδα, καθάπερ ἄγκυραν ἱεράν. καὶ γὰρ ἡ ἄγκυρα ἐνταῦθα κεκρυμμένη κατέχει τὸ σκάφος, οὕτως τῶν ἀγαθῶν ἡ ἐλπὶς ἔτι κεκρυμμένη οὐκ ἐᾷ κλονεῖσθαι τὰς ἡμετέρας ψυχάς.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ θέα μοι σύνεσιν ἀποστολικὴν, ὅτι ὄντας ἐνταῦθα καὶ οὐδέπω μεταστάντας τοῦ βίου, δείκνυσιν ἤδη ὄντας ἐν τοῖς ἐπηγγελμένοις. διὰ γὰρ τῆς ἐλπίδος ἤδη ἐν τῷ οὐρανῷ ἐσμὲν, εἶπεν, ἀναμείνατε, πάντως γὰρ ἔσται. εἶτα πληροφορῶν λέγει, μᾶλλον δὲ τῇ ἐλπίδι ἐκεῖ ἐσμέν. καὶ οὐκ εἶπεν ἡμεῖς ἐσμὲν ἔνδον, ἀλλ' αὐτὴ εἰσῆλθεν ἔνδον, ὃ καὶ ἀληθέστερον ἦν καὶ πιθανώτερον. ὥσπερ γὰρ ἡ ἄγκυρα ἐξαρτιθεῖσα ἑδραῖον ποιεῖ τὸ σκάφος, οὕτω καὶ ἡ ἐλπίς. καὶ ὅρα τί σφόδρα ἁρμόδιον εὗρεν εἰκόνα· οὐ γὰρ εἶπε θεμέλιον, ἀλλ' ἄγκυραν. τὸ γὰρ ἐν σάλῳ ὂν καὶ ἐπὶ τῆς ὑγρᾶς, οὐ σφόδρα δοκεῖ ἡδρᾶσθαι, οὐδ' ὥσπερ ἐπὶ τῆς γῆς ἕστηκεν ἀλλὰ σαλεύεται. ἐπὶ μὲν γὰρ τῶν σφόδρα στερρῶν καὶ φιλοσόφων εἰκότως τὴν τοῦ θεμελίου εἰκόνα τέθεικεν ὁ Χριστὸς, λέγων περὶ τοῦ φρονίμου, "ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν "πέτραν." ἐπὶ δὲ τῶν ἀπαγορευόντων καὶ ὀφειλόντων διὰ τῆς ἐλπίδος διαβαστάζεσθαι, οἰκείως τοῦτο τέθεικεν ὁ Παῦλος. ἡ μὲν γὰρ ζάλη καὶ ὁ πολὺς χειμὼν σαλεύει τὸ σκάφος, ἡ δὲ ἐλπὶς οὐκ ἀφίησι περιφέρεσθαι, κἂν μυρίοι παρασαλεύσωσιν ἄνεμοι.

ὥστε εἰ μὴ ταύτην ἔχομεν, πάλαι ἂν κατεποντίσθημεν. οὐκ ἐν τοῖς πνευματικοῖς δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς βιωτικοῖς, πολλὴν ταύτης εὕροι τίς ἂν τὴν ἰσχύν· οἷον ἐπὶ ἐμπορίας, ἐπὶ γεωργίας, ἐπὶ στρατείας. ἐὰν γὰρ μὴ ταύτην εὐθέως τις πρόθηται, οὐδ' ἂν ἅψαιτο ἔργου. ἄγκυραν δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλ' "ἀσφαλῆ καὶ "βεβαίαν," οὐ σαλευομένην, ἵνα δείξῃ τὸ ἀσφαλὲς τῶν αὐτῇ ἐπερειδομένων· διὸ ἐπάγει,

Εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος.

Τουτέστι διϊκνουμένην εἰς τὸν οὐρανόν· ἵνα γὰρ ἀκούσας ἄγκυραν, μὴ νομίσῃς κάτω καθέλκεσθαι, δείκνυσιν ὅτι καινή τις αὕτη τῆς ἀγκύρας ἡ φύσις· οὐ κάτω πιέζουσα, ἀλλ' ἄνω κουφίζουσα τὴν διάνοιαν, πρὸς τὸν οὐρανὸν καθιστῶσα, καὶ εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος χειραγωγοῦσα. καταπέτασμα δὲ ἐνταῦθα τὸν οὐρανὸν ἐκάλεσε, τίνος ἕνεκα καὶ διατί; ὅτι καθάπερ τὸ καταπέτασμα ἀπο τῆς ἔξω σκηνῆς διεῖργε τὰ ἅγια τῶν ἁγιών, οὕτω δὴ καὶ ὁ οὐρανὸς οὗτος ὥσπερ καταπέτασμα μέσος τῆς κτήσεως παρεμβεβλημένος ἀπὸ τῆς ἔξω σκηνῆς, τουτέστι τοῦ κόσμου τούτου τοῦ βλεπομένου, διείργει τὰ ἅγια τῶν ἁγίων, τὰ ἄνω φημί· εἶτα καὶ τὴν πίστιν ἐπήγαγεν, ἵνα μὴ μόνον ἐλπὶς ᾖ, ἀλλὰ καὶ ἀληθὴς σφόδρα. μετὰ γὰρ τὸν ὅρκον, καὶ ἕτερον τίθησι τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν, καὶ δείκνυσιν ἀναντίρρητον τῶν ἀγαθῶν τὴν ἐλπίδα, λέγων,

20 Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς.

Χρυσοστόμου. Ὁ δὲ πρόδρομος, τίνων ἐστὶ πρόδρομος, ὥσπερ Ἰωάννης τοῦ Χριστοῦ. καὶ οὐκ εἶπεν ἁπλῶς εἰσῆλθεν, ἀλλὰ "πρό-"δρομος ὑπὲρ ἡμῶν," ὡς ἡμῶν ὀφειλόντων καταλαβεῖν. οὐ πολὺν γὰρ τοῦ προδρόμου καὶ τῶν ἑπομένων τὸ μέσον, ἐπεὶ οὐδ' ἂν εἴη πρόδρομος. τὸν γὰρ πρόδρομον καὶ τοὺς ἑπομένους ἐν τῇ αὐτῇ εἶναι χρὴ ὁδῷ· καὶ τὸν μὲν προοδεύειν, τοὺς δὲ ἐπικαταλαμβάνειν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐκεῖ μετεωρίζει τὴν ἡμετέραν ἡ φύσις πίστιν, οὐκ ἀφιεῖσα οὐδενὶ τῶν παρόντων δεινῶν ταπεινωθῆναι, ἀλλ' ἀνακουφίζουσα τοὺς πόνους τῇ τῶν μελλόντων ἐλπίδι. ὁ γὰρ πρὸς τὰ μέλλοντα ἀφορῶν, καὶ τὴν ἐκ τῶν οὐρανῶν ἀναμένων ἐλπίδα, καὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἐκεῖ μετάγων, οὐδὲ αἰσθάνεται τῆς ὀδύνης τῶν ἐν τῷ παρόντι δεινῶν.

ΘΕΟΔΩΡΉΤΟΥ. Ηὔξησε δὲ ὁ Ἀπόστολος τὸ θάρσος τῇ τοῦ προδρόμου προσηγορίᾳ· εἰ γὰρ πρόδρομος ἡμῶν ἐστὶν, καὶ ὑπὲρ ἡμῶν εἰς οὐρανοὺς ἀνελήλυθε καταλύσας τὸν θάνατον, καὶ ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος, ἀνάγκη καὶ ἡμᾶς ἀκολουθῆσαι καὶ τῆς ἀνόδου τυχεῖν· τοῦτο καὶ ὁ Κύριος τοῖς Ἀποστόλοις ἔφη. "πολλαὶ μοναὶ παρὰ τῷ Πατρί μου. εἰ δὲ μήγε, εἶπον ἂν ὑμῖν, ὅτι πορεύσομαι καὶ ἑτοιμάσω τόπον ὑμῖν," καὶ τὰ ἑξῆς. οὕτω καὶ ἐνταῦθα, "ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Ἰησοῦς." ἀναλαμβάνει δὲ καὶ τὸν περὶ ἀρχιερωσύνης λόγον λέγων,

Κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Ἐκ τῆς προφητικῆς τοῦτο εἴληφε μαρτυρίας. "σὺ γὰρ εἶ," φησιν, "ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ." ἀρχιερεὺς δὲ εἰς τὸν αἰῶνά ἐστιν, οὐχ ὡς θυσίας προσφέρων· ἅπαξ γὰρ τὸ ἑαυτοῦ προσενήνοχε σῶμα· ἀλλ' ὡς μεσίτης προσάγων τῷ Πατρὶ τοὺς πιστεύοντας. "δι' αὐτοῦ γὰρ ἐσχήκαμεν," φησὶ, "τὴν προσαγωγὴν ἀμφότεροι πρὸς τὸν Πατέρα," καὶ αὐτὸς δὲ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις φησὶν, "οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ." εἰδέναι μέντοι χρὴ ὡς τῶν πρὸς Ἀβραὰμ ὅρκων Παῦλον ἐμνημόνευσεν, ὥστε δειχθῆναι τὸ τῆς θείας βουλήσεως ἀμετάθετον. προκατασκευάζει γὰρ τῆς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερωσύνης τὸ βέβαιον, καὶ ἐνταῦθα γοῦν συνέζευκται, ὤμοσε γὰρ, ὅτι "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα."

ΧΡΥΣΟΣΤΌΜΟΥ. Ἀλλ' ἰδοὺ καὶ ἄλλη παράκλησις. εἰ γὰρ ἄνω ἀρχιερεὺς ἡμῶν καὶ πολὺ βελτίων τῶν παρὰ Ἰουδαίοις, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῷ τόπῳ καὶ τῇ σκηνῇ, καὶ τῇ διαθήκῃ, καὶ τῷ προσώπῳ, καὶ τοῦτο δὲ εἰς τὸ κατὰ σάρκα εἴρηται, χρὴ καὶ τοὺς ὧν ἐστιν ἱερεὺς, σφόδρα εἶναι βελτίους· καὶ ὥσπερ πολὺ τὸ μέσον Ἀαρὼν καὶ τοῦ Χριστοῦ, τοσοῦτον ἡμῶν καὶ Ἰουδαίων τὸ μέσον. ὅρα γάρ· ἄνω ἔχομεν τὸ ἱερεῖον, ἄνω τὸν ἱερέα, τοιαύτας ἀναφέρομεν θυσίας, τὰς ἐν ἐκείνῳ δυναμένας τῷ θυσιαστηρίῳ προσφέρεσθαι· λέλυται γὰρ τὰ τοῦ νόμου. ἀντεισενήνεκται δὲ ἡ λογικὴ λατρεία, τὰ διὰ Πνεύματος, ὅσα μὴ δεῖται σώματος, μὴ ὀρδίνων, μὴ τόπων.

μα[d] Εἰ οὖν δι' ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος οἰκονομικῶς κατῆλθεν εἰς τὰ κατώτερα μέρη τῆς γῆς, καὶ ἀνῆλθεν ὑπεράνω πάντων τῶν οὐρανῶν ὁ πάντῃ κατὰ φύσιν ἀκίνητος, καὶ διὰ τοῦτο γέγονεν ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου, ἵνα θεοὺς ποιήσῃ, καὶ υἱοὺς Θεοῦ τοὺς ἀνθρώπους, ἐκεῖ γενέσθαι σπεύσωμεν ἔνθα νῦν ἐστὶν ὁ Χριστὸς, ὡς κεφαλὴ τοῦ ὅλου σώματος, καὶ ὑπὲρ ἡμῶν γενόμενος πρόδρομος πρὸς τὸν Πατέρα· ἐν γὰρ συναγωγῇ θεῶν τῶν σωζομένων ἔσται μέσον Θεὸς μέσος ἱστάμενος, διανέμων τὰς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος, τοπικὴν οὐκ ἔχων ἀπὸ τῶν ἀξίων διάστασιν.

1 Οὗτος γὰρ ὁ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου.

Χρυσοστόμου. Βουλόμενος Παῦλος τὸ διάφορον δεῖξαι τῆς καινῆς καὶ τῆς παλαιᾶς, πολλαχοῦ αὐτὸ σπείρει καὶ ἀκροβολίζεται, καὶ διακωδωνίζει τὰς ἀκοὰς τῶν ἀκροατῶν, καὶ προγυμνάζει. εὐθέως γὰρ ἀπὸ τοῦ προοιμίου, τοῦτο κατεβάλετο, εἰπὼν, ὅτι ἐκείνοις μὲν ἐλάλησεν ἐν προφήταις, ἡμῖν δὲ ἐν Υἱῷ. κἀκείνοις μὲν, πολυμερῶς καὶ πολυτρόπως, ἡμῖν δὲ, διὰ τοῦ Υἱοῦ. εἶτα περὶ τοῦ Υἱοῦ διαλεχθεὶς τίς εἴη, καὶ τί ἐργασάμενος, καὶ παραινέσας αὐτῷ πείθεσθαι, ἵνα μὴ τὰ αὐτὰ πάθωμεν τοῖς Ἰουδαίοις· καὶ εἰπὼν ὅτι ἀρχιερεύς ἐστι κατὰ τὸν Μελχισεδὲκ, καὶ πολλάκις εἰς τὴν διαφορὰν ταύτην ἐμβῆναι βουληθεὶς, καὶ πολλὰ προοικονομήσας, καὶ ἐπιτιμήσας αὐτοῖς ὡς ἀσθενέσι, καὶ πάλιν θεραπεύσας καὶ ανακτησάμενος ὥστε θαρρεῖν, τότε λοιπὸν εἰσάγει τὸν τῆς διαφορᾶς λόγον, ἀκμαζούσαις ταῖς ἀκοαῖς. ὁ γὰρ ἀναπεπτωκὼς, οὐκ ἂν εὐκόλως ἀκούσειεν· καὶ ἵνα μάθῃς, ἄκουε τῆς γραφῆς λεγούσης, "καὶ οὐκ ἤκουσαν Μωϋσῇ διὰ τὴν ὀλιγοψυχίαν." διὰ τοῦτο πρότερον καινώσας αὐτῶν τὴν ἀθυμίαν διὰ πολλῶν καὶ διαφόρων, καὶ διὰ χρηστοτέρων, τότε λοιπὸν καθίησιν εἰς τὸν τῆς διαφορᾶς λόγον· καὶ ἣν πολλάκις ὤδινε ποιήσασθαι σύγκρισιν, ἐπὶ τοῦ παρόντος ποιεῖται.

Κυρίλλου. Ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἰσχνῶς τε καὶ διεσμιλευμένως ἐν τοῖς ἑξῆς θεωρήσομεν. φιλοπευστήσει δὲ ἴσως ὁ φιλομαθὴς, τίς δὴ ἄρα γέγονεν ὁ Μελχισεδέκ· διαφόροις γὰρ δόξαις ταῖς ἐπ' αὐτῷ καταμεθύουσί[e] τινες, ὕθλοις εἰκαίοις ἀσυνέ-

[d] Forsan Μαξίμου. [e] An καταμυθεύουσι?

τως ἐνολισθήσαντες, καὶ τοῖς ἔθεσι τῆς θεοπνεύστου γραφῆς οὐ σφόδρα προσεσχηκότες. οἱ μὲν γὰρ ὡς ἐν φάσματι, καὶ ἐν εἴδει μόνῳ τῷ καθ' ἡμᾶς, τὸ Πνεῦμα τὸ Ἅγιον ὑπαντῆσαι, καὶ μόνον ὀφθῆναι φασὶ, νενικηκότι τῷ Ἀβραάμ. οἱ δὲ, τοῦτο μὲν οὐχί· δεδιάσι γὰρ οἶμαί που τὸ πολὺ λίαν ἀπονενευκὸς εἰς τὸ ἀκαλλές· δύναμιν δὲ εἶναι διϊσχυρίζονται τῆς τῶν Ἀγγέλων πληθύος περιφανῆ τε καὶ ἔγκριτον. παρεκόμισε δὲ αὐτοὺς εἰς τὴν ἐπὶ τούτῳ δόξαν, ἀδρανὴς ὡς ἔοικε καὶ ἀσύφηλος νοῦς. ἐπειδὴ γάρ φησιν, ἑρμηνεύεται βασιλεὺς Σαλὴμ ὁ Μελχισεδὲκ, μὴ ἄνθρωπος νοείσθω, ἀλλ' ἔστω τὸ Πνεῦμα τὸ δηλούμενον· ἴδιον γὰρ ἡ εἰρήνη Θεοῦ, καὶ αὐτὸς εἰρήνης κατάρχει μόνος. προσεπάγουσι δὲ τούτοις, εἰ μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχει, τὸ ἄναρχόν τε καὶ ἀτελεύτητον ἀνθρώπῳ προσνέμειν, πῶς οὐκ ἂν γένοιτο μωρίας γραφή; νοείσθω δὴ οὖν τὸ Πνεῦμα πάλιν. εἰ γὰρ ἀφωμοίωταί, φησι, τῷ Υἱῷ τοῦ Θεοῦ τοῦ ὑψίστου, μένει δὲ καὶ ἱερεὺς εἰς τὸ διηνεκὲς, πῶς οὐ διὰ πάντων οἰηθείημεν ἂν οὐκ ἄνθρωπον εἶναι τὸν Μελχισεδέκ; εἶτα τούτοις ἑτέρους ἐπισυμπλέκοντες λογισμοὺς, ἐμπεδοῦν οἴονται πρὸς ἀλήθειαν, τὸν οὐκ οἶδ' ὅθεν αὐτοῖς πορισθέντα λόγον.

Ἡμᾶς δὲ ἀνάγκη τὸ εἰς νοῦν ἧκον εἰπεῖν, ταῖς ἐκείνων ὑποψίαις τὸ ὀρθῶς ἔχειν δοκοῦν ὑποφέροντας. πρῶτον μὲν γὰρ εἰ φρονεῖν ἐγνώκασι τὰ εἰκότα, πόλιν εἶναι καὶ αὐτοὶ συνομολογοῦσι τὴν Σαλὴμ, τουτέστι, θανάτου κρείττων καὶ ἀνώτερον, πῶς ἡ ἀθλία διόλωλε διά τοι τὴν εἰς Χριστὸν ἀπιστίαν; καὶ εἰ νοῦς ὁρῶν Θεὸν ὁ Ἰσραὴλ ἑρμηνεύεται, τί μὴ τεθέαται τὴν δόξαν Χριστοῦ, δι' οὗ καὶ ἐν ᾧ καὶ αὐτὸν ἐγνώκαμεν τὸν Πατέρα; πῶς δὲ κατελήφθησαν ὑπὸ σκοτείας; ἢ πῶς ἐλέγετο περὶ αὐτῶν καὶ τῶν ἡγεῖσθαι λαχόντων, "ἄφετε αὐτοὺς, τυφλοί εἰσιν ὁδηγοὶ τυφλῶν;" ποία γὰρ ἂν ὁρῷτο τυφλότης εἰς νοῦν ὁρῶντα Θεόν; οὐκοῦν ἀμαθίας ἔμπλεων τὸ ταῖς τῶν ὀνομάτων ποιότησι πάντῃ τε καὶ πάντως καὶ αὐτὸ τῶν πραγμάτων ἀπονέμειν τὸ κράτος· ἀπείρξει λοιπὸν οὐδὲν ὀρθῶς ὑπονοεῖν ἄνθρωπον ὄντα τὸν Μελχισεδὲκ, βεβασιλευκέναι κατὰ καιροὺς τῆς Σαλὴμ, κἂν εἰ ἑρμηνεύοιτο τυχὸν εἰρήνη. προσεπαθρητέον δὲ τοῖς εἰρημένοις καὶ τόδε. βλέπομεν γὰρ δι' ἐσό-

πτρου καὶ αἰνίγματος τὰ θεῖα μόλις μυστήρια· ὁλοκλήρως δὲ τῶν γεγονότων οὐδὲν ἐξομοιοῦν ἔχοντες τῇ θείᾳ τὲ καὶ ἀπορρήτῳ φύσει, ἐκ μυρίων παραδειγμάτων μετρίως ἐρανιζόμεθα τὸ δύνασθαί τι περὶ αὐτῆς νοεῖν ἢ φράσαι κατά γε τὸ ἐφικτόν· οὐδὲν δὲ ἧττον ἀσυμφανές ἐστι τὸ ἐπὶ Χριστῷ μυστήριον, καὶ ὁ τῆς ἐνανθρωπήσεως τρόπος οὐ τοῖς τυχοῦσιν ἁλώσιμος. βαθὺς δὲ λίαν τῆς οἰκονομίας ὁ λόγος· Θεὸς γὰρ ὢν καὶ ἐκ Θεοῦ, κατὰ φύσιν ὁ μονογενὴς, γέγονεν ἄνθρωπος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. κεχρημάτικε δὲ καὶ ἀπόστολος καὶ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν, καὶ ἀπήλλαξεν ἡμᾶς τοῦ βραδυγλώσσου νόμου, μετατέθεικε δὲ εἰς εὐφωνίαν μαθημάτων εὐαγγελικῶν. καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ αἰχμαλώτους ὄντας ἀνῆκε, καθελὼν τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου, καὶ ἐξ ᾅδου μυχῶν ἐρρύσατο τοὺς κεκοιμημένους, καὶ τεθεμελίωκε μὲν τὴν ἐκκλησίαν, κεχειροτόνηται δὲ καὶ ἄρχων ἐφ' ἡμᾶς. καὶ διεβίβασε μὲν ἐν πίστει τὸν Ἰορδάνην, δέδωκε δὲ τὴν ἐν Πνεύματι περιτομὴν, καὶ εἰς τὴν τῶν οὐρανῶν εἰσκεκόμικε βασιλείαν.

Ὅτι μὲν οὖν γέγονε καθ' ἡμᾶς, ἀποχρήσειν οἶμαι λέγοντα τὸν θεσπέσιον εὐαγγελιστὴν, καὶ ὁ λόγος ἧς οὐ πρῶτος τὲ καὶ μόνος βεβασίλευκεν ὁ Μελχισεδὲκ, ἀλλ' ἦσαν που πάντως πλεῖστοι ὅσοι πρὸ αὐτοῦ. γεγόνασι δὲ καὶ ἕτεροι μετ' αὐτόν. ἢ δεικνύτω τῆς δεῦρο τῆς Σαλὴμ βασιλεύοντα τὸν Μελχισεδέκ· καί τοι πόλεως οὔσης τῶν κατὰ Ἰουδαίαν μιᾶς. ὠνόμασται δὲ τάχά που καὶ Ἱερουσαλὴμ, ὅρασις δὲ εἰρήνης τοῦτο διερμηνεύεται, ἀλλ' οὐκ ἂν ἐπιδείξειέ τις. ἀμαθὲς οὖν ἄρα ταῖς τῶν ὀνομάτων ἑρμηνείαις προσεσχηκότας, ἀναιρεῖν ἀποτολμᾶν τὰ σαφῆ τε καὶ ὡμολογημένα. ὅτι δὲ ἀσυνεσίας ἔμπλεως ὁ ἐπὶ τοῦδε λόγος, ἀπονητὶ ὀψόμεθα, κακεῖνο εἰς νοῦν δεχόμενοι. ἑρμηνεύεται μὲν γὰρ Ἱερουσαλὴμ ὅρασις εἰρήνης, ἢ μετέωρος θάνατος· Ἰσραὴλ δὲ αὖ νοῦς ὁρῶν Θεὸν, αἶνος δὲ καὶ ὕμνησις Ἰούδας. ἀλλ' ὅσοι γεγόνασι κατὰ καιροὺς ἀνόσιοί τε καὶ βέβηλοι βασιλεῖς τῆς Ἱερουσαλὴμ, ἐπί τε τὸν Ἰούδαν καὶ Ἰσραὴλ, διαβεβόησεν ἐναργῶς τὸ γράμμα τὸ ἱερόν. οὐκοῦν ἐπειδήπερ ὁράσεως εἰρήνης, αἴνου τὲ καὶ ὑμνήσεως καὶ τοῦ Θεὸν βλέποντος, οὐκ ἂν ἐπίγειος γένοιτο βασιλεὺς, ἀλλ' οὐδ' ἂν ἀνθρώπῳ τὸ χρῆμα πρέποι. φέρε λέγωμεν ταῖς τῶν ὀνομάτων

ἑρμηνείαις προσεσχηκότες, τοὺς κατὰ καιροὺς βεβασιλευκότας, σκιὰς εἶναι καὶ εἴδωλα, καὶ οὐδὲ ἀνθρώπους ὅλως, τὸ πνεῦμα δὲ μᾶλλον καθὰ καὶ ἐπὶ τοῦ Μελχισεδέκ.

Ὅτι δὲ καὶ ἡ τῶν ὀνομάτων δύναμις ἤτοι τῶν ἑρμηνειῶν κατ' οὐδένα τρόπον τὴν τῶν πραγμάτων εἰς ἑαυτὴν καταβιάσεται φύσιν, κἀντεῦθεν ἂν μάθοις. ἆρα γὰρ οὐκ οἰήσεταί τις ὡς εἴπερ ἐστὶν ὅρασις Ἱερουσαλὴμ, ἐπειδὴ πάντως αὐτὴν μὴ ἀγνοῆσαι Χριστόν[f]· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν κατὰ τὰς γραφὰς, ἀλλ' οὐ τεθέαται τοῖς τῆς διανοίας ὄμμασι τὸν δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν, καὶ εἰς ἑνότητα τὴν ἐν Πνεύματι κεκολλήμεθα τῷ Πατρὶ, τὸν ποιήσαντα τὰ ἀμφότερα ἓν, καὶ εἰς ἕνα καινὸν ἄνθρωπον τοὺς δύο κτίσαντα λαούς. πῶς οὖν ὅρασις εἰρήνης, εἰ μὴ τεθέαται τὸν Χριστόν; καὶ εἴπερ ἐστὶ μετέωρος θάνατος, σὰρξ ἐγένετο. ὅτι δὲ κέχρηται καὶ εἰς ἱερέα καὶ ἀπόστολον ἡ τοῦ Ἀαρὼν ἀνάδειξις ὑπεμφήνειεν ἂν καὶ μάλα σαφῶς· κατεχρίετο γὰρ ἐλαίῳ τῷ ἡγιασμένῳ, καὶ εἰς ἄρχοντα τέθειται καὶ ἡγούμενον ἱερέων καὶ λαοῦ. καὶ μὴν καὶ ἐπὶ μετώποις ἄκροις τὸ ψάλιον ἐδέχετο τὸ χρυσοῦν, ἤτοι τὸ πέταλον γραφὴν ἔχον τὸ ὄνομα Κυρίου. τοῦτο δὲ ἦν ἐναργὲς τῆς τοῦ Σωτῆρος ἡμῶν βασιλείας σύμβολον, καὶ οἱονεὶ διάδημα λαμπρὸν καὶ περίοπτον.

Ὅτι δὲ ἀμείνων τῆς νομικῆς λατρείας ἡ διὰ Χριστοῦ, κατίδοι τις ἂν ὡς ἐν Ἀαρών. δεκάτας μὲν γὰρ οἱ Λευῖται παρὰ τῶν υἱῶν Ἰσραὴλ κατὰ νόμους ἐδέχοντο. πλὴν ἐκέλευε Θεὸς ἐκ τῆς τῶν Λευιτῶν δεκάτης ἀπονέμεσθαι δεκάτην ὡς ἡγουμένῳ τῷ Ἀαρών. συνίῃς οὖν ὅπως καὶ ὡς ἐν προσώπῳ τοῦ Ἀαρὼν ὁ δεκάτας λαμβάνων Λευὶ δεδεκάτωται. τέθειται γὰρ Ἀαρὼν εἰς τύπον Χριστοῦ. καὶ οἱ μὲν ἄλλοι πάντες Λευῖται καὶ ἱερεῖς τὰς κατὰ νόμον θυσίας ἐτέλουν, στάσιν ἔχοντες ἔτι τὴν πρώτην σκηνήν. μόνος δὲ Ἀαρὼν ἅπαξ τοῦ ἐνιαυτοῦ κατὰ τὸ γεγραμμένον, εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῄει, καὶ οὐ χωρὶς αἵματος κατὰ τὸν νόμον. τύπος δ' ἂν εἴη καὶ τόδε Χριστοῦ τοῦ τεθνεῶτος ἅπαξ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς· εἰσελαύνοντος δὲ καὶ εἰς τὴν ἄνω τε καὶ ἱερωτάτην σκηνὴν, ταύτην γὰρ ἡμῖν ἐνεκαίνησεν ὁδὸν, ἁγιάζοντός τε τῷ αἵματι τῷ ἰδίῳ τὴν ἐκκλησίαν. καὶ ὁ μὲν θεσπέσιος Μωσῆς,

[f] Deest aliquid ad sensum conficiendum.

προκεχειρισμένος εἰς ἀποστολὴν, ἐδέετο τοῦ Θεοῦ λέγων· "δέομαι "Κύριε, οὐκ εὔλαλος εἰμί." προσετίθει δὲ τούτοις, "προχειρῆσαι "ἄλλον δυνάμενον ὃν ἀποστελεῖς." εἶτα πρὸς αὐτὸν ὁ τῶν ὅλων δεσπότης· "οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου· καὶ δώσεις τὰ ῥή-"ματά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτός σοι πρὸς "τὸν λαὸν, καὶ αὐτὸς ἔσται σου στόμα." βραδύγλωσσος μὲν γὰρ ὁμολογουμένως καὶ εὐστομεῖν οὐκ εἰδὼς ὁ πάλαι νόμος, διὰ κύκλου μόλις μακροῦ τοῦ κατὰ τὸ γράμμα φημὶ μονονουχὶ καὶ ὑποψελλίζων ἡμῖν τὸ Θεῷ δοκοῦν· στόμα δὲ Μωσέως τὸ εὐφωνότατον ὁ Χριστὸς, μεθιστὰς τοὺς τύπους εἰς ἀλήθειαν, καὶ προτιθεὶς ἑτοίμην τοῖς ἁπανταχοῦ τῶν ἀναγκαίων τὴν εἴδησιν.

Ἀνετυποῦτο δὴ οὖν ὡς ἐν Ἀαρὼν ὁ Χριστὸς, καὶ μὴ θαυμάσῃς, ὁπόταν καὶ ἐν ἀνδρὶ πέφηνεν ἀλλογενεῖ τῷ Κύρῳ αἰχμαλωσίας ἀνιέντι τὸν Ἰσραὴλ, καὶ τὴν ἱερὰν θεμελιοῦντι γῆν, καὶ ἄμαχον ἔχοντι τὴν κατὰ πάντων ἰσχύν. ἄθρει δὲ αὖ ὡς ἐν τύπῳ καὶ εἰκόνι διπλῇ τὸν Ἐμμανουὴλ, βασιλέα μὲν ὡς ἔν γε τῷ Ζοροβάβελ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα, ἀρχιερέα δὲ ὡς ἐν ὁμωνύμῳ Ἰησοῦ τῷ τοῦ Ἰωσεδὲκ τῷ ἱερεῖ τῷ μεγάλῳ· καὶ μὴν ἐξάρχοντα τῆς ὁδοῦ τῆς εἰς τὴν ἁγίαν πόλιν ἐκ γῆς ἀλλοφύλων, φημὶ δὴ τῆς Βαβυλωνίων.

Ἑπόμενοι γὰρ διὰ πίστεως καθηγητῇ Χριστῷ, ὡς βασιλεῖ καὶ ἀρχιερεῖ, ὥσπερ ἐκ γῆς ἀλλοφύλων ἐξ ἀπάτης διαβολικῆς, εἰς τὴν ἀληθῶς ἁγίαν εἴσιμεν πόλιν, τὴν τῶν πρωτοτόκων ἐκκλησίαν, ἣν αὐτὸς ἐγερεῖ Χριστὸς, ὡς ἔν γε δὴ λίθοις τοῖς νοητοῖς. καὶ ἀνιδρωτὶ μὲν ἄντις συλλέξαιτο τὰ δι' ὧν ἡμῖν ὡς ἔν γε τοῖς πάλαι Χριστὸς κατεγράφετο. δεήσει δὲ πάντως δυοῖν ἑλέσθαι θάτερον· ἢ γὰρ τοὺς δι' ὧν ἐκεῖνα γεγόνασιν εἰσάπαν ἀναιρήσομεν, καθορίζοντες τὸν τύπον τὸ μὴ λίαν ἀπλημμελὲς, εἰ νοοῖντο δι' ἀνθρώπων τῶν καθ' ἡμᾶς γεγονότες, καί τοι πολὺ λίαν ἔχοντες τὸ θεοπρεπὲς, ἢ τὸ Πνεῦμα λέγοντες ἀεὶ μορφοῦσθαι πρὸς εἶδος τὸ καθ' ἡμᾶς, ἐξ ἀνάγκης ὁμολογήσομεν καὶ εἰς Κύρον αὐτὸ διαπεπλάσθαι ποτὲ τὸν οὐκ εἰδότα Θεόν· εἴρηται γὰρ πρὸς αὐτόν· "σὺ δὲ οὐκ ᾔδεις με."

Ἀναιρουμένων δὲ τῶν ἐν τύποις, σκιὰ μὲν ἴσως ὁ Ἀαρὼν, Ζοροβάβελ δὲ αὖ ὁ τοῦ Σαλαθιὴλ, καὶ μέν τοι καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἐν ὀνόμασιν εἶεν ψιλοῖς τε καὶ μόνοις. ἀλλ' οἶμαι δὴ

μᾶλλον ἐκ λογισμοῦ τοῦ εἰκότος ἀναπεπεισμένους συναινέσειν ὀρθῶς, ὡς ἦν ἄνθρωπος μὲν ὁ Μελχισεδὲκ, πόλεως βασιλεύων τῆς Σαλὴμ, τύπον δὲ αὐτὸν ἡμῖν ἐποιεῖτο Χριστοῦ λεπτόνους, εἰς θεωρίας τὰς πνευματικὰς ὁ θεῖος ὑπάρχων Παῦλος, ἐνισταμένοις δὲ μετὰ τοῦτο καὶ οὐδὲν ἧττον λέγουσιν, ὡς ἄνθρωπος μὲν οὐκ ἦν ὁ Μελχισεδὲκ, τὸ Πνεῦμα δὲ μᾶλλον τὸ Ἅγιον, ἤγουν ἑτέρα τίς δύναμις τῶν ἄνωθεν καὶ ἐξ οὐρανοῦ τὴν λειτουργικὴν ἔχουσα τάξιν· δοκεῖ γὰρ ὧδε φρονεῖν ἑτέροις, ἐκεῖνο φαμὲν ἀναγκαίως, ὅτι πλημμελήσουσι κατὰ δύο τρόπους, καὶ τὴν θείαν καὶ ἄρρητον φύσιν τοῦ Πνεύματος, εἰς τὸν μὴ πρέποντα τόπον αὐτῇ κατασύροντες, καὶ τὴν γενητὴν καὶ πεποιημένην κτίσιν εἰς δόξαν ὑπεργενῆ φληνάφως ἀνακομίζοντες· τίνα δὲ τρόπον, ἐρῶ.

Γέγραπται περὶ τοῦ Μελχισεδὲκ ὡς ἦν ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου. εἰ δὲ δὴ τὸ πνεῦμα ἐστὶν ὁ Μελχισεδὲκ, κατεκομίσθη λοιπὸν ἐν ἱερουργοῖς τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ λειτουργικὴν ἔχει τὴν ὑπουργίαν. ὑμνήσει δὴ οὖν καὶ αὐτὸ μετὰ τῶν ἁγίων Ἀγγέλων τὸν ἀνωτάτω Θεόν· γέγραπται γὰρ, "εὐλογεῖτε τὸν Κύριον πάντες "Ἄγγελοι αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ." εἴη γὰρ ἂν οὐδαμόθεν ἀσυμφανὲς ὡς ἑτέρῳ που πάντως ἱερουργεῖ καὶ οὐχ ἑαυτῷ τὸ ἱερουργοῦν. ἱερουργεῖ δὲ Θεῷ τῷ προὔχοντι. οὐκοῦν εἰ φαμὲν ἱερατεύειν τὸ Πνεῦμα, τὴν θείαν που πάντες ὑποκάθηται φύσιν. τελεῖ δὲ μᾶλλον ἐν γενητοῖς καὶ προσκυνήσει μὲν μεθ' ἡμῶν, ἁγιάσει δὲ πάντως οὐχ ἑαυτό. ἐπεί τοι τὸ ἁγιαζόμενον κρείτονί που πάντως ἢ καθ' ἑαυτὸ τὴν φύσιν ἁγιάζεται. ἁγιασθήσεται δὲ μεθ' ἡμῶν. πῶς οὖν ἔτι Θεὸς κατὰ φύσιν τὸ ἁγιαζόμενον; ἢ γὰρ οὐ πᾶς ἱερεὺς ἁγιάζεται, εἰσί τε οὕτως ἐπὶ τὸ ἱερουργεῖν; "οὐ γὰρ ἑαυτῷ τίς λαμβάνει τὴν τιμὴν," καθὰ γέγραπται, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθὼς καὶ Ἀαρών." προστέθεικε δὲ ὁ Παῦλος, ὅτι "καὶ αὐτὸς ὁ Χριστὸς οὐχ ἑαυτὸν "ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν, υἱός "μου εἶ σύ. καὶ σὺ ἱερεὺς εἰς τὸν αἰῶνα." οὐ δὲ γὰρ αὐτὸς ὁ μονογενὴς ἱερατεύειν ἂν λέγοιτο, εἰ μὴ νοοῖτο καθ' ἡμᾶς δι' ἡμᾶς γεγονώς. εἰ δὲ δὴ τὸ Πνεῦμα μηδαμοῦ τὴν κένωσιν ὑπομεμενηκὸς ἱερατεύειν λέγομεν, δόξης αὐτὸ τῆς θεοπρεποῦς ἐξοίσομεν, καὶ ἐν τοῖς ὑπὸ Θεὸν καταλογιούμεθά που μέτριον αὐτῷ διδόντες τὸ

γενητόν· ἢ δεικνύτωσαν ἡμῖν ἐνανθρωπῆσαν τὸ Πνεῦμα, καὶ ὑπόβασιν οἰκονομικὴν ὑπομεῖναν, καθάπερ ἀμέλει καὶ τὸν Υἱόν. οὐ γὰρ ἐπειδή περ ἐστὶν ὁμοούσιος ἡ Τριὰς, ταύτῃ τοι καθ' οὗπερ ἂν ἕλοιτό τις προσώπῳ τὸν τῆς ἐνανθρωπήσεως καθοριεῖ λόγον. γέγονε γὰρ ἄνθρωπος, οὐκ αὐτὸς ὁ Πατὴρ, οὐδὲ τὸ Πνεῦμα τὸ Ἅγιον, μόνος δὲ ὁ Υἱός. οὕτως ἡμᾶς αἱ θεῖαι μυσταγωγήκασι γραφαί.

Τί τοίνυν παραβιάζονται τὴν ἀλήθειαν, καὶ τὸ πρόφασιν οὐκ ἔχον τοῦ κενοῦσθαι Πνεῦμα ἐν τοῖς τῆς κενώσεως κατακομίζουσι μέτροις, εἴπέρ ἐστιν ἀληθῶς τοῖς ἱερουργεῖν τεταγμένοις ἐναρίθμιον; ἱερεὺς γὰρ ἦν ὁ Μελχισεδὲκ, ἀλλ' εἰς τιμὴν φησὶ τοῦ Υἱοῦ, πρὸς τύπον τῆς κατ' αὐτὸ ἐσομένης ἱερωσύνης κατὰ καιροὺς, αὐτὸ δι' ἑαυτοῦ διεμορφοῦτο τὸ Πνεῦμα. οὐκοῦν, ἐρήσομαι γάρ· κατημέλησεν ἄρα τὸ Πνεῦμα τὸ ἅγιον τῆς εἰς τὸν Υἱὸν τιμῆς καὶ ἀγάπης. καί τοι πῶς οὐ λῆρος ταυτὶ λέγειν; δοξάζει γὰρ τὸν Υἱὸν ὁ Παράκλητος, καὶ περὶ αὐτοῦ φησὶν, "ἐκεῖνος ἐμὲ δοξάσει." τὸ τοίνυν τιμᾶν ἡρημένον, καὶ τοῦτο ἀκαταλήκτως τίμιον μᾶλλον αὐτὸ γέγονεν Ἀαρών. αὐτὸ δὴ καὶ Κῦρος ὁ Περσῶν τε καὶ Μήδων· καὶ μέν τοι καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ, καὶ Ζοροβάβελ ὁ ἐκ φυλῆς Ἰούδα. αὐτὸ καὶ Μωσῆς πρὸς ὃν εἴρηταί που, "προφήτην "ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτοῦ ὥσπερ σέ." τί μὴ γέγονεν αὐτῷ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὁ μετὰ Μωσέως στρατηγὸς, ὃς διεβίβασε τὸν Ἰορδάνην τοὺς υἱοὺς Ἰσραὴλ, καὶ περιέτεμε μαχαίραις πετρίναις, εἰσκεκόμικε δὲ εἰς τὴν γῆν τῆς ἐπαγγελίας; ἢ οὐκ ἐν Χριστῷ βεβαπτίσμεθα, καὶ περιτετμήμεθα μὲν ἀχειροποιήτῳ περιτομῇ διὰ πνεύματος, γεγόναμεν καὶ κληρονόμοι τῆς τῶν οὐρανῶν βασιλείας; καί τοι πῶς τοῦτο οὐκ ἐναργές; οὐκοῦν, ἢ τὸ Πνεῦμα δώσομεν ἀεὶ μορφούμενον, καὶ ὡς ἐν ἑκάστῳ τῶν ὀνομασμένων, ἵνα τιμήσῃ τὸν Υἱὸν, ἤγουν ἔσται μοι λοιπὸν ἀληθὴς ὁ λόγος, ὡς ὀλίγα τοῦ πρέποντος καταφωρᾶται πεφροντικός· ἐφῆκε γὰρ τῶν ἀρχαιοτέρων τισὶν εἰς τύπον καὶ ὁμοίωσιν πλάττεσθαι τοῦ Υἱοῦ. ἄπαγε τῆς τῶν λογισμῶν ἀτοπίας.

Οὐκοῦν ἄνθρωπος ὁ Μελχισεδὲκ, καὶ οὐχὶ τὸ Πνεῦμα τὸ Ἅγιον. ὅτι δὲ οὐδ' ἂν εἶναι νοοῖτο δύναμις ἁγία καὶ λειτουργικὴ, καθὰ φρονεῖν ἔδοξε τισὶ, φέρε δὴ λέγωμεν τὰ ἐξ εἰκότων συλλέγοντες

λογισμῶν εἰς τὴν τῆς ἀληθείας ἀπόδειξιν. ἐκείνοις μὲν γὰρ, τοιός δέ τις καὶ σοφὸς, καθάπερ οἴονται κατὰ σφᾶς αὐτοὺς, συνετέθη τε λόγος. ἐπειδὴ γάρ φασι, γέγραπται περὶ τοῦ Μελχισεδὲκ, "ὡς "ἀπάτωρ τε ἦν καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος, εὐλόγηκε δὲ καί"τοι τοσοῦτον ὄντα τὸν Ἀβραὰμ, εὐλογεῖται δὲ τὸ ἔλαττον ὑπὸ "τοῦ κρείττονος ἁπάσης ἀντιλογίας δίχα," μὴ νοείσθω καθ' ἡμᾶς, ἀλλ' ἔστω τὴν φύσιν Ἄγγελος. ἢ γοῦν τῶν ἄνω δυνάμεων καὶ λειτουργῶν μία τίς σεπτὴ καὶ δεδοξασμένη. ἐγὼ δὲ τεθαύμακα λίαν εἰ τρόπος αὐτοὺς εὐλαβείας τῆς εἰς τὸν θεσπέσιον Ἀβραὰμ τῆς τοῦ χρησίμου καὶ πρέποντος ἀπεκόμησε θήρας, καὶ τῶν ἀναγκαίων εἰς ἀληθείας εὕρεσιν ἀπεβουκόλησε λογισμῶν. εἰς ὁμοίωσιν γὰρ δὴ καὶ τύπον τοῦ Ἐμμανουὴλ παραδεικνύντες τὸν Μελχισεδὲκ, οὐκ εἰς τὴν τῶν πραγμάτων ποιότητα βλέπουσιν, ἢ τὸν τῆς ἱερωσύνης δοκιμάζουσι τρόπον, βασανίζουσι δὲ μᾶλλον τῶν εἰς τοῦτο παρενηνεγμένων τὰς φύσεις.

Τί γὰρ ἂν γένοιτο τὸ λυποῦν, φαίη τίς ἂν εἰκότως αὐτοῖς, εὐλογεῖσθαι τὸν Ἀβραὰμ ὡς ἐξ ἀνθρώπου τυχὸν τοῦ Μελχισεδὲκ, κἂν εἰ μὴ νοοῖτο κρείττων ὢν αὐτοῦ; οὐ γὰρ ἡ φύσις ἐν τούτοις, ἀλλ' ὁ τῶν δρομαίων δοκιμάζεται νοῦς, καὶ τῆς ἀληθείας οἱ λόγοι τῶν ἐν σκιαῖς αἰνιγμάτων ἀμείνους προαναφαίνονται. ὅτι γάρ ἐστι τῶν λίαν ἀτοπωτάτων, οὐχὶ τὰ ἐκ τῶν σημαινομένων ἀντιπαρεξάγειν τοῖς ὡς ἐν σκιαῖς, ἐπ' αὐτὰς δὲ μᾶλλον ἰέναι τὰς φύσεις τῶν εἰς μέσον ἐνηνεγμένων, εἴσῃ τοι κἀντεῦθεν. ἀπόλεκτος ἦν Ἀαρὼν προεστηκὼς καὶ ἡγούμενος τῆς ἁγίας σκηνῆς, κατεχρίετό τε τὸ ἄκρον τοῦ ὠτὸς τοῦ δεξιοῦ, καὶ μὴν καὶ χειρὸς καὶ ποδός. ἐτελειοῦτο δὲ οὕτω πρὸς ἱερουργίαν. ἀλλ' ὦ βέλτιστοι, φαίην ἂν αὐτοῖς, εἰ ταῖς φύσεσι τῶν ἁγιαζόντων καὶ ἁγιαζομένων προσκεῖσθαι καλὸν, καὶ οὐχὶ δὴ μᾶλλον ὡς ἐκ τύπου καὶ σκιᾶς ἐπ' αὐτὸ τῆς ἀληθείας ἰέναι τὸ κάλλος, πῶς ἔτι λοιπὸν τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται; εἴπέρ ἐστιν ἐν ἀμείνοσιν ἡ ἀνθρώπου φύσις δαμάλεος καὶ κριοῦ.

Μὴ τοίνυν ἐρυθριάτωσαν, κἂν εἰ πολὺ κρείττων ὑπάρχων ὁ Ἀβραὰμ τοῦ Μελχισεδὲκ, εὐλογεῖσθαι λέγοιτο παρ' αὐτοῦ. ὁ γὰρ τύπος ἦν ὁ νικῶν καὶ οὐχὶ δὴ πάντως ἡ τοῦ εὐλογοῦντος φύσις. θαυμάζω δὲ ὅτι καὶ εἰς ὁμοίωσιν καὶ τύπον διαμορφοῦντες αὐτὸν

τοῦ Υἱοῦ, ἀμήτορά τε εἶναι καὶ ἀπάτορα φασὶν, ὡς Ἄγγελον. καί τοι τρόπον τινὰ καὶ ἀμφιθαλοῦς ὄντος Χριστοῦ· γέγονε γὰρ αὐτῷ μήτηρ μὲν ἐπὶ γῆς, ἡ ἁγία παρθένος, ἣν δὲ καὶ ἔστιν ἐν οὐρανῷ Πατὴρ ὁ Θεός. δεῖν δὲ οἶμαι τὰς εἰκόνας γράφεσθαι πρὸς τὰ ἀρχέτυπα. ἐπειδὴ δὲ μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχειν τὸν Μελχισεδὲκ, ὁ θεσπέσιος ἔφη Παῦλος, ταύτῃ τοι καὶ δύναμιν λογικὴν, καὶ ἱερουργὸν ὑπάρχειν διατείνονταί τε καὶ λέγουσιν· οὐκ ἐννοοῦντες ὅτι παρατρέχει τι τῶν ἀναγκαίων αὐτοὺς, οὐδὲ γὰρ τῶν τελούντων ἐν γενητοῖς ἄναρχον ἔσται κατὰ τὸν χρόνον. ἀλλ' εἴ τι περ ὅλως παρῆκται πρὸς ὕπαρξιν, τοῦτο καὶ ἀρχὴν ἔχει ζωῆς καὶ ἡμερῶν.

Τίς οὖν ἄρα τῷ μακαρίῳ Παύλῳ γέγονεν ὁ τοῦ λόγου σκοπός; ἢ πῶς εἰς τύπον καὶ ὁμοίωσιν τοῦ Χριστοῦ παρέδειξε τὸν Μελχισεδέκ; τῶν ἐξ εἰκαιότητος οὖν ἐννοιῶν τὸν νοῦν ἀποστήσαντες, φέρε δὴ διασκεψώμεθα, καὶ ὡς ἔνι λέγωμεν· νομομαθὴς ὢν ἄγαν ὁ θεῖος Ἀπόστολος οὐκ ἐξ ἁπλῶν ἐννοιῶν τὸν πρὸς Ἰουδαίους ποιεῖται λόγον, ἀλλ' ἐκ γραμμάτων Μωσαϊκῶν, οἷς ἦν εἰκὸς καὶ οὐχ ἑκόντας παραχωρεῖν τοὺς τῇ ἀληθείᾳ πολεμεῖν ἐγνωκότας. δέχεται δὲ τὸν Μελχισεδὲκ εἰς ὁμοίωσιν καὶ ὑποτύπωσιν τοῦ Χριστοῦ. διά τοι τὸ λέγεσθαι βασιλείαν δικαιοσύνης καὶ εἰρήνης· πρέποι γὰρ ἂν οἶμαι ταυτὴ δὴ μόνῳ κατὰ λόγον τὸν μυστικὸν τῷ Ἐμμανουήλ. δικαιοσύνης γὰρ καὶ εἰρήνης πρύτανις ἀνεδείχθη τοῖς ἐπὶ τῆς γῆς, καὶ δεδικαιώμεθα μὲν ἐν αὐτῷ, τὸ τῆς ἁμαρτίας ἄχθος ἀποπεμψάμενοι, ἐσχήκαμεν δὲ καὶ εἰρήνην τὴν πρὸς τὸν Πατέρα καὶ Θεὸν, τὴν μεσολαβοῦσαν καὶ διιστᾶσαν ἡμᾶς τῶν τρόπων ἀκαθαρσίαν ἀπονιψάμενοι, ἑνούμενοί τε ὥσπερ αὐτῷ διὰ Πνεύματος· "ὁ γὰρ κολλώμενος τῷ Κυρίῳ," φησὶν, "ἓν Πνεῦμα "ἐστίν." ἔστι τοίνυν κατά γε τὴν Ἑλλάδα φωνὴν μελχὶ μὲν ὁ βασιλεὺς, σεδὲκ δὲ δικαιοσύνη. καὶ ἴδοι τις ἂν τὸν Μελχισεδὲκ ὡς ἐν ἰδίᾳ κλήσει πεπλουτηκότα, κατά γε τὴν ἐκ τῶν σημαινομένων δύναμιν, τὸ βασιλεὺς δικαιοσύνης, ἐν δὲ τῷ καὶ βασιλεὺς εἰρῆσθαι Σαλὴμ βασιλεὺς εἰρήνης. ἥρμοσε δὴ οὖν ὁ θεσπέσιος Παῦλος ὡς ἐξ ὁμοιώσεως ἤδη σαφοῦς τε καὶ ἐμφανοῦς τοῦ Μελχισεδὲκ τὰ τοιάδε Χριστῷ· δέχεται δὲ τῆς ὑπὲρ νόμον ἱερωσύνης σύμβολον, τὸ εὐλογῆσαι τὸν Ἀβραὰμ, οἶνόν τε καὶ ἄρτους αὐτῷ παρασχεῖν.

Εὐλογούμεθα γὰρ οὐχ ἑτέρως παρὰ Χριστοῦ τοῦ μεγάλου καὶ ἀληθινοῦ καὶ ἀληθῶς ἱερέως. εὐλογούμεθα δὲ κατὰ τὸν θεσπέσιον Ἀβραὰμ εὐσθενέστατα καταγωνισάμενοι τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου, καὶ τῆς τῶν πολέμων χειρὸς ἀμείνους ἀναδεικνύμενοι, καὶ μηδενὸς τῶν ἐν κόσμῳ δεδεημένοι· πλοῦτον δὲ μᾶλλον νοητὸν ἡγούμενοι τὰ παρὰ Θεοῦ, καὶ τὴν εὐκλεᾶ καὶ ἀμάραντον τῶν ἄνωθεν χαρισμάτων διανομήν. ἐννόει γὰρ ὅτι νενικηκότα τὸν Ἀβραὰμ καὶ ὑποστρέφοντα μὲν ἐκ τῆς κοπῆς τῶν βασιλέων, οὐκ ἀξιώσαντα δέ τι παρὰ τοῦ Σοδόμων ἄρχοντος εἰς ἰδίαν κτῆσιν ἑλεῖν, εὐλόγησεν ὁ Μελχισεδέκ. ὁ μὲν γὰρ Σοδομιτῶν ἡγούμενος ὡς νενικηκότι τῷ Ἀβραὰμ ἔφασκε, "δός μοι τοὺς ἄνδρας, τὴν "δὲ ἵππον λάβε σεαυτῷ." ὁ δὲ μηδενὸς τῶν ἐκείνου μεταποιεῖσθαι διεγνωκώς, "ἐκτενῶ," φησὶ, "τὴν χεῖρά μου πρὸς τὸν Θεὸν τὸν "ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ ἀπὸ σπαρτίου ἕως "σφαιροτέρου ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν." ἵνα μὴ εἴπῃς ὅτι ἐγὼ ἐπλούτησα τὸν Ἀβραάμ· χαίρειν γὰρ ἁγίοις ἔθος οὐκ ἐπὶ πλούτῳ κοσμικῷ. κεκρατηκότες τοίνυν ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν, καὶ οὐδὲν ἀπὸ κόσμου δεχόμενοι, τιμῶντες δὲ μᾶλλον τὸν ἄνωθεν πλοῦτον, εὐλογούμεθα διὰ Χριστοῦ τοῦ τῆς εἰρήνης βασιλέως· εὐλογούμεθα δὲ ξένιον ὥσπερ οὖν οὐ καὶ ζωῆς ἐφόδιον τῆς εἰς αἰῶνα δεχόμενοι τὰ μυστικά. σεσιγήσθω γὰρ τέως εἰ δοκεῖ, εὐλογούμεθα δὲ παρὰ Χριστοῦ καὶ πρεσβείας ταῖς ὑπὲρ ἡμῶν πρὸς τὸν Πατέρα. ὁ μὲν γὰρ Μελχισεδὲκ εὐλόγει τὸν Ἀβραὰμ οὕτω λέγων, "εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος ὃς ἔδωκε τοὺς "ἐχθρούς σου ὑποχειρίους σου." ὁ δὲ Κύριος τὸ πάντων ἡμῶν ἱλαστήριον, "Πάτερ Ἅγιε," φησὶν, "τήρησον αὐτοὺς ἐν τῇ ἀλη-"θείᾳ σου."

Οὐκοῦν καὶ ἐκ τῆς τῶν ὀνομάτων ἑρμηνείας ἁρπάζει τὸ χρήσιμον εἰς ὑποτύπωσιν τοῦ Χριστοῦ ὁ Ἀπόστολος, καὶ αὐτὸν δὲ τῆς ἱερωσύνης τὸν τρόπον εἰς παράδειγμα τοῦ πράγματος ἐποιεῖτο σαφῆ. ἄρτους γὰρ καὶ οἶνον ἐκόμιζεν ὁ Μελχισεδέκ. ὅτι δὲ ἀπάτωρ ἢ ἀμήτωρ ἦν, ἤγουν ἀγενεαλόγητος, ἢ ἀρχὴν ἡμερῶν ἢ τέλος ζωῆς οὐκ εἶχεν ὁ Μελχισεδὲκ, οὐδαμοῦ διαμεμήνυκε τὸ γράμμα τὸ ἱερόν. πεφενάκικεν οὖν ἄρα, φαίη τίς ἂν ἴσως, ὁ θεσπέσιος Παῦλος· οὐ τοῦτο φαμὲν, μὴ γένοιτο· λαλεῖ γὰρ ἀλήθειαν, δέχε-

ται δὲ μᾶλλον ὁ μυσταγωγὸς, τεχνίτης ὢν ἄγαν, εἰς τύπον τῆς δόξης τοῦ Ἐμμανουὴλ καὶ τὴν ἐπὶ τούτοις αὐτοῖς οἰκονομικὴν ἀφήγησιν. ὅτι γὰρ μόνον ἦν ἱερεὺς ὁ Μελχισεδὲκ ἡ θεόπνευστος ἡμῖν ὑπέφηνε γραφὴ, γένος οὐκ ὀνομάσασα ἢ τίνος ἐξέφυ πατρὸς ἢ μητρὸς, ἀλλ' οὐδὲ εἰς πόσον ἐτῶν κατέληξεν ἀριθμὸν, ἢ ποίας ἔχων εὑρίσκεται τῆς ἱερωσύνης τὰς διαδοχὰς, προσθεῖσαν εὑρίσκομεν. ὑποπλάττεται τοίνυν ἡ τῶν τοιούτων ἡμῖν ἀφήγησις οἱονεί πως τὸ διηνεκὲς καὶ ἄναρχον τοῦ Χριστοῦ, καθ' ὃ νοεῖται Θεός. ἄναρχον δέ φημι τὸ ὡς ἐν ποσότητι δηλονότι κατὰ χρόνον. αὐτὸς γάρ ἐστιν τῶν αἰώνων ποιητής. ὑπεμφαίνει δὲ πρὸς τοῦτο καὶ τὸ ἀκατάληκτον τῆς ἱερωσύνης. διὰ τοῦτο φησὶ Παῦλος περὶ τοῦ Μελχισεδὲκ, ὅτι μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχει, ἀφομοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, μένει εἰς τὸ διηνεκὲς ἱερεύς.

Ἔοικε δὲ καὶ ἕτερόν τι σοφὸν βεβουλεῦσθαι πάλιν· καὶ τί δὴ τοῦτό ἐστιν, ὡς ἂν οἷός τε ὦ, διειπεῖν πειράσομαι. ἀντέπραττον Ἰουδαῖοι τοῖς περὶ Χριστοῦ κηρύγμασι, καὶ τῶν ἀποστολικῶν διδαγμάτων μονονουχὶ καταμειδιᾶν ἀπετόλμων. δύο ταῦτα προτείνοντες, ἓν μὲν ὡς εἴη τῶν ἀμηχάνων τὴν τοῖς πατράσι διωρισμένην διὰ Μωσέως ἀπρακτεῖν ἐντολὴν, καὶ ἀθετεῖσθαι τὸν νόμον, πολιτείας ἑτέρας τῆς οὐδενὶ τῶν πάλαι διεγνωσμένης ἀδοκήτως εἰσκρινομένης. ἕτερον δὲ αὖ, μὴ γὰρ δὴ χρῆναι διισχυρίζοντο τῆς ἱερωσύνης τὴν δόξαν, ἔξω τῆς ἀπολέκτου φέρεσθαι φυλῆς, τουτέστι τῆς τοῦ Λευὶ, ἄνω τε καὶ κάτω τῆς ἱερᾶς λειτουργίας ἀποσοβοῦντος Θεοῦ τοὺς οὐκ ὄντας αὐτῆς, καὶ δίκην εὐθὺς τῷ τοιῷδε τολμήματι καθορίζοντος τὴν ἐσχάτην. ἀγωνίζεται τοίνυν νομομαθὴς ὢν ὁ Παῦλος, καὶ πειρᾶται πληροφορεῖν ἀπό τε τοῦ εἰκότος, καὶ μέντοι καὶ ἐξ αὐτῆς τῆς θεοπνεύστου γραφῆς, ὅτι καὶ νόμου καινότης καὶ ἱερωσύνης αὐτῆς προανεφωνεῖτο μετάθεσις, καὶ προανέλαμψεν ἐν τύποις ἡ ἑκατέρου δήλωσις. δέχεται οὖν οὐκ ἐκ φυλῆς ὄντος τῆς Λευιτικῆς τὸν Μελχισεδὲκ, εἶτα δείκνυσιν ἱερέα μὲν ὄντα τοῦ ὑψίστου Θεοῦ, προσάγοντα δὲ ἄρτους καὶ οἶνον, καὶ εὐλογοῦντα τὸν Ἀβραὰμ, ἀλλ' οὐκ ἐν τῇ φύσει τὴν ὑπερβολὴν τῷ Μελχισεδὲκ, ἀλλ' ἔνγε τοῖς τρόποις τῆς ἱερωσύνης ἐνεῖναι φαμέν· οὐκ ἀνανεύοντος δὲ τοῦ προπάτορος Ἀβραὰμ, ἀπονέμοντος

δὲ ὥσπερ τὸ προὔχειν αὐτῷ δι' ὧν ἔγνω τιμὴν, καὶ αὐταῖς ταῖς τῶν δεκτῶν προσαγωγαῖς. ἀποδεκατοῦσι μὲν γὰρ οἱ ἐξ αἵματος Λευὶ τὸν λαὸν, καί περ ὄντας ἀδελφούς. ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, τουτέστιν ὁ Μελχισεδὲκ, οὐ γὰρ ἦν ἐκ φυλῆς Λευὶ, δεδεκάτωκε τὸν Ἀβραὰμ, καὶ εὐλόγηκε. καὶ ὁ μὲν τύπος τούτοις· Χριστὸς δὲ δὴ αὖ ὁ ὡς ἐν σκιαῖς γραφόμενος, ἀγενεαλόγητος ὢν τοῖς κατὰ νόμον ἱερᾶσθαι τεταγμένοις· ἀνατέταλκε γὰρ ἐκ τῆς Ἰούδα φυλῆς, εἰς ἣν οὐδὲ περὶ ἱερέων Μωσῆς ἐλάλησε, δεδεκάτωκε τοὺς υἱοὺς Λευὶ, τουτέστι τὴν κατὰ νόμον ἱερωσύνην, δεδεκάτωκε δὲ, πάλαι μὲν ἐν Μελχισεδὲκ, ὕστερον δὲ καὶ ἐκ Ἀαρών. ἀπεδεκάτου γὰρ καὶ αὐτὸς τοὺς υἱοὺς Λευὶ, τύπον ἐπέχων τῆς ἱερωσύνης Χριστοῦ.

Ἀποδέδεικται τοίνυν ἐν μὲν τῷ Μελχισεδὲκ ὅτι μεταστήσεταί ποτε τῆς ἱερωσύνης τὸ χρίσμα τῆς κατὰ νόμον ἱερατευούσης φυλῆς· καὶ μὴν ὅτι καὶ ἕτερος ἱερουργίας ἀναλάμψει τρόπος τε καὶ νόμος. ἦν γάρ πως ἀνάγκη συμμεθίστασθαι τῆς ἱερουργίας καὶ αὐτὸν τὸν νόμον. κατεψηφίζετο γὰρ ὁ Παῦλος τὸ μηδὲν δύνασθαι τελειοῦν τῆς κατὰ νόμον ἱερωσύνης, χρησιμωτάτην ἀποδεικνὺς τῆς κρείττονος ἐντολῆς τὴν ἐπιφοράν. εἰ γὰρ ἦν ἐν ἐκείνῃ τὸ ἀναγκαῖον, τί μὴ μᾶλλον, φησὶ, κατὰ τὴν τάξιν Ἀαρὼν ἱερεὺς ἕτερος ἐνεδείκνυτο, καὶ οὐ κατὰ τὴν τάξιν Μελχισεδέκ; ὃς ἦν ὁμοίωσις καὶ τύπος Χριστοῦ, ἥκιστα μὲν σαρκικῶς ἱερατεύοντος ἔτι, κατὰ δύναμιν δὲ μᾶλλον ἀκαταλύτου ζωῆς. τρέφει γὰρ ἡμᾶς εἰς ἀμήρυτον ζωὴν ταῖς μυστικαῖς ἱερουργίαις, καί τοι σαρκικῶς ἱερατεύοντος Ἀαρών· βουθυσίαι τε γὰρ δι' αὐτοῦ, καὶ προβάτων ἦσαν σφαγαὶ, καὶ ἕτερα ἄττα πρὸς τούτοις οὐ τελειοῦντα κατὰ συνείδησιν τοὺς λατρεύοντας. ὅτε τοίνυν ἕτερος ἡμῖν εἰσκεκόμισται τρόπος ἱερουργίας, ἀποστὰς τῶν πρώτων καὶ ἀρχαιοτέρων ἐθῶν, ἕτερός που πάντως καὶ ἱερεὺς, καὶ εἰ καινὴν ἐπήγγελται διαθήκην Θεὸς, παλαιωθείσης τῆς πρώτης, ὁ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερεὺς, ἐφ' οὗ πρέποι ἂν καὶ τὸ εἰς αἰῶνα νοῆσαι, οὐδεὶς ἂν ἕτερος εἴη παρὰ τὸν Κύριον.

ρμ [c] Οἱ μὲν οὖν Ἀπόστολοι ὥσπερ σῖτον τὸν λόγον τῷ κόσμῳ κατέσπειραν. οἱ δὲ ἑτερόφρονες ζιζανίων δίκην ἀνακύψαντες ἐπέ-

[c] Fors. Κυρίλλου ἐν Ἑρμείᾳ.

κεινα τοῦ σίτου πειρῶνται ὑπερεκτείνεσθαι, μυστικώτατα τῶν Ἀποστόλων ὡς οἴονται διδάσκειν ἐπιχειρήσαντες. τὸν γὰρ Μελχισεδὲκ φύσει Θεὸν ὄντα οὐκ ἐκήρυξαν ἐκεῖνοι, ὡς οὗτοι λέγουσιν. οὐ μὴν ἀλλὰ καὶ τοιαῦτα τινὰ συνεισφέρουσιν νοήματα, ὡς καὶ τὰς ὑπὲρ ἡμῶν γεγενημένας οἰκονομίας τοῦ Κυρίου εὐτελίζεσθαι δι' αὐτῶν. εἰ γὰρ τὸν ἐκ παρασιωπήσεως γραφικῆς ἀπάτορα καὶ ἀμήτορα ὀνομασθέντα, θεοποιοῦσιν ἄνθρωπον, εὐτελίζουσιν ἄρα τὸν πατέρα ἔχοντα ἐν οὐρανοῖς, καὶ μητέρα ἐπὶ τῆς γῆς ἐσχηκότα δι' ἡμᾶς Χριστὸν τὸν Θεόν· καὶ εἰ διὰ τὸ ἀγενεαλόγητον ἐκεῖνον λέγεσθαι μέγαν εἶναι ἡγοῦνται, γενεαλογούμενον τὸν Χριστὸν ἥττονα ἂν νομίσαιεν. ἡ δὲ τῆς τοιαύτης ἐννοίας προαγωγὴ τοὺς ἀφρονεστέρους αὐτῶν καὶ εἰς ἄρνησιν κατασύρειν ἔοικεν, ὅπερ πλείονα φέρει κατάκρισιν τῷ προηγησαμένῳ τῆς τοιαύτης ἐννοίας. ταῦτα δὲ πάσχουσιν ὡς οἶμαι διὰ τὸ παρατρέχειν αὐτοὺς τὰ συστατικὰ κεφάλαια τῆς θείας γραφῆς, καί τινας περικοπὰς πρὸς τὸν ἴδιον ἕλκειν σκοπόν· διὸ καὶ τὸν ἐπὶ Χριστοῦ ἑρμηνευόμενος χρηματισμὸν, τῷ χρηματισθέντι ἀνθρώπῳ ὡς Θεῷ ἀπονέμουσι, καὶ τὸν κατὰ τὴν τάξιν τῆς ἱερατείας ἀφωμοιωμένον τῷ Κυρίῳ ἄνθρωπον, λέγουσι φύσει υἱὸν Θεοῦ. φησὶ γὰρ, εἰ μὴ ἦν οὗτος υἱὸς Θεοῦ, πῶς βασιλεὺς εἰρήνης καὶ δικαιοσύνης ἐλέγετο; γνώτωσαν οὖν εἰ βούλονται, ὅτι ὁ Ἀπόστολος, οὐ λέγει αὐτὸν φύσει βασιλέα εἰρήνης, ἀλλ' ἑρμηνευόμενον, ὅπερ αὐτοὶ παρατρέχουσι· καὶ διὰ τοῦτο τὴν τοῦ ὀνόματος ἑρμηνείαν, φύσιν εἶναι τοῦ χρηματισθέντος ἔδοξαν. πάλιν φασὶν, εἰ μὴ ἦν Θεὸς, πῶς ἀπάτωρ καὶ ἀμήτωρ; ἐν τούτῳ δὲ ὡς ἔοικεν, οὐκέτι Υἱὸν λέγουσι τὸν Μελχισεδὲκ, ἀλλὰ καὶ Πατέρα· καί τοι φασὶν ἡμεῖς οὐ λέγομεν αὐτὸν Πατέρα, ἀλλὰ τὸν Θεὸν Λόγον πρὸ τοῦ σαρκωθῆναι, καὶ ἐκ Μαρίας γεννηθῆναι. καὶ πῶς ἀπάτωρ ὁ Θεὸς Λόγος, ὦ ματαιόφρονες; μάθετε ὅτι ὁ μακάριος Παῦλος πάντα ἐκεῖνα ἐπὶ τὸν σαρκωθέντα εἰρῆσθαι λέγει· φησὶ γὰρ, ὅτι ἐφ' ὃν ταῦτα λέγεται φυλῆς ἑτέρας μετέσχηκε. πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος. ἀλλ' εἰπὲ φησί· πῶς ἐξ Ἰούδα ἀνατείλας ὁ Χριστὸς, ἀπάτωρ ἐστὶ καὶ ἀμήτωρ κατὰ τὴν τάξιν Μελχισεδέκ; οὐκ εἰδότες ὃ λέγουσιν. οὐ γὰρ περὶ ἀπάτορος ἔθετο τὴν τάξιν ὁ Παῦλος, ἀλλὰ περὶ μόνης τῆς ἱερωσύνης. διὰ τοῦτο οὐδὲ λέγει, σὺ ἀπάτωρ, ἀμήτωρ κατὰ τὴν τάξιν Μελχισεδὲκ, τουτέστι κατὰ τὴν ὁμοίωσιν, καὶ οὐ κατὰ

τὸν νόμον. ἡ μὲν γὰρ φυλὴ τοῦ Λευὶ κατὰ νόμον ἱερατεύειν ἐτέτακτο, ὁ δὲ Μελχισεδὲκ οὐ κατὰ νόμον, ἀλλὰ κατὰ τάξιν προφητείας προδεικνύοντα[g] περὶ Χριστοῦ. διὰ τοῦτο φησὶ, "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα," οὐ κατὰ τὴν τάξιν Λευὶ ἢ Ἀαρὼν, τῆς αὐτῆς φυλῆς ὄντος, ἀλλὰ κατὰ Μελχισεδὲκ, τοῦ χωρὶς νόμου ἱερατεύσαντος.

Ἀλλὰ πάλιν ἐκεῖνοι πρὸς ἡμᾶς· εἰ ὁ Μελχισεδὲκ ἄνθρωπός ἐστι, πῶς μένει εἰς τὸ διηνεκὲς ἱερεύς; καὶ τοῦτο δὲ ἐκ περικοπῆς ἐρωτῶσι, τὰ πλείονα τοῦ κεφαλαίου παρατρέχοντες· λέγει γὰρ, "ἀφωμοιωμένος τῷ Υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές." ἀφομοίωσις δὲ καὶ ὑπόστασις ταυτὸν οὐκ ἔστι· τὸ μὲν γὰρ τύπος, τὸ δὲ ἀλήθεια τυγχάνει. ὥσπερ οὖν ἀφωμοίωται τῷ Χριστῷ Ἰωνᾶς, καὶ μένει προφήτης κατὰ τὴν τριήμερον ταφὴν, καὶ ὥσπερ ἀφωμοίωται αὐτῷ Μωϋσῆς κατὰ τὴν τοῦ λαοῦ ἀφήγησιν, καὶ μένει ἡγούμενος εἰς τὸ διηνεκὲς, οὕτως ἀφωμοίωται αὐτῷ καὶ ὁ Μελχισεδὲκ κατὰ τὴν τῶν ἐθνῶν ἱερωσύνην, καὶ μένει ἱερεὺς εἰς τὸ διηνεκές. διὸ καὶ λέγει· "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν "τάξιν Μελχισεδέκ." καὶ πάλιν δεδόσθαι φασὶν, ὅτι ἄνθρωπος ἐστὶν ὁ Μελχισεδὲκ ἀφωμοιωμένος τῷ Χριστῷ· δεῖξον πῶς ἀπάτωρ, καὶ ἀμήτωρ ἐστὶ, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων. ἐν τούτοις οὖν δεῖξον τὴν ἀφομοίωσιν, ἵνα γνῶμεν ὅτι ἄνθρωπος ὁ Μελχισεδὲκ καὶ οὐκ αὐτὸς ὁ Χριστός. οὕτως ἐρωτῶντες, οὐχ ἡμῖν ἀλλὰ τὰ θεῖα γραφῇ παρατάσσονται· ἤρκει γὰρ αὐτοῖς πιστεῦσαι τῷ Ἀποστόλῳ ἀφωμοιωμένον αὐτὸν εἰρηκότι τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ οὐχὶ Υἱὸν τοῦ Θεοῦ. νῦν δὲ λέγοντες, δεῖξον τὴν ἐπὶ τῶν ὀνομάτων ἀφομοίωσιν ἵνα πιστεύσωμεν, ἐοίκασιν ἀπιστεῖν τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις, ὡς εἴγε καὶ ἡμεῖς ἀπορήσαιμεν τῆς τοιαύτης ἀποδείξεως, ἐκεῖνοι τῆς πίστεως ἀποστήσονται, ὡς καὶ ἀπέστησαν. ἐπειδὴ οὖν πολλά ἐστιν εὑρεῖν ἐν τῇ γραφῇ ὀνόματα ὧν ἡ ἀπόδειξις παρὰ τῷ πλήθει δυσεύρετος, παρὰ τοῦτο ἄρα ἡ ἐκκλησία τῆς παραδοθείσης αὐτῇ πίστεως ἀποστήσεται, καὶ ἰδίαις ἀπονοίαις πιστεύσει; μὴ γένοιτο. πλὴν οὐ διὰ τοῦτο σιωπήσομεν ἀκρίτως, ἀλλὰ κατὰ δύναμιν ἀποδείξομεν τὴν ἐν τοῖς προειρημένοις ἀφομοίωσιν. ἀπάτορα καὶ ἀμήτορα τὸν Μελχισεδὲκ λέγει ὁ Ἀπόστολος, κατὰ τὸ ἑπόμενον ῥητὸν, ὅτι ἀγενεαλόγητος φησίν.

[g] Leg. προδεικνύων τὰ π.

ἐπειδὴ γὰρ ἐν τῇ γενεαλογίᾳ οὐκ ἐμφέρεται τίνος πατρὸς ἢ ποίας μητρὸς, ἢ πότε ἐγεννήθη, ἢ πότε ἀπέθανε, διὰ τοῦτο μήτε ἀρχὴν ἡμερῶν ἔχειν μήτε ζωῆς τέλος λέγεται. οὐ γὰρ ἠδύνατο γενεαλογηθῆναι ἐκ τῶν παραληφθέντων καταγόμενος ἐθνῶν, καθὼς ἡ γραφὴ ἐκ τῆς κατοικεσίας αὐτὸν φανεροποιεῖ· ἐν τούτῳ δὲ ἀφωμοίωται τῷ Υἱῷ τοῦ Θεοῦ, ἐπειδὴ ὁ Κύριος ἐπὶ γῆς οὐκ ἔσχε πατέρα, οὐδ' ἐν οὐρανῷ μητέρα.

Ἐπειδὴ δὲ εἰρήκαμεν ὅτι κατ' οἰκονομίαν οὐκ ἐμφέρεται ἐν τῇ θείᾳ γραφῇ πότε ἐγεννήθη ὁ Μελχισεδὲκ, ἢ πότε ἀπέθανε, καὶ διὰ τοῦτο λέγει μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχειν, ζητοῦσι καὶ ἐν τούτῳ τῷ λόγῳ τὴν ἀφομοίωσιν· λέγοντες, ἔφης περὶ τοῦ Μελχισεδὲκ, εἰπὲ καὶ περὶ τοῦ Χριστοῦ, πῶς οὔτε ἀρχὴν ἡμερῶν οὔτε ζωῆς τέλος ἔχει, ἵνα γνῶμεν καὶ ἐν τούτῳ τὴν ἀφομοίωσιν. οἴδαμεν γὰρ ὅτι γεννηθεὶς ἐκ Μαρίας, καὶ ἀρχὴν ἔσχεν αὐτὸ τοῦτο γεννηθῆναι, ἀλλὰ καὶ ἀπέθανε, καὶ ἀνέστη κατὰ τὰς γραφάς. ἡμεῖς δὲ πρὸς ταῦτα· πιστεύετε τὸ εὐαγγέλιον, ὅτι "ὁ Λόγος "σὰρξ ἐγένετο," οὐ τραπεὶς εἰς ἄνθρωπον, ἀλλ' ἄνθρωπον εἰς ἑαυτὸν προσλαβόμενος. εἰ οὖν πιστεύετε, γνῶτε ὅτι ἄνθρωπος ψιλὸς οὐκ ἔστιν, ἢ νοεῖται ὁ Χριστὸς, καθότι μονομερῶς οὐχ ὑπέστη, ἀλλ' εὐθὺς ἡνωμένως ἐγεννήθη, δηλονότι τοῦ Θεοῦ Λόγος πρότερον θεοπρεπῶς ἐνεργήσατο κατὰ τὸ γεγραμμένον, "Πνεῦμα "Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, "διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ," ὅθεν νοοῦμεν ὅτι ὁ Χριστὸς οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος ἔχει. εἰ γὰρ ὁ ἄναρχος Λόγος τῆς ἐνανθρωπήσεως γέγονεν ἀρχὴ, σαφὲς ὅτι ὁ Χριστὸς ἄναρχος διὰ τὴν ἐκ μήτρας ἕνωσιν. οὕτως οὖν ὁ Μελχισεδὲκ καὶ ἐν τούτῳ ἀφωμοίωται αὐτῷ. οἰκονομικῶς παρασιωπηθείσης τῆς γεννήσεως αὐτοῦ καὶ τῆς τελευτῆς, ἵνα προδηλώσῃ τὰ Χριστοῦ μυστήρια. πάλιν φασίν· ὁ Κύριος τὸ ἡμέτερον ἀνέλαβε σῶμα, ἢ οὔ; ναὶ τὸ ἡμέτερον, ἀλλ' οὐ διῃρημένως αὐτὸ ἀνέλαβεν. οὐ γὰρ προϋπέστησεν αὐτὸ καὶ τότε ἡνώθη, ἀλλὰ ἀδιαίρετον ἐκ μήτρας ἐποιήσατο τὴν ἕνωσιν. εὐθὺς δὲ ἐπάγουσι, διὰ τοῦτο οὖν ψηφίζεται αὐτοῦ τὰ ἔτη. ἔτη φημὶ ψηφίζονται οὐ φύσεως θεϊκῆς μονομερῶς, ἀλλὰ γεννήσεως τῆς κατὰ σάρκα οἰκονομικῶς. οὐκ εἶπε γὰρ ἡ γραφὴ ὅτι ἐγεννήθη ψιλὸς ἄνθρωπος ὁ Θεὸς Λόγος

ὡς ὑμεῖς λέγετε, ἀλλὰ Χριστὸς, ὅς ἐστιν ἅμα Θεὸς καὶ ἄνθρωπος, ἀμερίστως καὶ ἀδιαιρέτως Υἱὸς Θεοῦ. γεννήσεως οὖν τῆς οἰκονομικῆς ἔσχεν ἀρχὴν, φύσεως δὲ θείας ἀρχὴν οὐκ ἔχει διὰ τὴν ἐκ μήτρας ἕνωσιν. τίνι γὰρ εἰπέ μοι ἐπιθήσεις ἀρχὴν, σώματι ψιλῷ; ἀλλὰ ψιλὸν οὐδέποτε ὑπῆρξε τὸ κυριακὸν σῶμα, ἀλλὰ τῷ γεννηθέντι Χριστῷ διὰ τὴν σάρκα ἀρχὴν ἐπιθήσεις. Ἰδοὺ αὐτὸς ὁ Λόγος σεσαρκωμένος. οὔτε οὖν μερισμὸν οὔτε ἀρχὴν ἐπιθεῖναι δύνασαι τῷ Χριστῷ. δεδόσθω φασὶν ὅτι ὁ Χριστὸς οὐκ ἔχει ἀρχὴν, διὰ τὴν ἕνωσιν· μὴ καὶ ἕνωσις ἀρχὴν οὐκ ἔχει; καὶ ἔχει καὶ οὐκ ἔχει. διότι αὐτὸς ὁ ἄναρχος τῆς ἑνώσεως γέγονεν ἀρχὴ, καὶ διὰ τοῦτο εἶπον, ἔχει καὶ οὐκ ἔχει. εὐσεβέστερον δὲ ἐστὶν εἰπεῖν ὅτι οὐκ ἔχει. ὅσα γὰρ ὑποστατικῶς ἥνωται, κἂν ἐκ δύο νοοῖτο, ὅμως τῇ τοῦ δυνατωτέρου φύσει συνενωθὲν, ἐκεῖνο καὶ νοεῖται καὶ ὀνομάζεται, καθάπερ ποταμὸς ἀπὸ βροχῆς συσταθεὶς, καὶ τῇ θαλάσσῃ συμμιγεὶς, οὐκέτι λέγεται ποταμὸς, ἀλλὰ θάλασσα, ἐκεῖθεν ἀρχὴν λαβὼν, καὶ ἐκεῖ καταλήξας. εἰ μὲν γὰρ ἡ σωματικὴ δύναμις ὡς ὑπερέχουσα ἐνήργησε τῷ Λόγῳ, καὶ οὕτως γέγονεν ἕνωσις, νοείσθω καὶ ἀρχὴν ἔχειν, κατὰ τὴν τοῦ σώματος φύσιν. εἰ δὲ ὁ Θεὸς Λόγος θεοπρεπῶς ἐνήργησε κατὰ τὸ εὐαγγέλιον, φανερὸν ὅτι πρὸς ἐκείνην τὴν φύσιν τὸ ἅγιον σῶμα ηὐγένισται, ὅτι "ἐν αὐτῷ εὐδό-"κησε κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς." εἰ οὖν πᾶν τὸ πλήρωμα δηλονότι οὐδὲν ὑπολέλειπται τῆς θεότητος, ὃ οὐκ εἶχε τὸ ἅγιον σῶμα τοῦ Χριστοῦ, εἴτε ἀναρχότητα εἴποις, εἴτε θεότητα, εἴτε ἀθανασίαν, εἴτε παντοκρατορικὴν δύναμιν, εἴτε κράτος, εἴτε σοφίαν, πάντα ἔχει. διὰ τοῦτο φησὶν ὁ Παῦλος, "ὅτι "ἐσμὲν ἐν αὐτῷ πεπληρωμένοι. αὐτὸς γάρ ἐστι τὸ πλήρωμα τοῦ τὰ "πάντα ἐν πᾶσι πληρουμένου." οὕτω δὴ νοεῖται Χριστὸς, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων.

Πάλιν λέγουσιν, εἰ ἄνθρωπος ἐστὶν ὁ Μελχισεδὲκ, πῶς μένει ἱερεὺς εἰς τὸ διηνεκές; τοῦτο δὲ ἡμεῖς κατὰ δύο τρόπους φαμὲν νοῆσαι, οὐ μόνον περὶ ἐκείνου, ἀλλὰ καὶ περὶ πάντων τῶν ἁγίων. πρῶτον μὲν ὅτι ἐμφέρεται ἐν τῇ γραφῇ εἰς τὸ διηνεκὲς, καὶ ὅτι μένουσι παρὰ τῷ Θεῷ διηνεκῶς. Ἡσαΐας ὁ προφήτης μένει προφήτης εἰς τὸ διηνεκὲς, καὶ πάντες μένουσι, παρά τε τῇ θείᾳ γραφῇ καὶ παρὰ τῷ Θεῷ. ὁμοίως καὶ οἱ Ἀπόστολοι μένουσιν εἰς

τὸ διηνεκές· εἰ δὲ μὴ, ποίᾳ ἐλπίδι ὑπὲρ Χριστοῦ καθημέρον ἀπέθνησκον; καὶ πάντες δὲ οἱ ἱερατεύσαντες τῷ Χριστῷ μένουσιν εἰς τὸ διηνεκὲς, οὕτως καὶ ὁ ἅγιος Μελχισεδὲκ, ἱερατεύσας τῷ Θεῷ, μένει ἱερεὺς εἰς τὸ διηνεκὲς κατὰ τὸν λόγον τοῦ Κυρίου, λέγοντος "ὅτι πάντες αὐτῷ ζῶσιν." εἰς θεολογίαν δὲ λαμβάνουσι κατὰ τὸν λόγον τοῦτον, τὸν Μελχισεδὲκ, ὡς Θεῷ πρέπειν ἡγούμενοι αὐτῷ τὸ "θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἔδωκεν "Ἀβραὰμ", καὶ τί τοῦτο πρὸς θεότητος ἀξίαν; θέλεις ἰδεῖν μείζονα ταπεινότητα τοῦ Ἀβραὰμ, ὁπηνίκα τὸ σπήλαιον ἔλαβε πρὸς ταφὴν Σάῤῥας, τοῖς ἀποδομένοις προσεκύνησας; παρὰ τοῦτο οὖν κακείνους θεοποιήσωμεν; μὴ γένοιτο. εἶδες πόσον ἔχονται ἀφροσύνης, ὅτι ἐν πηλικότητι τὸν Θεὸν Λόγον ὁρίζουσι, καὶ οἵα βραχύτητι. οὐ γὰρ εἶπε θεωρεῖτε πηλίκος οὗτος ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, καὶ πρὸς τὰς ἑκουσίως αὐτῶν κινήσεις. τὸ δὲ ἀπαντᾶν ἀπονείμας, οὐ προσφάτως ἀλλ' ἰδίῳ καιρῷ πρὸς φῶς ἀνακύπτειν ὁρισάμενος. οὐδὲ εἶπεν ὁ σταθμίσας ὑετῶν καὶ χιόνων ἐπιφορὰς, κρυμούς τε χειμερινοὺς, καὶ θερινοῦ καύσωνος βολὰς, ἵνα μὴ τὸν κόσμον ἀπολέσῃ, οὐδὲ εἶπεν ὁ ἐν οἰκτιρμοῖς δικαιοσύνης ἀποσώζων, καὶ ἁμαρτωλοὺς ἀνυποκρίτως ἐλεῆσαι δυνάμενος, ὁ πανταχοῦ ὢν ἀδιαιρέτως, καὶ ἐν Πατρὶ μένων ἀσυγχύτως, ὁ ἐν ἀσθενείᾳ δήσας τὸν ἰσχυρὸν, καὶ ἐν μωρίᾳ τοῦ φρονίμου ὄφεως τὰ σκεύη ἁρπάσας, ὁ ἐξαγαγὼν ἐκ θανάτου ζωὴν, καὶ τὰ ἄδηλα φανεροποιήσας· οὐδὲν τοιοῦτον εἶπεν ὁ Ἀπόστολος ἐπὶ τοῦ Μελχισεδὲκ, ἀλλὰ "θεωρεῖτε" φησὶ, "πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἐμέρισεν Ἀβραάμ."

Ἆρα εἰ ἦν Θεὸς, ὁ Παῦλος ἐν πηλικότητι τὴν ἀκατάληπτον δύναμιν περιώριζε, καὶ τοῦτο ἐν οὐδενὶ θαυμαστῷ, ἀλλ' ἐν ταῖς δεκάταις τοῦ Ἀβραὰμ, ἃς καὶ οἱ κατὰ νόμον ἱερεῖς λαμβάνουσιν. ὅταν οὖν ἀναγινώσκων εὕρῃς τί περὶ τοῦ Μελχισεδὲκ γεγραμμένον, μνήσθητι τοῦ εἰρημένου ὑπὸ τοῦ Ἀποστόλου, ὅτι ἐφ' ὃν λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκε, καὶ οὐδέποτε πλανηθήσῃ. πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος. ἀκολούθησον τῇ πίστει Παύλου, καὶ μὴ τὰ προφητικῶς χρηματισθέντα πρόσνεμε τῷ χρηματίσαντι. μήδ' αὖ πάλιν τὰ τυπικῶς γεγενημένα αὐτοῖς ἀπόνεμε τοῖς τύποις. ποίας φυλῆς μετέσχηκεν ὁ Μελχισεδὲκ ὅτι

αὐτῷ ἁρμόζειν λογίζῃ τὰ εἰρημένα ἢ γεγενημένα; οὕτω δὲ πλανώμενος, πάντως ἂν καὶ τὸν ἀμνὸν τὸν σφαγιασθέντα τυπικῶς, Θεὸν ἡγήσῃ, λέγων, εἰ μὴ ἦν Θεὸς, πῶς τὸν ὀλοθρευτὴν Ἄγγελον ἀπήλαυνε τὸ αἷμα αὐτοῦ; τάχα δὲ καὶ τὸν χαλκοῦν ὄφιν θεοποιήσεις, ὅτι τοὺς δηχθέντας ὑπὸ τῶν ὄφεων ἐθεράπευεν. ἡμεῖς τὸ τοῦ Ἀποστόλου ἐροῦμεν, ἐφ' ὃν ταῦτα λέγεται φυλῆς ἑτέρας μετέσχηκεν. ἕκαστον γὰρ αὐτῶν οὐ δι' ἑαυτὸν ἐποίει τὴν δύναμιν, ἀλλὰ τὸν δι' αὐτοῖς ἑρμηνευόμενον Ἰησοῦν Χριστόν. οὕτω καὶ ὁ Μελχισεδὲκ κἂν ἐχρημάτισε βασιλεὺς δικαιοσύνης, κἂν βασιλεὺς εἰρήνης, οὐ φύσει ἦν, ἀλλ' ἑρμηνευόμενος κατὰ τὴν γραφήν.

Ἤθελον κἀγὼ πυθέσθαι τῶν φρεναπατῶν, τίνος ἕνεκα οἱ προφῆται ἢ οἱ Ἀπόστολοι Θεὸν αὐτὸν εἶναι οὐκ ἐκήρυξαν. εἰ μὲν γὰρ φόνῳ ἢ φόβῳ ἐφέροντο, οὐκ ἂν τὸν ἐκ Μαρίας ἀφθόνως καὶ ἀφόβως ἐφανέρωσαν. εἰ δὲ ἠγνόησαν, ἐκεῖνοι μὲν παρ' ὑμᾶς νήπιοι, ὑμεῖς δὲ παρ' ἐκείνοις τελειότεροι, καθότι τὰ ἐκείνους λαθόντα ὑμῖν ἀπεκαλύφθη. ἀλλὰ τί φασιν οἱ λοιμοί; μὴ θαυμάσῃς εἰ ἠγνόησαν οἱ Ἀπόστολοι τὸ μυστήριον τοῦτο, ὅπου γε καὶ τῷ Παύλῳ δυσεύρετον κατεφάνη, λέγοντι, "περὶ οὗ πολὺς ἡμῖν ὁ "λόγος, καὶ δυσερμήνευτος λέγειν." ὢ τῆς ἀλαζονείας, δοκοῦντες εἶναι τοῦ Ἀποστόλου σοφώτεροι, οὔτε νοοῦσιν ἃ λέγουσιν, οὔτε περὶ τίνων διαβεβαιοῦνται. εἰ γὰρ ὅλως πιστεύουσιν, ὅτι πολὺς ὁ περὶ τοῦ Μελχισεδὲκ λόγος καὶ δυσερμήνευτος, εἰπάτωσαν ἐν ποίῳ μέρει ἐστὶ δυσερμήνευτος. πότερον, τῷ ἡμετέρῳ ἢ τῷ ἐκείνων. ἡμεῖς γὰρ λέγομεν ὅτι ἑρμηνεύεται ὁ Μελχισεδὲκ εἰς τὸν Κύριον, καὶ πολὺς ἡμῖν ἐστιν ὁ λόγος καὶ δυσερμήνευτος. ἐκεῖνοι δὲ φασὶν, ὅτι Θεὸς φύσει ἐστίν. εἰ δὲ φύσει Θεός ἐστι, πῶς δυσερμήνευτος; ὁ γὰρ Θεὸς φύσει καθολικῶς πιστεύεται ἀνερμήνευτος, οἱ δὲ τύποι ἑρμηνεύονται. διὰ τοῦτο ἴδωμεν τίνι μαρτυρεῖ ὁ ἅγιος Παῦλος εἰπὼν, "περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμή"νευτος," ἡμῖν ἢ ἐκείνοις; εἰ ἐκείνοις ὡς περὶ Θεοῦ τοῦ Μελχισεδὲκ εἰρηκὼς, ἑρμηνευσάτωσαν τὸν Θεὸν αὐτῶν, ὡς νοήσαντες αὐτὸν φύσει Θεόν. εἰ δὲ μήγε, ἡμεῖς ἐν Κυρίῳ κατὰ δύναμιν τὰ τοῦ Μελχισεδὲκ ὡς τυπικὰ ἑρμηνεύσωμεν, κατὰ τὴν ὑπόθεσιν τοῦ ἁγίου Παύλου, καὶ παυσάσθωσαν βλασφημοῦντες.

Πρῶτον μὲν γὰρ ἡ νῦν Ἱερουσαλὴμ Ἰεβουσῶ ἐκαλεῖτο. ὅθεν

γινώσκομεν ὅτι ἐκ τῶν καθαιρεθέντων ἑπτὰ ἐθνῶν ἦν ὁ Μελχισεδὲκ, Ἰεβουσὼν γὰρ ἐτύγχανεν. ὕστερον δὲ μετὰ τὸ ἐκβληθῆναι τὰ ἔθνη, καὶ κατοικῆσαι τὸν λαὸν, ἀπεκλήρωσεν αὐτὴν ὁ Θεὸς τοῖς ἱερεῦσι τοῦ ἐκεῖ ἀναφέρεσθαι τὰς θυσίας ἐκ παντὸς τόπου τῶν Ἰουδαίων, ὅθεν καὶ μετὰ τὸ καταπαῦσαι ἀπὸ τῶν πολέμων, μετωνόμασαν τὴν πόλιν Σαλὴμ, ὅ ἐστιν εἰρήνη· Ἱερουσαλὴμ δὲ ὅρασις εἰρήνης. τούτου χάριν ὁ Μελχισεδὲκ παρὰ τῷ Παύλῳ καὶ τῇ γραφῇ, βασιλεὺς εἰρήνης ἑρμηνεύεται. ἐν αὐτῇ γὰρ ἐβασίλευσε τὸ πρότερον. ὡς εἴτις εἴποι βασιλεὺς Σέλγης· σέλγη δὲ, ἁγνεία ἑρμηνεύεται. οὐκοῦν εἰκότως ὁ μὲν ἡγούμενος Σέλγης κατὰ τὸ τῆς πόλεως ὄνομα, ἡγούμενος. ἁγνείας ἑρμηνευέται. οὐ φύσει μέν τοι ἁγνείας ἐστὶν ἡγούμενος, ἀλλὰ τῇ καθιερωμένῃ ὀνομασίᾳ. Χριστὸς δέ ἐστι φύσει ἁγνείας ἡγούμενος· ἆρα οὐ νοοῦσιν ὅτι ὁ Μελχισεδὲκ καθ' ἑρμηνείας ὀνομαστικῆς βασιλεὺς εἰρήνης λέγεται. εἰ μὲν γὰρ Ἱερουσαλὴμ αὕτη ἐστὶν ἡ ἐπουράνιος ἔνθα ἐβασίλευσεν, ἤτω καὶ ὁ ἡγούμενος αὐτῆς φύσει βασιλεὺς εἰρήνης. εἰ δὲ αὕτη τύπος ἐστι τῆς ἄνω Ἱερουσαλὴμ, φανερὸν ὅτι καὶ οὗτος τυπικῶς ὠνόμασται βασιλεὺς εἰρήνης, διὰ τὴν ὁμωνυμίαν τῆς πόλεως. τὸ δὲ βασιλεὺς δικαιοσύνης, τοῦ οἰκείου ὀνόματός ἐστιν ἑρμηνεία, τουτέστι Μελχισεδὲκ, γλώσσῃ τῇ Χαναννίτιδι, καθὼς παρὰ τῶν ἐπισταμένων ἐμάθομεν, ὡς ἂν τις εἴποι, Ἀμβρόσιος ὃ ἑρμηνεύεται ἀθάνατος. τί οὖν; ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων Ἀμβρόσιοι ὠνομάσθησαν, παρὰ τοῦτο καὶ φύσει ἀθάνατοί εἰσι κατὰ τὴν ἐπωνυμίαν; οὐ πάντως. πόσοι γὰρ Εὐγένιοι λέγονται, δοῦλοι ὄντες; πόσοι Πολυχρόνιοι; καὶ ἐγένοντο ὀλιγοχρόνιοι, καὶ Ἀθανάσιοι θνητοὶ ὄντες; καὶ Δημοκράται καὶ οὐδενὸς ἐκράτησαν; καὶ εὑρέθησαν οἱ χρηματισμοὶ ἀκατάλληλοι τοῖς πράγμασιν;

Ἐπειδὴ δὲ τὰς ὀνομασίας ἡρμηνεύσαμεν, κατὰ δύναμιν, φέρε ὡς οἷόν τε καὶ τὰ πράγματα πάλιν. ὥσπερ γὰρ ὁ Ἀβραὰμ μετὰ τῶν ἰδίων οἰκογενῶν τριακοσίων δεκαοκτὼ ὁπλισάμενος ἐπὶ τοῦ Μελχισεδὲκ, καὶ τοὺς ἀλλοφύλους ἐτροπώσατο, οὕτως ἐπὶ Χριστοῦ, οἱ ὄντως οἰκογενεῖς αὐτοῦ τριακόσιοι δέκα καὶ ὀκτὼ πατριάρχαι, ἐν τῇ Νικαέων πόλει ἀποστολικῶς ὁπλισάμενοι, τὰς αἱρέσεις ἐτροπώσαντο. εἶδες ἑρμηνείαν προσφυῆ; τότε ὁ Μελχισεδὲκ ἐξήνεγκεν ἄρτους, καὶ οἶνον εἰς ἀνάπαυσιν τοῖς ἐπαναστρέφουσιν

ἀπὸ τοῦ πολέμου, ὁμοίως καὶ ὁ Χριστὸς ὁ μέγας ἀρχιερεὺς τοῖς ἐκ τοῦ νοεροῦ πολέμου πρὸς αὐτὸν ἀναστρέφουσι, δίδωσιν ἄρτον καὶ οἶνον ἡγιασμένον, λέγων, "λάβετε ἐξ αὐτοῦ πάντες." πάλιν δίδωσιν Ἀβραὰμ δεκάτας ἀπὸ τῶν ἀκροθινίων τῷ ἱερεῖ τοῦ Θεοῦ, καὶ οἱ ἐφάμιλλοι τῆς ἐκείνου πίστεως προσφέρουσι τῷ Χριστῷ τὰ ἀκροθίνια. αἱ γὰρ πέντε αἰσθήσεις δισσῶς ἀνατεθεῖσαι αὐτῷ, νοερῶς λέγω καὶ ἰδικῶς δεκάται τινές εἰσι τῶν μορίων τῆς φύσεως ἡμῶν, τῆς ποτε αἰχμαλωτισθείσης ὑπὸ τῶν νοητῶν ἀλλοφύλων, κατὰ τὴν τῶν προειρημένων ἱστορίαν.

Ἆρα διὰ τῶν εἰρημένων ἐνόησας, πῶς πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος· μὴ οὖν τοὺς τύπους λέγε ἀληθεῖς, μηδὲ ἀκούσας ἀπάτορα καὶ ἀμήτορα διὰ τὸ ἀγενεαλόγητον, λογίζου διὰ τοῦτο Υἱὸν Θεοῦ φύσει.

Καὶ τοῦτο δὲ ἀναγκαῖον πυθέσθαι παρ' αὐτῶν. πῶς ὁ Θεὸς Λόγος, μὴ ἔχων σάρκα τότε ἱεράτευσε, καὶ ὑπὲρ τίνος. εἰ ὑπὲρ τοῦ κόσμου λέγεις, καὶ ποῦ ἔστι τοῦ Θεοῦ, χωρὶς γὰρ αἱματεκχυσίας ἤκουσας ὅτι οὐ γίνεται ἄφεσις· τίνες δέ εἰσιν οἱ τῆς ἱερωσύνης κήρυκές τε καὶ μάρτυρες; εἰ δὲ λέγουσιν ὅτι αὐτὸς μέν ἐστι τύπος, τύπος δὲ ἐγένετο τῶν μελλόντων, οὐκοῦν ὁ ἄσαρκος τοῦ σαρκοθησομένου τύπος εὑρίσκετο. μᾶλλον δὲ αὐτὸς ἑαυτῷ τύπος ἐγένετο. ὅπου δὲ αὐτὸς πάρεστιν, οὐ λέγεται τύπος, ἀλλὰ ἀλήθεια. εἰ δὲ τότε ἀλήθεια, ἐπὶ τῆς σαρκώσεως τί ἐροῦμεν; πῶς δὲ ἡ γραφὴ λέγει, ὅτι ἑτέραις γενεαῖς τὸ μυστήριον τοῦτο οὐκ ἐγνωρίσθη, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις Ἀποστόλοις αὐτοῦ καὶ προφήταις; τότε δὲ οὐ προφῆται ἐβόησαν περὶ τούτου, οὐδὲ Ἀπόστολοι, ἀλλὰ τί λέγουσιν; εἰ μὴ ἦν Θεὸς, πῶς ἦν ἱερεὺς πρὸ νόμου; ἡμεῖς δὲ πρὸς αὐτούς. ἱερωσύνη λέγεται, διὰ τὸ θύειν τῷ Θεῷ θυσίαν, ἄνθρωπον ἔνσαρκον, χωρὶς δὲ σαρκὸς ἱερεὺς οὐκ ὀνομάζεται· ὥσπερ οὖν ἔθυσε τῷ Θεῷ Ἄβελ πρὸ νόμου, καὶ διὰ τοῦτο ἀποδέδεικται ἱερεὺς, καὶ Νῶε καὶ Ἰακὼβ, οὕτω καὶ ὁ Μελχισεδὲκ πρὸ νόμου ἦν ἱερεύς. ἀλλὰ φασὶ, τούτους οὐκ εἶπεν ἡ γραφὴ ἱερεῖς. ἡ μὲν θεία γραφὴ οὐ περιττολογεῖ. εἰ δὲ ὅλως ζητεῖτε τὴν διαφορὰν τοῦ πράγματος, ὁ Μελχισεδὲκ οὐκ ἔθυσεν, ἀλλὰ μόνον ὠνομάσθη. βεβαιότεροι οὖν εἰσὶν οὗτοι θύσαντες, ἢ ἐκεῖνος ὁ μόνον ὀνομασθείς· ἐπειδὴ τὸ θύειν, ἱερωσύνης μᾶλλον

ἐστὶν, ἢ τὸ χρηματίζειν. τὴν δὲ τοιαύτην διαφορὰν τῇ ἐκείνων ἀκαιρολογίᾳ παρεθήκαμεν· ἡμεῖς δὲ ἐν Κυρίῳ κἀκεῖνον κακείνους ὁμοίως ἱερεῖς ἔχομεν τοῦ Θεοῦ.

Θαυμάζω δὲ πῶς οὐκ ἤκουσαν τοῦ μακαρίου Πέτρου σαφῶς περὶ αὐτῶν λέγοντος, ὅτι "ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισ-"άξουσιν αἱρέσεις ἀπωλείας." προσφυῶς δὲ εἰρήκει τὸ "παρεισ-"άξουσι." καιροσκοποῦσι γὰρ ὄντως, καὶ καθὼς ἂν εὕρωσι τοὺς παρατυγχάνοντας, κατὰ τὸ αὐτὸ καὶ τὰς ἀποκρίσεις ποιοῦνται. ποτὲ μὲν γὰρ αὐτὸν λέγουσι φανερῶς Θεὸν, πότε δὲ πανούργως ὁμολογοῦσιν ὅτι ἡμεῖς αὐτὸν ἱερέα τοῦ Θεοῦ ὀνομάζομεν, καθὼς καὶ ἡ θεία γραφή. εἰ δὲ ὅλως τῇ θείᾳ γραφῇ πιστεύουσιν, εἰπάτωσαν πάντα τὰ κατὰ τὴν γραφήν. πρῶτον ἡ γραφὴ Θεὸν αὐτὸν οὐ λέγει, μηδὲ ἐκεῖνοι λεγέτωσαν, ὁμολογησάτωσαν δὲ κατ' αὐτὴν ὅτι ἀφωμοιωμένος ἐστὶ τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ οὐ φύσει υἱὸς, καὶ ὅτι ἑρμηνευόμενός ἐστι βασιλεὺς δικαιοσύνης, καὶ οὐ φύσει, καὶ ὅτι ἐφ' ὃν λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκε, καὶ μὴ περικοπὴν ἀμφιρεπῆ ἐκλεγέσθωσαν, ὡς καὶ πείθειν ἀναγκαζόμεθα.

Ἐκεῖνοι δὲ ὅταν ἴδωσι τοὺς ὑπ' αὐτῶν πλανηθέντας, μετανοῆσαι θέλοντας, οἷα σπείραις ταῖς πιθανολογίαις δίκην ὄφεως περιελιττόμενοι, σφίγγουσι τοὺς ἀποδράναι βουλομένους, λέγοντες, εἰ καὶ μὴ ἔστι φύσει Θεὸς ὁ Μελχισεδὲκ, οὐδὲν ἁμαρτάνομεν ἄνθρωπον θεοποιήσαντες. γέγραπται γὰρ, "ἐγὼ εἶπα θεοί ἐστε," καὶ οὐκ εἰδότες ὅτι ἡ τοιαύτη διχόνοια ἀβέβαιον τὴν εἰς Χριστὸν πίστιν αὐτῶν ἀποδείκνυσιν. οὕτω γὰρ τὸν Κύριον πάντες ἄνθρωπον ἡγήσονται, καὶ οὐκέτι ὡς ἔστι Σωτῆρα καὶ Θεὸν καὶ δεσπότην, λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα παρασκευάζουσιν. ἀνάγκη οὖν καὶ ἡμεῖς ἐντολὴν ἔχοντες τὸ "γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις," μιμήσασθαι τὴν ἐκείνων πανουργίαν, καὶ τοῖς ἀγχιστρόφοις νοήμασιν ἐκλύειν αὐτῶν τὰς τοιαύτας περιελίξεις, ὅμοια λέγοντας· ὅτι κἂν ᾖ Θεὸς ὁ Μελχισεδὲκ, οὐδὲν ἁμαρτήσομεν ἐν τούτῳ, ἄνθρωπον αὐτὸν ἔχοντες καὶ ὀνομάζοντες. γέγραπται γὰρ, "ὅτι οὐκ "ἔστιν ἕτερον ὄνομα ὑπὸ τὸν οὐρανὸν ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, ἀλλ' ἢ "Κύριος Ἰησοῦς," τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου. ἀκουσέτωσαν τοῦ Ἀποστόλου παραγγέλλοντος, μὴ δεῖν τοῦ εὐαγγελίου δευτεροκήρυκας παραδέχεσθαι, ἐν οἷς γράφει, "εἰ ἔστιν

“ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε.” εἰ οὖν οὕτω τὰ τοῦ εὐαγγελίου σφραγίζει, τί πείσονται λοιπὸν οἱ τὰς αἱρέσεις παρεισάγοντες; οἱ αἱρετισάμενοι ὅσα μηδεὶς τῶν ἁγίων ὡμολόγησεν; εἰ δὲ ἐκτὸς τῆς τοιαύτης ὁμολογίας, τοῦ νομίζειν φημὶ Θεὸν τὸν Μελχισεδὲκ, ἑαυτοὺς λογίσονται, μὴ δύνασθαι σωθῆναι, δηλονότι πάντας τοὺς ἁγίους ὡς μὴ σωθέντας ἔχουσι παρ' ἑαυτοῖς βλέπειν, πόσαις βλασφημίαις περιπέπτωκας διὰ τὴν τοιαύτην σου κακοπιστίαν, μᾶλλον δὲ παντελῆ ἀπιστίαν; τὸ δὲ πῶς, μάθε. σημεῖα Μελχισεδὲκ οὐκ ἐποίησεν, ἐντολὰς οὐκ ἔθετο, ἀπειλὰς οὐχ ὡρίσατο, ὑπὲρ ἡμῶν οὐκ ἀπέθανε, Πνεύματος Ἁγίου μετοχὴν οὐκ ἐδωρήσατο. ἀγνοῶ λοιπὸν τίνα τῆς πρὸς ἐκεῖνον πίστεως ἐχέγγυον ἔχεις πληροφορίαν. εἰ δὲ λέγεις ὅτι ταῦτα πάντα σαρκωθεὶς παρέσχεν ἡμῖν, πλέον ἑαυτὸν ὑπόδικον τῆς κακοπιστίας ἐλέγχεις. ἐν οἷς γὰρ ἡμῖν ἑαυτὸν διὰ τῶν ῥημάτων καὶ πραγμάτων ἐφανέρωσεν ὁ Κύριος, ἐν τούτοις καὶ πιστεύειν ἐνετείλατο. οὐκοῦν ὅσοι Θεὸν τὸν Μελχισεδὲκ, ἢ φύσει Υἱὸν Θεοῦ, φανερῶς Ἰουδαΐζουσι. διότι Ἰησοῦς Χριστὸς ὁ ἐκ Μαρίας γεννηθεὶς, αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ οὐδὲν αὐτῷ λείπει ἵνα πάλιν ἀλλαχοῦ ζητήτωμεν τὸ πλήρωμα. ἐπεὶ τοίνυν ἀνεκαθήραμεν τὸ ἀποστολικὸν τοῦτο χωρίον, τὰ τῆς αἱρέσεως ἐκτεμόντες ζιζάνια, φέρε πάλιν αὐτὰ τὰ ῥητὰ, εἰς μέσον θέντες θεωρήσωμεν.

Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ ἱερεὺς
τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑπο-
στρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλείων, καὶ εὐλογή-
2 σας αὐτόν, ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν
Ἀβραάμ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΚΑΤΑ Ϊ * * *[h] Ἐνταῦθα βούλεται δεῖξαι ὅτι τῆς κατὰ τὸν Ἀαρὼν ἱερωσύνης ὁ τρόπος οὐκέτι φαίνεται, οὐδὲ ἐπανήξει λοιπόν. καὶ ῥητῶς τοῦτο ἀπὸ τῶν γραφῶν ποιεῖ φανερόν· καὶ τὸ δὴ θαυμαστὸν ὅτι ἐν τῷ τύπῳ δείκνυσι πολλὴν οὖσαν τὴν διαφοράν. ἀπὸ γὰρ τοῦ τύπου ἀεὶ πιστοῦται τὴν ἀλήθειαν, ἀπὸ τῶν παρελθόντων, διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν.

[h] i. e. κατὰ Ἰουδαίων.

Θεοδωρήτου. Ἀφηγηματικῶς μὲν οὖν δοκεῖ ποιεῖσθαι τοὺς λόγους ἐνταῦθα, προκατασκευάζει δὲ τὸ προκείμενον, τουτέστιν τῆς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερωσύνης τὸ βέβαιον. τούτου γὰρ δὴ χάριν καὶ τὸν Ἀβραὰμ δείκνυσιν εὐλογούμενον, καὶ τῶν λαφύρων τὴν δεκάτην προσφέρονται, ἵνα δείξῃ καὶ τῷ τύπῳ τὸν πατριάρχην παραχωροῦντα.

Χρυσοστόμου. Πλὴν ἀναγκαῖον ὀλίγα πρότερον προειπεῖν, ὥστε σαφεστέραν γενέσθαι τῶν λεγομένων τὴν ἑρμηνείαν. Ἀβραὰμ ἐπανελθὼν ἀπὸ τῆς Περσίδος ἐγέννησε τὸν Ἰσαάκ, εἶτα ἐκεῖνος τὸν Ἰακὼβ, ὁ Ἰακὼβ δώδεκα παῖδας, ἐξ ὧν ἐγένοντο δώδεκα φυλαὶ, μᾶλλον δὲ δέκα καὶ τρεῖς. ἀντὶ γὰρ τοῦ Ἰωσὴφ οἱ παῖδες αὐτοῦ Ἐφραὶμ καὶ Μανασσῆς ἐγένοντο φύλαρχοι. καὶ καθάπερ ἑκάστῳ τῷ υἱῷ Ἰακὼβ ἐπώνυμος ἦν ἡ φυλὴ, τοῦ Ῥοβιὴμ, τοῦ Συμεὼν, τοῦ Λευὶ, τοῦ Ἰούδα, τοῦ Ἰσάχαρ, τοῦ Ζαβουλὼν, τοῦ Νεφθαλεὶμ, τοῦ Δὰν, τοῦ Γὰδ, τοῦ Ἀσὴρ, τοῦ Βενιαμὴν, οὕτως ἂν τοῦ Ἰωσὴφ οἱ παῖδες οἱ ἐκείνου Μανασσῆς καὶ Ἐφραὶμ, δύο φυλῶν γεγόνασιν ἐπώνυμοι καὶ ἐκαλοῦντο φυλαὶ, ἡ μὲν, τοῦ Ἐφραὶμ, ἡ δὲ τοῦ Μανασσῆ. τῶν δεκατριῶν δὲ τούτων φυλῶν αἱ μὲν ἄλλαι πᾶσαι ἀγροὺς ἔσχον καὶ προσόδους πολλὰς, καὶ ἐγεώργουν πᾶσαι, καὶ τὰ ἄλλα πάντα ἔπραττον τὰ βιωτικά· ἡ δὲ τοῦ Λευὶ φυλὴ ἱερωσύνῃ τιμηθεῖσα μόνῃ, τῶν μὲν βιωτικῶν ἀπήλλακτο, καὶ οὔτε ἐγεώργουν, οὔτε τέχνας μετίεσαν, οὔτε ἄλλο τί τοιοῦτον ἐπραγματεύοντο, ἀλλὰ τῇ ἱερωσύνῃ προσεῖχον μόνῃ, καὶ δεκάτας ἐλάμβανον παρὰ παντὸς τοῦ λαοῦ, οἴνου καὶ πυρῶν καὶ κριθῶν καὶ οἷα ἐδίδοσαν ἅπαντες. καὶ τοῦτο ἦν αὐτοῖς πρόσοδος, καὶ οὐκ ἐξῆν ἐξ οὐδεμιᾶς ἄλλης φυλῆς ἱερέα γενέσθαι ποτέ. ἀπὸ ταύτης ἐγένετο τῆς φυλῆς Ἀαρὼν, τῆς τοῦ Λευὶ λέγω· καὶ κατὰ διαδοχὴν οἱ ἔγγονοι ἐκείνου, τὴν ἱερωσύνην ἐδέχοντο, καὶ οὐδεὶς οὐδέποτε ἑτέρας φυλῆς ἐγένετο ἱερεύς. οὕτως οὖν οἱ Λευῖται δεκάτας ἐλάμβανον παρὰ τῶν ἄλλων φυλῶν, καὶ οὕτως ἐτρέφοντο· ἀλλὰ πρὸ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακὼβ ἐπὶ τοῦ Ἀβραὰμ, οὔπω γενομένου Μωσέως, οὐδὲ νόμου γραφέντος, οὐδὲ τῆς ἱερωσύνης τῆς Λευιτικῆς δήλης οὔσης, οὐ σκηνῆς, οὐ ναοῦ γενομένου, οὐ τῶν φυλῶν διακεκριμένων, οὐ τῆς Ἱερουσαλὴμ φαινομένης, οὐδενὸς ὅλως οὐδέπω τῶν κατὰ Ἰουδαίους πραγμάτων

ἀρχὴν λαβόντος, ἐγένετο Μελχισεδὲκ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ἴσως αὐτοχειροτόνητος ὤν.

Ἑξαημέρου. *Οὕτως γὰρ ἦσαν τότε οἱ ἱερεῖς, ἤτοι οὖν διὰ τὸ τῇ ἡλικίᾳ προβῆναι οἱ προσήκοντες αὐτῷ ἀπονεμήκασι τὴν τιμήν. ἢ καὶ αὐτὸς ἱερατεύειν ἐπετήδευσε, καθάπερ Ἄβελ, καθάπερ Νῶε, καθάπερ Ἀβραὰμ, καθάπερ τὰς θυσίας προσῆγον.*

Κατὰ Ἰουδαίων. *Οὗτος ὁ Μελχισεδὲκ ὁμοῦ καὶ βασιλεὺς καὶ ἱερεὺς ἦν· τύπος γὰρ ἔμελλε γενέσθαι τοῦ Χριστοῦ καὶ μέμνηται αὐτοῦ σαφῶς ἡ γραφή. ἐπειδὴ γὰρ Ἀβραὰμ τοῖς Πέρσαις ἐπιπεσὼν, καὶ τὸν ἀδελφιδοῦν τὸν ἑαυτοῦ τὸν Λὼτ ἐξαρπάσας τῶν ἐκείνων χειρῶν, καὶ τὰ λάφυρα πάντα λαβὼν, ἐπανήει νικήσας κατὰ κράτος ἐκείνους, οὕτω περὶ τοῦ Μελχισεδὲκ φησὶν ἡ γραφὴ, " καὶ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον. " ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, καὶ εὐλόγησε τὸν Ἀβραὰμ " καὶ εἶπεν, εὐλογημένος Ἄβραμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν " οὐρανὸν καὶ τὴν γῆν. καὶ εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέ-" δωκε τοὺς ἐχθρούς σου ὑπὸ χειρός σου. καὶ ἔδωκεν αὐτῷ δεκάτην " ἀπὸ πάντων Ἄβραμ."*

Ἑξαημέρου. *Ἀλλὰ τίς καὶ αὕτη ἡ ἱστορία. οἱ τέσσαρες βασιλεῖς Περσῶν, Ἀμαρφὰθ, Ἀριὼθ, Χολοδογομὸρ, καὶ Θαρθὰμ, ἐπεστράτευσαν τοῖς πέντε βασιλεῦσι Σοδόμων, οἳ δώδεκα ἔτη ἐδούλευον τῷ Χοδολογομὸρ, τῷ δὲ τρισκαιδεκάτῳ ἀπέστησαν, καὶ διὰ τοῦτο Χοδολογομὸρ ἦλθε, καὶ οἱ μετ' αὐτοῦ βασιλεῖς, καὶ κατέκοψαν τοὺς γίγαντας τοὺς ἐν Ἀσταρὼθ, τουτέστι τοὺς ἰσχυροὺς, κατὰ τὴν τοῦ σώματος ἕξιν, καὶ ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς καὶ τοὺς ἄρχοντας τῶν Ἀμαληκιτῶν ἐτροπώσαντο. ἐπὶ τούτους ἐξῆλθον οἱ πέντε βασιλεῖς παρατάξασθαι. καταπλαγέντες δὲ αὐτῶν τὴν ἀνδρείαν, εἰς φυγὴν ἐτράπησαν. οἱ δὲ Πέρσαι πάντα τὰ αὐτῶν λαβόντες, καὶ τὴν ἵππον καὶ τὰ βρώματα, καὶ τὸν Λὼτ, καὶ τὴν ἀποσκευὴν αὐτοῦ, ᾤχοντο. παραγενόμενος δέ τις τῶν ἀνασωθέντων, ἀνήγγειλεν Ἄβραμ τῷ περάτῃ, τουτέστι τῷ ἀπὸ τῆς Χαλδαίας ἐπανελθόντι, τοῦ ἀδελφιδοῦ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἐν Σοδόμοις πόρθησιν, καὶ τὴν μετ' αἰσχύνης φυγήν.*

Ὁ δὲ ἀναβάζεται τοῖς Πέρσαις ἐπιστρατεύειν, οὐ παρὰ τὴν ἀρχὴν αὐτὴν ἀκεραίων ἑκατέρων ἔτι μενόντων τῶν μερῶν, ἀλλὰ

προτροπωθέντων ἁπάντων ὡς εἴπομεν, καὶ τῆς νίκης παρὰ τοῖς πολεμίοις οὔσης, καὶ οὐδενὸς αὐτοὺς ἔτι ἐνεγκεῖν δυναμένου· τῶν μὲν ἄρδην κατακοπέντων, τῶν δὲ κρατουμένων, τῶν δὲ δουλευόντων παρ' αὐτοῖς· ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων οἴκαδε μένειν ἔπεισεν, ἀλλ' ὑπὸ τῆς σφοδρᾶς ἀθυμίας τῶν γενομένων πληγεὶς ἀπῄει κοινωνήσων ἐκείνοις τῶν κακῶν, καὶ εἰς προῦπτον ῥίψων θάνατον ἑαυτόν. τὸ γὰρ μετὰ τριακοσίων δέκα καὶ ὀκτὼ πρὸς τοσαύτην παρατάττεσθαι στρατιὰν, οὐδὲν ἕτερον ἢ ταῦτα λογιζομένου ἦν, καὶ πρὸς αἰχμαλωσίαν καὶ πρὸς τιμωρίαν καὶ πρὸς μυρίους παρεσκευασμένους θανάτους. ἀπῆλθε μὲν οὖν ὡς καὶ αὐτὸς τῆς βαρβαρικῆς ἀπολαύσων ὠμότητος, τῇ δὲ τοῦ Θεοῦ φιλανθρωπίᾳ διασωθεὶς, ἐπανῆλθε μετὰ τῆς αἰχμαλωσίας καὶ τοῦ συγγενοῦς, οὐχ ἁπλῶς γεμὴν ἅπαντας ἔλαβεν, ἀλλὰ τοὺς οἰκογενεῖς τοὺς συνανατραφέντας τῷ Λὼτ, ἵνα μετὰ πολλῆς εὐνοίας τὴν ἐκδίκησιν ποιήσωνται, ὡς ὑπὲρ οἰκείου δεσπότου λοιπὸν ἀγωνιζόμενοι.

Κυρίλλου Γλαφυρῶν. Ἐξοπλίζει μὲν οὖν τοὺς οἰκογενεῖς, καὶ ἑτέρους τινὰς τῶν συνωμοτῶν, Ἐσχὼλ, Ἀννὰν, καὶ Μαμβρῆ. ἀντεξάγει δὲ τοῖς νενικηκόσιν, οὐκ ἀγεννῶς, καὶ τῆς ἐκείνων πλεονεξίας ἀπαλλάττει τὸν ἀδελφόπαιδα, καὶ σὺν αὐτῷ πλείστην ὅσην ἀνασώζει πληθὺν συνηδικημένων καὶ κινδυνευσάσαν· ὑπονοστοῦντι δὲ οἴκοι, καὶ τῆς κατ' ἐχθρῶν εὐανδρίας λαμπρὰ φέροντι τὰ γνωρίσματα, προσυπήντων ἀναγκαίως οἱ διὰ τῶν αὐτοῦ πόνων ὠφελημένοι. γέγραπται γὰρ οὕτως, "ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἐκ τῆς κοπῆς τοῦ Χοδολογομὸρ, καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ, εἰς τὴν κοιλάδα τὴν Σαυῆ, προσεπάγει δὲ, ὅτι καὶ "Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν "ἄρτους καὶ οἶνον, ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, καὶ εὐλό- "γησε τὸν Ἀβραάμ."

Χρυσοστόμου Ἑξαημέρου. Καὶ ὅρα πῶς διὰ τῆς εἰς τὸν πατριάρχην τιμῆς μυστήριόν τι αἰνίττεται· ἐξήνεγκε γὰρ ἄρτους καὶ οἶνον. σὺ δὲ ὁρῶν τοὺς τύπους, νόει μοι τὴν ἀλήθειαν, καὶ θαύμαζε τῆς θείας γραφῆς τὴν δύναμιν, πῶς ἄνωθεν καὶ ἐκ προοιμίων τὰ μέλλοντα ἔσεσθαι προεμήνυεν. οὐ μόνον δὲ τὸν δίκαιον ἀνακηρύττει ὁ Μελχισεδὲκ, ἀλλὰ καὶ τὸν Θεὸν δοξάζει, καὶ τὴν συμμαχίαν αὐτοῦ ἐπιγινώσκει λέγων, "εὐλογητὸς ὁ Θεὸς ὃς

“παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σου, καὶ ἔδωκεν αὐτῷ “δεκάτην ἀπὸ πάντων,” δηλονότι ἐκ τῶν λαφύρων ὧν ἐπήγετο ἠμείψατο τὸν Μελχισεδὲκ, καὶ δεκάτην αὐτῷ ἀφώρισεν· ἐντεῦθεν ἤδη διδάσκαλος ἅπασι γινόμενος πολλὴν ἐπιδείκνυσθαι εὐγνωμοσύνην, καὶ τὰς ἀπαρχὰς προσάγειν τῶν παρὰ τοῦ Θεοῦ ἡμῖν παρασχεθέντων.

Φίλωνος. Τὰ γὰρ τοῦ πολέμου ἀριστεῖα δίδωσι τῷ ἱερεῖ καὶ τὰς τῆς νίκης ἀπαρχάς. ἱεροπρεπεστάτη δὲ καὶ ἁγιωτάτη πασῶν ἀπαρχῶν ἡ δεκάτη, διὰ τὸ παντέλειον εἶναι τὸν ἀριθμὸν, ἀφ᾽ οὗ καὶ τοῖς ἱερεῦσι καὶ νεωκόροις αἱ δεκάται προστάξει νόμου καρπῶν καὶ θρεμμάτων ἀποδίδονται, ἄρξαντος τῆς ἀπαρχῆς Ἀβραὰμ, ὃς καὶ τοῦ γένους ἀρχηγέτης ἐστίν.

Κυρίλλου. Ἀναγκαῖον οὖν καὶ ἡμᾶς μιμουμένους τὸν Ἀβραὰμ δεκάτην προσφέρειν τῷ Κυρίῳ. αὕτη δ᾽ ἂν εἴη τῶν δέκα ἐντολῶν ἡ ὑπερέχουσα, ἐφ᾽ ἧς ὁ νόμος κρέμαται καὶ οἱ προφῆται, τουτέστι τὸ ἀγαπῆσαι τὸν Θεὸν ἐξ ὅλης ψυχῆς καὶ δυνάμεως. πλήρωμα γὰρ νόμου τὴν ἀγάπην καὶ Παῦλος ὁρίζεται.

ᾱ μ Δύναται δέ τις καὶ Μελχισεδὲκ γενέσθαι· εἰ γάρ τις νεκρώσει τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ τὸ τῆς σαρκὸς κατασβέσει φρόνημα, καὶ ταύτης τὴν σχέσιν ὁλοσχερῶς ἀποσείσεται, δι᾽ ἧς ἡ μόνῳ τῷ Θεῷ χρεωστουμένη χάρις, καθὼς καὶ σὺν οὐδενὶ τῷ λόγῳ καταμερίζεται, καὶ εἴ τις πάντα τὰ γνωρίσματα τοῦ κόσμου καὶ τῆς σαρκὸς χάριν τοῦ θείου λόγου καλῶς ἀπαρνήσεται, οὕτως ἀπάτωρ καὶ ἀμήτωρ γέγονε, καὶ ἀγενεαλόγητος, τῇ πρὸς τὸ Πνεῦμα τοῦ Θεοῦ ξένῃ καὶ ἀρρήτῳ συναφείᾳ, ἔξω σαρκὸς καὶ κόσμου τῶν προπύλων γενόμενος. εἰ δὲ καὶ ἑαυτὸν πρὸς τούτοις ἀρνήσεται, καὶ ἀπολέσει τὴν ψυχὴν, τουτέστι τὴν κάτω ζωὴν μετὰ τῶν αὐτῆς ἐκτόπων θελημάτων, ἄναρχος ἔσται καὶ ἀτελεύτητος, οὐκέτι φέρων ἐν ἑαυτῷ τὴν κινουμένην ζωὴν, τὴν ἔχουσαν ἐν ἑαυτῇ ἀρχὴν ὁμοῦ καὶ τέλος. χρόνου δὲ ἀνώτερος ἔσται, ὁ πρὸ θανάτου θνήσκων, καὶ μηδὲ τὰς χρονικὰς ἡμέρας ἡγούμενος. εἰ δὲ καὶ ἐπαγρυπνήσει τῷ δώρῳ μέχρι τέλους μένων, ἔσται διηνεκῶς ἐν τῇ ἱερωσύνῃ, μὴ κωλυόμενος ἐν οὐδενὶ θανάτῳ κακίας ἢ φύσεως, καθάπερ Ἰουδαῖοι προσομιλεῖν τῷ καθαρῷ καθαρῶς.

Χρυσοστόμου κατὰ Ἰουδαίων. Ἀλλ᾽ ὅπερ ἀποδεῖξαι ἐπαγ-

γειλάμεθα, ὅτι οὐκέτι ὁ τρόπος ἐκεῖνος τῆς Ἰουδαϊκῆς ἱερωσύνης ἐπανελεύσεται, τοῦτο χρὴ παραστῆσαι. ἂν τοίνυν φανῇ τίς τῶν προφητῶν λέγων ὅτι μετὰ τὸν Ἀαρὼν καὶ τὴν ἱερωσύνην ἐκείνην καὶ τὰς θυσίας ταύτας καὶ τὰς προσφορὰς ἀναστήσεται ἱερεὺς ἕτερος, οὐκ ἀπὸ τῆς φυλῆς ἐκείνης, ἀλλ᾽ ἐξ ἑτέρας φυλῆς, ἀφ᾽ ἧς οὐδέποτε γέγονεν ἱερεὺς, οὐ κατὰ τὴν τάξιν Ἀαρὼν ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδὲκ, εὔδηλον ὅτι ἡ μὲν παλαιὰ πέπαυται ἱερωσύνη, ἑτέρα δὲ νέα ἀντεισενήνεκται. εἰ γὰρ ἔμελλεν ἡ παλαιὰ κρατεῖν, οὐ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀλλὰ κατὰ τὴν τάξιν Ἀαρὼν ἔδει λέγεσθαι.

Τίς οὖν τοῦτο φησίν; ὁ Δαβίδ· καὶ ποῦ τοῦτο φησίν; "εἶπεν "ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου." εἶτα, ἵνα μὴ περί τίνος τῶν πολλῶν ἀνθρώπων τοῦτο ὑποπτεύσει τίς λέγεσθαι, οὔ φησιν αὐτὸ Ἡσαΐας, οὐδὲ Ἱερεμίας, οὐδὲ ἄλλός τις προφήτης, ἰδιώτης γενόμενος, ἀλλ᾽ αὐτὸς ὁ βασιλεύς. ἵνα μάθῃς ὅτι βασιλεὺς κύριον ἑαυτοῦ τινὰ καλέσαι οὐ δύναται, ἀλλ᾽ ἢ τὸν Θεὸν μόνον. εἰ μὲν γὰρ ἰδιώτης ἦν, ἴσως ἄν τις εἶπε τῶν ἀναισχυντούντων, περὶ ἀνθρώπου λέγεσθαι. νυνὶ δὲ βασιλεὺς ὢν, ἄνθρωπον ἑαυτοῦ κύριον οὐκ ἂν ἐκάλεσε. πῶς δ᾽ ἂν, εἴπερ τινος τῶν πολλῶν ἀνθρώπων ταῦτα ἔλεγεν ὁ Δαβὶδ, εἶπεν ἂν ὅτι ἐκ δεξιῶν ἐκάθισε τῆς μεγάλης δόξης ἐκείνης; τοῦτο γὰρ ἀμήχανον. περὶ δὲ τούτου φησὶν, "εἶπεν ὁ Κύριος τῷ "Κυρίῳ μου κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑπο"πόδιον τῶν ποδῶν σου." εἶτα ἵνα μὴ νομίσῃς αὐτὸν ἀσθενῆ εἶναι καὶ ἀδυνατοῦντα, ἐπήγαγε, "μετὰ σοῦ ἡ ἀρχὴ, ἐν ἡμέρᾳ τῆς δυνά"μεώς σου," καὶ σαφέστερον δηλῶν ἔλεγεν, "ἐκ γαστρὸς πρὸ "ἑωσφόρου ἐγέννησά σε." πρὸ ἑωσφόρου οὐδεὶς ἀνθρώπων γεγέννηται. "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ." οὐκ εἶπε κατὰ τὴν τάξιν Ἀαρών. ἐρώτησον τοίνυν τὸν Ἰούδα. εἰ μὴ ἔμελλεν ἡ ἱερωσύνη καταλύεσθαι ἡ παλαιὰ, τίνος ἕνεκεν ἕτερον εἰσήγαγεν ἱερέα κατὰ τὴν τάξιν Μελχισεδέκ; εἰς τοῦτο γοῦν τὸ χωρίον ἐλθὼν ὁ Παῦλος, ὅρα πῶς σαφέστερον αὐτὸ ἐποίησεν· εἰπὼν γὰρ περὶ τοῦ Χριστοῦ, ὅτι καθὼς ἐν ἑτέρῳ λέγει, "σὺ ἱερεὺς εἰς "τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ," ἐπήγαγε, "περὶ οὗ "πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος," εἶτα ἐπιτιμήσας αὐτοῖς πρὸς οὓς καὶ ἀπέστελλε δεῖ γὰρ ἐπιτέμνειν, λέγει τίς ἐστιν ὁ

Μελχισεδὲκ, καὶ ἐπάγει τὴν ἱστορίαν, καὶ θεὶς τὴν διήγησιν πᾶσαν, ἐν συντόμῳ μυστικῶς αὐτὴν ἐθεώρησε, καὶ πρῶτον ἀπὸ τοῦ ὀνόματος λέγων,

Πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ, ὅ ἐστι βασιλεὺς εἰρήνης.

Χρυσοστόμου. Σεδὲκ γὰρ δικαιοσύνη λέγεται, μελχὶ δὲ βασιλεὺς, τὸ δὲ ὅλον Μελχισεδὲκ, βασιλεὺς δικαιοσύνης. ὁρᾷς καὶ ἐν τοῖς ὀνόμασι τὴν ἀκρίβειαν; τίς δέ ἐστι βασιλεὺς δικαιοσύνης, ἀλλ' ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός; ὥσπερ κατὰ τὴν Ἑβραΐδα διάλεκτον, τὸ μελχὶ, βασιλεὺς σημαίνει, τὸ δὲ σεδὲκ δικαιοσύνη, οὕτω καὶ τὴν πόλιν ἑρμηνεύων ὁ Παῦλος ἐτυμολογίᾳ τινὶ κέχρηται. τὸ γὰρ σαλὴμ εἰρήνην ἐμφαίνει, ὃ πάλιν ἐστὶ τοῦ Χριστοῦ· αὐτὸς γάρ ἐστι βασιλεὺς εἰρήνης· οὗτος ἡμᾶς δικαίους ἐποίησε, καὶ εἰρηνοποίησε τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς. τίς ἄνθρωπος βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης ἐστίν; οὐδεὶς ἀλλ' ἢ μόνος ὁ Χριστός.

Θεοδωρήτου. Ὁρᾷς πῶς καὶ ἀπὸ τῶν ὀνομάτων τοῦ Μελχισεδὲκ τὸ μέγεθος δείκνυσι, τοῦτο γὰρ τὸ Μελχισεδὲκ ὡς εἴρηται ὄνομα, βασιλεὺς δικαιοσύνης σημαίνει. οὗτος δὲ τῆς Σαλὴμ ἐβασίλευσεν, ἑρμηνεύεται δὲ τὸ Σαλὴμ εἰρήνη. δεῖξαι τοίνυν βούλεται διὰ τούτων, τύπον αὐτὸν ὄνομα τοῦ δεσπότου Χριστοῦ. αὐτὸς γάρ ἐστι κατὰ τὸν Ἀπόστολον ἡ εἰρήνη ἡμῶν, αὐτὸς κέκληται κατὰ τὸν προφήτην δικαιοσύνη ἡμῶν.

Χρυσοστόμου ἐξαημέρου. Εἶτα καὶ ἑτέραν διαφορὰν ἐπάγει, "ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν ἔχων, "μήτε ζωῆς τέλος. ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, μένει "ἱερεὺς εἰς τὸ διηνεκές." καὶ πῶς φησιν οἷόν τε ἄνθρωπον ὄντα ἀπάτορα εἶναι καὶ ἀμήτορα, καὶ μήτε γενεαλογίαν ἔχων, μήτε ζωῆς τέλος; ἤκουσας ὅτι τύπος ἦν, μὴ τοίνυν ξενίζου, μηδὲ πάντα ἀπαίτει ἐν τῷ τύπῳ· οὐδὲ γὰρ ἂν εἴη τύπος, εἰ μέλλοι πάντα ἔχειν τὰ τῇ ἀληθείᾳ συμβαίνοντα. τί οὖν ἐστι τὸ εἰρημένον; ὥσπερ οὗτος φησὶ διὰ τὸ μὴ μνημονευθῆναι τοὺς γεγεννηκότας, ἀπάτωρ λέγεται καὶ ἀμήτωρ καὶ ἀγενεαλόγητος, οὕτω καὶ ὁ Χριστὸς διὰ τὸ μὴ ἐσχηκέναι μήτε ἐν οὐρανῷ μητέρα, μήτε ἐπὶ τῆς γῆς πατέρα, ἀγενεαλόγητος προσηγόρευται.

Χρυσοστόμου. Ἐπειδὴ τοίνυν ἀντέπιπτε τῷ Ἀποστόλῳ, τὸ, "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ," ἐκεῖνος δὲ ἐτεθνήκει, καὶ οὐκ ἐγένετο ἱερεὺς εἰς τὸν αἰῶνα, ὅρα πῶς αὐτὸ τεθεώρηκεν. καὶ τίς τοῦτο εἴποι ἂν περὶ ἀνθρώπου; οὐ τῷ πράγματι φησὶ λέγω, τουτέστιν, οὐκ ἴσμεν τίνα πατέρα ἔσχεν, οὔτε τίνα μητέρα. οὐ πότε ἐδέξατο τὴν ἀρχὴν, οὐ πότε ἐτελεύτησε, καὶ τί τοῦτο φησί; μὴ γὰρ ἐπειδὴ ἡμεῖς οὐκ ἴσμεν, οὐκ ἐτελεύτησεν, οὐδὲ ἔσχεν γονεῖς. καλῶς λέγεις. καὶ ἐτελεύτησε, καὶ ἔσχε γονεῖς. πῶς οὖν ἀπάτωρ, ἀμήτωρ, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων; τῷ μὴ ἐμφέρεσθαι· καὶ τί τοῦτο; ὥσπερ οὗτος ταῦτα λέγεται τῷ μὴ γενεαλογεῖσθαι, οὕτως ὁ Χριστὸς αὐτῇ τῇ φύσει τοῦ πράγματος. ἰδοὺ τὸ ἄναρχον, ἰδοὺ τὸ ἀτελεύτητον. ὥσπερ τούτου οὐκ ἴσμεν οὔτε ἀρχὴν ἡμερῶν οὔτε ζωῆς τέλος διὰ τὸ μὴ γεγράφθαι, οὕτως οὐκ ἴσμεν τοῦ Ἰησοῦ, οὐ διὰ τὸ μὴ γεγράφθαι, ἀλλὰ διὰ τὸ μὴ εἶναι. ἐκεῖνο μὲν γὰρ τύπος, καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ γεγράφθαι, τοῦτο δὲ ἀλήθεια, καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ εἶναι. ὥσπερ γὰρ ἐν τοῖς ὀνόμασιν, ἐνταῦθα μὲν προσηγορίαι ἦσαν, βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια, οὕτω καὶ ἐν τούτοις, ὁρᾷς ἄναρχον τὸν Υἱὸν, οὐ διὰ τὸ μὴ ἔχειν αἴτιον· τοῦτο γὰρ ἀδύνατον· ἔχει γὰρ Πατέρα, ἐπεὶ πῶς Υἱός; ἀλλὰ κατὰ τὸ μὴ ἔχειν ἀρχὴν ζωῆς μήτε τέλος.

Κατὰ Ἰωάννην λόγος δ΄. Εἰ δὲ οὐκ ἔστι συναΐδιος ὁ Λόγος τῷ Πατρὶ, πῶς ἄπειρον αὐτῷ τὴν ζωὴν ἐρεῖς; εἰ γὰρ ἀρχὴν ἄνωθεν ἔχει, κἂν ἀτελεύτητος ᾖ, ἄπειρος ὅμως οὐκ ἔστι. τὸ γὰρ ἄπειρον, ἑκατέρωθεν ἄπειρον εἶναι χρή. ὅπερ οὖν ὁ Παῦλος δηλῶν ἔλεγε, "μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων," τότε ἄναρχον καὶ ἀτελεύτητον δηλῶν, ὥσπερ γὰρ τοῦτο οὐκ ἔχει πέρας, οὕτως οὐδὲ ἐκεῖνο, οὔτε γὰρ ἐνταῦθα τέλος, οὔτε ἐκεῖ ἀρχή.

Χρυσοστόμου. Ἀφωμοιωμένος δέ φησι τῷ Υἱῷ τοῦ Θεοῦ· ποῦ ἡ ὁμοιότης; ὅτι καὶ τούτου κἀκείνου τὸ τέλος ἀγνοοῦμεν καὶ τὴν ἀρχήν· ἀλλὰ τούτου μὲν παρὰ τὸ μὴ γεγράφθαι, ἐκείνου δὲ παρὰ τοῦ μὴ εἶναι· ἐνταῦθα ἡ ὁμοιότης. εἰ δὲ πανταχοῦ ἔμελλεν ἡ ὁμοιότης εἶναι, οὐκ ἔτι τύπος ἦν καὶ ἀλήθεια, ἀλλὰ τύπος ἀμφότερα· ὥσπερ οὖν καὶ ἐν ταῖς εἰκόσιν, ἔστι μέν τοι ὅμοιον, ἔστι δὲ ἀνόμοιον, διὰ μὲν τῶν γεγραμμένων ὁμοιότης ἐστι τῶν χαρακτή-

ρων. τῶν χρωμάτων δὲ ἐπιτεθέντων, τότε φανερῶς δείκνυται ἡ διαφορά. καὶ τό τε μὲν, ὅμοιον· τὸ δὲ ἀνόμοιον.

Θεοδωρίτου. Ἄθρει κἀνταῦθα, τὸν Ἀβραὰμ ἐγενεαλόγησεν ἡ θεία γραφὴ, καὶ ἄλλους δὲ πολλοὺς, καὶ πρὸ ἐκείνου, καὶ μετ' ἐκεῖνον, καὶ τὸν ἐκείνου πατέρα, καὶ τὸν πάππον, καὶ τὸν ἐπίπαππον, καὶ τοὺς ἐκείνου προγόνους· προστέθεικε δὲ, ὅτι τοσῶν δὲ γενόμενος ἐτῶν, γεγέννηκε, καὶ τοσάδε πάλιν ἐπιβιώσας, τετελεύτηκε. τοῦ δὲ Μελχισεδὲκ, οὔτε τὸν πατέρα, οὔτε τὴν μητέρα, οὔτε τὸ γένος, ἐδίδαξεν ἡ θεία γραφὴ, οὔτε πόσον ἐβίωσε χρόνον, οὔτε πότε τοῦ βίου τὸ πέρας ἀδέξατο. κατὰ τοῦτο τοίνυν οὗτος λέγεται "ἀπάτωρ" καὶ τὰ λοιπά. ὁ μέντοι δεσπότης Χριστὸς φύσει καὶ ἀληθῶς τούτων ἕκαστον ἔχει· ἀμήτωρ μὲν γάρ ἐστιν ὡς Θεὸς, ἐκ μόνου γὰρ γεγέννηται τοῦ Πατρὸς, ἀπάτωρ δὲ ὡς ἄνθρωπος· ἐκ μόνης γὰρ ἐτέχθη μητρὸς, τῆς παρθένου φημί· ἀγενεαλόγητος ὡς Θεὸς, οὐ γὰρ χρήζει γενεαλογίας ὁ ἐξ ἀγεννήτου γεγεννημένος Πατρός· οὐκ ἔσχηκεν ἀρχὴν ἡμερῶν· ἀΐδιος γὰρ ἡ γέννησις, οὔτε ζωῆς ἔχει τέλος, ἀθάνατον γὰρ ἔχει τὴν φύσιν. τούτου χάριν, οὐ τὸν δεσπότην Χριστὸν τῷ Μελχισεδὲκ ἀφωμοίωσεν, ἀλλὰ τὸν Μελχισεδὲκ τῷ Χριστῷ. ἐκεῖνος γὰρ τούτου τύπος, οὗτος δὲ τοῦ τύπου ἡ ἀλήθεια. ἐν μέντοι τῇ ἱερωσύνῃ, οὐ Μελχισεδὲκ τὸν Χριστὸν μεμίμηται, ἀλλ' οὗτος ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· τὸ γὰρ ἱερατεύειν ἀνθρώπου, Θεοῦ δὲ τὸ τὰ προσφερόμενα δέχεσθαι· ἀλλ' ὅμως ἐνανθρωπίσας ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, καὶ ἀρχιερεὺς ἡμῶν ἐγένετο, κατὰ τὴν τάξιν Μελχισεδὲκ, οὐκ ἀξίωμα προσλαβὼν, ἀλλὰ τὴν θείαν κατακρύψας ἀξίαν, καὶ τὴν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας καταδεξάμενος ταπεινότητα. οὕτως ἀμνὸς κέκληται, καὶ ἁμαρτία καὶ κατάρα, καὶ ὁδὸς, καὶ θύρα, καὶ ἕτερα πλεῖστα παραπλήσια τούτου. περὶ μέντοι τοῦ Μελχισεδὲκ ἔφησεν, ὅτι "μένει ἱερεὺς "εἰς τὸ διηνεκὲς," ἐπειδή περ τὴν ἱερωσύνην οὐ παρέπεμψεν εἰς παῖδας, καθάπερ Ἀαρὼν καὶ Ἐλεάζαρ καὶ Φινεές· ὁ γὰρ εἰς ἕτερον τοῦτον παραπέμπων τὸν κλῆρον, δοκεῖ πως ἀφῃρῆσθαι τὴν ἀξίαν, ἄλλου τὴν ἐνέργειαν ἔχοντος. ἔχει δὲ καὶ ἑτέραν διάνοιαν. ὥσπερ Μωϋσῆν οὐ τὸν νομοθέτην μόνον καλοῦμεν, ἀλλὰ καὶ αὐτὸν τὸν νόμον, οὕτω καὶ Μελχισεδὲκ, καὶ τὸ πρόσωπον ὀνομάζομεν καὶ

τὸ πρᾶγμα, τουτέστι τὴν ἱερωσύνην, ταύτην δὲ ὁ δεσπότης Χριστὸς ἔχει, ἀτελεύτητον ἔχων ζωήν.

ἘΡΑΝΙΣΤΗΣ[h]. *Ἀμφότερα δὲ αὐτῷ προσήκει, καὶ τὸ ἐν ἀρχῇ εἶναι, καὶ τὸ ἐξ Ἀβραὰμ καὶ Δαβὶδ κατὰ σάρκα βλαστῆσαι. δύο γὰρ φύσεις ἐν αὐτῷ θεωρῶν, ἑκατέρᾳ προσνέμω τὰ πρόσφορα. εἰ δὲ κατά τινας μία φύσις ἐστὶν ὁ Χριστὸς, πῶς οἷόν τε αὐτῇ προσαρμόσαι τὰ ἐν αὐτῇ. ἐναντίον γὰρ τῷ ἐν ἀρχῇ εἶναι, τὸ ἐξ Ἀβραὰμ καὶ Δαβὶδ καὶ τὴν ἀρχὴν εἰληφέναι. μᾶλλον δὲ πολλοστὴ γενεᾷ μετὰ τὸν Δαβὶδ γεννηθῆναι, ἐν αὐτῇ δὲ πάλιν τῷ πάντα πεποιηκέναι, καὶ τῷ ἐκ Θεοῦ εἶναι, τὸ ἐκ πεποιημένων βλαστῆσαι, καὶ τὸ ἀνθρώπους ἐσχηκέναι πατέρας. ἐναντίον δὲ καὶ τῷ αἰωνίῳ τὸ πρόσφατον. ἀναμνήσθητι δέ μοι καὶ τῶν περὶ Μελχισεδὲκ εἰρημένων, ἔνθα παρεξετάζων ὁ Ἀπόστολος τὴν Λευϊτικὴν ἱερωσύνην τῇ τοῦ Χριστοῦ, ἀπείκασε μὲν ἐν τοῖς ἄλλοις τὸν Μελχισεδὲκ τῷ Χριστῷ, τὴν δέ γε ἱερωσύνην ἔχειν ἔφησε τὸν Κύριον κατὰ τὴν τάξιν Μελχισεδέκ. ἆρά γε οὐκ ἄνθρωπος εἶναι καὶ γενητὸν νομίζεις τὸν Μελχισεδέκ; ἀλλ' ὁ περὶ αὐτοῦ λόγος τἀναντία διδάσκει. πῶς τοίνυν αὐτῷ τὸ ἀπάτωρ ἁρμόττει καὶ τὰ ἑξῆς; ὑπὲρ ἀνθρωπείαν γὰρ ταῦτά γε φύσιν. τί οὖν; ψευδῆ τὸν Ἀπόστολον εἰρηκέναι φήσομεν; μὴ γένοιτο. πῶς οὖν οἷόν τε καὶ αὐτῷ προσμαρτυρῆσαι τῇ ἀληθείᾳ, καὶ τῷ Μελχισεδὲκ προσαρμόσαι, τὰ ὑπὲρ φύσιν; ἀσαφὲς μὲν δοκεῖ τὸ χωρίον, τοῖς δὲ προσέχειν ἐθέλουσιν ἐφικτὴ τῆς τῶν ῥητῶν διανοίας ἡ κατανόησις.*

Εἰρηκὼς γὰρ ὁ Παῦλος ἀπάτωρ καὶ τὰ ἑξῆς, ἐπήγαγεν. "ἀφωμοιωμένος τῷ Υἱῷ τοῦ Θεοῦ μένει εἰς τὸ διηνεκὲς ἱερεύς." καὶ σαφῶς ἡμᾶς ἐδίδαξεν ὡς τοῦ Μελχισεδὲκ ἐν τοῖς ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν, ἀρχέτυπον ἐστὶν ὁ Χριστός. ὁ δὲ Μελχισεδὲκ εἰκὼν καὶ τύπος Χριστοῦ, τοῦτον γὰρ εἶπεν ἀφωμοιωμένον τῷ Υἱῷ τοῦ Θεοῦ· σκοπήσωμεν δὲ οὑτωσί. λέγεις ἐσχηκέναι τὸν Κύριον κατὰ σάρκα πατέρα; οὐδαμῶς. ἐκ μόνης γὰρ ἁγίας ἐγεννήθη παρθένου. οὐκοῦν εἰκότως ἀπάτωρ ὠνόμασται. λέγεις αὐτὸν κατὰ τὴν θείαν φύσιν σχεῖν μητέρα; οὐ δῆτα· ἐκ μόνου γὰρ πρὸ τῶν αἰώνων ἐγεννήθη Πατρός. τοιγάρ τοι καὶ ἀγενεαλόγητος, ὡς ἀρρη-

[h] Scil. Theodoretus ἐν Ἐρανιστῇ.

τον ἔχων τὴν ἐκ Πατρὸς γέννησιν προσηγόρευται. "τὴν γενεὰν "γὰρ αὐτοῦ," φησὶν ὁ προφήτης, "τίς διηγήσεται;" οὕτως αὐτῷ προσήκει τὸ μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχειν· ἄναρχος γὰρ καὶ ἀνώλεθρος, καὶ συντόμως ἀΐδιος, καὶ τῷ Πατρὶ συναΐδιος. πῶς δὲ ἁρμόττει ταῦτα καὶ τῷ θαυμασίῳ Μελχισεδέκ; ὡς εἰκόνι καὶ τύπῳ. ἡ δὲ εἰκὼν οὐ πάντα ὅσα ἔχει τὸ ἀρχέτυπον ἔχει. τῷ μὲν οὖν Σωτῆρι ταῦτα προσήκει φύσει καὶ ἀληθείᾳ. ἐκείνῳ δὲ ἡ τῆς ἀρχαιογονίας ἱστορία προσήρμοσε ταῦτα. τῶν γὰρ πρόπαλαι γεγενημένων τὴν γενεαλογίαν ἐπιδείξασα, ἐκείνου οὔτε τὸν πατέρα εἴρηκεν, οὔτε τὴν μητέρα, οὔτε μὴν ἔκ τινος τῶν Νῶε παίδων κατάγειν τὸ γένος ἐδίδαξεν, ἵνα γένηται τοῦ ἀληθῶς ἀμήτορος καὶ ἀπάτορος τύπος. οὕτω δὲ νοεῖν ἡμᾶς ἐδίδαξε Παῦλος. ἐν αὐτῷ γὰρ τῷ χωρίῳ καὶ ταῦτα προστέθεικεν, "ὁ δὲ μὴ "γενεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκε τὸν Ἀβραὰμ, καὶ τὸν "ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν." εἰ δὲ ἀληθῶς ἀπάτωρ ἦν καὶ ἀμήτωρ, οὐκ ἂν ἦν εἰκὼν, ἀλλ' ἀλήθεια. ἐπειδὴ δὲ οὐ φύσεως ταῦτ' ἔχει, ἀλλὰ κατὰ τὴν τῆς θείας γραφῆς οἰκονομίαν, δείκνυσι τῆς ἀληθείας τὸν τύπον. τὸ δὲ "μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς "τέλος ἔχειν," οὕτω νοήσωμεν· τὴν παλαιὰν γενεαλογίαν συγγράφων Μωσῆς ἐδίδαξεν ἡμᾶς, ὡς Ἀδὰμ ἐτῶν τοσῶνδε γενόμενος, ἐγέννησε τὸν Σὴθ, καὶ ἐπιζήσας ἔτη τοσάδε, τοῦ βίου τὸ τέρμα κατέλαβεν. οὕτω καὶ περὶ τοῦ Σὴθ καὶ τοῦ Ἐνὼς καὶ τῶν ἄλλων εἴρηκε. τοῦ μέν τοι Μελχισεδὲκ καὶ τὴν ἀρχὴν τῆς γενέσεως, καὶ τῆς ζωῆς τὸ τέλος ἐσίγησεν. οὐκοῦν κατὰ τὴν ἱστορίαν, οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος ἔχει. κατὰ δὲ τὴν ἀλήθειαν ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, οὔτε ἤρξατο τοῦ εἶναι, οὔτε λήψεται τέλος. κατὰ μὲν οὖν τὰ θεοπρεπῆ ταῦτα καὶ ὄντως θεῖα, τύπος ἐκεῖνος Χριστοῦ. κατὰ δέ γε τὴν ἀρχιερωσύνην, ἥτις ἀνθρώποις μᾶλλον ἢ Θεῷ προσήκει, ὁ Χριστὸς ἀρχιερεὺς γέγονε κατὰ τὴν τάξιν Μελχισεδέκ. καὶ γὰρ ἐκεῖνος ἐθνῶν ὑπῆρχεν ἀρχιερεὺς, καὶ Χριστὸς ὑπὲρ ἁπάντων τὴν παναγίαν καὶ σωτήριον θυσίαν προσήνεγκε.

ΠΑΝΑΡΙΩΝ. Οὐκοῦν ληροῦσιν οἱ τὸν Μελχισεδὲκ δύναμιν εἶναί τινα μεγάλην δοξάζοντες, καὶ ἐν τοῖς ἀκατονομάστοις αὐτὸν διατρίβειν τόποις ἡγούμενοι, καὶ τοῦ Χριστοῦ μείζονα τυγχάνειν

τοῦ τῆς ἐκείνου κατηξιωμένου τάξεως. εἰ μὴ γὰρ ἦν φησιν ἐν δευτέρᾳ τινὶ κείμενος ὁ Χριστὸς μοίρᾳ, οὐκ ἂν ἱερατεύειν ἐλέγετο κατὰ τὴν τάξιν Μελχισεδέκ. βλασφημοῦντες δὲ ἀπεδείχθησαν καὶ οἱ τολμήσαντες εἰπεῖν τὸν Μελχισεδὲκ αὐτὸν εἶναι τὸν πατέρα τοῦ Χριστοῦ, καὶ διὰ τοῦτο καλεῖσθαι παρὰ τῆς γραφῆς ἀπάτορα καὶ ἀμήτορα καὶ ἀγενεαλόγητον· πολλοὺς γὰρ κατηναλώσαμεν λόγους τὴν ἐκείνων ἐλέγχοντες ἄνοιαν.

κε
Γρ. *Ὀνομάζεται ὁ Χριστὸς Μελχισεδὲκ ὡς ἀμήτωρ τὸ ὑπὲρ ἡμᾶς, καὶ ἀπάτωρ τὸ καθ' ἡμᾶς, καὶ ὡς ἀγενεαλόγητος τὸ ἄνω· "τὴν γὰρ γενεὰν αὐτοῦ," φησὶ, "τίς διηγήσεται;" καὶ ὡς βασιλεὺς Σαλὴμ· εἰρήνη δὲ τοῦτο· καὶ ὡς βασιλεὺς δικαιοσύνης, καὶ ὡς ἀποδεκατῶν πατριάρχας κατὰ τῶν πονηρῶν δυνάμεων ἀριστεύοντας.*

4 Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.

Θεοδωρήτου. *Τοῦ ἀξιώματος τοῦ Ἀβραὰμ οὐχ ἁπλῶς ἐμνημόνευσεν, ἀλλὰ δεῖξαι βουλόμενος ὡς αὐτὴ τῶν ἱερέων ἡ ῥίζα, τῶν ἀγαθῶν ἡ κρηπὶς, δι' οὗ τῆς εὐλογίας μεταλαγχάνει τὰ ἔθνη, τῆς λείας τὴν δεκάτην τῷ Μελχισεδὲκ προσενήνοχε.*

Χρυσοστόμου κατὰ Ἰουδαίων. *Τέως μὲν οὖν ἥρμοσε τὸν τύπον, θαρρῶν δὲ λοιπὸν, δείκνυσιν αὐτὸν τῶν ἀληθῶν πραγμάτων παρὰ Ἰουδαίοις λαμπρότερον. εἰ δὲ ὁ τύπον ἔχων τοῦ Χριστοῦ τοσοῦτον, οὐ τῶν ἱερέων, ἀλλὰ καὶ αὐτοῦ τοῦ προπάτορος τῶν ἱερέων βελτίων, τί ἄν τις εἴποι περὶ τῆς ἀληθείας; ὁρᾷς ἐξ ὅσης περιουσίας δείκνυσι τὴν ὑπεροχήν.*

Καὶ *ἀνακαλύπτων τοῦ τύπου τὸ θεώρημα, φησὶ, "θεωρεῖτε "πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἔδωκεν ὁ πατριάρχης." τοῦτο δὲ οὐχ ἁπλῶς ἔλεγεν, ἀλλ' ἐνδείξασθαι βουλόμενος ὅτι πολλῷ μείζων ἡ καθ' ἡμᾶς ἱερωσύνη τῆς Ἰουδαϊκῆς, καὶ ἐν τύπῳ αὐτοῖς τῶν πραγμάτων προλαβοῦσα ἡ ὑπεροχὴ δείκνυται. ὁ γὰρ Ἀβραὰμ τοῦ Ἰσαὰκ πατὴρ ἦν, καὶ τοῦ Ἰακὼβ πάππος, καὶ πρόγονος τοῦ Λευί. τοῦ γὰρ Ἰακὼβ υἱὸς ἦν ὁ Λευὶ, ἀπὸ δὲ τοῦ Λευὶ ἡ ἱερωσύνη παρὰ Ἰουδαίοις τὴν ἀρχὴν ἔλαβεν. ἀλλ' οὗτος ὁ Ἀβραὰμ ὁ πρόγονος τῶν Λευιτῶν τῶν Ἰουδαϊκῶν ἱερέων, ἐπὶ τοῦ Μελχισεδὲκ ὃς*

ἦν τύπος τῆς καθ' ἡμᾶς ἱερωσύνης, λαϊκοῦ τάξιν ἐπεῖχε. καὶ τοῦτο δι' ἀμφοτέρων ἐδήλωσε, καὶ διὰ τοῦ δοῦναι δεκατὴν αὐτῷ, οἱ γὰρ λαϊκοὶ τοῖς ἱερεῦσι τὰς δεκάτας διδόασι, καὶ ὅτι ηὐλογήθη παρ' αὐτοῦ. οἱ γὰρ λαϊκοὶ παρὰ τῶν ἱερέων εὐλογοῦνται. πάλιν ὅρα πόση ἡ ὑπεροχὴ τῆς καθ' ἡμᾶς ἱερωσύνης, ὅταν Ἁβραὰμ ὁ πατριάρχης τῶν Ἰουδαίων, ὁ πρόγονος τῶν Λευιτῶν, εὑρίσκεται ὑπὸ τοῦ Μελχισεδὲκ, καὶ εὐλογούμενος καὶ δεκάτας διδούς· καὶ γὰρ ἀμφότερα ταῦτα φησὶν ἡ παλαιά· αὐτὰ γοῦν ταῦτα καὶ ὁ Παῦλος εἰς μέσον ἀγαγὼν λέγει, "θεωρεῖτε πηλίκος οὗτος." οὗτος τίς; ὁ Μελχισεδέκ φησιν, ᾧ καὶ δεκάτην Ἁβραὰμ ἐκ τῶν ἀκροθινίων ἔδωκεν, ὁ πατριάρχης ἐκείνων.

Χρυσοστόμου. Ἀκροθίνια δὲ τὰ λάφυρα λέγεται, καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ὡς μετέχοντι τοῦ πολέμου ἔδωκε. διὰ γὰρ τοῦτο εἶπεν, ὅτι ὑπήντησεν ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς [i] τῶν βασιλείων. οἴκοι γὰρ ἐκάθητό φησι, καὶ τῶν αὐτῷ πεπονημένων τὰς ἀπαρχὰς ἔδωκεν.

Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι τοὺς ἀδελφοὺς αὐτῶν, καί περ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἁβραάμ. ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἁβραὰμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν.

Κατὰ Ἰουδαίων. Ὃ λέγει τοιοῦτόν ἐστιν· οἱ Λευῖται φησὶν, οἱ παρὰ τοῖς Ἰουδαίοις ἱερεῖς ἐντολὴν ἔλαβον κατὰ τὸν νόμον, δεκάτας λαμβάνειν ἐκ τῶν ἄλλων Ἰουδαίων· καί τοι γε πάντες ἐκ τοῦ Ἁβραάμ εἰσι, καὶ οἱ Λευῖται, καὶ ὁ λοιπὸς λαὸς, ἀλλ' ὅμως δεκάτας λαμβάνουσι παρὰ τῶν ἀδελφῶν αὐτῶν. ὁ δὲ Μελχισεδὲκ ὁ μὴ γενεαλογούμενος ἐξ αὐτῶν· οὐ γὰρ ἐκ τοῦ Ἁβραὰμ ἦν, οὐδὲ ἐκ τῆς φυλῆς τῆς Λευιτικῆς, ἀλλ' ἑτέρου γένους, δεκάτας παρὰ τοῦ Ἁβραὰμ ἔλαβε. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερόν τι· καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας, τὸν Ἁβραὰμ πάλιν εὐλόγησε· καὶ τί τοῦτο φησί; δείκνυται ὅτι οὗτος ἐκείνου σφόδρα ἐλάττων. πῶς;

7 Χωρὶς γὰρ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

[i] Cod. σκοπῆς.

ΘΕΟΔΩΡΉΤΟΥ. Τουτέστιν ἀναμφίλεκτον τοῦτο καὶ λίαν ἀναμφισβήτητον, ὡς οἱ μείζους εὐλογεῖν τοὺς ἐλάττους εἰώθασιν.

ΧΡΥΣΟΣΤΌΜΟΥ ΚΑΤᾺ ἸΟΥΔΑΊΩΝ. Ὥστε εἰ μὴ ἦν ἐλάττων ὁ Ἀβραὰμ ὁ πρόγονος τῶν Λευιτῶν, τοῦ Μελχισεδὲκ, οὐκ ἂν ἐκεῖνος τοῦτον εὐλόγησεν, οὐδ᾽ ἂν ἐκεῖνος τούτῳ δεκάτας δέδωκε. τοσαύτη τῆς ἱερωσύνης ἡ ὑπερβολὴ, ὡς τοὺς ὁμοτίμους ἀπὸ προγόνων καὶ τὸν αὐτὸν ἔχοντας προπάτορα πολλῷ βελτίους εἶναι τῶν ἄλλων. δεκάτας γοῦν παρ᾽ ἐκείνων λαμβάνουσι. καί τοι τὸν αὐτὸν πρόγονον ἔχειν σεμνυνομένων οἱ κατὰ νόμον ἱερεῖς. οὗτος δὲ ἀλλόφυλος ὢν, παρ᾽ αὐτοῦ τοῦ πατριάρχου τὰς δεκάτας ἐδέξατο, καὶ τῷ τὰς θείας ἐπαγγελίας εἰληφότι, τὴν εὐλογίαν ἀντέδωκεν· ἡρμήνευσε δὲ καὶ τὸ ἀγενεαλόγητος, ἐξ αὐτῶν γὰρ εἶπε τὸν Μελχισεδὲκ μὴ γενεαλογεῖσθαι. δῆλον τοίνυν ὡς ἐκεῖνος οὐκ ἀληθῶς ἀγενεαλόγητος, ἀλλὰ κατὰ τύπον· ἀλλ᾽ ὅπερ ἐλέγομεν, τοσαύτη τῆς ἱερωσύνης ἡ ἀξία, ὡς τοὺς κατὰ νόμον ἱερέας καὶ παρ᾽ αὐτῶν τῶν ὁμογενῶν τε καὶ ὁμοφύλων τὰς δεκάτας κομίζεσθαι. ὅταν οὖν εὑρεθῇ τίς παρ᾽ αὐτῶν τούτων δεκάτας λαμβάνων, ἆρ᾽ οὐχ οὗτοι μὲν ἐν τάξει λαϊκῶν, ἐκεῖνος δὲ ἐν τοῖς ἱερεῦσι; καὶ οὐ τοῦτο μόνον, ἀλλ᾽ οὐδὲ ὁμόφυλος ἦν αὐτοῖς ἀλλ᾽ ἑτέρου γένους. ὥστε οὐκ ἂν ἔδωκεν ἀλλοφύλῳ δεκάτας, εἰ μὴ πολλὴ ἦν ἡ τιμή.

Βαβαὶ τί εἰργάσατο. μεῖζον ἢ τὰ κατὰ τὴν πίστιν, ἐν τῇ πρὸς Ῥωμαίους κινῶν Ἐπιστολῇ διεσάφησεν. ἐκεῖ μὲν γὰρ καὶ τῆς ἡμετέρας καὶ τῆς Ἰουδαϊκῆς πολιτείας τὸν Ἀβραὰμ προπάτορα εἶναι φησίν. ἐνταῦθα δὲ αὐτοῦ σφόδρα κατατολμᾷ, καὶ δείκνυσι τὸν ἀκρόβυστον πολλῷ βελτίονα. πῶς οὖν ἔδειξεν ὅτι Λευὶ δεκάτας ἔδωκεν; ὁ Ἀβραάμ φησι ἔδωκεν. καὶ τί πρὸς ἡμᾶς τοῦτο; μάλιστα μὲν πρὸς ὑμᾶς. οὐ γὰρ δὴ φιλονεικήσετε τοὺς Λευΐτας, βελτίονας εἶναι τοῦ Ἀβραάμ. ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραάμ. εἶτα οὐχ ἁπλῶς παρῆλθεν, ἀλλὰ προσέθηκε, "καὶ "τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγησε." ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἦν τὸ σεμνὸν, δείκνυσιν ἐκείνου ὄντα σεμνότερον τοῦτον, ἀπὸ τῆς κοινῆς κρίσεως ἁπάντων. "χωρὶς γάρ," φησι, "πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται." τουτέστι πᾶσι δοκεῖ τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖσθαι. οὐκοῦν

κρείττων ὁ τύπος τοῦ Χριστοῦ, καὶ αὐτοῦ τοῦ τὰς ἐπαγγελίας ἔχοντος.

Κυρίλλου Γλαφυρῶν. Ἄθρει δὴ οὖν τῆς ἐν Χριστῷ τελειώσεως τοὺς τύπους ἐναστράπτοντας ἐναργῶς τῷ Μελχισεδὲκ καὶ τῆς κατὰ νόμον λατρείας τὸ μέτρον ἐν μείοσιν. εἴπερ ἐστὶν οὐκ ἐνδοιαστὸν ὅτι πάντη τε καὶ πάντως τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ῥίζα δὲ ὥσπερ τῶν ἐξ Ἰσραὴλ ὁ Ἀβραὰμ, καὶ τὸ ἐν αὐτῷ προῦχον τε καὶ ἐξαίρετον ὁ Λευὶ, τοῖς τῆς θείας ἱερωσύνης κατεστεμμένος αὐχήμασιν, ἀλλ᾽ ἦν ἐν ὀσφύϊ κείμενος ἔτι· δυνάμει γὰρ ἦν τῶν ἐξ αὐτοῦ κατὰ καιροὺς ἐσομένων πατὴρ ὁ Ἀβραάμ. καὶ τοῦτο οἶμαί ἐστι τὸ σοφῶς εἰρημένον περὶ τοῦ Λευί. "ἔτι "γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ Μελχι"σεδέκ." εὐλογεῖται τοίνυν ὡς κατὰ νόμον ἱερωσύνη, παρὰ τῆς ἐν Χριστῷ λατρείας, ἧς ὁ τύπος ἐν Μελχισεδέκ. προφερεστέρα δὲ ὅτι ἀσυγκρίτως ἡ εὐλογεῖν οἷά τε τῆς οὐχ ὧδε ἐχούσης, πῶς ἂν ἐνδοιάσειέ τις;

Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ, μαρτυρούμενος ὅτι ζῇ.

Θεοδωρήτου. Ἀπὸ τῆς προφητείας τοῦτο τέθηκε μαρτυρῶν. "σὺ "γὰρ εἶ," φησιν, "ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισε"δέκ." ἐπειδὴ δὲ εἰκὸς ἦν Ἰουδαίους εἰπεῖν, ὅτι Ἀβραὰμ οὐκ ἦν ἱερεὺς, καὶ εἰκότως τὰς δεκάτας προσήνεγκε, καὶ τὴν εὐλογίαν ἀπέλαβεν· ὁ δὲ Ἀαρὼν τῆς ἱερωσύνης τὴν ἀξίαν ἐδέξατο, καὶ τὸ ἐκείνου γένος μετ᾽ ἐκεῖνον τῆς θείας μετέλαχε χάριτος, δείκνυσιν ἐκ περινοίας καὶ τούτους διὰ τοῦ πατριάρχου τὰς δεκάτας προσενεγκόντας.

Κατὰ Ἰουδαίων. Βουλόμενος γὰρ δεῖξαι ὅτι διὰ τοῦ Ἀβραὰμ ἐκείνῳ προσῆλθον, ἐπήγαγε λέγων, "καὶ ὡς ἔπος εἰπεῖν," τουτέστι σχεδόν.

Δι᾽ Ἀβραὰμ καὶ Λευῒ ὁ δεκάτας λαμβάνων δεδεκάτωται.

Τί ἐστι δεδεκάτωται; δεκάτας ἔδωκε καὶ αὐτὸς τῷ Μελχισεδὲκ, ὁ μηδέπω γεννηθεὶς διὰ τοῦ πατρὸς αὐτοῦ.

10 Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

Θεοδωρήτου. Διὰ τοῦτο γὰρ προλαβὼν εἶπεν, “ὡς ἔπος “εἰπεῖν,” οὐδέπω γὰρ τοῦ Ἰσαὰκ γέγονε πατὴρ ὅτε τοῦ Μελχισεδὲκ ὁ πατριάρχης τὴν εὐλογίαν ἐδέξατο. ἔτι τοίνυν νῦν ἐν ἑαυτῷ εἶχε τῆς παιδοποιΐας τὰς ἀφορμάς. ἐκ δὲ τοῦ Ἰσαὰκ ὁ Ἰακὼβ ἐβλάστησεν, ἐξ ἐκείνου δὲ ὁ Λευί. ἐν αὐτῷ τοίνυν ἦν φησιν ὁ Λευὶ, ἡνίκα καὶ τὴν δεκάτην προσήνεγκε, καὶ τὴν εὐλογίαν ἐδέξατο. ἀνάγκη τοίνυν καὶ αὐτὸν δεκατοῦσθαι καὶ τῆς εὐλογίας μετειληφέναι.

Χρυσοστόμου. Καλῶς δὲ αὐτὸ ἐκόλασεν εἰπὼν, “ὡς ἔπος “εἰπεῖν.” ἐν αὐτῷ φησιν ἦν ὁ Λευὶ, εἰ καὶ μηδέπω ἐτέχθη· καὶ οὐκ εἶπεν οἱ Λευῖται, ἀλλ᾽ ὁ Λευί. εἶδες ὑπερβολήν; εἶδες πόσον τὸ μέσον τοῦ Ἀβραὰμ, καὶ τοῦ Μελχισεδὲκ, τοῦ τὸν τύπον φέροντος τοῦ ἀρχιερέως τοῦ ἡμετέρου; καὶ δείκνυσι τὴν ὑπεροχὴν ἐξουσίᾳ οὐκ ἀνάγκῃ γεγενημένην. ἐκεῖνος γὰρ ἔδωκε τὴν δεκάτην, ὅπερ ἐστὶν ἱερέως, οὗτος εὐλόγησεν, ὅπερ ἐστὶ κρείττονος. αὕτη ἡ ὑπεροχὴ καὶ εἰς τοὺς ἐκγόνους διαμένει. ὁρᾷς ὅπως θαυμαστῶς ἔρριψεν ἔξω τὰ Ἰουδαϊκὰ, διὰ τοῦτο ἔλεγε, “νωθροὶ γεγόνατε,” ἐπειδὴ ταῦτα καταβαλέσθαι ἐβούλετο, ὥστε μὴ ἀποσκιρτῆσαι αὐτούς. τοιαύτη γὰρ ἡ σοφία. προκατασκευάζει πρῶτον, καὶ οὕτως ἐμβάλλει εἰς ἃ βούλεται. δυσπειθὲς γὰρ τὸ γένος τὸ ἀνθρώπινον, καὶ πολλῆς δεόμενον ἐπιμελείας, καὶ πλείονος ἢ τὰ φυτά. ἐκεῖ μὲν γὰρ φύσις σωμάτων ἐστὶ καὶ γῆς εἴκουσα ταῖς τῶν γηπόνων χερσίν· ἐνταῦθα δὲ προαιρέσεις πολλὰς δεχομένη μεταβολὰς, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο αἱρουμένη. ὀξυρρεπὴς γὰρ αὕτη πρὸς κακίαν.

Ἰσιδώρου. Εἰ δέ τις ἔροιτο, τίνος ἕνεκεν ὁ Ῥουβὶν, καί τοι πρωτότοκος ὢν, οὔτε βασιλείας, οὔτε ἱερωσύνης ἠξιώθη; ἐροῦμεν, ὅτι ἐπειδὴ ἐπελύττησε τῇ πατρῴᾳ εὐνῇ. ὁ δὲ Λευὶ τρίτος ὢν, οὐ μόνον διὰ τὸ ἐπαγγείλασθαι τὸν πατέρα δεκάτας ἀφιερώσειν· κάτωθεν γὰρ ἀριθμούμενος δέκατος ἦν, ἀλλὰ καὶ διὰ ὁσιότητα, καὶ τὸ συγγενικῶν αἱμάτων διὰ τὴν εἰς τὸ θεῖον τιμὴν τὰς χεῖρας ἐμπλῆσαι, ἱερωσύνης ἠξιώθη, ὅν περ καὶ θαυμάζων ἐν ταῖς εὐλογίαις ὁ Μωϋσῆς ἔλεγεν· “ὁ λέγων τῷ πατρὶ ἢ τῇ μητρὶ οὐχ ἑώρακά σε, “καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἀπέγνω, ἐφύλαξε τὰ λόγια Κυρίου.” ὁ δὲ Ἰούδας τέταρτος ὢν, διὰ τὴν ἀδέκαστον κρίσιν καὶ τὴν ὀρθὴν

κρίσιν, βασιλείας ἠξιώθη. ἐπειδὴ γὰρ πολλοὶ τὰ οἰκεῖα κρύπτοντες πλημμελήματα, ἑτέρους καταδικάζουσιν, οὗτος δὲ, ἑαυτοῦ μὲν κατεψηφίσατο, τὴν δὲ πεπορνεῦσαι νομισθεῖσαν ἀπήλλαξε τῆς τιμωρίας. διὰ τοῦτο εἰκότα τῆς βασιλείας ἠξιοῦτο. ἱεροῦντο γὰρ οἱ ἐκ Λευὶ, ἐβασίλευον δὲ οἱ ἐξ Ἰούδα, οὐ κατὰ ἀποκλήρωσιν, ἀλλ' ἀρετῆς γέρας εἰληφότες· ὅτε γοῦν τινες ἐν τῇ ἐρήμῳ ἐκ τοῦ Ῥουβὶν καταγόμενοι, καὶ νομίζοντες ἱερωσύνης ἄξιοι εἶναι, διὰ τὸ τοῦ πρωτοτόκου εἶναι ἀπόγονοι, κατὰ τῶν ἱερωμένων ἐμάνησαν, Μωσέα νομίσαντες κατὰ χάριν τῷ τε ἀδελφῷ τοῖς τε ἀδελφιδοῖς τὴν ἱερωσύνην προπεπωκέναι· τότε δὴ σκηπτοῖς καὶ κεραυνοῖς οὐρανόθεν κατετοξεύοντο, τῆς δίκης οὐ τῇ πρεσβυγενείᾳ ἀλλὰ τῇ ἀρετῇ τὸ τῆς ἱερωσύνης γέρας βεβαιούσης.

ΘΕΟΔΩΡΗΤΟΥ. Ὁ μέν τοι Παῦλος ἑτέρωθεν μεθοδεύει τὸν λόγον, καὶ τὸ τῶν λεγομένων ἀναντιρρήτῳ θαρρήσας, δείκνυσι παύλαν μὲν δεχομένην τὴν Λευιτικὴν ἱερωσύνην, τὴν δὲ κατὰ τάξιν Μελχισεδὲκ ἀντὶ ταύτης εἰσαγομένην. προκατασπείρει δὲ κατὰ ταυτὸν καὶ τὴν περὶ τῆς καινῆς διαθήκης διδασκαλίαν.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰπὼν τοίνυν περὶ τοῦ Μελχισεδὲκ, καὶ δείξας ὅσῳ κρείττων ἦν τοῦ Ἀβραὰμ, καὶ πολὺ τὸ διάφορον ἀποφήνας, ἐντεῦθεν ἄρχεται λοιπὸν τῆς διαθήκης αὐτῆς τὸ μέσον ἀποδεικνύναι, καὶ πῶς ἡ μὲν ἀτελὴς, ἡ δὲ τελεία, καὶ οὐδέπω εἰς αὐτὰ τὰ πράγματα ἐμβαίνει, ἀλλ' ἀπὸ τῆς ἱερωσύνης τέως μάχεται. ταῦτα γὰρ πιστότερα ἦν τοῖς ἀπίστοις, ὅταν ἀπὸ τῶν ἤδη προειλημμένων καὶ πεπιστευμένων ἡ ἀπόδειξις γίνεται, ἔδειξεν ὅτι πολὺ καὶ τοῦ Λευὶ καὶ τοῦ Ἀβραὰμ βελτίων ἦν ὁ Μελχισεδὲκ, ἐν τάξει ἱερέων αὐτοῖς γενόμενος. ἐξ ἑτέρου πάλιν ἐπιχειρεῖ. ποίου δὲ τούτου; τίνος ἕνεκεν, φησὶν, οὐκ εἶπε κατὰ τὴν τάξιν Ἀαρών; καὶ θέα μοι τὴν ὑπερβολὴν, ἀφ' οὗ γὰρ εἰκὸς ἦν αὐτὸν ἐκβαλεῖν τὴν ἱερωσύνην, ἐπειδὴ μὴ κατὰ τὴν τάξιν Ἀαρὼν, ἀπὸ τούτου τοῦτον μὲν ἵστησιν, ἐκβάλλει δὲ ἐκείνους. αὐτὸ γὰρ τοῦτο λέγω φησί. τίνος ἕνεκεν οὐ κατὰ τὴν τάξιν Ἀαρὼν γέγονεν; ἔχει δὲ ὧδε τὰ ῥήματα. "εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης "ἦν, ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο, τίς ἔτι χρεία κατὰ τὴν "τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν "τάξιν Ἀαρὼν λέγεσθαι;"

Χρυσοστόμου. Καὶ τὸ "τίς ἔτι χρεία," πολλὴν ἔμφασιν ἔχει· εἰ μὲν γὰρ ἦν ὁ Χριστὸς κατὰ σάρκα, κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἔπειτα ὁ νόμος γέγονε καὶ τὰ κατὰ τὸν Ἀαρὼν, εἰκότως ἄν τις εἴποι, ἅτε ὄντα τελειότερα ταῦτα, ἐκεῖνα καταλύει, ἅτε ἐπεισελθόντα. εἰ δὲ ὁ Χριστὸς ὕστερος, καὶ ἕτερον λαμβάνει τύπον τὸν τῆς ἱερωσύνης, δηλονότι ὡς ἀτελεστέρων ὄντων ἐκείνων. θῶμεν γάρ φησι τῷ λόγῳ πάντα πεπληρῶσθαι, καὶ μηδὲν ἀτελὲς εἶναι ἐν τῇ ἱερωσύνῃ, τί οὖν ἔδει κατὰ τὴν τάξιν Μελχισεδὲκ λέγεσθαι, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρών; τίνος ἕνεκεν ἀφεὶς τὸν Ἀαρὼν ἑτέραν εἰσήνεγκεν ἱερωσύνην, τὴν τοῦ Μελχισεδέκ;

Θεοδωρήτου. Εἰ τὸ τέλειον φησὶν εἶχεν ἡ κατὰ νόμον ἱερωσύνη· δι' αὐτῆς γὰρ ἅπαντα ἐπληροῦτο τὰ νόμιμα, τί ἐβούλετο τῆς ἑτέρας ἡ δόσις; τί δήποτε δὲ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν, ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδὲκ ταύτην ἐπαγγέλλεται δώσειν; καὶ μὴν κατ' ἐκείνην ἐπληροῦτο τὰ νόμιμα· ἐκείνη γὰρ τὰς θυσίας προσέφερεν, ἐκείνη τοὺς μολυνομένους ἐκάθηρεν, δι' ἐκείνης ἐπληροῦντο αἱ περὶ τῶν ἑορτῶν ἐντολαί· τοῦτο γὰρ εἶπεν· ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο.

Χρυσοστόμου. Τουτέστιν, αὐτῇ στοιχεῖ, δι' αὐτῆς ἅπαντα πράττει· οὐκ ἔστιν εἰπεῖν ὅτι ἑτέροις ἐδόθη. "ὁ λαὸς ἐπ' αὐτῇ "νενομοθέτηται." τουτέστι κέχρηται αὐτῇ καὶ ἐχρήσατο. οὐκ ἔστιν εἰπεῖν, ὅτι τελεία μὲν ἦν, οὐ προειστήκει δὲ τοῦ λαοῦ. αὐτῇ γὰρ ὁ λαὸς ἐχρήσατο. τίς οὖν ἦν ἑτέρας ἱερωσύνης χρεία, εἴ γε διὰ τῆς Λευιτικῆς ἦν τελείωσις τῶν πραγμάτων, τῶν δογμάτων τοῦ βίου; καὶ ὅρα πῶς ὁδῷ προβαίνει. εἶπεν ὅτι κατὰ τὴν τάξιν ἐστὶ Μελχισεδέκ· δεικνὺς ὅτι πολὺ βελτίων τῆς κατὰ νόμον. δείκνυσι λοιπὸν καὶ ἀπὸ τοῦ χρόνου τοῦτο, ὅτι μετὰ Ἀαρὼν δηλονότι ὡς ἀμείνων.

[k] Κύ. ΓΡ. Πάλαι μὲν οὖν εἰς μόνον τοῦ Ἰσραὴλ τὸ ἔθνος τὸ τῆς Λευϊτικῆς ἱερωσύνης ἀξίωμα ἐχρημάτιζε. Χριστὸς δὲ ὁ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδὲκ, τῇ μὲν μεταθέσει τῆς ἱερωσύνης τῷ ἐξ ἑτέρας αὐτὸν εἶναι φυλῆς, πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ὁ Κύριος ἀνατέταλκε, τὴν τοῦ νόμου μετάθεσιν ἀπειργάσατο, ἀπὸ τῆς κατὰ νόμον σκιᾶς, ἐπὶ τὸ τῆς βασιλείας τῶν

[k] i. e. Κύριλλος, Γρηγόριος.

οὐρανῶν μεταθέμενος ἡμᾶς εὐαγγέλιον· καθάπερ ἀπὸ τῆς Λευϊτικῆς ἐπὶ τὴν βασιλικὴν φυλὴν τὸ τῆς ἱερωσύνης ἀξίωμα. τῇ δὲ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀφομοιώσει, οὐχ ὑπὲρ μόνου τοῦ Ἰσραὴλ, ἀλλ' ὑπὲρ πάντων τῶν ἐθνῶν λύτρον ἑαυτὸν τῷ Πατρὶ προσηγάγετο, καὶ τῆς πάντων ἀνθρώπων ὁμολογίας ἀρχιερεὺς καθέστηκεν. ἐπεὶ καὶ ὁ Μελχισεδὲκ τῆς ἐθνικῆς μοίρας εἶναι γνωρίζεται, καὶ οὐκ ἐκ τοῦ γένους Ἀβραὰμ εὑρίσκεται.

Ὃ δὲ λέγει νῦν ὁ Παῦλος, τοῦτό ἐστιν· εἰ τὴν πρ[α] (sic) τέλεια ἦν κατὰ Ἰουδαίους, καὶ μὴ σκιὰ ἦν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, ἀλλὰ τὸ πᾶν αὐτὸς κατωρθώκει, καὶ οὐκ ἔμελλεν ἑτέρῳ παραχωρεῖν, οὐδὲ ἡ ἱερωσύνη ἡ πρότερον ὑπεξίστασθαι, καὶ ἑτέρα ἀντεισάγεσθαι, τίνος ἕνεκεν ὁ προφήτης ἔλεγε, "σὺ ἱερεὺς εἰς τὸν "αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ;" ἔδει γὰρ εἰπεῖν κατὰ τὴν τάξιν Ἀαρών· διὰ τοῦτο φησὶν, "εἰ μὲν ἦν τελείωσις διὰ τῆς "Λευϊτικῆς ἱερωσύνης, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ "ἀνίστασθαι ἱερέα ἕτερον, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;" δῆλον γὰρ ἐκ τούτου, ὡς ἐκείνη μὲν τέλος ἔλαβεν ἡ ἱερωσύνη, ἑτέρα δὲ ἀντεισενήνεκται πολλῷ βελτίων καὶ ὑψηλοτέρα. τούτου δὲ ὡμολογουμένου, κἀκεῖνο συνωμολόγηται, ὅτι πολιτεία ἑτέρα συμβαίνουσα τῇ ἱερωσύνῃ συναχθήσεται αὕτη ἡ ἡμετέρα καὶ νομοθεσία βελτίων· ὅπερ δὴ κατασκευάζων ὁ Παῦλος, ἐπάγει, "μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετά-"θεσις γίνεται."

Χρυσοστόμου κατὰ Ἰουδαίων. Ἐπειδὴ γὰρ τὸ πλέον τῶν νομίμων περὶ τὴν τῆς ἱερωσύνης ἀκολουθίαν ἀνηλίσκετο, ἡ ἱερωσύνη ἡ προτέρα ἐξεβέβλητο, εὔδηλον ὅτι ἑτέρας ἀντεισαχθείσης καὶ νομοθεσίαν μείζονα εἰσενεχθῆναι ἔδει.

Οὕτω δείξας τὴν τῆς ἱερωσύνης ἐναλλαγὴν, δείκνυσι καὶ τοῦ νόμου τὴν παῦλαν. ὁ νόμος τῇ ἱερωσύνῃ συνέζευκται. ἀνάγκη τοίνυν τῆς ἱερωσύνης παυομένης, τοῦτο παθεῖν καὶ τὸν νόμον.

Χρυσοστόμου. Εἰ δὲ ἕτερον τινὰ ἱερέα εἶναι ἐχρῆν, μᾶλλον δὲ ἑτέραν ἱερωσύνην, ἀνάγκη καὶ νόμον ἕτερον εἶναι. τοῦτο πρὸς τοὺς λέγοντας, τί ἔδει καινῆς διαθήκης; ἔχει μὲν γὰρ καὶ μαρτυρίαν εἰπεῖν ἀπὸ προφητείας· "αὕτη ἡ διαθήκη ἣν διεθέμην τοῖς "πατράσιν ὑμῶν." τέως δὲ ἀπὸ τῆς ἱερωσύνης μάχεται· καὶ ὅρα

πῶς ἄνωθεν λέγει. εἶπε κατὰ τὴν τάξιν Μελχισεδὲκ, εἶπεν, εἰ αὕτη ἀμείνων ἦν, τί ἔδει ἑτέρας; εἰ τοίνυν ἱερωσύνη εἰσῆκται ἄλλη, δεῖ καὶ διαθήκην εἶναι· οὔτε γὰρ ἱερέα ἐστὶ χωρὶς διαθήκης εἶναι καὶ νόμων καὶ προσταγμάτων, οὔτε ἑτέραν λαβόντα ἱερωσύνην ἐκείνῃ κεχρῆσθαι. εἶτα ὅπερ ἀντιθέσεως ἦν, πῶς ἱερεὺς ἂν εἴη, μὴ ὢν Λευίτης; τοῦτο διὰ τῶν ἄνω προκαταβαλὼν, οὐδὲ λύσαι ἀξιοῖ, ἀλλ' ἐν παραδρομῇ εἰσάγει αὐτό. εἶπον, φησὶν, ὅτι μετετέθη ἡ ἱερωσύνη, οὐκοῦν καὶ ἡ διαθήκη. μετετέθη δὲ οὐ τῷ τρόπῳ μόνον οὐδὲ τοῖς προστάγμασιν, ἀλλὰ καὶ τῇ φυλῇ· ἔδει γὰρ καὶ τῇ φυλῇ. πῶς μετατιθεμένης τῆς ἱερωσύνης ἀπὸ φυλῆς εἰς φυλὴν, ἀπὸ τῆς ἱερατικῆς ἐπὶ τὴν βασιλικήν; ἵνα ᾖ ἡ αὐτὴ καὶ ἱερατικὴ καὶ βασιλική. καὶ θέα τὸ μυστήριον. πρῶτον ἦν βασιλικὴ, καὶ τότε γέγονεν ἱερατική. ὥσπερ οὖν καὶ ἐπὶ τοῦ Χριστοῦ. βασιλεὺς μὲν γὰρ ἦν ἀεὶ, ἀρχιερεὺς δὲ γέγονεν, ὅτε τὴν σάρκα ἀνέλαβεν, ὅτε τὴν θυσίαν προσήγαγεν. ὁρᾷς τὴν μεταβολὴν, καὶ ἅπερ ἀντιθέσεως ἦν, ταῦτα ὡς τῆς τῶν πραγμάτων ἀκολουθίας ἀπαιτούσης εἰσάγει. εἶτα δηλῶν περὶ τίνος ταῦτα λέγεται φησίν,

13 Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.

Λέγει δὲ καὶ τὸ φυλῆς ὄνομα,

14 Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησεν.

Χρυσοστόμου κατὰ Ἰουδαίων. Κἀγώ φημι καὶ οἶδα ὅτι οὐδὲν ἱερωσύνης εἶχε. μετάθεσις γάρ ἐστιν. ὅταν οὖν φαίνηται μηδὲ ἐξ ἐκείνης ὢν τῆς φυλῆς κατὰ τὴν τάξιν Μελχισεδὲκ, οὗτος πολὺ τοῦ Ἀβραὰμ σεμνότερος ὢν, πανταχόθεν συνωμολόγηται, ὅτι ἑτέρα ἀνθ' ἑτέρας εἰσάγεται ἱερωσύνη, πολὺ τῆς προτέρας ὑψηλοτέρα. εἰ γὰρ ὁ τύπος τοιοῦτος, καὶ τῆς Ἰουδαϊκῆς ἱερωσύνης λαμπρότερος ἦν, πολλῷ μᾶλλον αὐτὴ ἡ ἀλήθεια.

Θεοδωρήτου. Τόγε μὴν πρόδηλον ὡς ἀναντίρρητον τέθεικε. καὶ γὰρ τῶν μάγων παραγενομένων, καὶ ἐρωτήσαντος τοῦ Ἡρώδου τοὺς Ἰουδαίους, "ποῦ ὁ Χριστὸς γεννᾶται;" ἔφασαν, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. εἶτα καὶ τὸν σφέτερον ἐβεβαίωσαν λόγον τῆς

γραφῆς μαρτυρίᾳ. "γέγραπται γὰρ, καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, "οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γὰρ ἐξε-"λεύσεταί μοι ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν "Ἰσραήλ." Τούτων τῶν προρρήσεων τὸ τέλος ὁ θεῖος Ἀπόστολος δέδειχε καὶ κέκραγε· "πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν, "ὁ Κύριος ἡμῶν," κατὰ τὸ εἰρημένον, "οὐκ ἐκλείψει ἄρχων ἐξ "Ἰούδα, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς ἔσται προσδοκία "ἐθνῶν." ταύτας ὁ Δαβὶδ τὰς ἐπαγγελίας ἐδέξατο παρὰ Θεοῦ, εἰπόντος "ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου." ταύτας καὶ διὰ Ἡσαΐου ὁ δεσπότης ἀνενεώσατο. "ἐξελεύσεται," γάρ φησι, "ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί" καὶ τὰ ἑξῆς. καὶ πάλιν "ἔσται "ἡ ῥίζα Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη "ἐλπιοῦσι." καὶ αὖθις, "διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ "ὅσια Δαβὶδ τὰ πιστὰ," τουτέστιν, ἃ ὑπεσχόμην ἐκείνῳ πληρώσω, καὶ διὰ τοῦ σπέρματος ἐκείνου σώσω τὴν οἰκουμένην. πιστὴ γάρ μου καὶ ἀψευδὴς ἡ ὑπόσχεσις. ἐκ ταύτης μέντοι φησὶ τῆς Ἰούδα φυλῆς, οὐδεὶς ἱερεὺς ἀπεφάνθη· ἀλλὰ καὶ Ὀζίας τῆς ἱερωσύνης κατατολμήσας, τὴν ἀτιμίαν τῆς λέπρας ἐπιτίμιον τῆς αὐθαδίας ἐδέξατο. θαυμάσαι δὲ ἄξιον τὸ τῆς οἰκονομίας μυστήριον. ὥσπερ γὰρ ὁ δεσπότης Χριστὸς βασιλεὺς αἰώνιος ὢν, ἀρχιερεὺς ἡμῶν ἐχρημάτισεν, οὕτως ἡ Ἰούδα φυλὴ, βασιλικὴ πρότερον οὖσα, τῆς ἱερωσύνης διὰ τοῦ δεσπότου τετύχηκεν.

15 Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστι.

Τὸ μέσον δηλαδὴ τῆς ἱερωσύνης ἑκατέρας, τὸ διάφορον ὅσον κρεῖττον.

Χρυσοστόμου κατὰ Ἰουδαίων. Εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. μαρτυρεῖ δὲ γὰρ ὅτι "σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ."

Ἐγώ, φησι, καὶ ἄλλην δείκνυμι διαφορὰν, οὐ μόνον ἀπὸ τῆς φυλῆς, οὐδὲ μόνον ἀπὸ τοῦ προσώπου, οὐδὲ ἀπὸ τοῦ τρόπου, οὐδὲ ἀπὸ τῆς διαθήκης, ἀλλὰ καὶ ἀπ' αὐτοῦ τοῦ τύπου. γέγονε φησὶν ἱερεὺς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς, τουτέστι τῶν προσταγμάτων αὐτοῦ· οὐδὲν ἦν σαρκικὸν, οὐ γὰρ πρόβατον θύειν, καὶ μόσχους

ἐπέταξεν. ἀλλὰ διὰ τῆς κατὰ ψυχὴν ἀρετῆς, τὸν θεὸν θεραπεύειν, καὶ τούτων ἆθλα ζωὴν ἡμῖν ἔθηκε, τὴν οὐδέποτε καταλυομένην. καὶ πάλιν νεκρωθέντας ἡμᾶς ὑπὸ τῶν ἁμαρτιῶν, ἐλθὼν ἀνέστησε, διπλοῦν θάνατον λύσας, τὸν μὲν τῆς ἁμαρτίας τὸν δὲ τῆς σαρκός. ἐπεὶ οὖν τοιαῦτα κομίζων ἡμῖν ἦλθεν ἀγαθὰ, διὰ τοῦτο φησὶν, οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

Χρυσοστόμου. Ὁ γὰρ νόμος ἐκεῖνος τὰ πολλὰ ἄνομος ἦν. τί ἐστιν "ἐντολῆς σαρκικῆς; περίτεμε, φησὶ, τὴν σάρκα, χρίσον, λοῦσον, καθάρισον, περίκειρον, ἐπίδησον, θρέψον, ἄργησον τῇ σαρκί. καὶ τὰ ἀγαθὰ πάλιν τίνα. πολλὴ ζωὴ τῇ σαρκὶ, τρυφὴ τῇ σαρκί. ἀπὸ τούτου τοῦ νόμου τὴν ἱερωσύνην ἔλαβεν Ἀαρὼν, ὁ μέντοι Μελχισεδὲκ οὐχ οὕτως, μᾶλλον δὲ ὁ Χριστός.

Θεοδωρήτου. Δυνατὸν γὰρ καὶ ἐντεῦθεν δεῖξαι τούτου κἀκείνου τὴν ὁμοιότητα, ὅτι καθάπερ ἐκεῖνος τῆς ἱερωσύνης διαδόχους οὐκ ἔσχεν, οὕτως οὐδὲ οὗτος ταύτην εἰς ἑτέραν παραπέμψει. σαρκίνην γὰρ ἐντολὴν τοῦτο κέκληκεν, ὡς τοῦ νόμου διὰ τὸ θνητὸν τῶν ἀνθρώπων κελεύοντος μετὰ τὴν τοῦ ἀρχιερέως τελευτὴν, τὸν ἐκείνου παῖδα τὴν ἱερωσύνην λαμβάνειν.

Χρυσοστόμου. Οὐ κατὰ νόμον τοίνυν ἐντολῆς σαρκίνης γέγονεν ὁ Χριστὸς ἱερεὺς, τουτέστιν οὐ πρόσκαιρος, οὐδὲ πέρας ἔχων, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. καίτοι οὐκ ἔστιν ἀκόλουθον τοῦτο τῷ, "ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε." τὸ γὰρ ἀκόλουθον ἦν εἰπεῖν, ἀλλὰ κατὰ πνευματικῆς. ἀλλὰ διὰ τοῦ σαρκικοῦ τὸ πρόσκαιρον ἔδειξεν, ὥσπερ καὶ ἀλλαχοῦ λέγει "μέχρι καιροῦ "διορθώσεως" ἐπικείμενα τὰ δικαιώματα τῆς σαρκός. τὸ δὲ "κατὰ δύναμιν ζωῆς," τουτέστιν ὅτι οἰκείᾳ δυνάμει ζῇ.

Θεοδωρήτου. Οἶμαι δὲ τὴν σαρκικὴν ἐντολὴν οὐ μόνον τὸ πρόσκαιρον, ἀλλὰ καὶ ἕτερόν τι αἰνίττεσθαι, ὃ καὶ φθάσας εἶπον, τὸ σῶμα γὰρ ὡς ἐπίπαν οἱ ἱερεῖς ἐξεκάθαιρον· τοῦτο περιρραίνοντες καὶ λούοντες, ὑπὲρ τούτου τὰς θυσίας προσέφερον. οὐδὲ γὰρ ὑπὲρ ἀνδροφόνων ἢ γάμους ἀλλοτρίους διορυττόντων, ἀλλ' ὑπὲρ γονορρυῶν καὶ λεπρῶν, καὶ τῶν ἁπτομένων ὀστέων νεκρῶν.

Κυρίλλου γλαφυρῶν. Ὅλος δὲ ἱερεὺς ὁ Ἐμμανουὴλ, εἰ καὶ ἐκ τῆς Ἰούδα νοοῖτο φυλῆς, ἵνα καὶ ὑμνητὸς, καὶ βασιλεὺς εἶναι

πιστεύηται· καὶ ὅτι μὴ κατὰ σάρκα τὸ ἱερὸν αὐτῷ καθάπερ ἀμέλει καὶ τοῖς Ἰουδαίων καθηγηταῖς, ἀλλ' ὡς Θεῷ καὶ βασιλεῖ τῶν ὅλων ἐν ἁγιασμῷ τε καὶ δόξῃ. οὐκοῦν ὁ τύπος ἐν σαρκικοῖς, ἵν' ὑπὲρ σάρκα τὸ ἀληθὲς, τουτέστι Χριστός.

ΧΡΥΣΟΣΤΟΜΟΥ. *Εἶπεν ὅτι νόμου μετάθεσις γίνεται, καὶ ἔδειξε πῶς. ζητεῖ λοιπὸν τὴν αἰτίαν, ὃ μάλιστα πάντων πληροφορεῖ τὰς τῶν ἀνθρώπων ψυχὰς, τὸ τὴν αἰτίαν πάντως εἰδέναι, καὶ εἰς πίστιν ἄγει μᾶλλον ὅταν καὶ τὴν αἰτίαν μάθωμεν, καὶ τὸν λόγον καθ' ὃν γίνεται. ἀναλαμβάνει τοίνυν τὸν περὶ τοῦ νόμου λόγον, καὶ φησί,*

18 Ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς διὰ τὸ
19 αὐτῆς ἀσθενὲς καὶ ἀνωφελὲς, οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος.

Ἐνταῦθα οἱ αἱρετικοὶ ἐπιφύονται, ἀλλ' ἄκουε ἀκριβῶς· οὐκ εἶπε διὰ τὸ πονηρὸν, οὐδὲ διὰ τὸ μοχθηρὸν, ἀλλὰ διὰ τὸ ἀσθενὲς καὶ ἀνωφελές. καὶ ἀλλαχοῦ δὲ δείκνυσι τὸ ἀσθενὲς, ὡς ὅταν λέγῃ. "ἐν "ᾧ ἡ ἀσθένεια διὰ τῆς σαρκός." οὐκ ἄρα ἡ ἐντολὴ ἀσθενὴς, ἀλλ' ἡμεῖς. τί δέ ἐστιν, "οὐδὲν ἐτελείωσεν ὁ νόμος;" οὐδένα τέλειον εἰργάσατο παρακουόμενος. ἄλλως δὲ οὐδὲ εἰ ἠκούσθη τέλειον ἐποίησεν, ἂν καὶ ἐνάρετον· τέως δὲ οὐ τοῦτο φησὶν ὁ λόγος ἐνταῦθα, ἀλλ' ὅτι οὐδὲν ἴσχυσε. καὶ εἰκότως. γράμματα γὰρ ἦν κείμενα, τόδε πράττε, καὶ τόδε μὴ πράττε, ὑποτιθέμενα μόνον, οὐχὶ καὶ δύναμιν ἐντιθέντα· ἡ δὲ ἐλπὶς οὐ τοιαύτη. τί δέ ἐστιν ἀθέτησις; ἐκβολή. ἡ δὲ ἀθέτησις τῶν κρατούντων ἐστὶν ἀθέτησις. ὥστε ἔδειξεν ὅτι ἐκράτει. ἀλλὰ κατεφρονήθη λοιπὸν, ἐπειδὴ μηδὲν ἤνυσεν. οὐδὲν οὖν ὠφέλησεν ὁ νόμος; ὠφέλησε μὲν καὶ σφόδρα, ἀλλὰ πρὸς τὸ ποιῆσαι τελείους οὐκ ὠφέλησεν. οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος. καθὸ πάντῃ τύποι ἦσαν, πάντα σκιὰ, περιτομὴ, θυσία, σάββατον. οὐκ ἴσχυσεν οὖν διαβῆναι εἰς τὴν ψυχὴν, διὰ τοῦτο παραχωρεῖ καὶ ὑπεξίσταται, ἐπεισάγεται δὲ ἡ τῶν κρειττόνων ἐλπίς.

ΘΕΟΔΩΡΗΤΟΥ. *Παύεται δὲ ἐκεῖνος, οὐχ ὡς πονηρὸς κατὰ τὴν τῶν αἱρετικῶν παραπληξίαν, ἀλλ' ὡς ἀσθενὴς καὶ τὴν τελείαν οὐ δυνάμενος φέρειν ὠφέλειαν. ἐπισημήνασθαι μέντοι δεῖ ὡς ἀσθενῆ καὶ ἀνωφελῆ τὰ περιττὰ τοῦ νόμου καλεῖ, τὴν περιτομὴν, τὸ σάββατον, καὶ τὰ τούτοις παραπλήσια. τὸ γὰρ οὐ μοιχεύσεις, οὐ φονεύσεις, καὶ τὰ τούτοις προσόμοια, καὶ ἡ καινὴ διαθήκη μετ'*

ἐπιτάσεως φυλάττειν παρακελεύεται. ἀντ' ἐκείνων τοίνυν ἐδεξάμεθα τῶν μελλόντων ἀγαθῶν τὴν ἐλπίδα, ἥτις ἡμᾶς προσοικειοῖ τῷ Θεῷ. ὅρκος δὲ ἡμῖν βεβαιοῖ, τοῦ Θεοῦ τὴν ὑπόσχεσιν, τοῦτο γάρ φησιν.

Ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος δι' ἧς ἐγγίζομεν
20 *τῷ Θεῷ, καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας.*

Χρυσοστόμου. Ὁρᾷς ὅτι ἀναγκαῖον οὕτω γέγονε τὸ τοῦ ὅρκου ἐνταῦθα· ὥστε διὰ τοῦτο πολλὰ ἄνω ἐφιλοσόφησεν, ὅτι ὤμοσεν ὁ Θεὸς, καὶ ὤμοσεν ὑπὲρ πλείονος πληροφορίας. εἰπὼν μέντοι "ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος," δείκνυσιν ὅτι εἶχε μὲν κἀκεῖνα ἐλπίδα, ἀλλ' οὐ τοιαύτην. ἤλπιζον γὰρ εὐαρεστήσαντες, ἕξειν τὴν γῆν, μηδὲν πείσεσθαι δεινόν. ἐνταῦθα δὲ ἐλπίζομεν εὐαρεστήσαντες οὐ γῆν καθέξειν, ἀλλὰ τὸν οὐρανὸν, μᾶλλον δὲ ὃ πολλῷ τούτου κρεῖττόν ἐστιν, ἐγγὺς στήσεσθαι τοῦ Θεοῦ, παρ' αὐτὸν ἥκειν τὸν θρόνον τὸν πατρικὸν, λειτουργήσειν αὐτῷ μετ' Ἀγγέλων. καὶ ὅρα πῶς αὐτὸ τίθησι κατὰ μικρόν. ἐκεῖ μὲν γὰρ εἶπεν, "εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος," ἐνταῦθα δὲ, "δι' ἧς ἐγγίζομεν τῷ Θεῷ." τί δέ ἐστι, "καὶ καθ' "ὅσον οὐ χωρὶς ὁρκωμοσίας;" τουτέστιν ἰδοὺ καὶ ἄλλη διαφορὰ, ὅτι οὐδὲ ἁπλῶς ταῦτα ἐπηγγείλατο.

Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες·
21 *ὁ δὲ μετὰ ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτὸν,*
ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς
22 *τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. κατὰ τοσοῦτον*
κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

Χρυσοστόμου. Δύο τίθησι διαφορὰς, ὅτι οὐκ ἔχει τέλος ὥσπερ ἡ νομική. τοῦτο δὲ ποιεῖ ἀπὸ τοῦ Χριστοῦ τοῦ μετιόντος. κατὰ δύναμιν γάρ φησι ζωῆς ἀκαταλύτου. ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ὅρκου, ὅτι ὤμοσε· καὶ ἀπὸ τοῦ πράγματος. εἰ γὰρ ἐπειδὴ ἀσθενὴς ἦν ἐκείνη ἐξεβλήθη, αὕτη ἐπειδὴ δυνατή ἐστιν, ἕστηκε. ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ἱερέως. πῶς; ὅτι εἷς ἐστιν· οὐκ ἂν δὲ εἷς ἦν, εἰ μὴ ἀθάνατος ἦν. ὥσπερ γὰρ πολλοὶ ἱερεῖς διὰ τὸ θνητοὶ εἶναι, οὕτως ὁ εἷς διὰ τὸ ἀθάνατος εἶναι. καὶ καθότι ὤμοσεν αὐτῷ ἀεὶ αὐτὸν ἔσεσθαι· οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ μείζων ἦν. ἐπειδὴ

γὰρ αὐτὸς καὶ τοὺς ἐν νόμῳ κεχειροτόνηκεν ἱερέας, ἐκείνους δὲ παύσας, ἕτερον ἀντ' ἐκείνων ἀπέφηνεν, ἀναγκαίως εἴρηκεν, ὡς ἐκείνους μὲν δίχα ὅρκου κεχειροτόνηκεν, ἐπὶ δὲ τούτου καὶ ὅρκον προστέθηκεν. μὴ τοίνυν νομίσητε καὶ τήνδε τὴν ἱερωσύνην ὡς ἐκείνην παθήσεσθαι, καὶ πάλιν ἄλλην ἀντὶ ταύτης γενήσεσθαι. ἐκβάλλει γὰρ τὴν τοιαύτην ὑποψίαν ὁ γενόμενος ὅρκος.

22 Κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

ΘΕΟΔΩΡΗΤΟΥ. Δείξας τὴν ἱερωσύνην τῷ νόμῳ συνεζευγμένην, εἶτα τὴν μὲν Λευιτικὴν παυομένην, τὴν δὲ κατὰ τάξιν Μελχισεδὲκ πεφηνυῖαν, ἀδεῶς λοιπὸν γυμνοῖ καὶ τὴν καινὴν διαθήκην, καὶ ἀποφαίνει τοσοῦτον τῆς παλαιᾶς διαφέρουσαν, ὅσῳ τῆς προτέρας ἱερωσύνης κρείττων πέφηνεν ἡ δευτέρα. ἐπειδὴ ἡ καινὴ διαθήκη τὴν βασιλείαν ἡμῖν ὑπέσχετο τῶν οὐρανῶν, καὶ τῶν νεκρῶν τὴν ἀνάστασιν καὶ τὴν ζωὴν τὴν αἰώνιον· οὐδὲν δὲ τούτων ἑωρᾶτο, εἰκότως ταύτης ἔγγυον ὠνόμασε τὸν Κύριον Ἰησοῦν, ὃς διὰ μὲν τῆς οἰκείας ἀναστάσεως ἐβεβαίωσε τῆς ἡμετέρας ἀναστάσεως τὴν ἐλπίδα, τὴν δὲ οἰκείαν ἀνάστασιν διὰ τῶν ἐπιτελουμένων ὑπὸ τῶν Ἀποστόλων ἐδήλου θαυμάτων.

ἈΘΑΝΑΣΊΟΥ ΚΑΤᾺ ἈΡΕΙΑΝΩ͂Ν. Ὁ νόμος οὐδένα ἐτελείωσε, δεόμενος τῆς τοῦ λόγου ἐπιδημίας. καὶ τότε μὲν τύπος ἦν τὰ δεικνύμενα, ἄρτι δὲ ἡ ἀλήθεια πεφανέρωται, καὶ τοῦ Παύλου ἐξηγεῖται λέγων, "κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν "ἔγγυος ὁ Κύριος," καὶ δι' ὅλων τὸ κρεῖττον τῷ Κυρίῳ ἀνατίθησι, τῷ κρείττονι καὶ ἄλλῳ ὄντι παρὰ τὴν γενητήν. κρείττων γὰρ ἡ δι' αὐτοῦ θυσία, κρείττων ἡ ἐν αὐτῷ ἐλπὶς, καὶ αἱ δι' αὐτοῦ ἐπαγγελίαι. οὐχ ὡς πρὸς μικρὰ μεγάλαι συγκρινόμεναι, ἀλλ' ὡς ἄλλαι πρὸς ἄλλα τὴν φύσιν τυγχάνουσαι. ἐπεὶ καὶ ὁ ταῦτα οἰκονομήσας, κρείττων τῶν γενητῶν ἐστι. καὶ τὸ λεγόμενον πάλιν, "γέγονεν "ἔγγυος," τὴν παρ' αὐτοῦ γενομένην σημαίνει ὑπὲρ ἡμῶν ἔγγυαν. ὡς γὰρ Λόγος ὢν σὰρξ ἐγένετο, καὶ τὸ γενέσθαι τῇ σαρκὶ λογιζόμεθα. γενητὴ γὰρ αὕτη καὶ κτιστὴ, οὕτω καὶ ἐνταῦθα τὸ γέγονε διὰ τὸ γενέσθαι αὐτὸν ἄνθρωπον, καὶ εἰς τὴν τῆς διαθήκης διακονίαν λογίζεται, καθ' ἣν ὁ ποτὲ βασιλεύων θάνατος κατηργήθη.

Κυρίλλου θησαυρῶν. Ὁ μὲν γὰρ νόμος ἠσθένησε κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, κατέκρινε δὲ ὁ Χριστός. καὶ πάλιν ὁ κόσμος ὑπὸ μὲν τοῦ νόμου κατεκρίνετο διὰ τὴν ἁμαρτίαν, καὶ τιμωρίαν ἀπῃτεῖτο. ἐπεδήμησε δὲ ὁ Υἱὸς, ἵνα δικαιώσῃ καὶ χαρίσηται πᾶσι.

Γλαφυρῶν. Νόμον μὲν γὰρ εἰς βοήθειαν δέδωκεν ὁ Θεὸς, πλὴν παιδοκομεῖ μὲν ὁ νόμος, τελειοῖ δὲ λοιπὸν τοῦ Χριστοῦ μυστήριον. ἀπόχρη δὲ λέγων ὁ Παῦλος περὶ τῶν δύο διαθηκῶν, ὅτι "ἀθέτησις μὲν γίνεται προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενές. ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ." οὐκοῦν ἔλθοι μὲν ἄν τις, καὶ μάλα ῥαδίως, εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν, οὐ διά γε τῆς πρώτης καὶ Μωσαϊκῆς ἐντολῆς, διὰ τῆς λεγομένης δὲ ἐπεισῆχθαι ἐλπίδος, ἣν ταῖς εἰς τὸ ἄμεινον ψήφοις στεφανοῦν ἐδόκει τῷ μυσταγωγῷ βλέποντι πρὸς ἀληθές. ἠθετῆσθαι δὲ τὰ ἐν νόμῳ φησὶ, καὶ τῆς προαγούσης ἐντολῆς τὸ μηδὲν δύνασθαι τελειοῦν καθορίζει. ἀσθενὴς γὰρ ὁ νόμος πρὸς τὸ δύνασθαι τελειοῦν εἰς ἁγιασμόν. ἀμείνων δὲ ἡ ἐν Χριστῷ δικαίωσις καὶ λατρεία. ἀκούσῃ γοῦν Θεοῦ διακεκραγότος τοῖς τὴν ἐν νόμῳ τετιμηκόσι λατρείαν. καὶ οἱονεί πως ἀπρὶξ ἡμεῖς μὴ τῆς παλαιωθείσης ἐντολῆς, ποτὲ μὲν "λούσασθε, καθαροὶ γένεσθε," ποτὲ δὲ "ἔλεον θέλω καὶ οὐ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ ἢ ὁλοκαυτώματα." ἠλεήμεθα γὰρ ἐν Χριστῷ, καὶ ἐν αὐτῷ τεθεάμεθα νοητῶς τὸν Πατέρα, καὶ τὸν φύσει Θεὸν ἐγνώκαμεν.

Θεοδωρήτου. Εἶτα πάλιν δείκνυσι καὶ ἑτέρωθεν τήνδε τὴν ἱερωσύνην ὑπερκειμένην, λέγων, "καὶ οἱ μὲν πλείονες εἰσὶ γεγονότες ἱερεῖς διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν· ὁ δὲ διὰ τὸ "μένειν αὐτὸν εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν ἱερωσύνην." Οἱ κατὰ νόμον ἱερεῖς θνητὴν ἔχουσι τὴν φύσιν. οὗ δὴ χάριν διηνεκῶς ἱερατεύειν οὐ δύνανται, ἀλλ' ἔχουσι διαδόχους τῆς ἱερωσύνης τοὺς παῖδας. οὗτος δὲ ἀθάνατος ὢν, εἰς ἕτερον οὐ παραπέμπει τῆς ἱερωσύνης τὸ γέρας. οὗτος ὁ τὰς χεῖρας ὄντως τελειωμένος, ὁ μόνος εἰς τὰ ἅγια τῶν ἁγίων εἰσιὼν, ὁ τῷ ἀνωτάτῳ καὶ ἐνδοτάτῳ λειτουργῶν θυσιαστήριον· οὐχ ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον εἰσιὼν, ἀλλ' ἅπαξ τοῦ αἰῶνος εἰσελθών· ἀρχιερεὺς γὰρ ἦν αἰώνιος, καὶ λειτουργὸς ἄπαυστος, ἀκμαῖος καὶ ἀγήρως.

25 *Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.*

Θεοδωρήτου. Καὶ αὐτὴ τῶν λόγων ἡ ταπεινότης βοᾷ, ὡς οὐδὲν τούτων ἁρμόττει τῇ θεότητι τοῦ Χριστοῦ. οὐδὲ γὰρ διὰ τοῦτο ζῇ ἵνα ἐντυγχάνῃ ὑπὲρ ἡμῶν. ἡ γὰρ ἐκείνου ζωὴ, ἄναρχος καὶ ἀνώλεθρος. οὐκοῦν κατὰ τὸ ἀνθρώπειον νοητέον καὶ ταῦτα. ὥσπερ γὰρ τὸ πάθος ὑπὲρ ἡμῶν κατεδέξατο, οὕτως ἐντυγχάνει ὑπὲρ ἡμῶν. συνέζευξε μέντοι τῷ ταπεινῷ καὶ ὑψηλὸν ὁ θεῖος Ἀπόστολος. αὐτὸν γὰρ σώζειν ἡμᾶς εἴρηκεν, καὶ τελείαν σωτηρίαν παρέχειν.

Χρυσοστόμου. Ὁρᾷς ὅτι εἰς τὸ κατὰ σάρκα τοῦτο φησίν. ὅταν γὰρ ὡς ἱερεὺς νοῆται τότε καὶ ἐντυγχάνει. ἐπεὶ ὁ ἐγείρων τοὺς νεκροὺς οὓς θέλει καὶ ζωοποιῶν, καὶ οὕτως ὡς ὁ Πατὴρ, πῶς ἔνθα σῶσαι δεῖ ἐντυγχάνει, ὁ πᾶσαν τὴν κρίσιν ἔχων, ὥστε τοὺς μὲν εἰς κάμινον ἐμβαλεῖν, τοὺς δὲ σῶσαι, πῶς ἐντυγχάνει; ὁ Θεὸς καὶ σώζειν φησὶ, δύναται. διὰ τοῦτο οὖν σώζει, ἐπειδὴ οὐκ ἀποθνήσκει, ἐπειδὴ ἀεὶ ζῇ. οὐκ ἔχει διαδοχὴν φησίν· εἰ δὲ οὐκ ἔχει, δύναται πάντων προΐστασθαι. ἔνταῦθα μὲν γὰρ ὁ ἀρχιερεὺς, εἰ καὶ θαυμαστὸς ἦν μέχρι τοῦ καιροῦ ἐκείνου ἐν ᾧ ἦν, οἷον ὁ Σαμουὴλ, καὶ ὅσοι τοιοῦτοι, μετὰ δὲ ταῦτα οὐκέτι· ἐτεθνήκεσαν γάρ. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ σώζει εἰς τὸ παντελές. μυστήριόν τι αἰνίττεται. οὐκ ἐνταῦθα μόνον φησὶν, οὐδὲ πρὸς καιρὸν, ἀλλὰ καὶ ἐκεῖ ἐν τῇ μελλούσῃ ζωῇ σώζει τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ. πῶς σώζει; "πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν." ὁρᾷς τὴν ταπεινότητα; ὁρᾷς τὴν ἀνθρωπότητα; οὐ γὰρ ἅπαξ φησὶν αὐτὸν ἐντυγχάνοντα τούτου τυχεῖν, ἀλλ' ἀεὶ, καὶ ἡνίκα ἂν δεήται. ἀεὶ οὖν δεῖται τοῦ εὔχεσθαι, καὶ πῶς ἂν ἔχοι λόγον; ἄνθρωποι πολλάκις δίκαιοι, ἐκ μιᾶς αἰτήσεως τὸ πᾶν ἤνυσαν· αὐτὸς δὲ ἀεὶ δεῖται· τίνος οὖν ἕνεκεν συγκάθηται; ὁρᾷς ὅτι συγκατάβασίς ἐστι. μὴ δείσητε φησὶ, μὴ εἴπητε, ναὶ φιλεῖ μὲν ἡμᾶς, καὶ παρρησίαν ἔχει πρὸς τὸν Πατέρα, ἀλλ' οὐκ ἀεὶ δύναται ζῆν. ἀεὶ γὰρ ζῇ.

Γρηγορίου. Τὸ δὲ ἐντυγχάνειν οὐχ ὡς ἡ τῶν πολλῶν συνήθεια τὸ ζητεῖν ἐκδικήσεως ἔχει· τοῦτο γάρ πως καὶ ταπεινότητος, ἀλλὰ τὸ πρεσβεύειν ὑπὲρ ἡμῶν τῷ λόγῳ τῆς μεσιτείας, ὡς καὶ τὸ

Πνεῦμα ὑπὲρ ἡμῶν ἐντυγχάνειν λέγεται. "εἷς γὰρ Κύριος, εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός." πρεσβεύει γὰρ ἔτι καὶ νῦν ὡς ἄνθρωπος ὑπὲρ τῆς ἐμῆς σωτηρίας, ὅτι μετὰ τοῦ σώματός ἐστιν οὗ προσέλαβεν, ἕως ἂν ἐμὲ ποιήσει θεὸν τῇ δυνάμει τῆς ἐνανθρωπήσεως. οὕτω δὲ καὶ παράκλητον ἔχομεν Ἰησοῦν, οὐχ ὡς ὑπὲρ ἡμῶν προκαλινδούμενον τοῦ Πατρὸς, καὶ προσπίπτοντα δουλικῶς, ἄπαγε τὴν δούλην ὄντως ὑπόνοιαν καὶ ἀναξίαν τοῦ Πνεύματος. οὔτε γὰρ τοῦ Πατρὸς τοῦτο ἐπιζητεῖν, οὔτε τοῦ Υἱοῦ πάσχειν, εἰ ὡς περὶ Θεοῦ διανοεῖσθαι δίκαιον. ἀλλ' οἷς πέπονθεν ὡς ἄνθρωπος πείθει καρτερεῖν ὡς Λόγος καὶ παραινέτης. τοῦτο νοεῖταί μοι ἡ παράκλησις.

26 Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος.

ΘΕΟΔΩΡΉΤΟΥ. Οἶμαι καὶ αὐτοὺς ἂν ὁμολογῆσαι τοὺς τὰ ἐναντία τῇ ἀληθείᾳ φρονοῦντας, ὡς καὶ ταῦτα τῆς ἀνθρωπότητος οὐ τῆς θεότητος ἴδια. ἵνα γὰρ τἄλλα παραλίπω, τὸ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, πῶς ἄν τις προσαρμόσοι τῷ Θεῷ Λόγῳ τῷ τὰ πάντα τεκτηναμένῳ; δηλοῖ δὲ ὁ λόγος τὸν μετὰ τὸ πάθος ἄνω τῶν οὐρανῶν γενόμενον. ὁ δὲ Θεὸς Λόγος ἀπερίγραφον ἔχει τὴν φύσιν. οὐκοῦν καὶ ταῦτα προσαρμόσομεν ὡς ἀνθρώπῳ τῷ δεσπότῃ Χριστῷ, οὐκ ἄλλον τινὰ τοῦτον παρὰ τὸν Θεὸν Λόγον νοοῦντες, ἀλλ' εἰδότες, τί μὲν τῆς θεότητος, τί δὲ τῆς ἀνθρωπότητος ἴδιον.

ΧΡΥΣΟΣΤΌΜΟΥ. Ὁρᾷς ὅτι περὶ τῆς ἀνθρωπότητος τὸ πᾶν εἴρηται· ὅταν δὲ εἴπω ἀνθρωπότητα, θεότητας ἐχούσης λέγω, οὐ διαιρῶν, ἀλλ' ἀφεὶς τὰ πρέποντα. εἶδες τὴν διαφορὰν τοῦ ἀρχιερέως. ἀνεκεφαλαιώσατο τὰ λεχθέντα. πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. "τοιοῦτος γὰρ ἡμῖν," φησὶν, "ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος." τί ἐστιν ἄκακος; ἀπόνηρος. ὃ λέγει ἕτερος προφήτης· "δόλος οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ." τουτέστιν οὐχ ὕπουλος· τοῦτο οὖν ἄν τις περὶ Θεοῦ εἴποι, καὶ οὐκ αἰσχύνεται λέγων, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ὕπουλος, οὐδὲ δολερός. περὶ μέντοι τοῦ κατὰ σάρκα ἔχοι ἂν λόγον, καὶ τὸ ἀμίαντος δὲ περὶ Θεοῦ εἴποι τίς ἄν; ἔχει γὰρ φύσιν μιαίνεσθαι;

οὐ μὲν οὖν. ἀλλ' ἄκακος ὁ μέγας ἀρχιερεὺς, ὁ διεληλυθὼς τοὺς οὐρανοὺς ὀνομάζεται, ὡς κρείττων πάσης κακίας, καὶ αὐτὸ δὴ τοῦτο "κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν·" οὐ τοῦτο οὖν μόνον δείκνυσι τὸ διάφορον, ἀλλὰ καὶ αὐτὴ ἡ θυσία· διὸ ἐπιφέρει,

27 Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἱερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ. τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας.

Κυρίλλου. Καὶ οἱ μὲν κατὰ νόμον ἱερουργοὶ, θυσίας ἔχρῃζον οὐ μιᾶς, πλειόνων δὲ μᾶλλον, ἅτε δὴ προσάγοντες καθημέραν ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, διὰ τὸ πλειστάκις ἀσθενεῖν καὶ ὑπομένειν μαλακισμὸν τὸν εἰς πολύτροπον ἁμαρτίαν. ὁ δὲ κρεῖττον ἁμαρτίας ὑπάρχων ὡς Θεὸς, προσκεκόμικεν ἑαυτὸν, καὶ γέγονεν ἡμῶν ἀρχιερεὺς, ἀνθρωπίνως μὲν λεγόμενος λειτουργεῖν, ἱερεύων δὲ τῷ Πατρὶ τὸ ἴδιον σῶμα. θεοπρεπῶς οὖν ἄρα παθεῖν οὐκ ἀνέχεται τὴν ἁμαρτίαν, ὅτι μὴ φύσεως ἦν γενητῆς οὐκ ἐχούσης οὐσιωδῶς τὸ ἄτρεπτον καὶ τὸ εἰσάπαν δύνασθαι διαδιδράσκειν τὴν ἁμαρτίαν. Υἱὸς οὖν ἄρα ἐστὶ παντέλειος, ἀνεπικούρητον ἔχων παρ' ἑτέρου τὸ ἀκράδαντον, εἰς ἁγιασμὸν φύσεως τὲ καρπὸν ἴδιον, τὸ ἀπλημμελές. "ὁ μὲν γὰρ νόμος ἀνθρώπους," φησὶ, "καθίστα, ἔχοντας δὲ ἀσθένειαν· ἡ δὲ χάρις υἱὸν τετελειωμένον," ὡς οὐκ ἔχοντα δηλονότι τὸ ἀσθενεῖν· τοῦτο γὰρ οἶμαί ἐστιν τὸ ἀρτίως ἔχον, ἤγουν τὸ ἐν παντὶ καλῶς τετελειωμένον. ὅτι μὴ κατ' ἐκείνους ἐστὶν τοὺς κατὰ τὸν νόμον, οἷς οὐκ ἀσύνηθες τὸ καὶ ἀσθενεῖν ἔσθ' ὅτε. πλὴν ἐκεῖνο ἄθρει, πῶς ὁ αὐτὸς καὶ ἀσθενείας κρείττων εἶναι πεπίστευται, καὶ ὡς Υἱὸς τετελειωμένος. σταυροῦται δὲ καὶ ἐξ ἀσθενείας· οὐκοῦν ἀκόλουθον ἐννοεῖν, ὡς ἠσθένησε μὲν σαρκικῶς σταυρὸν ὑπομεῖνας· ἔστι γεμὴν ὡς Θεὸς τοῦ ἀσθενεῖν ἐπέκεινα. "τὸ γὰρ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής." εἰ δὲ δὴ λέγοι τὴν ἀσθένειαν τοῦτο τὸ ἐν ἁμαρτίαις εἶναι δηλοῦν τοὺς κατὰ νόμον ἱερατεύοντας, οὐκ ἀντιτετάξομαι. σύμφημι δὲ μᾶλλον ὀρθὰ καὶ οὕτω φρονεῖν ἠρημένοις.

Θεοδωρήτου. Δύο τέθεικεν ἅπερ οὐκ ἔσχον οἱ τῆς ἱερωσύνης τετυχηκότες. ἐκεῖνοι γὰρ καὶ συνεχῶς τὰ ἱερεῖα προσέφερον, καὶ

ὑπὲρ ἑαυτῶν ἔθυον, ἅτε δὴ καὶ αὐτοὶ πλημμελοῦντες ὡς ἄνθρωποι. οἱ δὲ ἁμαρτήμασιν ὑποκείμενοι, οὐ τοσαύτην ἔχουσι προφέροντες παρρησίαν· οὗτος δὲ οὐδέτερον τούτων ποιεῖ· τὸ μὲν ἐπειδὴ ἁμαρτίας ἀμύητος ἦν, τὸ δὲ, ὥσπερ τῆς μιᾶς θυσίας ἠρκεσάσης εἰς σωτηρίαν. καὶ ἐκεῖνοι μὲν ἕτερα προσέφερον θύματα, οὗτος δὲ τὸ ἑαυτοῦ προσενήνοχε σῶμα. αὐτὸς ἱερεὺς καὶ ἱερεῖον γενόμενος, καὶ ὡς Θεὸς μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, τὸ δῶρον δεχόμενος.

Χρυσοστόμου. Ὅρα δὲ, εἶπε τὸ τοῦ ἱερέως, εἶπε τὸ τῆς πίστεως, εἶπε τὸ τῆς διαθήκης, οὐχ ὅλον μὲν, εἶπε δὲ ὅμως. ἐνταῦθα λοιπὸν καὶ αὐτῆς τῆς πνευματικῆς θυσίας τὴν ὑπερβολὴν προανακρούεται. μὴ τοίνυν ἱερέα αὐτὸν ἀκούσας, ἀεὶ ἱερᾶσθαι νόμιζε. ἅπαξ γὰρ ἱερεύσατο, καὶ λοιπὸν ἐκάθισεν. ἵνα γὰρ μὴ νομίσῃς ἄνω ἑστάναι αὐτὸν, καὶ λειτουργὸν εἶναι, δείκνυσιν ὅτι οἰκονομίας τὸ πρᾶγμα ἐστίν· ὥσπερ γὰρ δοῦλος ἐγένετο, οὕτως καὶ ἱερεὺς καὶ λειτουργός. ἀλλ᾽ ὥσπερ δοῦλος γενόμενος οὐκ ἔμεινε δοῦλος, οὕτως καὶ λειτουργὸς γενόμενος, οὐκ ἔμεινε λειτουργός. οὐ γὰρ λειτουργοῦ τὸ καθῆσθαι, ἀλλὰ τὸ ἑστάναι. τοῦτο οὖν αἰνίττεται ἐνταῦθα καὶ τῆς θυσίας τὸ μεγαλεῖον. εἰ ἤρκεσε μία οὖσα καὶ ἅπαξ προσενεχθεῖσα τοσοῦτον, ὅσον αἱ πᾶσαι οὐκ ἴσχυσαν, ἀλλ᾽ οὔπω περὶ τούτων. τέως δὲ δείκνυσιν ὅτι, οὐχ ὑπὲρ ἑαυτοῦ προσέφερεν. πῶς γὰρ ὁ ἀναμάρτητος; ἀλλ᾽ ὑπὲρ τοῦ λαοῦ· τί οὖν; οὐ δεῖται τοῦ προσφέρειν ὑπὲρ ἑαυτοῦ; οὔ φησιν· ἵνα γὰρ μὴ ἀκούσας ὅτι τοῦτο ἐποίησεν ἐφάπαξ, νομίσῃς τοῦτο καὶ περὶ αὐτοῦ εἰρῆσθαι, ἄκουσον τί φησιν· "ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν "ἀρχιερεῖς ἔχοντας ἀσθένειαν."

Χρυσοστόμου. Τοιαύτη γὰρ τῶν ἀνθρώπων ἡ φύσις. διὰ τοῦτο ἀεὶ καὶ ὑπὲρ ἑαυτῶν προσφέρουσιν· ὁ μέντοι δυνατὸς, ὁ μὴ ἔχων ἁμαρτίαν; τίνος ἕνεκεν ὑπὲρ ἑαυτοῦ προσφέρει; ἢ περὶ τῶν ἄλλων μὲν, πολλάκις δέ.

28 Ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

Θεοδωρήτου. Ὁ μονογενὴς Υἱὸς σύνδρομον ἔχει τῇ γεννήσει τὴν τελειότητα. τέλειον γὰρ αὐτὸν γεγέννηκεν ὁ Πατὴρ, καὶ τοῦτο

τοίνυν κατὰ τὸ ἀνθρώπειον νόει τέλος. τέλειον γὰρ ἐνταῦθα τὸν ἀθάνατον λέγει. οὐ μὴν ἄλλον υἱὸν νοητέον παρὰ τὸν φύσει Υἱόν. ἀλλὰ τὸν αὐτὸν καὶ φύσει ὄντα Υἱὸν ὡς Θεὸν, καὶ πάλιν δεχόμενον τὴν αὐτὴν προσηγορίαν ὡς ἄνθρωπον.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί δέ ἐστι τετελειωμένον; οὐ τίθησι τὰς ἀντιδιαστολὰς κυρίως ὁ Παῦλος. εἰπὼν γὰρ ἔχοντας ἀσθένειαν, οὐκ εἶπεν υἱὸν δυνατὸν, ἀλλὰ τετελειωμένον, τουτέστι δυνατὸν ὡς ἂν εἴποι τίς. ὁρᾷς ὅτι καὶ τὸ Υἱὸς ὄνομα πρὸς ἀντιδιαστολὴν τοῦ δούλου εἴρηται. ἀσθένειαν δὲ, ἢ ἁμαρτίαν φησὶ, ἢ θάνατον· τρία γὰρ αὕτη σημαίνει· τὴν νόσον, ὡς τὸ "πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ "ἄρρωστοι·" τὴν ἁμαρτίαν, ὡς τὸ "ἐπληθύνθησαν αἱ ἀσθενείαι αὐ-"τῶν." καὶ τοὺς πειρασμοὺς, ὡς τὸ "ἐν ταῖς ἀσθενείαις μου καυχή-"σομαι." τί δέ ἐστιν; "εἰς τὸν αἰῶνα." οὐ νῦν μόνον ἀναμάρτητον, ἀλλ' ἀεί. εἰ τοίνυν τέλος ἐστὶν, εἰ μηδέποτε ἁμαρτάνει, εἰ ἀεὶ ζῇ, τίνος ἕνεκεν προσοίσει πολλὰς ὑπὲρ ἡμῶν θυσίας; ἀλλὰ τέως μὲν ὑπὲρ τούτου οὐκ ἰσχυρίζεται, ὑπὲρ δὲ τοῦ μὴ προσφέρειν αὐτὸν ὑπὲρ ἑαυτοῦ, τοῦτο ἰσχυρίζεται. διὰ τοῦτο δὲ ἄνω καὶ κάτω στρέφει λέγων, ἕνα ἱερέα, καὶ μίαν θυσίαν, ἵνα μὴ νομίζοντες πολλὰς εἶναι, ἀδεῶς ἁμαρτάνωμεν. ἀλλ' εἰδότες ὅτι οὐκ ἔστιν ἄλλη θυσία, μιᾷ γὰρ ἡμᾶς ἐκαθάρισε, μετὰ δὲ τοῦτο, πῦρ καὶ γέεννα, φυλάττωμεν τὴν εὐγένειαν.

1 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν
ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλω-
2 σύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς
σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄν-
θρωπος.

ΚΥΡΙΛΛΟΥ. Ἐγείγερται μὲν κατὰ τὸν ἔρημον ἡ ἀρχαία σκηνὴ διὰ Μωσέως, καὶ τοῖς κατὰ νόμον ἱε * * * * ἐνδιαίτημα δὲ τῷ Χριστῷ ἐοικὸς, ἡ ἄνω καλλίπολις, τουτέστιν ὁ οὐρανὸς, ἡ θεία σκηνὴ, καὶ οὐκ ἀνθρωπίνης εὕρημα τέχνης, ἀλλ' ἱερὰ καὶ θεόλεκτος. ἐκεῖ γεγονὼς προσκομίζει τῷ Θεῷ καὶ Πατρὶ τοὺς εἰς αὐτὸν πιστεύοντας ἡγιασμένους διὰ τοῦ Πνεύματος. "οὐδεὶς "γὰρ ἔρχεται," φησὶ, "πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ." καὶ οὗτος αὐτῷ τῆς ἐνθάδε λεγομένης λειτουργίας ὁ τρόπος, θεοπρεπὲς

δὲ τὸ χρῆμα κἂν εἰ τοῖς καθ' ἡμᾶς, ἤγουν ἀνθρωπίνοις σημαίνοιτο λόγοις. τὸ γὰρ ἁγιάζειν δύνασθαι τῷ ἰδίῳ πνεύματι τοὺς πιστεύοντας, ἐλέῳ καὶ χάριτι δεδικαιωμένους, καὶ οἷον ἱερουργεῖν τῷ Θεῷ, κόσμῳ μὲν ἀποθνήσκοντας, ζωοποιουμένους δὲ Πνεύματι, καὶ εἰς εὐδόκιμον ἀναλάμποντας βίον, πῶς οὐκ ἂν εἴη θεοπρεπές; ὅτι δὲ καί τοι λεγόμενος λειτουργεῖν, οὐ μείζων ἐστὶ τοῦ Πατρὸς, οὔτε μὴν κατόπιν ἔρχεται τῆς ἐνούσης εὐκλείας αὐτοῦ, προσαποδείκνυσιν ἐναργῶς τὸ τοῖς θείοις αὐτὸν ἐνιδρῦσαι θώκοις, καὶ ἐν δεξιᾷ καθῆσθαι τῷ γεγεννηκότι. εἰ γάρ ἐστιν ἀληθὲς ὅτι πᾶς ἱερεὺς ἕστηκεν ἀεί λειτουργῶν, καὶ οὐκ ἂν νοοῖτο ποτὲ σύνεδρός τε καὶ ἰσοκλεὴς, ὥσπερ καὶ λατρεῦσαι Θεῷ, πῶς οὐκ ἀσυνήθως ἱερουργὸς ὁ Χριστὸς, ὁ καὶ ἐν τοῖς τῆς θεότητος θώκοις ὡς Θεὸς καὶ λειτουργῶν ἀνθρωπίνως;

Χρυσοστόμου. Ἀναμίγνυσι τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁ Παῦλος ἀεὶ, τὸν διδάσκαλον μιμούμενος τὸν αὐτοῦ, ὥστε τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁδὸν γενέσθαι, καὶ διὰ τούτων ἐπ' ἐκεῖνα χειραγωγηθῆναι· καὶ γενομένους ἐν τοῖς μεγάλοις, μανθάνειν ὅτι ταῦτα συγκαταβάσεως ἦν. τοῦτο γοῦν ἐνταῦθα ποιεῖ. εἰπὼν γὰρ ὅτι ἀνήνεγκεν ἑαυτὸν, καὶ ἀρχιερέα δείξας, ἐπάγει "κεφάλαιον δὲ ἐπὶ τοῖς "λεγομένοις." κεφάλαιον δὲ τὸ μέγιστον λέγεται. τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν τοῖς οὐρανοῖς. καί τοι τοῦτο οὐχ ἱερέως, ἀλλὰ τούτου, ᾧ ἱερεύεσθαι ἐκεῖνον χρή. προστίθησι δὲ ὅτι καὶ λειτουργὸς, καὶ οὐχ ἁπλῶς, ἀλλὰ τῶν ἁγίων, καὶ τῆς ἀληθινῆς σκηνῆς, τουτέστι τοῦ οὐρανοῦ. ὁρᾷς τὴν συγκατάβασιν, οὐχὶ πρὸ μικροῦ διΐστη λέγων, "οὐχὶ πάντες εἰσὶ λειτουργικὰ "πνεύματα;" καὶ διὰ τοῦτο φησὶν οὐκ ἀκούουσι, "κάθου ἐκ "δεξιῶν μου," ὡς τοῦ καθημένου οὐκ ὄντος λειτουργοῦ. πῶς οὖν λειτουργὸς ἐνταῦθα εἴρηται; ὅρα πῶς ἦρε τὰς ψυχὰς τῶν ἐν Ἰουδαίοις πεπιστευκότων· ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς φαντάζεσθαι ὅτι σκηνὴν οὐκ ἔχομεν τοιαύτην, ἰδοὺ, φησὶν, ὁ ἱερεὺς καὶ μέγας καὶ πολὺ μείζων ἐκείνου, καὶ θυσίαν θαυμασιωτέραν προσήνεγκεν. ἀλλ' ἆρα μὴ λόγος ταῦτα; μὴ κόμπος καὶ ψυχαγωγία; διὰ τοῦτο πρῶτον ἐπιστώσατο ἀπὸ τοῦ ὅρκου, λοιπὸν δὲ καὶ ἀπὸ τῆς σκηνῆς. ἦν μὲν γὰρ καὶ αὕτη δήλη ἡ διαφορά. οὗτος δὲ καὶ ἑτέραν ἐπινοεῖ, "ἣν ἔπηξε," φησὶν, "ὁ Κύριος καὶ οὐκ ἄνθρωπος." ποῦ εἰσὶν

οἱ λέγοντες κινεῖσθαι τὸν οὐρανόν. ποῦ εἰσιν οἱ σφαιροειδῆ αὐτὸν εἶναι ἀποφαινόμενοι; ἀμφότερα γὰρ ταῦτα ἐνταῦθα ἀνήρηται τῷ ὀνόματι τῆς σκηνῆς.

Ὅρα δὲ ὅτι τὴν μεγίστην τιμὴν τελευταίαν κατέλιπε, καὶ ἔδειξεν αὐτὸν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης καθήμενον. τῶν μὲν γὰρ ἱερέων ὁ πρόγονος Ἀαρὼν, ὁ πρῶτος τῆς ἀρχιερωσύνης τὸ γέρας δεξάμενος, μετὰ δέους καὶ φρίκης εἰς τὴν θείαν εἰσῄει σκηνήν. οὗτος δὲ τὴν ἐκ δεξιῶν ἔχει καθέδραν. τὸ μέντοι λειτουργὸς προστέθηκεν, ἐπειδὴ περὶ ἀρχιερέως ποιεῖται τοὺς λόγους. ἐπεὶ ποίαν ἐπιτελεῖ λειτουργίαν, ἅπαξ προσενέγκας ἑαυτὸν, καὶ ἑτέραν οὐκέτι θυσίαν προσφέρων; πῶς δὲ οἷόν τε αὐτὸν ὁμοῦ καὶ συνεδρεύειν καὶ λειτουργεῖν; εἰ μή τις ἄρα λειτουργίαν εἴποι, τῶν ἀνθρώπων τὴν σωτηρίαν, ἣν δεσποτικῶς πραγματεύεται. σκηνὴν δὲ τὸν οὐρανὸν ἐκάλεσεν, οὗ δημιουργὸς αὐτὸς, ὃν ὡς ἄνθρωπον λειτουργεῖν ὁ Ἀπόστολος εἴρηκε.

Βασιλείου. Τόγε μὴν δεξιὸν, οὐ τὴν κάτω χώραν δηλοῖ, ὡς ὁ τῶν αἱρετικῶν λόγος, ἀλλὰ τὴν πρὸς τὸ ἶσον σχέσιν, καὶ τὸ τῆς ἀξίας ὁμότιμον, ἐκ τῶν τιμίων τῆς προεδρίας ὀνομάτων, τὸ μεγαλοπρεπὲς τῆς περὶ τὸν Υἱὸν τιμῆς, παριστῶντος τοῦ λόγου, καὶ σύνθρονον καὶ ὁμότιμον τῷ πατρὶ δεικνύοντος. εἰ δέ τις σαρκικῶς καὶ ταπεινῶς ἐξακούοι τοῦ δεξιοῦ, καὶ τῷ μὲν Πατρὶ τὴν ἄνω χώραν εἰς προεδρίαν ἀποδιδῷ, τὸν δὲ μονογενῆ Υἱὸν ὑποκαθῆσθαι λέγοι, πάντα ἀκολουθοῦντα ἕξει τὰ σωματικὰ συμπτώματα τῷ ἑαυτοῦ ἀναπλασμῷ, ὥστε τόπῳ τὸν Θεὸν περιγράφειν, καὶ ἀναπλάττειν σχῆμα καὶ τύπον, καὶ σχέσιν σωματικὴν, ἃ παρὰ πολὺ τῆς ἐννοίας τοῦ ἁπλοῦ καὶ ἀπείρου καὶ ἀσωμάτου διώρισται. πῶς δὲ ἄρα τὸν Ἰησοῦν ἀρχιερέα θεωρήσωμεν; ἆρα κατὰ τὸν Ἀαρών; ἆρα κατὰ τὸν Μωσέως νόμον, βουθυτοῦντα καὶ τοὺς ἐξ ἀνάγκης ἀμνοὺς τῷ Θεῷ καταθύοντα; ἢ πτηνὰ προσάγοντα, ἢ σεμίδαλιν; καί τοι τῶν τοιούτων οὐδὲν πέπραχεν ὁ Ἐμμανουήλ· ἱερατεύει γὰρ ὑπὲρ νόμον, αὐτὸς ἦν τὸ θῦμα, ὁ ἀμνὸς ὁ ἀληθινὸς, ὁ ἄμωμος ἀρχιερεὺς, οὐχ ὑπὲρ ἰδίων πλημμελημάτων ἱερουργῶν· κρείσσων γὰρ ἦν ἁμαρτίας ὡς Θεὸς, ἀλλ' ἵνα λύσῃ τὴν ἁμαρτίαν τοῦ κόσμου. γέγονε τοίνυν αὐτὸς τῆς ἰδίας προσφορᾶς ἱερουργός. οὐ γὰρ ἔδει κοινὸν ἄνθρωπον τὴν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς θυσίαν

προσενεγκεῖν· καὶ γεγονὼς δὲ ἀρχιερεὺς διὰ τὸ ἀνθρώπινον καὶ ἐν τοῖς τῆς θεότητος ὁρᾶσθαι θρόνοις, ἱερατεύειν μὲν ἀνθρωπίνως, ὅτι γέγονεν ἄνθρωπος, συνεδρεύων δὲ θεϊκῶς ὅτι μεμένηκε Λόγος.

Χρυσοστόμου. Εἰπὼν μέντοι τὸ ὑψηλὸν ὅτι κάθηται, πάλιν κατάγει τὸν λόγον, καὶ ἀδεῶς λοιπὸν φθέγγεται. καὶ ἵνα μάθῃς ὅτι τὸ λειτουργὸς περὶ τῆς ἀνθρωπότητος εἶπεν, ὅρα πῶς πάλιν ἐπισημαίνεται. "πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρα τὲ "καὶ θυσίας καθίσταται. ὅθεν ἀναγκαῖον ἔχειν τί καὶ τοῦτον ὃ "προσενέγκῃ."

Ἴδιον φησὶν ἀρχιερέως τὸ προσφέρειν δῶρα τῷ τῶν ὅλων Θεῷ. τούτου χάριν ὁ μονογενὴς ἐνανθρωπήσας, καὶ τὴν ἡμετέραν φύσιν ἀναλαβὼν, ταύτην ὑπὲρ ἡμῶν προσενήνοχεν.

Χρυσοστόμου. Μὴ οὖν ἐπειδὴ ἀκούεις ὅτι κάθηται, ὕθλον εἶναι νομίσῃς τὸ ἀρχιερέα αὐτὸν εἰρῆσθαι. ἐκεῖνο μὲν γὰρ τῆς ἀξίας τοῦ Θεοῦ τὸ καθῆσθαι, τοῦτο δὲ τῆς φιλανθρωπίας τῆς πολλῆς καὶ τῆς εἰς ἡμᾶς κηδεμονίας. διὰ τοῦτο αὐτὸ λιπαίνει, καὶ τούτῳ πλέον ἐνδιατρίβει. δέδοικε γὰρ μὴ ἐκεῖνο ἀνατρέψῃ. διὰ τοῦτο πάλιν ἐπὶ τοῦτο κατάγει τὸν λόγον. καὶ ἐπειδὴ ἐζήτουν τινὲς, τίνος ἕνεκεν ἀπέθανε, φησὶν, ὅτι ἱερεὺς ἦν· ἱερεὺς δὲ χωρὶς θυσίας οὐκ ἔστι. δεῖ τοίνυν καὶ τοῦτον ἔχειν θυσίαν. ἄλλως, εἰπὼν ὅτι ἄνω ἐστὶ, λέγει καὶ δείκνυσιν ὅτι ἱερεύς ἐστι πάντοθεν, ἀπὸ τοῦ Μελχισεδὲκ, ἀπὸ τοῦ ὅρκου, ἀπὸ τοῦ προσενεγκεῖν θυσίας.

Ἀθανασίου. Ὥσπερ μέν τοι ἀκούοντες τὸν Χριστὸν Κύριον καὶ Θεὸν καὶ φῶς ἀληθινὸν, νοοῦμεν αὐτὸν ὄντα ἐκ τοῦ Πατρὸς, οὕτως δίκαιόν ἐστιν ἀκούοντας ἀπόστολον καὶ ἀρχιερέα καὶ δοῦλον μὴ τῇ θεότητι λογίζεσθαι· ἀνόκεον[1] γὰρ, ἀλλὰ τῇ σαρκὶ ταῦτα μετρεῖν, ἣν δι' ἡμᾶς ἐφόρεσε. ταύτης γὰρ ἴδια ταῦτα. εἰ δὲ καὶ τὸ ἐκ τούτου χρήσιμον ἐθέλοι τίς μαθεῖν, εὑρήσει καὶ τοῦτο. "ὁ γὰρ "Λόγος σὰρξ ἐγένετο," ἵνα καὶ προσενέγκῃ τοῦτο ὑπὲρ πάντων, καὶ ἡμεῖς ἐκ τοῦ πνεύματος αὐτοῦ μεταλαβόντες, θεοποιηθῆναι δυνηθῶμεν, ἄλλως οὐκ ἂν τούτου τυχόντες, εἰ μὴ τὸ κτιστὸν ἡμῶν αὐτὸς ἐνεδύσατο σῶμα. οὕτω καὶ γὰρ ἄνθρωποι Θεοῦ λοιπὸν, καὶ ἐν Χριστῷ ἄνθρωποι χρηματίζειν ἠρξάμεθα. ἀλλ' ὥσπερ ἡμεῖς τὸ πνεῦμα λαμβάνοντες, οὐκ ἀπόλλυμεν τὴν ἰδίαν ἑαυτῶν οὐσίαν, οὕτως ὁ Κύριος, γενόμενος δι' ἡμᾶς ἄνθρωπος, καὶ σῶμα φορέσας,

[1] Leg. ἀνοίκειον.

οὐδὲν ἧττον ἦν Θεός· οὐ γὰρ ἠλαττοῦτο τῇ περιβολῇ τοῦ σώματος, ἀλλὰ καὶ μᾶλλον ἐθεοποίει τοῦτο, καὶ ἀθάνατον ἀπετέλει. πλὴν ἐπεὶ οὐχ οἷόν τε ἦν αὐτὸν ἀποθανεῖν· ἀθάνατος γὰρ ἦν, ἔλαβεν ἑαυτῷ σῶμα τὸ δυνάμενον ἀποθανεῖν, ἵνα ὡς ἴδιον ὑπὲρ πάντων αὐτὸ προσενέγκῃ· καὶ ὡς αὐτὸς ὑπὲρ πάντων πάσχων, διὰ τὴν πρὸς αὐτὸ ἐπίβασιν, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου· καὶ αὐτὸς ὁ ἀπαθὴς καὶ ἀσώματος Λόγος γενέσεως σαρκὸς ἀνασχόμενος τὰ πάντα πεπλήρωκεν, ἵνα ἔχῃ τι προσενεγκεῖν ὑπὲρ ἡμῶν. νέκρωσιν γὰρ θεότης οὐκ ἐπιδέχεται. ὅθεν χρεία γέγονεν ἔχειν τί τὸν Θεὸν ὃ προσενέγκῃ ὑπὲρ ἡμῶν, εἴτε ἐν θανάτῳ, εἴτε ἐν ζωῇ. καὶ πῶς, φησὶ, δύναται ἡ τὴν διαδοχὴν τῆς ἁμαρτίας δεξαμένη φύσις, χωρὶς ἁμαρτίας εἶναι, ὅ ἐστιν ἀδύνατον;

Ἔσται οὖν καὶ ὁ Χριστὸς ὡς εἷς τῶν ἀνθρώπων. ταῦτα καὶ Μαρκίων ἐφρόνησε. ταύτην καὶ Μανιχαῖος εἰσηγήσατο τὴν γνώμην. τοῦ ἀνθρώπου τὴν σάρκα καὶ αὐτὴν τὴν γέννησιν ὑπὸ τὸν ἄρχοντα τῆς κακίας τάσσων, καὶ ἐξουσιαστὴν τοῦτον ὑπογραφόμενος. ἐπειδὴ ᾧ τίς ἥττηται, τούτῳ καὶ δεδούλωται. τούτων καὶ ὑμεῖς ἀνανεοῦσθε τὴν γνώμην· εἰρήκατε γὰρ ὅτι φωνὴ Κυρίου ἐστὶν ἡ διδάσκουσα, ὅτι ἡ διάνοια τοῦ ἀνθρώπου ἔγκειται ἐπὶ τὰ πονηρὰ ἐπιμελῶς νεότητος· οὐ νοοῦντες ὅτι ἐκ νεότητος εἰρηκὼς τὸ ἐξ ἐπισπορᾶς καὶ ἐπικήρως ἐδήλωσεν. οὐδ᾽ ἐκεῖνο δὲ καλὸν τῶν αἱρετικῶν τὸ τόλμημα, ὅτι εἰς ἄνθρωπόν τινα ἅγιον ἐγένετο ὁ τοῦ Θεοῦ Λόγος. τοῦτο γὰρ ἐν ἑκάστῳ ἐγίνετο τῶν προφητῶν, καὶ τῶν ἄλλων ἁγίων· ἵνα μὴ καθ᾽ ἕκαστον γενώμενος καὶ πολλάκις ἀποθνήσκων φαίνηται. οὐκ ἔστι δὲ οὕτως, μὴ γένοιτο. ἀλλ᾽ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας αὐτὸς ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐκ Μαρίας τῆς παρθένου προῆλθεν, ἄνθρωπος καθ᾽ ὁμοίωσιν ἡμετέραν, διὰ τὴν ἡμετέραν σωτηρίαν· ἵνα ἔχων ὃ προσενέγκῃ ὑπὲρ ἡμῶν, σώσῃ πάντας ἡμᾶς. οὐ γὰρ ἄνθρωπός τις ὑπὲρ ἡμῶν ἑαυτὸν δέδωκεν· ἐπεὶ πᾶς ἄνθρωπος ὑπεύθυνός ἐστι θανάτῳ, κατὰ τὸ "γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ," ἐν τῷ Ἀδὰμ εἰρημένον πρὸς πάντας. ἀλλ᾽ οὐδὲ ἕτερόν τι τῶν κτισμάτων. ἐπεὶ πᾶσα κτίσις, ὕποπτός ἐστι τροπῆς. ἀλλ᾽ αὐτὸς ὁ Λόγος, ἴδιον σῶμα προσήνεγκεν ὑπὲρ ἡμῶν, ἵνα μὴ εἰς ἄνθρωπον ἡ πίστις καὶ ἡ ἐλπὶς, ἀλλ᾽ εἰς αὐτὸν τὸν Θεὸν Λόγον τὴν πίστιν ἔχωμεν.

Ετσεβίοτ. Καὶ αὕτη ἂν εἴη αἰτία τοῦ σωτηρίου θανάτου ἣν ἀπόρρητοι λόγοι περιέχουσιν. τίνες οὗτοι; ἱερεῖον ἦν ἀντίψυχον τοῦ κοινοῦ γένους, παραδιδόμενον τῷ θανάτῳ· ἱερεῖον ὑπὲρ τῆς κοινῆς τῶν ἀνθρώπων ἀγέλης σφαγιαζόμενον· ἱερεῖον δαιμονικῆς πλάνης ἀποτρόπαιον. καὶ τὸ μὲν σωματικὸν ὄργανον τοῦ θείου Λόγου καθιεροῦτο, αὐτὸς δὲ ἕτερος ὢν παρὰ τὸ ἱερεῖον, οὐκ εἰς μακρὰν τὸ θνητὸν ἀνεκαλεῖτο τοῦ θανάτου. καὶ τοῦτο τῆς κοινῆς ἡμῶν σωτηρίας τὴν ἀπαρχὴν ζωῆς ἐνθέου καὶ ἀθανασίας μέτοχον παρίστη· τρόπαιον ἐπινίκιον κατὰ τοῦ θανάτου, καὶ κατὰ τῆς δαιμονικῆς παρατάξεως, τῶν τε πάλαι τελουμένων θυσιῶν ἀποτρόπαιον, τοῦθ᾽ ὑπὲρ ἁπάντων ἀνθρώπων ἀνεγείρας.

Χρτσοστόμοτ. Ὁ μέν τοι θεῖος Ἀπόστολος, πολλαχόθεν κατασκευάσας ὅτι ἱερεύς ἐστιν ὁ Χριστὸς, ἀπὸ τοῦ Μελχισεδὲκ, ἀπὸ τοῦ ὅρκου, ἀπὸ τοῦ θυσίαν προσενεγκεῖν, ἐκ τούτου λοιπὸν καὶ ἀναγκαῖον ἄλλον πλέκει συλλογισμὸν, λέγων, εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ᾽ ἂν ἦν ἱερεὺς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων τὸν νόμον τὰ δῶρα.

Εἰ τοίνυν ἐστὶν ὁ ἱερεὺς ὥσπεροῦν καί ἐστι, δεῖ αὐτῷ τόπον ζητῆσαι ἕτερον. ἐπὶ γῆς μὲν γὰρ ὢν, οὐκ ἂν ἦν ἱερεὺς, πῶς γάρ; οὐ προσήνεγκεν, οὐχ ἱερεύσατο· καὶ εἰκότως ἦσαν γὰρ οἱ ἱερεῖς. καὶ δείκνυσιν ὅτι οὐδὲ δυνατὸν ἦν ἐπὶ γῆς εἶναι ἱερέα. πῶς γάρ; οὐκ ἐπανάστασις ἦν φησι. τὸ δὲ πᾶν, τοιοῦτον. εἰ μὲν ἦν ἐπὶ γῆς, τοῦτο δὲ ἦν εἰ μὴ τεθνήκει, μηδὲ ἐγερθεὶς ἀνελήφθη, οὐδ᾽ ἂν ἦν ἱερεὺς, ἦσαν γὰρ ἕτεροι· καὶ ἦν λοιπὸν στάσις ἐν τῷ πράγματι. νῦν δὲ ἀπέθανε μὲν, ἵνα τὴν θυσίαν προσενέγκῃ, ἀναστὰς δὲ ἐκ νεκρῶν ἀνελήφθη, ἵνα σχοίη τόπον τὸν οὐρανὸν, ἔνθα αὐτὸν ἱερεύεσθαι δεῖ. ἱερεῦσθαι δὲ νόει, τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν. ταῦτα δὲ πάντα τὰ ταπεινὰ ῥήματα διά τε τὴν ἀνθρωπότητα εἴρηκε, διά τε τὸ νηπιῶδες τῶν ἀκουόντων.

Φίλωνος. Πρό γε μὴν τὸ προσφέρειν δῶρα καὶ θυσίας, ζητῶν τίνι διαφέρει δῶρον θυσίας, εὑρίσκω ὅτι ὁ μὲν θύων ἐπιδιαιρεῖ, τὸ μὲν αἷμα τῷ βωμῷ προχέων, τὰ δὲ κρέα οἴκαδε κομίζων. ὁ δὲ δωρούμενος, ὅλον ἔοικε παραχωρεῖν τῷ λαμβάνοντι. ὁ μὲν οὖν φίλαυτος, διανομεὺς οἷος ὁ Κάϊν, ὁ δὲ φιλόθεος, δώρηται οἷον ὁ Ἄβελ.

Χρτσοστόμοτ. Ἐνταῦθα μέν τοι ἀναγκαῖον παραπέμψαι τὸν

νοῦν καὶ συνιδεῖν τὴν ἀποστολικὴν σύνεσιν. πάλιν γὰρ τὴν διαφορὰν δείκνυσι τῆς ἱερωσύνης, λέγων περὶ τῶν κατὰ νόμον ἱερέων,

5 Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων.

Τίνα δὲ λέγει ἐνταῦθα ἐπουράνια; τὰ πνευματικά. εἰ γὰρ καὶ ἐπὶ γῆς τελεῖται, ἀλλ' ὅμως τῶν οὐρανῶν εἰσὶν ἄξια. ὅταν γὰρ ὁ Κύριος κεῖται ἐσφαγμένος, ὅταν Πνεῦμα παραγίνηται, ὅταν ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς ἐνταῦθα ᾖ, ὅταν υἱοὶ γίνωνται διὰ τοῦ λουτροῦ, ὅταν πολῖται ὦσι τῶν ἐν οὐρανοῖς, ὅταν πατρίδα ἔχωμεν ἐκεῖ, καὶ πόλιν καὶ πολίτευμα, ὅταν ξένοι ὦμεν τῶν ἐνταῦθα, πῶς οὐκ ἐπουράνια ταῦτα τυγχάνει; ἀλλὰ τί οἱ ὕμνοι; οὐκ ἐπουράνιοι; οὐχ ἅπερ ἄνω ᾄδουσιν οἱ θεῖοι χοροὶ τῶν ἀσωμάτων δυνάμεων, ταῦτα καὶ ἡμεῖς οἱ κάτω συνῳδὰ ἐκείνοις φθεγγόμεθα; οὐχὶ καὶ τὸ θυσιαστήριον ἐπουράνιον; πῶς οὐδὲν ἔχει σαρκικόν; πάντα πνευματικὰ γίνεται τὰ προκείμενα. οὐκ εἰς τέφραν, οὐκ εἰς καπνὸν, οὐκ εἰς κνίσσαν διαχεῖται ἡ θυσία, ἀλλὰ φαιδρὰ καὶ λαμπρὰ ἐργάζεται τὰ προκείμενα. πῶς δὲ οὐκ οὐράνια τὰ τελούμενα; ὅταν γὰρ λέγῃ, "ἄν τινων κρατεῖτε τὰς ἁμαρτίας, "κεκράτηνται, ἄν τινων ἀφῆτε, ἀφίενται," καὶ τὰς κλεῖς ἔχουσι τοῦ οὐρανοῦ, πῶς οὐκ οὐράνια πάντα;

Θεοδωρήτου. Οἵ τινες, φησὶν, ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων. ταῦτα εἰς ἀπολογίαν τέθεικε, διδάσκων ὡς οὐ τοῦ νόμου κατηγορεῖ, ἀλλὰ σεπτὸν ἡγεῖται κἀκεῖνον ὡς ἔχοντα τῶν ἐπουρανίων τὸν τύπον. τούτου χάριν ἔφησεν, ὅτι περιττὸν ἦν αὐτὸν ἐν τῇ γῇ διαιτώμενον ἱερέα καλεῖν, τῶν κατὰ νόμον ἱερέων τὴν νομικὴν ἐκπληροῦντα λατρείαν. εἰ τοίνυν καὶ ἡ κατὰ νόμον ἱερωσύνη τὸ τέλος ἐδέξατο, καὶ ὁ κατὰ τάξιν Μελχισεδὲκ ἀρχιερεὺς τὴν θυσίαν προσήνεγκε, καὶ θυσίας ἑτέρας ἀνενδεεῖς καθεστήκαμεν, τί δήποτε τῆς καινῆς διαθήκης οἱ ἱερεῖς τὴν μυστικὴν λειτουργίαν ἐπιτελοῦσιν; ἀλλὰ δῆλον τοῖς τὰ θεῖα πεπαιδευμένοις, ὡς οὐκ ἄλλην τινὰ θυσίαν προσφέρομεν, ἀλλὰ τῆς μιᾶς ἐκείνης καὶ σωτηρίου τὴν μνήμην ἐπιτελοῦμεν. τοῦτο γὰρ ἡμῖν αὐτὸς ὁ δεσπότης προσέταξε· "τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνά"μνησιν." ἵνα τῇ θεωρίᾳ τῶν τύπων τῶν ὑπὲρ ἡμῶν γεγενημένων

ἀναμιμνησκώμεθα παθημάτων, καὶ τὴν περὶ τὸν εὐεργέτην ἀγάπην περισσεύωμεν, καὶ τῶν μελλόντων ἀγαθῶν προσμένωμεν τὴν ἀπόλαυσιν· σκιὰν γεμὴν τῶν ἐπουρανίων ὁ Παῦλος καλέσας τὴν κατὰ νόμον λατρείαν, γραφικῇ μαρτυρίᾳ βεβαιοῖ τὸν λόγον εἰπὼν,

Καθὼς κεχρημάτισται Μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν. ὅρα γάρ, φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.

Σχήματι γὰρ αὐτῷ ἐν τῷ ὄρει δείξας τινὰ, ἐκείνοις προσόμοια κατασκευᾶσαι προσέταξεν. οὐκοῦν τύποι τῶν ἐπουρανίων τὰ παλαιά.

Χρυσοστόμου. *Τί δὲ βούλεται τὸ "κατὰ τὸν τύπον τὸν "δειχθέντα σοι;" ἐπειδὴ ἡ ἀκοὴ ἡμῶν ἀμαθεστέρα τῆς ὄψεως ἡμῶν, οὐ γὰρ οὕτως ἅπερ ἂν ἀκούσωμεν τῇ ψυχῇ παρακατατιθέμεθα, ὡς ἅπερ ἂν ἴδωμεν αὐταῖς ὄψεσιν, ἔδειξεν αὐτῷ πάντα.*

Γρηγορίου Θεολόγου. *Πάντα μὲν οὖν τὸν νόμον σκιὰν εἶναι τῶν μελλόντων καὶ νοουμένων ὁ θεῖος Ἀπόστολος ἀπεφήνατο. καὶ ὁ χρηματίσας πρὸ τούτου τῷ Μωσεῖ Θεὸς, ἡνίκα περὶ τούτων ἐνομοθέτει. "ὅρα γάρ, φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον "τὸν δειχθέντα σοι ἐν τῷ ὄρει·" σκιαγραφίαν τινὰ καὶ προχάραγμα τῶν ἀοράτων παραδεικνὺς τὰ ὁρώμενα.*

Χρυσοστόμου. *Ἦ τοίνυν ὑποδείγματι καὶ σκιᾷ εἰπὼν, περὶ τῆς κατασκευῆς τοῦ ναοῦ λέγει μόνον τοῦτο, ἢ καὶ περὶ τῶν θυσιῶν, καὶ τῶν ἄλλων ἁπάντων. μᾶλλον δὲ οὐκ ἄν τις ἁμάρτῃ καὶ τοῦτο εἰπών. οὐρανία γάρ ἐστιν ἡ ἐκκλησία, καὶ οὐδὲν ἄλλο ἢ οὐρανός.*

Νυνὶ δὲ διαφορωτέρας τετύχηκε λειτουργίας, ὅσῳ
6 *καὶ κρείττονος ἐστὶ διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.*

Χρυσοστόμου. *Ὁρᾷς φησὶν ὅσον βελτίων ἡ λειτουργία τῆς λειτουργίας· εἴγε ἐκείνη μὲν, ὑπόδειγμα καὶ τύπος· αὕτη δὲ ἀλήθεια. ἀλλ' οὐδὲν τοῦτο ὠφελεῖ τοὺς ἀκούοντας, οὐδὲ εὐφραίνει. διὰ τοῦτο ὃ μάλιστα αὐτοὺς εὔφραινε λέγει, ὅτι "ἐπὶ κρείττοσιν "ἐπαγγελίαις νενομοθέτηται." ἐπάρας γὰρ ἀπὸ τοῦ τόπου καὶ τοῦ ἱερέως, καὶ τῆς θυσίας, τότε καὶ τῆς διαθήκης τὸ μέσον τίθησιν. εἰπὼν μὲν καὶ πρότερον ὅτι ἀσθενὴς ἦν καὶ ἀνωφελὴς, καὶ οὐ συνυπούργει*

πρὸς τὸ γίνεσθαι τὰ λεχθέντα. καὶ ὅρα οἷα τίθησιν ἀσφαλίσματα, μέλλων τῆς παλαιᾶς κατηγορεῖν. ἐκεῖ γὰρ εἰπὼν "κατὰ δύναμιν "ζωῆς ἀκαταλύτου," τότε εἶπεν "ὅτι ἀθέτησις γίνεται προα-"γούσης ἐντολῆς," τουτέστιν ἄμειψις καὶ ἐκβολὴ τοῦ παλαιοτέρου νόμου. οὐ γὰρ ἴσχυσε τέλειόν τινα ἐν ἀρετῇ ποιῆσαι· ἔλεγε γὰρ μόνον, τόδε ποίησον, καὶ τόδε μὴ ποιήσῃς, οὐκέτι δὲ ἐνεδυνάμου πρὸς τὸ ποιεῖν ταῦτα. εἶτα ὕστερον μέγα τί ἔθηκεν εἰπὼν, "δι' ἧς ἐγγίζομεν τῷ Θεῷ." ἐνταῦθα δὲ ἡμᾶς εἰς τὸν οὐρανὸν ἀναγαγὼν, καὶ δείξας ὅτι ἀντὶ τοῦ ἱεροῦ τὸν οὐρανὸν ἔχομεν, καὶ ὅτι τύποι ἦσαν τῶν ἡμετέρων ἐκεῖνα, καὶ τὴν λειτουργίαν ἐπάρας τούτοις, καὶ τὴν ἱερωσύνην εἰκότως ἐπαίρει λοιπόν. ἀλλ' ὅπερ ἔφην ὃ μάλιστα εὐφραίνει, τίθησι λέγων, "ἥτις ἐπὶ κρείττοσιν ἐπαγ-"γελίαις νενομοθέτηται." πόθεν τοῦτο δῆλον; ἐξ ὧν αὕτη μὲν ἐξεβλήθη, ἐκείνη δὲ ἀντεισήχθη. διὰ γὰρ τοῦτο κρατεῖ, ὅτι βελτίων· καὶ πόθεν δῆλον; ὅτι τέλος ἔλαβεν ἐκείνη. ἔδειξε μὲν καὶ ἀπὸ τοῦ ἱερέως. δείκνυσι δὲ τρανότερον νῦν, ὅτι ἐκβέβληται. πῶς δὲ "ἐπὶ κρείττοσιν ἐπαγγελίαις;" ποῦ γὰρ ἶσον, εἰπέ μοι, γῆ, καὶ οὐρανός; σὺ δὲ θεώρει, πῶς κακεῖ ἐπαγγελίας φησὶν, ἵνα μὴ ταύτης τούτῳ κατηγορῇς. καὶ γὰρ ἐκεῖ κρείττονα ἐλπίδα ἔφη, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ· δεικνὺς ὅτι κἀκεῖ ἐλπὶς, καὶ ἐνταῦθα φησὶν, ἐπαγγελίας κρείττονας, αἰνιττόμενος ὅτι καὶ ἐκεῖ ἐπηγγείλατο. ὅρα δὲ πῶς συντόμως ἔδειξε τῆς νέας διαθήκης τὴν ὑπεροχήν. ἡ μὲν παλαιά, φησι, σωματικὰς ἐπαγγελίας εἶχε συνεζευγμένας· γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ γῆν ἐλαιώνων καὶ ἀμπελώνων, καὶ παίδων πλῆθος καὶ τὰ τούτοις προσόμοια. ἡ δὲ καινὴ ζωὴν αἰώνιον καὶ οὐρανῶν βασιλείαν. οὕτω δείξας τῆς Λευϊτικῆς ἱερωσύνης ὑπερκειμένης τὴν κατὰ τάξιν Μελχισεδὲκ προφανῶς λοιπὸν ἀναλαμβάνει τὸν ὑπὲρ τῆς καινῆς διαθήκης ἀγῶνα, καὶ ὥσπερ ἤδη εἶπεν ὅτι τελείωσις ἦν διὰ τῆς παλαιᾶς, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, οὕτω καὶ ἐνταῦθα τῷ αὐτῷ συλλογισμῷ κέχρηται λέγων.

ΚΥΡΙΛΛΟΥ ΛΑ$^{\tau\acute{\iota}}$ Α΄.[m] Οὐκ ἀμώμητον εἶναι τὴν ἀρχαίαν ἐντολὴν διαβεβαιοῦται σαφῶς· ταύτῃ τοι φησὶ καὶ ἀντ' ἐκείνης ἡμῖν

[m] ἐν πνεύματι λατρείας.

εἰσκεκομεῖσθαι χρησίμως τὴν διὰ Χριστοῦ καὶ νέαν, τουτέστιν εὐαγγελικὴν προσοικειοῦσαν ἡμᾶς τῷ Θεῷ.

Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέραν ἐζητεῖτο τόπος, τουτέστιν εἰ οὐδὲν εἶχεν ἐλλιπὲς, εἰ ἀμέμπτους ἐποίει τοὺς χρωμένους, εἰ τελεία ἦν, εἰ χρήσιμος, εἰ ἀποχρῶσα πρὸς τελειότητα, οὐ μὴν πονηρὰ, οὐδ' ἐγκλημάτων ὑπεύθυνος· ὡς ἄν τις εἴποι, οὐκ ἔστιν ἄμεμπτος ἡ οἰκία, ἀντὶ τοῦ ἔχει ἐλάττωμα, σαθρά ἐστιν· οὕτω κἀνταῦθα τὸ ἄμεμπτος τέθεικεν, ἀντὶ τοῦ τελεία, διὸ οὐδ' εἶπε μεμφόμενος αὐτῇ, ἀλλ' αὐτοῖς τοῖς ἐν τῇ παλαιᾷ δηλαδὴ νομοθετουμένοις. ἐπειδὴ δὲ ἀπόχρη τοῦτο πλῆξαι τοὺς τῆς νομικῆς πολιτείας ἀντεχομένους, τὸ, αὐτολεξεὶ λέγειν ὅτι ἐκβέβληται ἡ παλαιὰ, οὐκ ἀφ' ἑαυτοῦ τοῦτο ποιεῖ, ἵνα μὴ γένηται φορτικὸς, ἀλλὰ τὸν ἱερέα παράγει μάρτυρα λέγων,

8 Μεμφόμενος αὐτοῖς λέγει, ἰδοὺ ἡμέραι ἔρχονται λέ-
γει Κύριος, καὶ συντελέσωσιν ἐπὶ τὸν οἶκον Ἰούδα, καὶ
9 ἐπὶ τὸν οἶκον Ἰσραὴλ διαθήκην καινήν· οὐ κατὰ τὴν
διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν.

Χρυσοστόμου εἰς Μακκαβαίους. Ἐνταῦθα δείκνυσιν ὅτι καὶ τὴν παλαιὰν αὐτὸς ἔδωκεν. ἄκουε δὲ αὐτῶν τῶν τοῦ προφήτου ῥημάτων, "ἰδοὺ ἡμέραι ἔρχονται λέγει Κύριος," ἐκ προοιμίων εὐθέως ἀνίστησι τὸν ἀκροατὴν, δεικνὺς ὅτι οὐκ αὐτοῦ τὰ ῥήματα, ἀλλὰ τοῦ ἀπεσταλκότος αὐτὸν Θεοῦ. εἶτα δείκνυσιν ὅτι περὶ μελλόντων ἡμῖν διαλέγεται πραγμάτων, εἰπὼν, "ἰδοὺ ἡμέραι ἔρχον-"ται." πῶς οὖν εἰπὲ, μελλόντων διαλέγεται; τὴν παλαιάν φησιν αὐτὸς ἔδωκεν. ἀνάμεινον καὶ μὴ θορύβει, καὶ τότε ὄψει σαφῶς τῆς ἀληθείας τὴν λαμπηδόνα. ὅτε γὰρ ταῦτα ἐλέγετο, ὁ νόμος ἦν δεδομένος καὶ παραβαθεὶς, ταῦτα τοίνυν ταῖς διανοίαις ἐναποθέμενοι, δέχεσθε τὴν λύσιν τῶν πολλοῖς διαπορουμένων. "ἰδοὺ," φησὶν, "ἡμέραι ἔρχονται," τὸν παρόντα καιρὸν δηλῶν, "καὶ διαθήσομαι "ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς "πατράσιν ὑμῶν." ἐνταῦθα σαφῶς δείκνυσιν ὅτι ἐκβέβληται ἡ παλαιά. διαθήσομαι γὰρ φησὶ, διαθήκην καινὴν, τουτέστι πάντῃ νέαν, οὐ μὴν ὡς οἱ ἐκ περιτομῆς νοοῦσιν, ὅτι ὁ Ἔσδρας μετὰ τὴν

ἐπάνοδον τὴν γραφὴν ἀνεκαίνισεν. ἐρωτῶ τὸν Ἰούδαν, ἐρωτῶ τὸν ἀσθενοῦντα ἀδελφόν. τίς τὴν καινὴν διαθήκην ἔδωκε; παντί που δῆλον ἐστὶν ὅτι ὁ Χριστός. οὐκοῦν, οὗτος καὶ τὴν παλαιάν· ὁ γὰρ εἰπὼν ὅτι "διαθήσομαι διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν "διεθέμην," ἔδειξεν ὅτι κἀκείνην αὐτὸς διέθετο. οὐκοῦν ἀμφοτέ-"ρων τῶν διαθηκῶν εἷς ὁ νομοθέτης· ἵνα δὲ ἀκούσας "ἣν διεθέμην "τοῖς πατράσιν αὐτῶν," μὴ τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην εἴπῃς, καὶ τὴν πρὸς τὸν Νῶε, κἀκείνην ἐκβεβλῆσθαι νομίσῃς, τὴν ἐν Χριστῷ μᾶλλον τὸ πέρας δεξαμένην. ἐν γὰρ τῷ σπέρματι Ἀβραὰμ ὅ ἐστι Χριστὸς, τὰ ἔθνη εὐλογήθησαν· διὰ τοῦτο οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ καὶ τὸν χρόνον ὥρισεν, ὅτε διέθετο τὴν παλαιὰν, ἐπαγαγὼν, "ἐν ᾗ ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξα-"γαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου."

Εἰς τὸ ἔχοντες τὸ αὐτὸ πνεῦμα. Εἶδες πῶς καὶ τὴν εὐκολίαν ἔδειξε τῆς ἐξόδου, καὶ τὴν φιλοστοργίαν τὴν αὐτοῦ, καὶ τὴν ἄδειαν τῆς τότε διαγωγῆς, καὶ ὅτι πάντα αὐτὸς ἐθαυματούργει τὰ ἐν Αἰγύπτῳ. τὸ γὰρ εἰπεῖν, "ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν "ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου," τὰ θαύματα πάντα ἐδήλωσεν. ἡ γὰρ ἔξοδος ἐκείνη διὰ τῶν σημείων τῶν παραδόξων ἐκείνων ἐγίνετο. ποῦ νῦν εἰσὶν οἱ τὴν παλαιὰν διαβάλλοντες, οἱ τὸ σῶμα τῆς γραφῆς διασπῶντες· οἱ τῇ καινῇ μὲν ἄλλον, ἕτερον δὲ τῇ παλαιᾷ Θεὸν ἀπονέμοντες; ἀκουέτωσαν τοῦ προφήτου μαρτυροῦντος ὅτι εἷς ἀμφοτέρας ἐνομοθέτησε. καὶ αὐτὰ δὲ τὰ ὀνόματα πολλὴν ἡμῖν τῶν διαθηκῶν δείκνυσι τὴν συμφωνίαν. ἡ γὰρ καινὴ, διὰ τὴν παλαιὰν εἴρηται, καὶ ἡ παλαιὰ διὰ τὴν καινὴν, καθάπερ ὁ Παῦλος φησὶν, ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν προτέραν. εἰ δὲ μὴ τοῦ αὐτοῦ εἶεν δεσπότου, οὔτε αὕτη καινὴ, οὔτε ἐκείνη παλαιὰ δύναιτ' ἂν λέγεσθαι. ὥστε αὕτη ἡ ἐν τοῖς ὀνόμασι διαφορὰ, τὴν συγγένειαν ἑκατέρας ἐνδείκνυται. καὶ ἡ διαφορὰ δὲ αὕτη οὐ κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὴν τῶν χρόνων ἐναλλαγήν ἐστιν. καὶ γὰρ τὸ καινὸν τῷ παλαιῷ κατὰ τοῦτο ἀντιδιαστέλλεται μόνον. ἡ δὲ τῶν χρόνων ἐναλλαγὴ, διαφορὰν δεσποτείας ἢ μείωσιν οὐκ ἄγει. καὶ τοῦτο πάλιν ὁ Χριστὸς ἐνέφηνεν εἰπὼν, "διὰ τοῦτο λέγω "ὑμῖν, πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρα-"νῶν, ὅμοιος ἐστὶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ

"θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά." ὁρᾷς διάφορα μὲν τὰ κτήματα, μίαν δὲ τὴν δεσποτικήν. ὥσπερ οὖν ἐκεῖνος δύναται ἐκβάλλειν καινὰ καὶ παλαιὰ, εἷς ὢν οἰκοδεσπότης, οὕτω δὴ καὶ ἐνταῦθα δυνατὸν ἑνὸς εἶναι Θεοῦ τὴν καινὴν καὶ τὴν παλαιάν. αὐτὸ γὰρ τοῦτο μάλιστα δείκνυσιν αὐτοῦ τὸν πλοῦτον καὶ τὴν περιουσίαν ἐνδείκνυσθαι. ὥστε διαφορὰ μόνον ἐστὶν ἐν ταῖς διαθήκαις, οὐ μάχη οὐδὲ ἐναντίωσις. τὸ γὰρ παλαιὸν ἐκ τοῦ καινοῦ γίνεται παλαιόν. τοῦτο δὲ οὐ μάχης οὐδὲ ἐναντιώσεως, ἀλλὰ διαφορᾶς μόνης. ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὅτι εἰ καὶ ἐναντίοι ἦσαν οἱ νόμοι τῆς παλαιᾶς τοῖς τῆς καινῆς, σφόδρα ἂν ἰσχυρισάμην ὡς οὐδὲ οὕτως ἕτερον ἐπεισάγειν Θεὸν ἐχρῆν. εἰ μὲν γὰρ κατὰ τὸν αὐτὸν καιρὸν τοῖς αὐτοῖς ἀνθρώποις περὶ τὰ αὐτὰ διατρίβουσιν, ἐν τοῖς αὐτοῖς οὖσι πράγμασιν, ἐναντίους ἐπέταττε νόμους, εἶχεν ἄν τινα αὐτοῖς λόγον ἴσως τὸ σόφισμα. εἰ δὲ ἑτέραν μὲν ἐκεῖνοι, ἑτέραν δὲ ἐγράφησαν οὗτοι, καὶ ἐν ἑτέρῳ καιρῷ, καὶ ἄλλως διακειμένοις, ποία ἀνάγκη διὰ τὴν τῶν νόμων διαφορὰν ἐναντίους εἰσάγειν νομοθέτας δύο; ἐγὼ μὲν οὐδεμίαν ὁρῶ· εἰ δὲ αὐτοὶ λέγειν ἔχουσιν, εἰπάτωσαν. ἀλλ' οὐκ ἂν ἔχοιεν. καὶ γὰρ καὶ ἰατρὸς ἐναντία ποιεῖ πολλάκις, καὶ νῦν μὲν πικρὰ, νῦν δὲ γλυκέα δίδωσι πίνειν φάρμακα. καὶ τὰ μὲν γινόμενα ἐναντία, ἡ δὲ γνώμη ἐφ' ἧς ταῦτα γίνεται, σύμφωνος καὶ μία· πρὸς γὰρ ἓν τέλος βλέπει τὴν τοῦ κάμνοντος ὑγείαν. καὶ γὰρ καίει καὶ οὐ καίει, τέμνει καὶ οὐ τέμνει τὸ αὐτὸ σῶμα πολλάκις, ἀλλ' οὐκ ἀπὸ ἐναντίας τῆς γνώμης, ἀλλ' ἀπὸ μιᾶς καὶ συμφώνου. πῶς οὖν οὐκ ἄτοπον ἰατρῷ μὲν μὴ ἐγκαλεῖν ἐναντία ποιοῦντι πολλὰ, καὶ περὶ ἑνὸς σώματος φύσιν, τῷ δὲ Θεῷ μέμψιν ἐπάγειν, εἰ κατὰ διαφόρους καιροὺς, διαφόροις ἀνθρώποις διάφορα ἔδωκε τὰ προστάγματα; ὅτι μὲν οὖν εἰ καὶ ἐναντίοι ἦσαν οἱ νόμοι οὐδὲ οὕτως ἐγκαλεῖν ἔδει, δῆλον ἐκ τούτου. ὅτι δὲ οὐδὲ ἐναντίοι εἰσὶν, ἀλλὰ διάφοροι μόνον, φέρε δείξωμεν.

Εἰ μὲν γὰρ τοῦ προτέρου κελεύσαντος μὴ φονεύειν, ὁ νέος φονεύειν ἐκέλευεν, ἴσως ἄν τις ἀντινομίαν ἔφησεν εἶναι τὸ λεγόμενον. εἰ δὲ ἐκείνου κελεύοντος μὴ φονεύειν, οὗτος ἐκέλευσε μηδὲ ὀργίζεσθαι. ἐπίτασις οὐκ ἐναντίωσις ὁ πρότερος τοῦ δευτέρου νόμου ἐστίν. ὁ μὲν γὰρ τὸν καρπὸν τῆς κακίας ἐξέτεμε, τὸν φόνον, οὗτος

δὲ καὶ τὴν ῥίζαν ἀνέσπασε τὴν ὀργήν. ἐκεῖνος τὸ ῥεῦμα τῆς πονηρίας ἐξέκοψεν, οὗτος καὶ τὴν πηγὴν αὐτὴν ἐξήρανε. πηγὴ γὰρ καὶ ῥίζα τοῦ φόνου, θυμὸς καὶ ὀργή. ἐκεῖνος προπαρεσκεύασεν, οὗτος τὸ λεῖπον ἐπλήρωσεν. ποία οὖν ἐναντιότης ὅταν ὁ μὲν τὸ τέλος τῶν κακῶν, ὁ δὲ καὶ τὴν ἀρχὴν ἐκκόπτῃ; ἐκεῖνος τὴν χεῖρα καθαρὰν ἐποίησεν αἵματος, οὗτος καὶ τὴν διάνοιαν αὐτὴν ἀπήλλαξε τῶν πονηρῶν βουλευμάτων. ταῦτα δὲ συμφωνούντων ἀλλήλοις νόμων οὐχὶ μαχομένων ἐστὶν, ὅπερ κατασκευάζειν οἱ τῆς ἀληθείας ἐχθροὶ σπουδάζουσι Μανιχαῖοι, μὴ συνορῶντες ὅτι ἐκ τούτου μεγάλῃ ῥαθυμίας καὶ ὑπεροψίας αἰτίᾳ τὸν τῆς καινῆς Θεὸν ὑποβάλλουσιν. εὑρεθήσεται γὰρ ἀκαίρως τὴν καθ' ἡμᾶς οἰκονομήσας, τὸ δὲ πῶς, ἐγὼ λέγω.

Γαλακτοτροφίᾳ προσέοικεν ἡ τῆς παλαιᾶς διαθήκης παιδαγωγία, στερεᾷ δὲ τροφῇ τῆς καινῆς διαθήκης ἡ φιλοσοφία. οὐδεὶς δὲ πρὶν ἢ θρέψαι γάλακτι πρὸς τὴν στερεὰν ἄγει τροφὴν, ὅπερ ἔσται πεποιηκὼς ὁ τῆς καινῆς Θεὸς, ἄν περ μὴ αὐτὸς ᾖ ὁ τὴν παλαιὰν δεδωκώς. καὶ ἑτέρῳ δὲ μείζονι αὐτὸν ἐγκλήματι ὑποβάλλουσιν, εἴγε μετὰ πεντακισχίλια καὶ πλείονα ἔτη τοῦ γένους ἧκε προνοήσων τοῦ ἡμετέρου. εἰ γὰρ μὴ αὐτὸς ἦν ὁ διὰ τῶν προφητῶν καὶ πατριαρχῶν τὰ καθ' ἡμᾶς ἅπαντα οἰκονομῶν, ἀλλ' ἕτερός τις παρὰ τοῦτον, ὀψέ ποτε καὶ βραδέως εὑρεθήσεται τῆς ἡμετέρας ἐπειλημμένος προνοίας· ὥσπερ ἔκ τινος μετανοίας ἀνενεγκών· ὅπερ οὐ Θεοῦ μόνον, ἀλλὰ καὶ ἀνθρώπου τοῦ τυχόντος ἀνάξιον ἂν εἴη, τοσούτους ἀφέντα ἀπολέσθαι ἐν τοσούτῳ χρόνῳ, ὀψέ ποτε ἐσχάτῳ τῶν καιρῶν τῆς τῶν ὀλίγων ἐπιλαβέσθαι προνοίας. ὁρᾷς, ὅσαις τὸν Θεὸν ὑποβάλλουσι βλασφημίαις, ἕτερον μὲν τῆς καινῆς, ἕτερον δὲ τῆς παλαιᾶς λέγοντες εἶναι νομοθέτην; ἅπερ ἅπαντα λύεται, ἂν ἕνα ἑκατέρας τῆς διαθήκης δῶμεν εἶναι Θεόν. εὑρεθήσεται γὰρ κατὰ λόγον τὰ καθ' ἡμᾶς οἰκονομῶν. τότε μὲν διὰ τοῦ νόμου, νῦν δὲ διὰ τῆς χάριτος, καὶ οὐ προσφάτως οὐδὲ νεωστὶ, ἀλλ' ἄνωθεν καὶ ἐκ πατρὸς[n] τῆς ἡμέρας τῆς ἡμετέρας ἐπειλημμένος προνοίας.

Ἵνα δὲ μειζόνως τὰ στόματα τῶν αἱρετικῶν ἀπορράψωμεν,

[n] Leg. πρώτης.

παρίτω καὶ αὖθις εἰς μέσον Ἱερεμίας, αὐτὸ τοῦτο δεικνὺς ἕνα καὶ τὸν αὐτὸν ἑκατέρας ὄντα τῆς διαθήκης Θεόν. τί οὖν οὗτος φησὶν, ἐκ προσώπου τοῦ νομοθέτου κηρύττων; "διαθήσομαι ὑμῖν διαθή-"κην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν "ὑμῶν." ὥστε ὁ τὴν καινὴν αὐτοῖς διαθέμενος, αὐτός ἐστιν ὁ καὶ τὴν παλαιὰν δοὺς Θεός. ἐνταῦθα καὶ τοὺς ἀπὸ Παύλου τοῦ Σαμοσατέως ἐπεστόμησεν ἱκανῶς, οἳ τὴν προαιώνιον ὕπαρξιν ἀνῃροῦν τοῦ μονογενοῦς. εἰ γὰρ πρὸ τοῦ τόκου τῆς Μαρίας οὐκ ἦν, οὐδὲ ὑπῆρχε πρὶν ἢ φανῆναι ἐν σαρκὶ, πῶς ἐνομοθέτει ὁ μὴ ὢν, πῶς δὲ ἔλεγε, "διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν "διεθέμην τοῖς πατράσιν ὑμῶν;" πῶς γὰρ διέθετο τοῖς πατράσι, μὴ ὑπάρχων, μηδὲ ὢν κατὰ τὸν ἐκείνων λόγον; ἀλλὰ πρὸς Ἰουδαίους μὲν καὶ τοὺς τοῦ Σαμοσατέως, ἱκανὴ στῆναι ἡ τοῦ προφήτου μαρτυρία· πρὸς δὲ τοὺς Μανιχαίους, τὸ ἀποστολικὸν ἐκεῖνο ῥητέον, "ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα "ἐκ τῆς ἐλευθέρας, ἅ ἐστιν ἀλληγορούμενα." ὥσπερ γὰρ ἐκεῖ δύο γυναῖκες ἑνὸς ἀνδρὸς, οὕτως ἐνταῦθα δύο διαθῆκαι ἑνὸς νομοθέτου.

Θεοδωρήτου. *Εἷς ἐστιν ἄρα ἑκατέρας ὁ νομοθέτης· εἰ δὲ ἀπιστοῦσι τοῖς προφήταις, ἀκουσάτωσαν τοῦ νομοθετοῦντος καὶ τοὺς παλαιοὺς οὐκ ἀνατρέποντος, ἀλλ' ἐπισφίγγοντος νόμους. ἀνατρέποντος γὰρ ἦν εἰπεῖν, ἐρρέθη, οὐ μοιχεύσεις, οὐ φονεύσεις, ἐγὼ δὲ λέγω μοίχευσον, φόνευσον. τοῦτο γὰρ οἱ συγγενεῖς Μαρκίωνος ἀντιτάκται ποιοῦσιν. ὁ δὲ Κύριος δι' ὧν νομοθετεῖ διαρρήδην διδάσκει, ὡς οὐκ ἀνατρέπει τὰ παλαιὰ, ἀλλ' ἀκριβεστέραν πολιτείαν εἰσάγει, καθάπερ ὁ γραμματιστὴς τοὺς μὲν τῆς μαθήσεως ἀρχομένους τῶν στοιχείων διδάσκων τοὺς χαρακτῆρας, τοῖς δὲ ταῦτα μεμαθηκόσι τῶν συλλαβῶν προσφέρων τὰς συμπλοκάς. ἄλλους δὲ τὴν τῶν ὀνομάτων ἐκπαιδεύων συνθήκην, καὶ ἑτέρους τὴν τῆς ἀναγνώσεως ἁρμονίαν, οὐκ ἐναντίους νόμους διδασκαλίας εἰσφέρει, ἀλλὰ σύμμετρα ταῖς ἡλικίαις προσφέρει παιδεύματα, οὕτως ὁ δεσπότης Θεὸς ἑκάστῃ γενεᾷ τοὺς ἁρμοδίους ἔδωκε νόμους.*

Βασιλείου. *Σὺ δέ μοι ἐρώτησον τὸν τῆς κατατομῆς ἄνθρωπον τὸν κατὰ σάρκα Ἰουδαῖον, ὅταν λέγῃ Ἡσαΐας, "ἐκ Σιὼν ἐξελεύ-"σεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ," περὶ ποίου*

νόμου λέγει; ἆρά γε τοῦ διὰ Μωσέως δοθέντος; ἀλλὰ πῶς οὗτος ἀπὸ Σιὼν, δεικνύτωσαν. Μωϋσῆς γὰρ οὐκ εἰσῆλθεν εἰς τὴν γῆν τῆς κατασχέσεως, τὸ δὲ Σιὼν ἐν τῇ Ἰουδαίᾳ. ἔσφαλται οὖν ἡ γραφὴ κατ' αὐτοὺς, ἀντ' ἄλλου ὀνόματος ἄλλο λέγουσα. ἀντὶ γὰρ τοῦ Σινᾶ ἢ τοῦ Χωρὴβ, τὸ Σιὼν τίθησιν. ἀλλὰ περὶ ἄλλου νόμου λέγει; ποίου; τοῦ πότε δοθέντος, ἢ ποῦ γεγραμμένου; καὶ λόγον δὲ ἐκ τῆς Ἱερουσαλὴμ, τὸν προφητικὸν λέγει; ἀλλ' ἐκεῖνος πανταχοῦ τῆς Ἰουδαίων γεγένηται. καὶ οὐ μόνον ἐν τῇ Ἱερουσαλὴμ, καὶ κατὰ τὸν Ἰσραὴλ, ἀλλὰ καὶ ἐν τῇ αἰχμαλωσίᾳ, καὶ ἐν Νινευῒν, καὶ πολλαχοῦ τῆς γῆς. ἀγχέσθωσαν οὖν ὑπὸ τῆς ἀληθείας, καὶ καταδεχέσθωσαν τὴν τοῦ Κυρίου νομοθεσίαν, ἀπὸ τῆς Σιὼν καὶ τῆς Ἱερουσαλὴμ γινομένην. ἐκεῖθεν γὰρ ἀρξάμενος, εἰς πάντα τὸν κόσμον ἐπεσπάρη τὸ κήρυγμα.

Χρυσοστόμου εἰς τοὺς Μακκαβαίους. Ὅτι μὲν οὖν καινῆς καὶ παλαιᾶς διαθήκης εἷς ὁ νομοθέτης, ἐντεῦθεν δῆλον. ἐνταῦθα δὲ εἴτις ἀκριβῶς κατίδοι τὸ ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Ἱερεμίου εἰρημένον, οὐ τῆς τυχούσης ἀπορίας γέμει. λέγων γὰρ τὴν αἰτίαν δι' ἣν μέλλει διδόναι τὴν καινὴν διαθήκην, καινήν τινα καὶ παράδοξον τέθεικεν. εἰπὼν γὰρ "διαθήσομαι διαθήκην καινὴν, οὐ κατὰ τὴν "διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν," ἐπήπαγεν, "ὅτι "αὐτοὶ οὐκ ἐνέμειναν τὴν διαθήκην μου, κἀγὼ ἠμέλησα αὐτῶν "λέγει Κύριος."

Καὶ μὴν διὰ τοῦτο αὐτοὺς κολασθῆναι ἔδει, καὶ τὴν ἐσχάτην δοῦναι δίκην, ὅτι τοσούτων ἀπολαύσαντες θαυμάτων, καὶ νόμον λαβόντες, οὐδαμόθεν ἐγένοντο βελτίους. ὁ δὲ οὐ μόνον αὐτοὺς οὐκ ἀπαιτεῖ δίκην, ἀλλὰ καὶ μείζονα ἐπαγγέλλεται τῶν προτέρων. εἰκότως οὖν τις διαπορήσει. τί δή ποτε τῆς προτέρας διαθήκης παραβαθείσης, ἑτέρα δίδοται βελτίων, καὶ οἱ κολάσεως ὄντες ἄξιοι οὐ μόνον τοῦτο οὐκ ἔπαθον, ἀλλὰ καὶ μείζονος ἀπήλαυσαν τιμῆς; ὡς μὲν οὖν συντόμως εἰπεῖν, ἐκεῖνο ἐροῦμεν, ὅτι καὶ τοῦτο μάλιστα τὴν τοῦ Θεοῦ δείκνυσι φιλανθρωπίαν. "ὅπου γὰρ ἐπλεό-"νασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις." πῶς δὲ τοῦτο γέγονεν, ἐντεῦθεν εἰσόμεθα. ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ τὴν εὐλογίαν ἔσεσθαι Θεὸς ἐπηγγείλατο. ἐπεὶ δὲ οἱ μέλλοντες τῆς κληρονομίας

ἀπολαύειν καὶ τῆς εὐλογίας, ἀνάξιοι ταύτης ἦσαν, πρὸς κακίαν αὐτομολοῦντες, ἐπισχεῖν ταύτην βουλόμενος, νόμον ἔδωκεν. ἀλλὰ καὶ ἐκ τούτου πλέον ἐβαροῦντο, κατήγορον αὐτὸν ἔχοντες, καὶ πλέον ἡ ἐπαγγελία ἐκυροῦτο. διὰ τοῦτο εὗρεν ὁδὸν εὐκολωτάτην σωτηρίας τὴν ἀπὸ τῆς πίστεως. ἡ γὰρ τῶν ἐντολῶν κατόρθωσις, δυσκολίαν ἔχει, καὶ διὰ τῆς πίστεως ἄξιοι τῆς ἐπαγγελίας οἱ μέλλοντες αὐτῆς ἀπολαύειν ἐφάνησαν. καὶ τοῦτο κατασκευάζει ὁ Παῦλος, ἔν τε τῇ πρὸς Ῥωμαίους, καὶ ἐν τῇ πρὸς Γαλάτας Ἐπιστολῇ.

Χρυσοστόμου. Ἐνταῦθα μέντοι εἰπὼν ὅτι “αὐτοὶ οὐκ ἐνέμειναν “ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν,” ὥσπερ ἀπολογίαν τίθησι, τὴν αἰτίαν δεικνὺς δι᾽ ἣν ἐγκαταλιμπάνει αὐτούς. ὁρᾷς, πρῶτον παρ᾽ ἡμῶν ἀρχόμενα τὰ κακὰ, αὐτοί φησι, πρῶτοι οὐκ ἐνέμειναν, καὶ παρ᾽ ἡμῶν ἡ ἀμέλεια, τὰ δὲ ἀγαθὰ παρ᾽ αὐτοῦ, τὰ τῆς εὐεργεσίας λέγω. ἤρξατο γὰρ αὐτῶν ἡ παρακοὴ, καὶ οὕτως ἡ τοῦ Θεοῦ ἀμέλεια ἐπηκολούθησεν. εἶτα ἐπάγει, “ὅτι αὕτη ἡ δια-“θήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ, μετὰ τὰς ἡμέρας ἐκείνας “λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ “ἐπὶ καρδίαν αὐτῶν ἐπιγράψω αὐτοὺς, καὶ ἔσομαι αὐτοῖς εἰς “Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. καὶ οὐ μὴ διδάξωσιν “ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, “λέγων, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ “ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ “τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.”

Χρυσοστόμου. Εἰπὼν παλαιὰν διαθήκην ἣν ἔδωκεν, εἰπὼν καὶ νέαν ἣν μέλλει διδόναι, ὑπογράφει δὴ καὶ τὴν εὐμορφίαν αὐτῆς, καὶ δείκνυσιν αὐτῆς τοὺς χαρακτῆρας, καὶ τὰ παράσημα ἐπάλληλα τίθησιν, ἵνα μάθῃς πόσον τὸ διάφορον τῆς καινῆς πρὸς τὴν παλαιὰν, τὸ διάφορον, οὐ τὸ ἐναντίον, πόση ἡ ὑπεροχὴ, πόση ἡ λαμπαδὼν, πόση ἡ ἀστραπὴ τῶν δωρεῶν καὶ τῆς χάριτος. τίνες οὖν οἱ χαρακτῆρες τῆς καινῆς; “διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ “ἐπὶ καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς.” ὁ μὲν γὰρ παλαιὸς νόμος ἐν πλαξὶ λιθίναις ἐγράφη, καὶ ἐπειδὴ αἱ πρῶται συνετρίβησαν πλάκες, ἑτέρας πάλιν ἐκόλαψε, καὶ ἐκεῖ τὰ γράμματα ἐγχα-

ῥάξας, κατέβαινε Μωϋσῆς, συγγενῆ τῆς ἀναισθησίας τῶν δεχομένων τὴν φύσιν τῶν δέλτων ἔχων. ἡ δὲ καινὴ οὐχ οὕτως· οὐ γὰρ πλάκες ἐκολάφθησαν, ὅτε ἡ καινὴ διαθήκη ἐδίδοτο· ἀλλὰ πῶς καὶ τίνι τρόπῳ, ἄκουε Λουκᾶ διηγουμένου, "ἦσαν πάντες ὁμοθυμαδὸν "ἐπὶ τὸ αὐτό," φησι, "καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ φωνὴ ὡσεὶ "φερομένης πνοῆς βιαίας, καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι "γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ "ἐπλήσθησαν Πνεύματος Ἁγίου, καὶ ἤρξαντο ἀποφθέγγεσθαι ταῖς "γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς." ὁρᾷς πῶς τοῦτο ἄνωθεν ὁ προφήτης σαφῶς προανεφώνησεν; οὕτως εἰπὼν, "διδοὺς "νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίαν αὐτῶν ἐπιγράψω "αὐτούς." ἡ γὰρ τοῦ Πνεύματος χάρις ἡ παρὰ τοῦ Θεοῦ δοθεῖσα, ταῖς διανοίαις αὐτῶν ἐγκαθισθεῖσα, στήλας αὐτοὺς ἐποίησεν ἐμψύχους, καὶ τῇ διανοίᾳ πάντα ἀνέγραψε μετὰ εὐκολίας ἁπάσης, καὶ εἰς τὸ πλάτος αὐτῶν τῆς ψυχῆς τὸ πᾶν ἐναπέθετο. οὐδαμοῦ λίθος, οὐδὲ ἄψυχος ὕλη, οὐδὲ γράμματα, πέτρᾳ ἐγκολαπτόμενα, ἀλλὰ Πνεύματος χάρις εἰς τὴν διάνοιαν τῶν Ἀποστόλων ἐγγράφουσα. διὰ δὴ τοῦτο ἀθρόον καθάπερ σπινθῆρες ἐκπηδήσαντες, πάντων σοφώτεροι καθίσταντο, τὴν πηγὴν τῆς διδασκαλίας ἐν τῇ διανοίᾳ βρύουσαν ἔχοντες, καὶ Ἰουδαίους ἐπεστόμιζον, καὶ φιλοσόφων ἀπέφραττον στόματα, καὶ ῥητόρων ἀπέρραπτον γλώσσας, καὶ γῆν καὶ θάλατταν ἐσαγήνευον, καὶ τοὺς παλαιοὺς ἀνασπῶντες νόμους, τὴν καινὴν ἐφύτευον διαθήκην, οὐκ ἐν ἑνὶ ἱδρυμένοι χωρίῳ, καθάπερ αἱ πλάκες ἐκεῖναι, ἀλλ' ἁπανταχοῦ τῆς γῆς περιϊπτάμενοι, καὶ πᾶσιν ἀπαγγέλλοντες τὰ ἐν τῇ διανοίᾳ ἐγγεγραμμένα.

Χρυσοστόμου. Ὥστε λέγων "διαθήσομαι διαθήκην, οὐ κατὰ "τὴν παλαιὰν," οὐ πραγματείας διαφορὰν, ἀλλὰ τὸν τρόπον τῆς δόσεως δείκνυσιν. οὐκέτι ἐν γράμμασιν ἔσται φησὶν ἡ διαθήκη, ἀλλ' ἐν καρδίᾳ. ἐρώτησον τοίνυν τὸν Ἰουδαν, τί φησιν ὁ Ἱερεμίας λέγων, "διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας "αὐτῶν ἐπιγράψω αὐτούς." ταῦτα γάρ φησιν, ὡς καινόν τι καὶ παράδοξον παρὰ τὸ πρότερον γεγενημένον ποιῶν, καὶ τὸ ἰδιάζον τῆς διαθήκης ταύτης ἡμῖν ὑπαγορεύων, τὸν τρόπον τῆς δόσεως δῆλον ἡμῖν κατέστησε, πολὺ τοῦ προτέρου λαμπρότερον ὄντα. δειξάτω τοίνυν τοῦτο ποτὲ γενόμενον Ἰουδαῖον, καὶ ὅτι ἄγραφον νόμον

παρέλαβεν, ἀλλ' οὐκ ἂν εὕροι· πάλιν γὰρ ἐν γράμμασιν ἐγένετο ὑπὸ τοῦ Ἔσδρα μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, καὶ τὴν γραφὴν ἀνεκαίνισε μὲν οὗτος ἀπομνημονεύσας, παλαιὰ δὲ πάλιν ἔμεινε καὶ οὐ γέγονε καινή. ἐγὼ δὲ δείκνυμι τοὺς Ἀποστόλους μηδὲν παραλαβόντας γραπτὸν, ἀλλ' ἐν ταῖς καρδίαις τὸν νόμον δεξαμένους διὰ Πνεύματος Ἁγίου. διὸ καὶ ἔλεγεν ὁ Χριστὸς, "ἐκεῖνος "ἐλθὼν ἀναμνήσει ὑμᾶς πάντα, καὶ διδάξει ὑμᾶς."

10 Καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.

Καὶ τοῦτο ἐν τῇ καινῇ κατώρθωται. τίς γὰρ ἔπειθεν εὐχερῶς τινα ἐν τῇ παλαιᾷ ἀποστῆναι τῆς δεισιδαιμονίας; τοὐναντίον μὲν οὖν καὶ ὁ Ἰσραὴλ εἰς τὴν πλάνην μετετίθετο.

11 Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ τὸν πολίτην αὐτοῦ, λέγων, γνῶθι τὸν Κύριον.

Τί τοῦτο; μεγάλα ἐπαγγειλάμενος, καὶ ἐπάρας ἡμᾶς ταῖς ἐλπίσι, καὶ λαμπρὰ δείξας τὰ σημεῖα, πῶς τοῦτο ἐπήγαγε λέγων, "ὅτι οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον γνῶθι τὸν Κύριον;" οὗτος ὁ καρπὸς τῆς τοσαύτης χάριτος, τὸ μὴ διδάσκεσθαι, τοῦτο τῆς καινῆς διαθήκης τὸ κατόρθωμα, τὸ μὴ μανθάνειν; ναί φησι, τοῦτο δὲ λέγει, ἵνα δείξῃ τὴν εὐκολίαν τῆς γνώσεως καὶ τὴν απονωτέραν διδασκαλίαν, καὶ τὸ τάχος τοῦ κηρύγματος. καθάπερ γὰρ ἡλίου φανέντος, οὐ δεόμεθα τῶν διδασκόντων καὶ δεικνυόντων ἡμῖν τὸ φῶς, αὐτῆς τῆς ἀκτῖνος δήλην ἑαυτὴν ποιούσης, οὐδέν ἐστιν ὁ λέγων τῷ πλησίον, βλέπε τὸν ἥλιον, οὕτως ἔσται ἡ γνῶσις λαμπρὰ καὶ περιφανὴς, καὶ αὐτῆς τῆς ἀκτῖνος φανοτέρα, ὡς μὴ δεῖσθαι διδασκαλίας, ἀλλὰ πάντας αὐτομολεῖν οἴκοθεν πρὸς τὴν ἀλήθειαν, καὶ μετὰ πολλῆς ταχυτῆτος τὸ κήρυγμα ὑποδέχεσθαι· ὅπερ οὖν καὶ ἐγένετο. ἰδοὺ γὰρ ὁρῶμεν ὅτι οὐδὲ πλειόνων λόγων χρεία πρὸς τοὺς ὑγιαίνοντας τὸν νοῦν εἰς τὸ πεῖσαι πιστεύειν Χριστῷ· θεοδίδακτοι γὰρ ἅπαντες, καθὸ ἐν ταῖς καρδίαις ἡμῶν τοὺς νόμους αὐτοῦ ἔγραψεν ὁ Χριστὸς, ὅθεν ἐπάγει,

Ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν.

Διὰ τοῦτο οὐ χρεία διδασκαλίας, οὐδὲ κατηχήσεως. ταῦτα δὲ λέγει πρὸς ἀντιδιαστολὴν τῶν πρώην λεγομένων, ὅτι Ἰουδαίους μὲν μυρίοι παραλαβόντες διδάσκαλοι καὶ προφῆται καθ' ἑκάστην ἡμέραν πλάττοντες, οὐκ ἐπαίδευσαν ὡς ἐχρῆν, τὴν οἰκουμένην ἅπασαν ἐν βραχείᾳ χρόνου ῥοπῇ μετὰ πολλῆς ἐπεσπάσαντο τῆς εὐκολίας, ὥστε μήτε δεηθῆναι διδασκάλων, ἀλλὰ τοῦ φωτὸς αὐτοῦ παχύτερον τρέχειν τὸν λόγον· εἰ γὰρ καὶ ἐδίδαξαν οἱ Ἀπόστολοι, ἀλλ' ὅμως μετὰ πολλῆς τῆς εὐκολίας ὑπεδέξαντο πάντες τὸν λόγον, τὴν γοῦν πρώτην ἡμέραν, τρισχίλιοι, εἶτα πεντακισχίλιοι, εἶτα μύριοι, εἶτα πᾶσα ἡ οἰκουμένη ἐν βραχείᾳ χρόνου ῥοπῇ πρὸς τὴν ἀλήθειαν μεθορμίσατο. ὃ τοίνυν λέγει τοῦτό ἐστιν· ὅτι διὰ τὴν φορὰν καὶ τὴν χάριν τὴν ἐκκεχυμένην, καὶ τὸ περιφανὲς τῆς γνώσεως, οὐδὲ πόνου χρεία, οὐδὲ χρόνου, ἀλλ' αὐτόματοι πάντες ἥξουσι πρὸς τὴν τῆς ἀληθείας γνῶσιν. οὐ τὴν διδασκαλίαν τοίνυν ἀναιρῶν τοῦτο τέθεικεν, ἀλλὰ τὴν εὐκολίαν ἐνδείξασθαι βουλόμενος, καὶ τὸ προλαμβάνειν τοὺς μαθητὰς τῶν διδασκάλων τὴν κατήχησιν· διὸ καὶ ἐπήγαγεν, "ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως "μεγάλου αὐτῶν."

Κατὰ τοῦτο φησὶν οὐ διδάξουσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, ὅτι πάντες εἰδήσουσί με. ἡ μὲν γὰρ Ἰουδαϊκὴ γνῶσις καὶ πίστις ἐν Παλαιστίνῃ ἀποκέκλειστο· ἡ δὲ τῶν Χριστιανῶν, ἁπάσης τῆς γῆς ἐπελάβετο, ὃ καὶ ἕτερος προφήτης φησὶν, ὅτι πλησθήσεται πᾶσα ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ τῇ ῥύμῃ φερόμενον, μετὰ πολλοῦ τοῦ τάχους ἅπαντα ἔπεισιν. οὕτως καὶ ὁ τοῦ κηρύγματος λόγος τὴν οἰκουμένην ἐπέδραμεν ἅπασαν, ποταμοῦ δίκην ἅπαντα περιτρέχων. ἐρώτησον τοίνυν καὶ ἐνταῦθα τὸν Ἰουδαν, πότε τοῦτο γέγονεν ἐν τῇ παλαιᾷ; ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο δεῖξαι. πῶς γάρ; ὅπου γε οὐδὲ ἔθνος διωρθώθη, τοσούτων θαυμάτων καὶ σημείων γενομένων, καὶ τῶν προφητῶν καθ' ἑκάστην αὐτοὺς ἐνηχούντων τὴν ἡμέραν· εἴδωλα προσεκύνουν, καὶ ἄλση καὶ ξύλα καὶ λίθους ἐθεράπευον, ἐν ἔτεσι χιλίοις καὶ πολλῷ πλειόσι τὰ ἀπὸ τοῦ νόμου παιδευόμενοι. ἀλλ' οὐκ ἐν τῇ χάριτι τοῦτο, ἀλλ' ὁμοῦ τε ἀνέτειλεν ὁ τοῦ κηρύγματος λόγος, καὶ τὴν οἰκουμένην κατηύγασεν ἅπασαν· καὶ τοῦτο δηλῶν ὁ Παῦλος, ἐξ ἐκείνων τῶν χρόνων ἐβόα, "τοῦ εὐαγ-

γελίου τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν." καὶ πάλιν, "καθώς ἐστι καρποφορούμενον καὶ αὐξανόμενον." καὶ Ἰουδαίων τὴν ἄνοιαν ἐπικόπτων ἔλεγεν, "ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν, "μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν."

ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ἰδοὺ καὶ ἄλλο σημεῖον τῆς καινῆς, "ἀπὸ μικροῦ ἕως μεγάλου εἰδήσουσί με." πότε τοῦτο γέγονεν, ἢ νῦν; δῆλον γὰρ τὸ ἡμέτερον, τὸ δὲ Ἰουδαίων οὐ δῆλον, ἀλλ' ἀποκέκλειστο εἰς γωνίαν. ἄλλως δὲ καινὴ τότε λέγεται, ὅταν ἕτερα ᾖ, καὶ δεικνύει εἴ τι τῆς παλαιᾶς πλέον ἔχει. καινὴ δὲ καὶ αὕτη τυγχάνει, ὅταν αὐτῆς τὰ μὲν περιαιρέσῃς, τὰ δὲ μή. οἷον ἐπὶ ὑποδείγματος ἵνα εἴπω· εἴ τις οἰκίαν παλαιὰν μέλλουσαν καταπίπτειν, ἀφεὶς τὸ πᾶν, τὸν θεμέλιον ὑπέρραψεν, εὐθέως λέγομεν ὅτι ἐποίησεν αὐτὴν καινὴν, ὅταν τὰ μὲν ἐξέλῃ, τὰ δὲ ἀντεισάγει. καὶ γὰρ καὶ ὁ οὐρανὸς καινὸς λέγεται οὕτως, ὅταν μηκέτι χαλκοῦς ᾖ, ἀλλ' ὑετὸν διδῷ. καὶ ἡ γῆ καινὴ ὁμοίως, ὅταν μὴ ἄκαρπος ᾖ, οὐχ ὅταν μεταβληθῇ. καὶ οἶκος οὕτως καινὸς, ὅταν τὰ μὲν αὐτοῦ ἐξαιρεθῇ, τὰ δὲ μένῃ. ὥστε καὶ διαθήκην καινὴν καλῶς εἶπεν, ἵνα δείξῃ ὅτι παλαιὰ γέγονεν ἡ διαθήκη ἐκείνη, κατὰ τὸ μηδένα δοῦναι καρπόν. καὶ ἵνα μάθῃς ἀκριβῶς, ἀνάγνωθι τί φησιν Ἀγγαῖος, τί Ζαχαρίας, οὔπω οὐδὲ τῆς ἐπανόδου πλήρους γεγενημένης. τί δὲ Ἔσδρας ἐγκαλεῖ; "πῶς δὲ οὐδεὶς ἐρωτᾷ Κύριον, ὅπου γε καὶ αὐτοὶ "παρέβησαν, καὶ οὐδὲ αὐτοὶ ᾔδεσαν;" ὁρᾷς πῶς βεβίασται τὸ σόν; ἐγὼ δὲ τὸ ἐμὸν τίθημι. ὅτι καινὴ κυρίως αὕτη ἂν λέγοιτο· ἄλλως δὲ οὐδὲ ἐκεῖνο συγχωρῶ περὶ τούτου εἰρῆσθαι, τὸ ἔσται καινὸς ὁ οὐρανός. διατί γὰρ μὴ λέγων ἐν τῷ Δευτερονομίῳ ὅτι "ἔσται χαλκοῦς "ὁ οὐρανὸς," τοῦτο ἔθηκεν ἐν τῇ διαστολῇ, "ἐὰν δὲ εἰσακούσητε, "ἔσται καινός." καὶ μὴν διὰ τοῦτο φησὶν ἑτέραν διαθήκην δώσειν, ἐπειδὴ τῇ προτέρᾳ οὐκ ἐνέμειναν. τοῦτο ἐγὼ δείκνυμι, δι' ὧν φησι, "τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἡ ἀσθένεια διὰ τῆς σαρκὸς," καὶ τὰ ἑξῆς. καὶ πάλιν "τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν "ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε "ἡμεῖς ἰσχύσαμεν βαστάσαι;" "ἀλλ' ἐκεῖνοι οὐκ ἐνέμειναν," φησιν. ἐνταῦθα δείκνυσιν ὅτι μειζόνων ἡμᾶς ἀξιοῖ, καὶ πνευματικῶν. "εἰς πᾶσαν," γάρ φησι, "τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν."*

τοῦτό ἐστιν, "οὐ μὴ εἴπωσιν ἕκαστος τῷ πλησίον, γνῶθι τὸν Κύ-"ριον." καὶ πάλιν, "πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, καὶ "ὕδωρ πολὺ, κατακαλύψαι θαλάσσας."

Χρυσοστόμου εἰς τοὺς Μακκαβαίους. Εἰπὼν δὴ τοῦτο, λέγει καὶ ἕτερον παράσημον τῆς διαθήκης. ποῖον δὴ τοῦτο; "ὅτι "ἵλεος ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ "τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι." τί δὴ τοῦτό ἐστι τὸ λεγόμενον; τὸ βάπτισμα ἐνταῦθα δηλοῖ, καὶ τὴν διὰ τῆς χάριτος συγχώρησιν, ὅπερ ἐπὶ τοῦ νόμου οὐ γέγονεν, ἀλλ' ἐπὶ τῆς καινῆς διαθήκης. ἐπὶ γὰρ τοῦ νόμου, κόλασις ἦν καὶ τιμωρία καὶ δίκη κολάζουσα τοὺς τὰ γράμματα παραβαίνοντας. ἐπὶ δὲ τῆς καινῆς χάρις καὶ συγχώρησις καὶ πλημμελημάτων ἄφεσις, διὰ λουτροῦ παλιγγενεσίας· διὸ καὶ Παῦλος ἔλεγεν, ὡς ὅτι "Θεὸς ἦν ἐν Χριστῷ "κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς, τὰ παραπτώ-"ματα αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν τὴν διαθήκην τῆς καταλλαγῆς·" ὅπερ ὁ προφήτης φησὶν, "ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν," ταῖς προγενομέναις δηλαδὴ, ἀφεὶς αὐτὰς ἐν τῷ βαπτίσματι, ὡς οὐδὲ μνησθῆναι ἔτι λέγει, καὶ εἰρηκὼς, "καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ "μνησθῶ ἔτι." τρία τοίνυν τίθησι τὰ γνωρίσματα τῆς καινῆς διαθήκης, ἓν μὲν τὸ μὴ ἐν πλαξὶ δοθῆναι λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίαις σαρκίναις· ἕτερον δὲ τὸ μετ' εὐκολίας τρέχειν τὸν λόγον, καὶ τὴν ἁπάντων καταυγάσαι διάνοιαν· τρίτον, τοῦ νόμου λυθέντος μηδένα ἀπαιτηθῆναι δίκην τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ ἕκαστον λαβεῖν συγχώρησιν τῶν πλημμελημάτων, ἐκπλυθέντων ἐν τῷ βαπτίσματι. ὅρα τοίνυν τὰ τρία ταῦτα πῶς μετὰ ἀκριβείας τίθησι καὶ ὁ Παῦλος, ἵνα μάθῃς καὶ τῶν κηρύκων τῆς καινῆς καὶ τῆς παλαιᾶς τὴν συμφωνίαν. Κορινθίοις γὰρ ἐπιστέλλων οὕτω πῶς φησιν, "ἡ Ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε διακονηθεῖσα ὑφ' ἡμῶν, "ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν "πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίαις σαρκίναις." καὶ προϊὼν πάλιν φησὶ, "ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, ὃς καὶ ἱκάνω-"σεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ Πνεύ-"ματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ." ἐνταῦθα πάλιν ἐκεῖνο ἡρμήνευσε, τὸ "ἵλεως ἔσομαι ταῖς ἀδικίαις "αὐτῶν." ἀλλ' ὁ μὲν προφήτης τῆς παλαιᾶς τὴν φαιδρότητα

ἡμῖν ὑπογράφει· ὁ δὲ Ἀπόστολος ἐπειδὴ πρὸς Ἰουδαίους ἐμάχετο, παράλληλα ἑκάτερα τίθησιν, ἄνω μὲν εἰπὼν, "οὐκ ἐν πλαξὶ λιθί- "ναις, ἀλλ' ἐν καρδίαις σαρκίναις," ἐνταῦθα δὲ "οὐ γράμματος ἀλλὰ "Πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ." ἐν σαββάτῳ συνέλεξέ τις ξύλα καὶ ἐλιθάσθη. εἶδες πῶς τὸ γράμμα ἀποκτείνει, τουτέστιν ὁ νόμος ἐκόλασε. μάθε πῶς τὸ Πνεῦμα ζωοποιεῖ. εἰσέρχεταί τις μυρίων γέμων κακῶν, ἡταιρηκὼς, νεκρωθεὶς ἤδη τῇ ἁμαρτίᾳ. λαμβάνει αὐτὸν ἡ τοῦ Πνεύματος χάρις εἰς τὴν κολυμβήθραν, καὶ τὸν ἡταιρηκότα, υἱὸν Θεοῦ κατασκευάζει, καὶ τὸν νεκρωθέντα ταῖς ἁμαρτίαις ζωογονεῖ ἡ χάρις· τοῦτο ἐστὶ, "τὸ δὲ Πνεῦμα ζωοποιεῖ." πῶς δὲ ζωοποιεῖ; οὐκ ἀπαιτῶν εὐθύνας τῶν πλημμελημάτων, κατὰ τὸ "ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν." ἐρώτησον πάλιν τὸν Ἰουδαῖον, ποῦ τοῦτο γέγονεν, ἐν τῷ νόμῳ; ἀλλ' οὐκ ἂν ἔχοι δεῖξαι, ἀλλὰ καὶ ὁ τὰ ξύλα συλλέξας ἐλιθάζετο, καὶ ἡ πορνεύουσα κατεκαίετο, καὶ Μωϋσῆς διὰ μίαν ἁμαρτίαν τῆς γῆς τῆς ἐπαγγελίας ἐξέπεσεν. ἐπὶ δὲ τῆς χάριτος, οἱ μυρία ἐργαζόμενοι δεινὰ, τοῦ βαπτίσματος ἀπολαύοντες ζωογονοῦνται, καὶ οὐδεμίαν ἀπαιτοῦνται δίκην τῶν πλημμελημάτων. διὸ καὶ Παῦλος *ἔλεγεν, "ὅτι καὶ ταῦτα τινὲς ἦτε ἀλλ' ἀπελούσασθε, "ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ* Κυρίου *"*Ἰησοῦ, *καὶ ἐν τῷ* Πνεύματι *τοῦ* Θεοῦ *ἡμῶν." εἶδες πῶς λάμπει τὸ προφητικὸν "ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν," πῶς ἀστράπτει τὸ ἀποστολικὸν, ὅτι "τὸ* Πνεῦμα *ζωοποιεῖ." βούλει μαθεῖν καὶ τὸ ἕτερον τὸν* Ἀπόστολον *λέγοντα, πῶς ἐν βραχείᾳ χρόνου ῥοπῇ τὴν οἰκουμένην περιῆλθεν ἅπασαν, ἄκουσον αὐτοῦ λέγοντος, "ὥστε με ἀπὸ* Ἱερουσαλὴμ *καὶ μέχρι τοῦ* Ἰλλυρικοῦ *πε- "πληρωκέναι τὸ εὐαγγέλιον." καὶ πάλιν· "νυνὶ δὲ, μηκέτι τόπον "ἔχων ἐν τοῖς κλήμασι τούτοις." εἰ δὲ εἷς* Ἀπόστολος *ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ πλέον τῆς οἰκουμένης διέδραμεν, ἐννόησον πῶς οἱ ἄλλοι ἅπασαν αὐτὴν ἐσαγήνευσαν. διὸ καὶ ἔλεγε, "τοῦ εὐαγγελίου "τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν." τὸ προφητικὸν ἐκεῖνο ἑρμηνεύων, "ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ "ἕως μεγάλου αὐτῶν."*

ΧΡΥΣΟΣΤΟΜΟΥ. "Καὶ *ἔσονται θεοδίδακτοι," τί δὲ οἱ πρὸ τούτου φησιν, οὐχὶ διδακτοὶ ἦσαν* Θεοῦ; *τί οὖν ἐνταῦθα τὸ ἐξαίρε-*

τον; ὅτι τότε μὲν δι' ἀνθρώπων ἐμάνθανον τὰ τοῦ Θεοῦ, καὶ διὰ τοῦ Πνεύματος τοῦ Ἁγίου. αὐτὸς γὰρ δεῦρο ἐπισιτίσας τὴν ἀσάφειαν τοῦ κηρύγματος τῇ οἰκείᾳ δυνάμει ἡρμήνευσεν, διὸ καὶ θεοδιδάκτους ἔσεσθαι πάντας, προφητικὸν προεμήνυσε λόγιον.

Εὐσεβίου. Ἀμέλει οὐ κατὰ Μωσέα πλαξὶ λιθίναις τοὺς αὐτοῦ νόμους κατεβάλλετο, στήλαις δ' ὥσπερ ἱεραῖς ταῖς αὐτοῦ γνωρίμων ψυχαῖς τοὺς αὐτοῦ κατέγραφε νόμους, καὶ παρεδίδου γε τὴν καινὴν διαθήκην λογισμοῖς καὶ διανοίαις κεκαθαρμέναις.

Θεοδωρήτου. Ὁ μέντοι Παῦλος ταύτην προσενεγκὼν ἐξ Ἱερεμίου τὴν μαρτυρίαν, θαυμασίως ἄγαν καὶ συντόμως ἐκβάλλει τὸν νόμον, καὶ φησὶν, ἐν τῷ λέγειν "καινὴν πεπαλαίωκε τὴν πρώτην· "τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ." νητοῖς γὰρ ἀνθρώποις ὁ νόμος ἁρμόδιος, ἡ δὲ καινὴ διαθήκη τὴν αἰώνιον ἡμῖν ὑπισχνεῖται ζωήν. εἰκότως τοίνυν ἐκείνη μὲν γεγήρακεν, αὕτη δὲ καινὴ μένει διὰ παντὸς ὡς τοῖς ἀγηράτοις αἰῶσι συνεζευγμένη, καθ' οὓς καὶ πάντες τὸν Θεὸν εἰδήσουσιν, ὡς ἡ προφητεία δεδήλωκεν. οἱ γὰρ ἔτι τὸν τῆς ἀπιστίας περικείμενοι ζόφον, ἐκεῖ τὴν ἀλήθειαν ὄψονται καὶ κόψονται κατὰ τὴν θείαν φωνήν.

Χρυσοστόμου. Σὺ δὲ ὅρα τὸ κρυπτόμενον ὅπως ἐξεκάλυψεν αὐτὴν τοῦ προφήτου τὴν διάνοιαν, ἐτίμησε τὸν νόμον, καὶ οὐκ ἠθέλησεν αὐτὸν εἰπεῖν παλαιὸν ὀνομαστί. τοῦτο μέν τοι ἔλεγεν ἐν τῷ φάσκειν, "διαθήσομαι διαθήκην καινὴν," οὐ γὰρ ἐκεῖνο καινὸν ἦν, οὐκ ἂν καὶ τοῦτο μετὰ ταῦτα καινὸν ἐκάλεσεν, ὥστε πλέον τί διδοὺς καὶ ἕτερον. ἐπαλαιώθη φησιν, οὐκοῦν καταλυθήσεται καὶ ἀπόλλυται, καὶ οὐκέτι ἔσται. λαβὼν γὰρ ἀπὸ τοῦ προφήτου τὴν παρρησίαν, μᾶλλον τοῦ νόμου καθάπτεται συμφερόντως. δεικνὺς ὅτι τὰ ἡμέτερα νῦν ἀνθεῖ, τουτέστιν ἔδειξεν οὖσαν παλαιὰν, εἶτα λαβὼν ἐξ Ἱερεμία τὸ παλαιᾶς ὄνομα, καὶ ἕτερον παρ' ἑαυτοῦ προσθεὶς τὸ τοῦ γήρως, τὸ λειπόμενον ἀπὸ τῶν ἄλλων λαμβάνει, καὶ φησὶν "ἐγγὺς ἀφανισμοῦ." οὐκ ἄρα ἁπλῶς κατέπαυσεν ἡ καινὴ τὴν παλαιὰν, ἀλλ' ὡς γεγηρακυῖαν, ὡς οὐ χρήσιμον, διὰ τοῦτο ἔλεγε, διὰ τὸ ἀσθενὲς, καὶ ἀνωφελὲς, καὶ ὅτι οὐδὲν ἐτελείωσεν ὁ νόμος, καὶ ὅτι εἰ ἡ πρώτη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. τί ἐστιν ἄμεμπτος; χρήσιμος, ἰσχυρά. τοῦτο δὲ λέγει, οὐχ ὥστε ἐγκλημάτων δεῖξαι ὑπεύθυνον, ἀλλ' ὡς οὐκ ἀρκοῦσαν

πρὸς δικαίωσιν. ἰδιωτικὸν δὲ ἐνταῦθα ἐφθέγξατο, ὡς ἄν τις εἴποι, οὐκ ἔστιν ἄμεμπτον τὸ ἱμάτιον, τουτέστι λοιπὸν διαρρεῖ. οὐχ ὡς πονηρὸν τοίνυν ἐνταῦθα φησὶ, τὸν νόμον οὐκ ἄμεμπτον, ἀλλ' ὡς ἔχοντα αἰτίαμα καὶ ἐλάττωμα. οὕτω δὴ καὶ ἡμεῖς, καινοὶ ἐγενόμεθα, νῦν δὲ πεπαλαιώμεθα. διὰ τοῦτο ἐγγὺς ἐσμὲν ἀφανισμοῦ καὶ ἀπωλείας. ἀλλ' ἔστιν ἀποξύσαι τοῦτο τὸ γῆρας λυτρῶν οὐδαμῶς, μετάνοια δὲ, ἐπειδὴ καὶ κάλλος τὸ ψυχικὸν ἡ λήθη ποιεῖ τῶν ἁμαρτημάτων. "ἐπιλάθου γὰρ τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ "πατρός σου," πρὸς τὴν ἐξ ἐθνῶν ἐκκλησίαν φησὶν ὁ Δαβίδ. ἐπιλαθόμεθα τῶν ἡμετέρων κακῶν, οὐ τῶν ἡμαρτημένων ἡμῖν λέγω. μνήσθητι γὰρ σύ φησι πρῶτος, καὶ οὐ μὴ μνησθῶ ἐγὼ, ἀλλὰ τοῦτο ἐστὶν ἐπιλαθέσθαι κακίας, τὸ μὴ δέξασθαι τοὺς τῆς κακίας λογισμοὺς, ἀλλὰ καὶ τὰ ἤδη πεπλημμελημένα ἀπαλείφειν. ὅρα δὲ, οὐκ εἶπε, μὴ μετέλθῃς τὰ τῶν πατέρων, μὴ λαλήσῃς ταῦτα, ἀλλ' ὃ πλέον ἐστι, "μηδὲ ἀναμνησθῇς αὐτῶν, μηδὲ εἰς νοῦν λάβῃς." ὁρᾷς πόσον ἡμᾶς διάστημα τῆς κακίας ἀπέχειν βούλεται; ὁ γὰρ μὴ μεμνημένος, οὐ λογιεῖται, ὁ δὲ μὴ λογιζόμενος, οὐ φθέγγεται. ὁ δὲ μὴ φθεγγόμενος, οὐδὲ πράξει. ὁρᾷς, πρὸ πόσων ἀπετείχισεν ἡμᾶς ὁδῶν· πρὸ πόσων διαστημάτων ἀπεμάκρυνεν; πόθεν οὖν ἂν γένοιτο λήθη πονηρίας; ἀπὸ τῆς μνήμης τῶν ἀγαθῶν τοῦ Θεοῦ, ἐὰν τοῦ Θεοῦ διαπαντὸς μνημονεύωμεν, οὐ δυνάμεθα κᾳκείνων μεμνῆσθαι.

Σεβήρου. Καλῶς μέντοι ὁ Ἀπόστολος εἶπεν, ἐγγὺς ἀφανισμοῦ γεγενῆσθαι τὴν παλαιὰν διαθήκην, καὶ οὐ τελείως ἠφανῆσθαι· τὸ γὰρ πληροῦσθαι τὸν νοῦν δοκεῖ μὲν εἶναι νόμος, ἠφάνισται δὲ τὸ περιττὴν δειχθῆναι τὴν τοῦ γράμματος ἐντολήν. καθάπερ ἄν τις καὶ ἐν σκιαγραφίᾳ ἐπὶ σανίδος ἐνσημανθέντα κύκλον, ἠφανίσθη εἴποι, διὰ τῆς τῶν χρωμάτων ἐπιβολῆς. ἠφάνισται μὲν γὰρ τῷ μὴ διὰ τοῦ προτέρου σκιώδους σχήματος δείκνυσθαι. μενεῖ δὲ ὅμως τὸ λαμπρότερον, διὰ τῆς ἐπικαλυψάσης εὐχροίας ἐκφαίνεσθαι.

AUCTORUM NOMINA.







